IPSA quæ nunc dicetur herbarum claritas medicinæ tantum gratia gignente eas tellure, in admirationem curæ priſcorum diligentiæque animum agit. Nihil ergo intentatum inexpertumq́; illis fuit. Nihil deinde occultatum quod nõ prodeſſe poſteris vellent. At nos elaborata iis abſcondere atque ſupprimere cupimus, & fraudare vitã etiam alienis bonis. Ita certè recõdunt, qui pauca aliqua nouere, inuidentes aliis: & neminẽ docere, in auctoritatem ſciẽtiæ eſt. Tantum ab excogitandis nouis, ac adiuuanda vita mores abſunt. Summumq́; opus ingeniorum diu in hoc fuit, vt intra vnumquenq; rectè facta veterum perirent. At hercule ſingula quoſdam inuenta deorum numero addidere, omniumque vitam clariorem fecere cognominibus herbarum, tam benigne gratiam memoria referẽte. Non æquè hæc cura eorum mira eſſet in his quæ ſatu blandiuntur, aut cibo inuitant, ſed culmina quoq; montium inuia & ſolitudines abditas, omniſque terræ fibras ſcrutati inuenere, quid quæque radix polleret ad quos vſus herbarum folia pertinerent, etiam quadrupedum pabulo intacta ad ſalutis vſus vertentes. Minus hoc quàm par erat, noſtri celebrauere, omnium vtilitatum & virtutum rapaciſsimi. Primusq; & diu ſolus idẽ ille M. Cato, omnium bonarum artium magiſter, paucis dũtaxat attigit, boum etiam medicina non omiſſa. Poſt eam vnus illuſtrium tentauit C. Valgius, eruditione ſpectatus, imperfecto volumine ad diuum Auguſtum, inchoata etiam præfatione religioſa, vt omnibus malis humanis illius principis potiſsimum ſemper medicetur maieſtas. Antea condiderat ſolus apud nos, quod equidem inueni, Pompeius Læneus, Magni libertus, quo primùm tempore hanc ſcientiam ad noſtros perueniſſe animaduerto. Nanque Mithridates maximus ſua ætate regũ, quem debellauit Pompeius, omnium ante ſe genitorum diligentiſsimus vitæ fuiſſe argumentis præterquam fama intelligitur. Vni ei excogita-

tum, quotidie venenum bibere, præſumptis remediis, vt conſuetudine ipſa innoxium fieret. Primò inuenta genera antidoti, ex quibus vnum etiam nomen eius retinet. Illius inuentum autumant, ſanguinem anatum Ponticarum miſcere antidotis, quoniam veneno viuerent. Ad illum Aſclepiadis medendi arte clari, volumina compoſita extant: cùm ſolicitatus ex vrbe Roma, præcepta pro ſe mitteret. Illũ ſolum mortalium vigintiduabus linguis locutũ certum eſt, nec de ſubiectis gentibus vllum hominem per interpretem appellatum ab eo annis LVI. quibus regnauit. Is ergo in reliqua ingenij magnitudine medicinæ peculiariter curioſus, ab hominibus ſubiectis, qui fuere pars magna terrarũ, ſingula exquirẽs ſcrinium commentationum harum & exemplaria, effectusq; in arcanis ſuis reliquit. Pompeius autẽ omni regia præda potitus, transferre ea ſermone noſtro libertum ſuum Lenæum, grammaticæ artis doctiſsimum, iuſsit: vitæq; ita profuit non minus quàm reipublicæ victoria illa, præter hos Græci autores medicinæ prodidere, quos ſuis locis diximus. Ex his Euax rex Arabum, qui de ſimplicium effectibus ad Neronem ſcripſit: Crateuas, Dionyſius, Metrodorus, ratione blãdiſsima, ſed qua nihil penè aliud quàm rei difficultas intelligatur. Pinxere nanq; effigies herbarũ atq; ita ſubſcripſere effectus. Verũ & pictura fallax eſt, & coloribus tam numeroſis, præſertim in æmulatione naturæ, multum degenerat transſcribentium ſors varia. Præterea parum eſt ſingulas earũ ætates pingi, cum quadripartitis varietatibus anni faciem mutent. Quare cæteri ſermone eas tradidere. Aliqui ne effigie quidem indicata, & nudis plerũque nominibus defuncti, quoniam ſatis videbatur poteſtates vimque demõſtrare quærere volentibus. Nec eſt difficile cognitu, nobis certè, exceptis admodum paucis contigit reliquas contemplari ſcientia Antonij Caſtoris, cui ſumma authoritas erat in ea arte noſtro æuo, viſendo hortulo eius in quo plurimas alebat, cẽteſimum ætatis annũ excedens, nullum corporis malum expertus, ac ne ętate quidem memoria aut vigore concuſsis, & cæt.

ΠΕΔΑΚΙΟΥ ΔΙΟΣΚΟΡΙΔΟΥ ΑΝΑΖΑΡΒΕΩΣ ΠΕΡΙ ΥΛΗΣ ΙΑΤΡΙΚΗΣ ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ.

ΠΟΛΛΩΝ οὐ μόνον ἀρχαίων, ἀλλὰ καὶ νέων συνταξαμένων περὶ τῆς τῶν φαρμάκων σκευασίας τε καὶ δυνάμεως, καὶ δοκιμασίας φίλτατε Ἄρειε· πειράσομαί σοι παραστῆσαι μὴ κενὴν, μὴ δὲ ἄλογον ὁρμὴν ἐσχηκέναι πρὸς τήνδε τὴν πραγματείαν. διὰ τὸ τοὺς μὲν αὐτῶν, μὴ τετελειωκέναι, τοὺς δὲ ἐξ ἱστορίας τὰ πλεῖστα ἀναγράψαι. Ἰόλας μὲν γὰρ ὁ Βιθυνὸς καὶ Ἡρακλείδης ὁ Ταραντῖνος, ἐπ᾽ ὀλίγον ἥψαντο τῆς αὐτῆς πραγματείας. τὴν βοτανικὴν παντελῶς ἐάσαντες παρέδοσαν. οὐ μὴν οὐδὲ τῶν μεταλλικῶν, ἀρωμάτων πάντες ἐμνημόνευσαν.* Κρατεύας δὲ ὁ ῥιζοτόμος, καὶ Ἀνδρέας ὁ ἰατρὸς, Οὗτοι γὰρ δοκοῦσιν ἀκριβέστερον τῶν λοιπῶν περὶ τοῦτο τὸ μέρος ἀνεστράφθαι, πολλὰς ῥίζας εὐχρηστοτάτας, καὶ τινας βοτάνας ἀπαρασημειώτους εἴασαν. πλὴν τοῖς μὲν ἀρχαίοις μαρτυρητέον μετὰ

τῆς

PEDANII DIOSCORIDIS Anazarbei de medicinali materia libri primi præfatio,

Io. Ruellio Sueßionẽſi interprete.

QVanquã amiciſſime Aree, complures nõ veterũ modò, ſed recẽtiorũ quoq;, de medicamẽtorũ cõpoſitione, virib⁹ atq; probatione cõmẽtati ſunt: nobis tñ nec vanũ, nec à ratiõe abhorrẽtẽ impetũ animi ad hoc op⁹ inceſſiſſe, tibi oſtẽdere tẽtabim⁹: ꝙ eorũ nõnulli abſolutũ nihil ędiderũt, alij q̃ plurima, q̃ auditu percũctãdo didicerãt, ſcriptis tradiderũt. Siq̃dẽ Bithin⁹ Iolas & Heraclides Tarentinus, omiſſa ꝓrſus herbarũ tractatiõe, rẽ ſanè q̃ paucis perſtrixerũt. Neq; verò oẽs illi de metallicis quicq̃ reb⁹ aut odoramẽtis memoriæ prodiderũt. Crateuas autẽ herbari⁹, & Andreas medic⁹, q̃ cæteris diligẽtius hac in parte verſati vidẽtur, radices multas apprimè vtileis, herbáſq; haudquaquã adnotatas, reliquerũt. Veruntamen priſcorũ ſubſcribere oportet ſentẽtiis: quos etſi

 pauca

pauca ipſis referãtur accepta, magnã tamẽ impediſſe diligẽtiã cõſtat. Iunioribus minus aſſentiendũ: è q̃bus Iulius Baſſus, & Niceratus, & Petronius, Niger, & Diodotus, Aſclepiadæ omnes, medicinalẽ materiã vernaculã cognitãq; vulgò, dignã cẽſuerũt quę ab ipſis literis exactè mãdarẽt: & vt medicamẽtorũ vires ꝓbationẽſq; curſim cõplexi, ſic nullo experimento eorũ effectus colligẽtes, inani verò reddẽdarũ cauſarũ ſtudio verba fundẽtes, alia ꝓ aliis ſcriptitãdo, rẽ in aceruũ cõgeriẽq; cõtrouerſiarũ extulerũt. Siquidẽ qui inter eos egregius habetur Niger, euphorbiũ, naſcẽtis in Italia, chamelææ ſuccũ eſſe cõtẽdit: androſæmõnq; eandẽ herbã cũ hyperico eſſe. quinetiã aloën in Iudæa foſſilẽ naſci, & pleraq; his ſimilia exponit, reclamãte euidẽtia, q̃ prorſus veritati refragãt. Quibus cõiectura colligi poteſt, ea nõ oculata fide ſed narratiõe poti⁹ ab aliis accepiſſe. In ordine iidẽ ipſi aberrarũt, partĩ eorũ diſcrepãteis nullãq; cognatione cõiũctas vireis collidẽtes: partĩ ꝑ elemẽta literarũ ſcripta ĩ ordinẽ digerẽtes, quò facili⁹ memorię mãdarẽtur, genera & eorũ effectus

τῆς ὀλιγότητος τῶν παραδοθέντων, καὶ τὴν ἀκρίβειαν προσπαραλαβοῦσι. τοῖς μέντοι νέοις οὐ συγκαταθετέον, ὧν ἐστι Βάσσος ὁ ἰυλαῖος, καὶ Νικήρατος, καὶ Πετρόνιος, Νίγερτε, καὶ Διόδοτος, ἀσκληπιάδαι πάντες. οἱ τὴν μὲν πᾶσι σύμφυλλον καὶ γνώριμον ὕλην, ἠξίωσαν ἐπὶ πσὸν ἀναγραφῆς ἀκριβοῦς· τὰς δὲ τῶν φαρμάκων δυνάμεις καὶ δοκιμασίας ἐξ ἐπιδρομῆς παρέδοσαν, οὐ τῇ πείρᾳ τὴν ἐνέργειαν αὐτῶν κανονίζοντες. τῇ δὲ τῆς αἰτίας κενοφωνίᾳ, εἰς * ὄγκον διαφορᾶς ἑκάστου αὐτῶν ἀναφέροντες μετὰ τοῦ καὶ ἄλλα ἀντ' ἄλλων ἀναγράφειν. ὁ γοῦν διαπρεπὴς δοκῶν εἶναι ἐν αὐτοῖς Νίγερ, τὸ εὐφόρβιον φησὶν ὀπὸν εἶναι χαμελαίας, γινομένης ἐν ἰταλίᾳ. καὶ τὸ ἀνδρόσαιμον, ταυτὸν ὑπάρχειν ὑπερικῷ, ἀλόην δὲ ὀρυκτὴν ἐν ἰουδαίᾳ γεννᾶσθαι. καὶ ἄλλα τούτοις ὅμοια πλεῖστα παρὰ τὴν ἀλήθειαν ἐκτίθεται ψευδῶς. ἅπερ ἐστι τεκμήρια οὐκ αὐτοψίας, ἀλλὰ τῆς ἐκ παρακουσμάτων ἱστορίας. ἥμαρτον δὲ καὶ περὶ τὴν τάξιν. οἱ μὲν ἀσυμφύλλους δυνάμεις συγκρούσαντες, οἱ δὲ κατὰ στοιχεῖα * ἀναγράψαντες. διάζευξαν * τὰς ὁμογενείας, τά τε γένη καὶ τὰς ἐνεργείας αὐτῶν,

τῶν, ὡς διὰ τοῦτο ἐυμνημόνευτα γίνεσθαι. ἡμεῖς δ᾽ * ὡς ἔστιν εἰπεῖν ἐκ νεότητος ἡλικίας, ἄληκτόν τινα ἔχοντες ἐπιθυμίαν περὶ τὴν ἐπίγνωσιν τῆς ὕλης, καὶ πολλὴν γῆν ἐπελθόντες. οἶσθα γὰρ ἡμῖν στρατιωτικὸν τὸν βίον, συναγηόχαμεν τὴν πραγματείαν ἐν ἓξ βιβλίοις συντεταγμένην, ᾧ καὶ τὴν σύνταξιν ἀνατιθέαμεν, ἐυχάριστον ἐκπληροῦντες πάθος. δι᾽ ἣν ἔχεις πρὸς ἡμᾶς διάθεσιν, φύσει μὲν πρὸς πάντας τοὺς ἀπὸ παιδείας ἀναγομένους οἰκειούμενος, μάλιστα δὲ πρὸς τοὺς ὁμοτέχνους, ἰδιαίτερον δὲ πρὸς ἡμᾶς, δεῖγμα δὲ οὐ σμικρὸν τῆς ἐν σοὶ καλοκαγαθίας, καὶ ἡ τοῦ κρατίστου Λικινίου Βάσσου πρὸς σὲ διάθεσις, ἣν ἔγνωμεν συνδιάγοντες ὑμῖν, ἀξιοζήλωτον τὸ παρ᾽ ἀμφοτέρων ὑμῶν πρὸς ἀλλήλοις εὔνοιαν ὁρῶντες, παρακαλοῦμεν δέ σε καὶ τοὺς ἐντευξομένους τοῖς ὑπομνήμασι, μὴ τὴν ἐν λόγοις ἡμῶν δύναμιν σκοπεῖν, ἀλλὰ τὴν ἐν τοῖς πράγμασι μετ᾽ ἐμπειρίας ἐπιμέλειαν. μετὰ γὰρ πλείστης ἀκριβείας τὰ μὲν πλεῖστα δι᾽ αὐτοψίας γνόντες, τὰ δὲ ἐξ ἱστορίας συμφώνου τοῖς πᾶσι καὶ ἀνακρίσεως τῶν παρ᾽ ἑκάστοις ἐπιχωρίων ἀκριβώσαντες, πειρασόμεθα καὶ τῇ τάξει διαφόρῳ χρήσασθαι, καὶ τὰ γένη καὶ τὰς δυνάμεις ἑκάστου αὐτῶν ἀνα-

effect⁹ à ſua cognitiõe diſiũgẽtes. Nos verò ab ĩeũte, vt ita dicã, ĩuẽta iugi deſiderio cognoſcẽdæ materiæ allecti, ꝑmultis regiõib⁹ peragratis (nec.n. neſcis nos militarẽ vitã exegiſſe) tuo hortatu cõmẽtationẽ ĩ ſex libros cõtulimus. quod op⁹ tibi dicamus, Aree, animi gratitudine obſequẽtes, ob eũ quo nos ꝓſequeris affectũ. Etenim natura cũ in omneis eruditione excultos, tũ verò in eos qb⁹ cũ tibi eiuſdẽ artis neceſsitudo ĩtercedit, ꝓn⁹ ad amiciciã eẽ ſoles: in nos etiã aliquãto peculiari⁹. Enimuerò nõ paruũ ꝑbet tuæ ꝓbitatis argumẽtũ, optimi viri Licinij Baſsi ſingularis erga te amicitia: quã vnà nobiſcũ degẽtes nouimus, cũ mutuã ĩter vos bñuolẽtiã ęmulatiõe dignã intueremur. Admonitũ aũt te velim, eóſq; qui in hoſce cõmẽtarios incidẽt, ne ĩ verbis facultatẽ noſtrã æſtimetis, ſed potius adhibitã reb⁹ cũ peritia curã. Etenĩ prurima viſu ipſi exactiſſimè cognouim⁹: quędã etiã ex ea, de qua ĩter oẽs cõuenit, hiſtoria ꝑcũctatiõéq; rerũ apud ſingulos vernacularũ diligẽter accepim⁹. Dabimus igit̃ operã, vt differẽti ab aliis ordine tradito, genera medicinarũ vireſq; deſcri-

deſcribāt. Quòd aūt neceſſaria ſit medicamētorū ratio nemo eſt fermè q ignoret, ꝙ ea & toti arti cōiūcta ſit, vniuerſiſq; eius partib⁹ efficax adminiſtret auxiliū. Quare per medicamētorū cōpoſitiones atq; miſturas, & facta in morbis pericula extēdi, & incremētū capeſcere poteſt, q̄ plurimū conferēte ſingulorū medicaminū cognitiōe. Quinetiā vernaculā familiareq; materiā cōplectemur, vt pfecta ſit quę à nobis relinquet doctrina. Verū imprimis curā impēdere oportet, vt ſuis tēporib⁹ ſingula & demetātur & recōdātur. certè ꝑ horū ratione aut valēt virib⁹, aut euanido nullóq; munere fūgūtur. Serena igitur cœli cōſtitutiōe demetēda ſūt. Magni ſiqdē refert īter colligēdū, ſi vel ſqualores vel ībres infeſti ſint: quēadmodū ſi loca, in qb⁹ prodeūt, cliuoſa, & vētis expoſita ſint & pflata, frigidáq; & aquis carētia: in his.n.locis vires eorū lōgè validiores intelligūtur. Cōtrà, quæ in cāpeſtribus, riguis, & opacis, cæteriſq; locis à vēto ſilētibus enaſcūtur, plerūq; degenerāt, & min⁹ virib. valēt, multóq; magis, ſi nō ſuo tēpore nec opportunè colligantur,

aut

γράψασθαι. Ὅτι μὲν οὖν ἀναγκαῖος ὑπάρχει ὁ περὶ φαρμάκων λόγος, παντί που δῆλον, συνεζευγμένος ὅλῃ τῇ τέχνῃ, καὶ τὴν ἀπ' αὐτοῦ συμμαχίαν ἀήττητον παντὶ μέρει παρεχόμενος. καὶ διότι δύναται αὔξεσθαι κατά τε τὰς σκευασίας καὶ τὰς μίξεις καὶ τοὺς ἐπὶ τῶν παθῶν πειρασμοὺς, πλεῖστα συμβαλλομένης τῆς περὶ ἕκαστον τῶν φαρμάκων γνώσεως. περιλαμβανόμεθα δὲ καὶ τὴν συνήθη καὶ σύμφυλλον ὕλην, ἵνα ἡ γραφὴ γένηται τελεία. πρὸ πάντων οὖν φροντίζειν τῆς ἀποθέσεως καὶ συλλογῆς ἑκάστου κατὰ τοὺς οἰκείους καιροὺς προσήκει. παρὰ γὰρ δὴ τούτοις ἢ ἐνεργεῖ, ἢ ἐξίτηλα γίνεται τὰ φάρμακα. αἰθρίου γὰρ ὄντος τοῦ καταστήματος συλλέγειν δεῖ. μεγάλη γὰρ * κἂν τούτῳ ὑπάρχει διαφορὰ, * τῶν αὐχμῶν ἢ ὄμβρων γινομένων τὴν συλλογὴν ποιεῖσθαι. ὥσπερ καὶ τὸ ὀρεινοὺς καὶ ὑψηλοὺς καὶ διαπνεομένους καὶ ψυχροὺς καὶ ἀνύδρους εἶναι τοὺς τόπους· ἰσχυρότεραι γάρ εἰσιν αἱ δυνάμεις αὐτῶν, αἱ δὲ ἐν πεδινοῖς καὶ καθύγροις καὶ κατασκίοις καὶ μὴ διαπνεομένοις, ἀτονώτεραι κατὰ τὸ πλεῖστον, καὶ μᾶλλον αἱ μὴ καθ' ὥραν ἐγκαίρως συλλεγεῖσαι, ἢ

δι'

δι' ἀσθένειαν ἐφθηκῦαι. οὐκ ἀγνοητέον μέν τοι ὅτι πολλάκις, ταῦτα παρὰ τὴν ἰδιότητα τῆς χώρας, καὶ παρὰ τὴν σύγκρασιν τοῦ ἔτους, τάχιον ἢ βράδιον ἀκμάζει. ἔνια δὲ καὶ παρὰ τὴν ἑαυτῶν ἰδιότητα, ἐν χειμῶνι ἄνθη τε καὶ φύλλα φέρει· τινὰ δὲ καὶ δὶς τοῦ ἔτους ἀνθοφορεῖ. τὸν δὲ βουλόμενον ἐν τούτοις ἐμπειρίαν ἔχειν, δεῖ κατά γε τὴν ἀρτιφυῆ βλάστησιν ἐκ τῆς γῆς, ἀκμάζουσι καὶ παρακμάζουσι παρατυγχάνειν. οὔτε γὰρ ὁ τῇ βλάστῃ ἐντετυχηκὼς μόνον, δύναται τὸ ἀκμάζον γνωρίσαι, οὔτε ὁ ἑωρακὼς τὰ ἀκμάζοντα, τὸ ἀρτιφυὲς ἐπιγνῶναι. παρὰ γὰρ τοὺς μεταχηματισμοὺς τῶν φύλλων, καὶ τὰ μεγέθη τῶν καυλῶν καὶ ἀνθῶν καὶ καρπῶν, καί τινας ἄλλας ἰδιότητας, μεγάλη πλάνη γίνεται ἐπ' ἐνίοις τοῖς μὴ οὕτω τὴν θέαν ποιησαμένοις. παρὰ ταύτην γοῦν τὴν αἰτίαν, τινὲς τῶν ἀναγραψάντων ἐπλανήθησαν, εἰπόντες τινὰ μήτε ἄνθη μήτε καυλὸν μήτε καρπὸν φέρειν. καθάπερ ἐπὶ τῆς ἀγρώστεως καὶ βηχίου καὶ πενταφύλλου. ὁ δὲ πολλάκις* ἐντετυχηκὼς αὐτοῖς καὶ ἐν πολλοῖς τόποις μάλιστα τὴν ἐπίγνωσιν ποιήσεται. χρὴ μέν τοι εἰδέναι ὅτι μόνα τῶν βοτανικῶν φαρμάκων ἐπὶ πολλὰ ἔτη διαμένει, οἷον ἐλλέβορος ὁ λευκὸς καὶ μέλας, τὰ δὲ λοιπὰ μέχρι τριετίας ἐπιτοπλεῖστον εἰσὶν * εὔχρηστα.

*ἃ μὲν

aut ſi per imbecillitatem intabuerint. Neq; ignorandum, ſæpe pro peculiari loci natura, aut anni clemētia, maturiꝰ aut ſeriꝰ adoleſcere. Nōnulla propria vi, hyeme florent & folia pariūt: quędā bis anno floriſcera. Quare cui in animo eſt horū peritiā aſſeq̨, neceſſe eſt cū prima germinatiōe ſolo emergentibus, adultis & ſeneſcentibꝰ adeſſe. Nā qui pullulāti herbę dūtaxat adſtiterit, adultā cognoſcere nō poteſt, neque qui adultā tantū inſpexerit, nuper erūpentē noſcet. Quo fit, vt ꝓpter mutatā foliorū faciē, cauliū proceritates, florū ſeminiſq; magnitudinē, & id genus alias peculiares notas, nōnulli q̄ olī has rerū varietates nō ꝑſpexerūt, magno in errore verſētur. Quæ cauſa etiā nonnullis ſcriptoribꝰ īpoſuit, q̄ herbas quaſdā, verbi gratia, gramē, q̄nquefolium, & tuſſilaginē emittere florē, fructū & caulē, negāt. Ergo qui ſæpius ad viſendas herbas & earū natales ſe contulerit, earū cognitionē maximè cōſequet̄. Scire etiamnū cōuenit, ſola ex herbaceis medicaminibus veratri genera, nigrum, inquā, & cādidū multis edurare annis: reliqua à trimatu īutilia.

Quę vero fruticoſa ſunt, ſicut ſtœchas, trixago, poliũ, abrotonũ, ſeriphũ, abſinthiũ, hyſſopũ, & alia id genꝰ, ſemine prægnãtia demetãt. flores quoq; antea, q̃ ſpõte ſua decidãt. fructꝰ aũt, vt maturi decerpãt neceſſe eſt: & ſemina, vbi ſiccari cœperit, priuſq̃ defluãt. Herbarũ ſuccus & foliorũ elici debet, germinãtibꝰ tũ primũ cauliculis. Lac & lachrymæ excipiãtur, ĩciſo per ſummũ adoleſcétię vigorũ caule. Radices, & liquaméta, corticéſve vt recõdant, eximere cõuenit cũ herbę ſuis foliis exuũtur. Siccãtur etiã expurgatę ini bi, locis aſperginé nõ redolétibꝰ: ſed quę luto aut puluere ſũt obſitæ, aqua elui debét. Flores & omnia quæ iucundũ odoré efflãt, arculis tiliaceis, nullo ſitu obductis, reponãtur. Nõnunq̃ charta aut foliis ſemina, vt perennét, aptè iuuoluũtur. Liquidis medicaminibus déſior materia, argentea, vitrea, aut cornea cõuenit. Fictilis etiã, ſi modò rara nõ ſit, accõmodatur: & lignea, præſertim è buxo: ſed ęnea vaſa oculariis medicamẽtis liquidiſq;, & oĩbꝰ iis quę aceto, pice liq̃da, aut cedria cõponũtur. Adipẽ autẽ & medullas ſtagneis vaſis recõdi cõuenit.

Iris.

*ἃ μὲν οὖν εὐώδη ἐστὶ, στοιχάς, χαμαίδρυς, πόλιον, ἀβρότονον, σέριφον, ἀψίνθιον, ὕσσωπον, καὶ τὰ ὅμοια τούτοις, συλλέγειν δεῖ, ἐγκύμονα τῶν σπερμάτων. αὐτὰ δὲ πρὸ τῆς ἀποπτώσεως αὐτῶν· τοὺς δὲ καρποὺς πεπείρους ὄντας, καὶ τὰ σπέρματα δὲ ἀρχόμενα ξηραίνεσθαι πρὸ τοῦ ἀποῤῥεῖν, χυλίζειν δὲ καὶ τὰς βοτάνας, ἀρτιβλάστων ὄντων τῶν καυλῶν, ὁμοίως καὶ τὰ φύλλα, ὀποὺς δὲ καὶ δάκρυα λαμβάνειν, τέμνοντας ἐν ἀκμῇ, *ἔτι τοὺς καυλοὺς, τὰς δὲ εἰς ἀπόθεσιν ῥίζας καὶ χυλίσματα καὶ φλοιοὺς ἀφαιρεῖν ἀρχομένων φυλλοῤῥοεῖν τῶν βοτανῶν, καὶ τὰς μὲν καθαρὰς αὐτόθι ξηραίνειν ἐν τόποις ἀνοτίστοις, τὰς δὲ μετεχούσας γῆς ἢ πηλοῦ, πλύνειν ὕδατι. ἀποτίθεσθαι δὲ καὶ αὐτὰ, καὶ ὅσα εὐώδη τυγχάνει ἐν κιβωτίοις φιλυρίνοις ἀνοτίστοις, ἔστι δὲ ὅτε καὶ ἐν χάρταις ἢ φύλλοις χρησίμως περιδεῖται πρὸς διαμονὴν τῶν σπερμάτων, πρὸς δὲ τὰ ὑγρὰ φάρμακα ἁρμόσει ὕλη πᾶσα ἡ πυκνὴ ἐξ ἀργύρου ἢ ὑέλου ἢ κεράτων γεγενημένη, καὶ ὀστρακίνη δὲ ἡ μὴ ἀραιὰ εὔθετος. *ξυλίνων δὲ ὅσα ἐκ πύξου κατασκευάζεται· τὰ δὲ χαλκᾶ ἀγγεῖα, ἁρμόσει πρὸς τὰ ὀφθαλμικὰ *φάρμακα καὶ ὑγρὰ, καὶ ὅσα δι' ὄξους ἢ πίσσης ὑγρᾶς ἢ κεδρείας κατασκευάζεται. στέατα δὲ καὶ μυελοὺς, ἐν κασσιτερίνοις ἀγγείοις ἀποτίθεσθαι δεῖ.

Περὶ

Περὶ Ἴρεως. Κεφ. α΄.

Ἶρις ἀπὸ μὲν τῆς κατ' οὐρανὸν ἐμφερείας ὠνόμασται, φύλλα δὲ φέρει ὅμοια ξιφίῳ, μείζονα δὲ καὶ πλατύτερα καὶ λιπαρώτερα. ἄνθη δὲ ἐπὶ καυλῷ παράλληλα, ἐπικαμπῆ, ποικίλα· ἢ γὰρ λευκὰ ἢ ὠχρὰ ἢ μήλινα ἢ πορφυρᾶ ἢ κυανίζοντα ὁρᾶται· ὅθεν διὰ τὴν ποικιλίαν ἀπεικάσθη ἴριδι τῇ οὐρανίᾳ. ῥίζαι ὕπεισι γονατώδεις, στερεαί, εὐώδεις, ἃς δεῖ μετὰ τὴν τομὴν ξηράναντα ἐν σκιᾷ καὶ* διείραντα λίνῳ ἀποτίθεσθαι. ἔστι δὲ βελτίων ἡ ἰλλυρικὴ καὶ μακεδονική· καὶ ἐν ταύταις ἀρίστη ἡ πυκνόρριζος, καὶ ὑπόκολοβος, καὶ δύσθραυστος, καὶ τῇ χρόᾳ ὑπόκιρρος, καὶ σφόδρα εὐώδης καὶ τῇ γεύσει πυρωτέρα. τήν τε ὀσμὴν εἰλικρινής, καὶ μὴ νοτίζουσα. πταρμούς τε ἐν τῷ κόπτεσθαι κινοῦσα.* ἡ λιβυκὴ δὲ λευκὴ κατὰ χρόαν, πικρὰ πρὸς γεῦσιν δευτερεύουσα τῇ δυνάμει. παλαιούμεναι δὲ τερηδονίζονται. εὐωδέστεραι μέντοι τότε γίνονται. δύναμιν δὲ ἔχουσι πᾶσαι θερμαντικήν, λεπτυντικὴν ἁρμόζουσαν πρὸς βῆχας, καὶ τὰ δυσανάγωγα ὑγρὰ λεπτοποιοῦσαι. καθαίρουσι δὲ* χολὰς ποτιζόμεναι μεθ' ὑδρομέλιτος, ὁλκῆς < ζ΄. εἰσὶ δὲ καὶ ὑπνοποιοί, καὶ δακρυοποιοί.

καὶ

Iris. Cap. I.

IRis à cœleſtis arcus ſimilitudine nomẽ accepit. Folia fert gladioli, ſed maiora, latiora, & pinguiora. Flores in caule ęqualibꝰ inter ſe ſpatijs diſtant, incurui, varij: ſiquidẽ cãdidi, pallẽtes, lutei, purpurei, aut cœrulei cõſpiciũtur: qua diuerſi coloris ſpecie quædã cœleſtis arcus imago repreſentari videtur. Radices ſubiacẽt geniculatę, duræ, odoratæ, quæ fruſtatim diſſectæ, in vmbra ſiccantur, & traiectæ lino recondũtur. Melior eſt Illyrica, & Macedonica: & inter has laudatiſsima, quæ pumila ferè & denſa cõſtat radice, frangenti cõtumax, ſubrufo colore, guſtu amaro, odore ꝑquã ſyncero, ita vt nullũ prorſus ſitũ redoleat: quæ dum tũditur ſternutamẽta mouet. Secundum locum habet Africana, candicans, guſtúq; amara. Teredines in vetuſtate ſentiũt, tũc tamẽ odoratiores reddi ſolẽt. Vis omnibꝰ excalfactoria, extenuãs, cõtra tuſsim efficax: humorũ q̃ ægrè reijciunt craſſitiem digerũt, bilẽ craſſámque pituitam ex hydromelite drachmis ſeptem epotę purgãt, ſomnũ cõciliãt, lachrymas ciunt,

tormini-

tormínibus medentur.Eædem potæ ex aceto auxiliãtur ſerpentiũ ictibꝰ,lienoſis,cõuulſis, ꝑfrictionibus,horroribꝰ, & ꝗbus genitura effluit:menſes ex vino potæ pellũt.Decoctũ earũ,fœminarum fotibus vtiliter imponit,ad emolliẽdos locos, laxandáq; in eis venarũ ſpiracula,iſchiadicis infundit, fiſtulas ac ſinus carne explet.Radices ex melle glãdis modò ſubditæ,partꝰ extrahũt:quietiã coctæ & illitę,ſtrumas, veteréſq; duritias emolliũt. Siccæ quoq; vlcera replẽt, & cũ melle purgãt:nudata oſſa corpore operiũt:doloribꝰ capitis, cũ aceto & roſaceo magna vtilitate illinunt.Admotæ cũ albo veratro & duabꝰ mellis partibꝰ,lẽtigines &vitia cutis in facie à ſole cõtracta emaculat:peſſis,malagmatis, & acopis inſerũtur. In vniuerſum,magni ad oĩa vſus.

Acorum. Cap. II.

Acorũ folia iridis habet,anguſtiora tamẽ:radices non diſſimiles,complicatas, nõ in rectum ſed obliquum actas, & ſummo ceſpite ſparſas geniculis interceptas,albicãtes, guſtu acres,odore nõ ingratas. Optimum eſt denſum,candidũ, plenũ,carie nõ exeſum, odoratũ, cuiuſmodi

καὶ στρόφους ἰῶνται. μετ' ὄξους δὲ πινόμεναι θηριοδήκτοις ἀρήγουσι, καὶ σπληνικοῖς, καὶ σπωμένοις, καὶ περιψυχομένοις ἢ ῥιγοῦσι, καὶ τοῖς γόνον προϊεμένοις· σὺν οἴνῳ δὲ ποθεῖσαι, ἄγουσιν ἔμμηνα, καὶ τὸ ἀπόζεμα δὲ αὐτῶν, πρὸς γυναικείας πυελίας εὔθετον, μαλάσσον τοὺς τόπους καὶ ἀναστομοῦν, ἰσχιάδος τε εἰς ἔγκλυσμα, καὶ συρίγγων καὶ κόλπων σαρκωτικόν. προστεθεῖσαι δὲ ὡς κολλύριον μετὰ μέλιτος, ἔμβρυα κατασπῶσι, μαλάσσουσι δὲ χοιράδας καὶ σκιῤῥώματα παλαιὰ ἑφθαὶ καταπλασθεῖσαι, ξηραὶ δὲ πληροῦσιν ἕλκη, καὶ ἀνακαθαίρουσι μετὰ μέλιτος, καὶ τὰ ἐψιλωμένα τῶν ὀστέων σαρκοῦσιν· ὠφελοῦσι δὲ καὶ κεφαλαλγίας, σὺν ὄξει καὶ ῥοδίνῳ καταπλασθεῖσαι. φακούς τε καὶ ἐφήλεις ἀποκαθαίρουσι, σὺν ἐλλεβόρῳ λευκῷ καὶ διπλασίονι μέλιτι καταπλασθεῖσαι, μίγνυνται δὲ καὶ πεσσοῖς καὶ μαλάγμασι καὶ ἀκόποις, καὶ καθόλου εἰσὶ πολύχρηστοι.

Περὶ Ἀκόρου. Κεφ. β'.

Ἄκορον τὰ μὲν φύλλα ἔχει ἐμφερῆ ἴριδι, στενώτερα δὲ καὶ τὰς ῥίζας οὐκ ἀνομοίους, διαπεπλεγμένας δὲ καὶ οὐκ εἰς εὐθὺ πεφυκυίας, ἀλλὰ πλαγίας καὶ ἐξ ἐπιπολῆς, γόνασι διειλημμένας, ὑπολεύκους, δριμείας τῇ γεύσει, καὶ τῇ ὀσμῇ οὐκ ἀηδεῖς. διαφέρει δὲ τὸ πυκνὸν καὶ λευκόν, ἄβρωτόν τε καὶ πλῆρες εὐῶδες.

τοιοῦτο

τοῦτο δέ ἐστι τὸ ἐν χαλκίδι καὶ τῇ γαλατίᾳ ἀσπλήτιον λεγόμενον. Δύναμιν δὲ ἔχει ἡ ῥίζα θερμαντικήν, πινόμενον δὲ τὸ ἀφέψημα αὐτοῦ οὖρα κινεῖ· ἁρμόζον πρὸς πλευρᾶς πόνον καὶ θώρακος καὶ ἥπατος, στρόφους, ῥήγματα, σπάσματα· σπλῆνας τήκει, ὠφελεῖ καὶ στραγγουριῶντας, θηριοδήκτοις, καὶ εἰς ἐγκάθισμα ὡς ἶρις πρὸς τὰ γυναικεῖα, *ὁ δὲ χυλὸς τῆς ῥίζης ἀποκαθαίρει τὰ ἐπισκοτοῦντα ταῖς κόραις, μίγνυται δὲ καὶ τοῖς ἀντιδότοις ἡ ῥίζα χρησίμως.

cuiuſmodi Colchidicũ & Galaticum, quod aſpletion dicũt. Radici vis calfactoria. Decoctum potu vrinã cit: prodeſt lateris doloribus, & iocineris atque thoracis: itẽ torminibus, vulſis, ruptis: lienẽ abſumit, vrinæ ſtillicidio & ſerpentum ictibus auxiliatur, inſidentibus ad muliebres affect⁹ iridis modo vtiliter imponitur, oculorũ caligines ſucco diſcutit, antidotis radix magno vſu cõmiſcetur.

Περὶ Μείου. Κεφ. γ΄.

Μεῖον τὸ καλούμενον ἀθαμαντικόν, γεννᾶται πλεῖστον ἐν μακεδονίᾳ καὶ ἱσπανίᾳ, ὅμοιον καυλῷ καὶ τοῖς φύλλοις ἀνήθῳ, παχύτερον δὲ τοῦ ἀνήθου. δίπηχύ που ἀναβαῖνον, ταῖς ῥίζαις ὑπεσπαρμένον λεπταῖς πλαγίαις, καὶ εὐθείαις, μακραῖς εὐώδεσι, θερμαινούσαις τὴν γλῶτταν, αἵτινες ἀποζεσθεῖσαι μεθ᾽ ὕδατος ἢ καὶ λεῖαι δίχα ἑψήσεως ποθεῖσαι, τὰ στεγνὰ περὶ κύστιν καὶ νεφροὺς πάθη παρηγοροῦσι, καὶ δυσουρίαις ἁρμόζουσι. στομάχου τε ἐμπνευματώσεσι καὶ στρόφοις, ὑστερικαῖς τε διαθέσεσι, ἄρθρων πόνοις, θώρακι ῥευματιζομένῳ σὺν μέλιτι λεῖαι ἀντὶ ἐκλικτοῦ βοηθοῦσιν, αἷμα τε ἄγουσι δι᾽ ἐμμήνων ἀποζεσθεῖσαι εἰς ἐγκάθισμα. παιδίων δὲ καταπλασθεῖσαι ἐφηβαίοις οὖρα ἄγουσιν,

ἔστι

Meum. Cap. III.

Meon, quod Athamanticum vocãt, in Macedonia & Hiſpania plurimum gignitur, anetho foliis & caule ſimile, ſed eo craſſius. binûm fermè cubitorũ altitudine attollitur, ſparſis ĩ obliquum rectumq; radicibus, longis, tenuibus, odoratis, linguam excalfacientibus. Quæ ferueſactæ ex aqua, vel tritæ citra coctionẽ, præcluſorum renũ veſicæq; farctæ vitia potu leniunt, vrinæ difficultati medẽtur, ſtomachi inflatiões diſcutiũt. Torminibus, affectæ vuluæ, articulorũ dolorib⁹, atq; fluxionibus pectoris, tritæ cum melle in eclegmate auxiliãtur, ſanguinẽ per mẽſtrua pellũt, diſceſsionibus ferueſactæ: infantib⁹ autẽ illitæ imo vẽtri, vrinas mouẽt:

quòd

ꝙ ſi plus quàm deceat ex his bibatur, caput dolore afficiũt.

Cypirus. Cap. IIII.

Cypirus, quem aliqui eryſiſceptrum, vt aſpalatum appellant, folia fert porraceis proxima, ſed longiora & exiliora: caulem odorati iunci, cubitalem aut maioré, anguloſum, in cuius cacumine minuta folia cum ſemine exoriuntur: radices, quarum in medicina eſt vſus, cohærentes inter ſe oleis oblongis ſimiles, aut rotundæ, nigro colore, ſuaui odore, amaro guſtu. In lacunoſis, paluſtribus & cultis enaſcit̃. Optima eſt grauiſsima, déſa, fractu contumax, plena & aſpera, odoris cũ quadã acrimonia iucũdi, qualis eſt Cilicia, Syriaca, & quę á Cycladibus inſulis petit̃. Huic calida vis ineſt. Venarũ ſpiracula laxat, vrinam ciet, ad calculos aquámq; ſubter cuté vtiliſſimè bibitur, aduerſus ſcorpionum ictus remedio eſt, perfrictionib⁹ vuluæ & ꝑcluſionib⁹ fotu ꝓdeſt, pellit méſes. Cõtra vlcera oris etiã ſi depaſcãt vorétq;, farina ei⁹ efficax eſt. Malagmatis calfaciétib⁹, & vnguétorũ ſpiſſamétis bene adijci ſolet. Aliud cypiri gen⁹ tradũt in India naſci, gingiberis effigie, quod

ἐστι δὲ καὶ κεφαλαλγὲς πλεῖον ἢ δεῖ πινόμενον.

Περὶ Κυπείρου. Κεφ. δ΄.

Κύπειρος, οἱ δὲ ἐρυσίσκηπτρον ὡς τὴν ἀσπάλαθον καλοῦσι, φύλλα δὲ ἔχει ὅμοια πράσῳ, μακρότερα δὲ καὶ ἰσχνότερα, καυλὸν δὲ πηχυαῖον, ἢ καὶ μείζονα. γωνιώδη, ὅμοιον σχίνῳ, οὗ κατὰ κορυφὴν φυλλαρίων ἐστὶν ἔκφυσις μικρῶν καὶ σπέρματος. ῥίζαι δ᾽ ὕπεισιν ὧν καὶ ἡ χρῆσις, ἐπιμήκεις ὥσπερ ἐλαίας συναφεῖς ἑαυταῖς, ἢ καὶ στρογγύλαι, μέλαιναι, εὐώδεις, ἔμπικροι, φύεται δὲ ἐν τόποις ἐργασίμοις καὶ τελματώδεσιν. ἀρίστη δὲ ἐστιν ἡ βαρυτάτη καὶ πυκνὴ καὶ ἁδρὰ, δύσθραυστος, τραχεῖα, εὐώδης μετά τινος δριμύτητος. τοιαύτη δὲ ἐστιν ἡ* κιλίκισσα, καὶ ἡ συριακὴ, καὶ ἡ ἀπὸ τῶν κυκλάδων νήσων. δύναμις δὲ ἐστιν αὐτῇ θερμαντικὴ, ἀναστομωτικὴ, διουρητική· λιθιῶσι καὶ ὑδρωπικοῖς πινομένη βοηθεῖ, καὶ σκορπιοδήκτοις, καὶ ταῖς περὶ μήτραν δὲ καταψύξεσι καὶ μύσεσι πυελωμένη* ἁρμόζει, ἄγουσα ἔμμηνα. ποιεῖ δὲ καὶ τοῖς ἐν στόματι ἕλκεσι καὶ νεμομένοις ξηρὰ λεῖα. μίγνυται καὶ μαλάγμασι θερμαντικοῖς, καὶ εἰς τὰ στύματα τῶν μύρων εὐθετεῖ. ἱστορεῖται δὲ καὶ ἕτερον εἶδος κυπείρου ἐν Ἰνδίᾳ γεννώμενον, προσεοικὸς ζιγγιβέρει. ὃ δια-

ὁ διαμασσηθὲν* κροκῶδες καὶ πικρὸν εὑρίσκεται, καταχρισθὲν δὲ, παράχρισμα ψιλοῖ τὰς τρίχας.

Περὶ Καρδαμώμου. Κεφ. ε.

Καρδάμωμον ἄριστον τὸ ἐκ τῆς κομαγηνῆς καὶ ἀρμενίας καὶ βοσπόρου κομιζόμενον. γίνεται δὲ καὶ ἐν ἰνδίᾳ καὶ ἀραβίᾳ. ἐκλέγου δὲ τὸ δύσθραυστον, πλήρες, μεμυκὸς, τὸ γὰρ μὴ τοιοῦτον, ἔξωρόν ἐστι, καὶ τὸ τῇ ὀσμῇ πληκτικὸν, γεύσει δὲ δριμὺ καὶ ὑπόπικρον, δύναμιν δὲ ἔχει θερμαντικήν. ποιεῖ δὲ μεθ' ὕδατος πινόμενον πρὸς ἐπιληπτικοὺς, βήττοντας, ἰσχιαδικοὺς, καὶ παράλυσιν, ῥήγματα, σπάσματα, στρόφους, καὶ ἕλμινθα πλατεῖαν ἐκβάλλει, μετ' οἴνου δὲ πινόμενον, νεφρικοῖς, δυσουροῦσι, σκορπιοπλήκτις, καὶ πᾶσι τοῖς ἰοβόλοις ἁρμόζει, μετὰ δὲ δάφνης ῥίζης φλοιοῦ ποθὲν ὅσον < λίθους θρύπτει, φθείρει καὶ ἔμβρυα ὑποθυμιώμενον, καὶ ψώρας ἐξαίρει σὺν ὄξει καταχριόμενον, μίγνυται δὲ καὶ εἰς τὰς τῶν μύρων στύψεις.

Περὶ Νάρδου. Κεφ. ϛ.

Νάρδου ἐστὶ δύο γένη· ἡ μὲν, γάρ τις καλεῖται ἰνδική· ἡ δὲ συριακή. οὐχ ὅτι ἐν συρίᾳ εὑρίσκεται. ἀλλ' ὅτι τοῦ ὄρους ἐν ᾧ γίνεται, τὸ μὲν πρὸς συρίαν τέτραπται, τὸ δὲ πρὸς ἰνδούς, καὶ τῆς λεγομένης συριακῆς, ἐστὶ βελτίων ἡ πρόσφατος,

καὶ

quod mãducatũ croci vim reddit, guſtu amaro ſentit̃, & illitũ pręſentẽ pſilothri vim exhibet.

Cardamomum. Cap. V.

Cardamomũ optimũ eſt, qđ ex Comagene, Armenia, Boſphoróq; deuehit̃: in India quoque & Arabia ꝓuenit. Eligi debet plenũ, frangenti cõtumax, occluſum, farctúmq; (qđ enim huiuſmodi non eſt, exoletũ iudicatur) & guſtu acre, ſubamarum, & odore caput tentãs. Ex calfactoriã vim habet potúmque ex aqua facit ad comitiales, iſchiadicos, tuſſes, neruorũ reſolutionẽ. Itẽ ad rupta, vulſa, tormina: latas vẽtris tineas excutit. Ex vino autẽ potũ, renibus, difficultati vrinæ, à ſcorpione ictis, neq; non omnibus venenũ vibrãtibus, auxilio eſt. Cũ cortice radicis lauri epota drachma calculos comminuit, partus ſuffitu enecat, ſcabiẽ ex aceto illitum adimit. Et ad vnguentorũ ſpiſſamenta additur.

Nardum. Cap. VI.

Duo nardi genera: vnũ Indicum, alterum Syriacũ appellatur, non ꝙ in Syria proueniat, ſed quòd mõtis in quo oritur, pars vna ad Syrios, pars altera ad Indos flectitur. Ex hoc Syriaci genere pręcipuũ eſt recẽs

&

& leue, largã gerẽs comã, flauũ colore, perquàm odoratum, ac cyperum redolens, breui ſpica, amaro ſapore, linguã ſiccante, quod diu in ſua odoris gratia permaneat. Ex Indicis aũt nardum quoddã Gangitis vocat̃, à fluuio Gange, apud quẽ enaſcitur, montẽ præterfluente: qđ genus ob multã loci, in quo ꝓdit, vliginem, viribus infirmius eſt, atq; proceri⁹ adoleſcit, plures ferens ſpicas ab vnica radice comoſas, vnáq; conuolutas, ac grauiter olẽtes. Montanum autẽ odoratius, ſpica breui ac mutila, odore cypero vicino, cęteras habẽs Syriaci dotes. Eſt & genus quoddã cui Sãpharitico nomen locus indidit, frutice breui, ĩ magnas ſe ſpargẽs ſpicas candidiore interim medio caule, hircorũ virus ſupra modũ redolente: quod improbatur. Madefactũ vẽdi ſolet: qđ vitium ex eo deprehenditur, ꝙ cãdida ſit ſpica, & ſqualida, nullóq; puluere obſita. Adulteratur ſtilbio cum aqua aut palmeo vino, inſpiſſationis ponderiſq; cauſa inſpirato. Intueri autem oportet ſi lutũ radicibus inſideat, & in cerniculo puluerem excutere, eluẽdis manib⁹ vtilem. Vim habẽt excalfactoriam,

καὶ κούφη, πολύκομος, ξανθὴ τὴν χρόαν, εὐώδης ἄγαν, καὶ μετὰ τοῦ κυπερίζειν ἐν τῇ ὀσμῇ, μικρὸν ἔχουσα τὸν στάχυν, πικρὰ τὴν γεῦσιν, καὶ γλώσσης ἀναξηραντική, ἐπιμένουσά τε τῇ εὐωδίᾳ ἐφ' ἱκανόν. τῆς δὲ ἰνδικῆς ἡ μέν τις λέγεται γαγγῖτις, ἀπό τινος ποταμοῦ παραρρέοντος τὸ ὄρος γάγγου καλουμένου, παρ' ᾧ φύεται. ἀσθενεστέρα κατὰ δύναμιν οὖσα διὰ τὸ ἐφ' ὑδατωδῶν τόπων εἶναι, καὶ ἐπιμηκεστέρα, πλείονάς τε ἔχουσα τοὺς στάχυς, ἀπὸ τῆς αὐτῆς ῥίζης καὶ πολυκόμους καὶ περιπεπλεγμένους, βρομώδεις κατὰ τὴν ὀσμήν. ἡ δὲ ὀρεινοτέρα εὐωδεστέρα, κολοβόσταχυς, κυπερίζουσα κατὰ τὴν εὐωδίαν. ἔχουσά τε καὶ ἄλλα ἐν αὐτῇ, ὅσα περ καὶ ἡ συριακὴ λεγομένη. καλεῖται δέ τις καὶ σαμφαριτική, σφόδρα κολοβή, ἀπὸ χωρίου ὠνομασμένη, μεγαλόσταχυς, λευκότερον καυλόν, ἐσθ' ὅτε μέσον ἔχουσα, ὑπερβάλλοντα τῇ ὀσμῇ, ἣν δεῖ ἀπεκλέγεσθαι. παρασκευάζεται δὲ καὶ ἀποβεβρεγμένη, ὅπερ γινώσκεται ἐκ τοῦ λευκὸν εἶναι τὸν στάχυν καὶ αὐχμηρόν, καὶ μὴ ἔχειν τὸν χνοῦν. δολίζουσι δὲ αὐτὴν ἐμφυσῶντες στίμμι μεθ' ὕδατος ἢ οἴνου φοινικίτου, πρὸς τὸ συμπιλοῦσθαι αὐτήν, καὶ βαρυτέραν γίνεσθαι. ἐπὶ δὲ τῆς χρείας ἀφαιρεῖν δεῖ, εἰ προσείη ταῖς ῥίζαις πηλός, καὶ σήθειν χωρίζοντα τὸν κονιορτόν. συγχρηστέοντα εἰς χειρόνιπτρον. δύναμιν δὲ ἔχουσι θερμαντικήν.

κὴν, ξηραντικὴν, ἐρηπτικὴν, ὅθεν κοιλίαν τε ἱςᾶσι πινόμεναι, καὶ τὰς ἐκ μήτρας ῥύσεις προστιθέμεναι, καὶ ἰχῶρας ςέλλουσι. βοηθοῦσι δὲ καὶ ναυτίαις, σὺν ψυχρῷ ὕδατι πινόμεναι καὶ καρδιωγμοῖς, καὶ ἐμπνευματουμένοις, ἡπατικοῖς τε καὶ ἰκτερικοῖς καὶ νεφριτικοῖς, ἀναφεψηθεῖσαι δὲ ὕδατι, καὶ πυριαθεῖσαι, εἰς ἐγκάθισμα φλεγμονὰς μήτρας ἰῶνται. ποιοῦσι καὶ πρὸς τὰς ἐν ὀφθαλμοῖς μυδήσεις τῶν βλεφάρων, στύφουσι καὶ δασύνουσι τὰς βλεφαρίδας, καθύγροις τε σώμασι διάπασμα. μίγνυνται δὲ καὶ ἀντιδότοις. ἀποτίθενται δὲ εἰς τὰ ὀφθαλμικὰ, ἐν ἀγγείῳ καινῷ ἀκονίτῳ, λεοτριβηθεῖσαι σὺν οἴνῳ καὶ ἀναπλασθεῖσαι.

Περὶ Κελτικῆς Νάρδου. Κεφ. ζ.

Ἡ δὲ κελτικὴ νάρδος, γίνεται μὲν ἐν τοῖς κατὰ λιγυρίαν ἄλπεσιν ἐπιχωρίως ὀνομαζομένη* ἀλιούγγια. γίνεται δὲ ἐν τῇ ἰςρίᾳ. ἔςι δὲ θαμνίσκος μικρὸς σὺν ταῖς ῥίζαις, εἰς δέσμας ἀναλαμβανόμενος χειροπληθεῖς. ἔχει δὲ φύλλα ὑπομήκη, ὑπόξανθα, ἄνθος μήλινον, μόνων δὲ τῶν καυλῶν ἐστὶ καὶ τῶν ῥιζῶν ἡ χρῆσις καὶ ἡ εὐωδία. ὅθεν δεῖ πρὸ μιᾶς ἡμέρας καταῤῥάναντας ὕδατι τὰς δέσμας, καὶ χωρίζοντας τὸ γεῶδες, τιθέναι ἐπ' ἐδάφους νοτεροῦ, περιϋποκειμένου χάρτου, τῇ δὲ ὑστεραίᾳ καθαίρειν, οὐ γὰρ συναποκαθαίρεται τῷ ἀχυρώδει καὶ ἀλλοτρίῳ

riam, & exiccanté. Vrinam mouent, aluum potu ſiſtunt, vuluę profluuia, ſaniémque appoſita ſupprimũt. Nauſeæ ex aqua frigida auxiliantur, & ſtomachi roſionibus, inflationi, iocineri, regio morbo, renum vitijs. Aquæ auté incoctæ fotu ad inſeſſum, vuluæ inflãmationibus medentur: ad glabras oculorũ genas valent: ſiquidem eas ad denſioré pilum reducunt, perfuſis humore corporibꝰ inſparguntur. Miſcentur antidotis, & in fictili nouo non picato ad ocularia medicamenta recõduntur, trita in farinam, & cũ vino in paſtillos coacta.

Nardũ Celticũ. Cap. VII.

Celticum nardum naſcitur in Liguriæ Alpibus, ſaliunca patrio nomine appellatum, prouenítque in Iſtria. Exiguè fruticat, & cum radicibus in manúales faſciculos componitur. Folia habet oblonga, colore in flauum languido, florem luteum. Cauliculorum & radicum duntaxat vſus eſt, & odoris ſuauitas: vnde pridie faſciculos aqua abluere expedit, & exempta terra pauito ſolo atq; humẽti ſubiecta charta reponere, poſtridie repurgare, ſiquidẽ vtile, cũ aceroſo alienóq;

alienóq; propter humoris vim, non excutitur. Adulteratur impoſita herba ſimili, quæ hirculus vocatur, ab odoris grauitate: ſed facilis cognitio. nanque herba candidior eſt, ſine cauliculo, minoribus folijs, radice neque amara, neque odorata, vti verum nardum eſt. Itaque radices atque cauliculi, abiectis folijs triti ſecernũtur, vino excipiuntur, digeruntúrque in paſtillos, & ita fictili nouo diligenter operto, aſſeruari debét. Laudatur maximè recens, iucũdi odoris, radice numeroſa cohærés, plenũ, nec fragile. Ad eadem, quæ Syriacũ pollet: ſed vehementius vrinam cit, & ſtomacho vtilius eſt. Inflammationibus iocineris, & felle ſuffuſis auxiliatur. Contra ſtomachi inflationes, cum abſinthij decocto bibitur: item aduerſus lienem, renum & veſicæ vitia & venenatos ictus, ex vino. Additur in malagmata, potiones, & calfacientia vnguenta.

Mõtanũ nardũ. Cap. VIII.

Montanum nardum, quod ab aliquibus thylacitis, & niris appellatur, in Cilicia, & Syria naſcitur, ſurculo & folijs eringio ſimilibus, minoribus, mi-

nimè

ἀλλοτρίῳ τὸ εὔχρηστον, διὰ τὴν ἐκ τῆς ἰκμάδος εὐτονίαν. δολίζεται δὲ συναποτιλλομένης αὐτῇ, πόας ἐμφεροῦς, ἣν διὰ τὸ περὶ τὴν ὀσμὴν βρομῶδες, τράγον καλοῦσιν. εὐχερὴς δὲ ἡ ἐπίγνωσις, ἄκαυλος γάρ ἐστιν ἡ πόα καὶ λευκοτέρα, καὶ ἧττον ἐπιμήκη τὰ φύλλα ἔχει, οὐ δὲ τὴν ῥίζαν πικρὰν ἢ ἀρωματίζουσαν ὥσπερ ἐπὶ τῆς ἀληθινῆς ἔχει. ἀποκρίνας οὖν τὰ καυλία καὶ τὰς ῥίζας, τὰ δὲ φύλλα ῥίψας, εἰ βούλει δ᾽ ἀποτίθεσθαι, ἀναλαμβάνων λεῖα οἴνῳ, καὶ τροχίσκους ἀναπλάσας φύλαττε ἐν ὀστρακίνῳ ἀγγείῳ καινῷ, πωμάζων ἐπιμελῶς. ἀρίστη δέ ἐστιν ἡ πρόσφατος καὶ εὐώδης, πολύρριζος, οὐκ εὔθρυπτος, πλήρης. δύναται δὲ ὅσα καὶ ἡ συριακή. διουρητικωτέρα τε καὶ εὐστομαχωτέρα. ὠφελεῖ δὲ καὶ τὰς περὶ τὸ ἧπαρ φλεγμονάς, καὶ ἰκτερικούς. καὶ πνευματώσεις στομάχου, μετ᾽ ἀφεψήματος ἀψινθίου πινομένη. ὁμοίως καὶ σπλῆνα, καὶ τὰ περὶ τὴν κύστιν καὶ νεφρούς. καὶ πρὸς τὰ ἰοβόλων δήγματα σὺν οἴνῳ. καὶ εἰς τὰ μαλάγματα μίγνυται καὶ ποτίσματα, καὶ χρίσματα θερμαντικά.

Περὶ Ὀρεινῆς Νάρδου. Κεφ. η.

Ἡ δὲ ὀρεινὴ νάρδος, καλουμένη δὲ ὑπό τινων καὶ θυλακῖτις καὶ νῆρις, γεννᾶται ἐν κιλικίᾳ καὶ συρίᾳ. φύλλα καὶ καυλοὺς ὅμοια ἠρυγγίῳ ἔχουσα, μικρότερα μὲν,

οὐ μὴν

οὐ μὴν τραχέα καὶ ἀκανθώδη. ῥίζαι δὲ ὕπεισι μέλαιναι εὐώδεις δύο, ἢ καὶ πλείους, ὥσπερ ἀσφοδέλου, ἰσχνότεραι καὶ μικρότεραι πολλῷ. οὔτε δὲ καυλὸν, οὔτε καρπὸν, οὔτε ἄνθος φέρει. ποιεῖ δὲ ἡ ῥίζα πρὸς ὅσα καὶ ἡ κελτικὴ νάρδος.

Περὶ Ἀσάρου. Κεφ. θʹ.

Ἄσαρον, οἱ δὲ, νάρδον ἀγρίαν καλοῦσι πόα εὐώδης στεφανωματική. φύλλα ἔχει κισσῷ ὅμοια, μικρότερα δὲ πολλῷ καὶ στρογγυλώτερα. ἄνθη μεταξὺ τῶν φύλλων πρὸς τῇ ῥίζῃ, πορφυρᾶ, εὐώδη, ὑοσκυάμου κυτίνῳ ἐμφερῆ, ἐφ᾽ οἷς τὸ σπέρμα ἐοικὸς γιγάρτῳ.*ῥίζαι ὕπεισι πολλαί, γονατώδεις, λεπταί, πλάγιαι ὅμοιαι ἀγρώστει. ἰσχνότεραι μέν τοι πολλῷ καὶ εὐώδεις θερμαίνουσαι καὶ δάκνουσαι λίαν τὴν γλῶσσαν. δύναμις δὲ αὐτῶν διουρητικὴ θερμαντική, ἁρμόζουσαι ὑδρωπικοῖς, ἰσχιαδικοῖς χρονίοις, ἄγουσι δὲ καὶ ἔμμηνα μετὰ μελικράτου ποθεῖσαι αἱ ῥίζαι πλῆθος < ϛʹ. καθαίρουσιν ὡς ἐλλέβορος λευκός. μίγνυται δὲ καὶ μύροις, φύεται ἐν ὑποσκίοις ὄρεσι, πλεῖστα δὲ ἐν πόντῳ καὶ φρυγίᾳ καὶ ἰλλυρίδι, καὶ * ἰουστίνῃ τῆς ἰταλίας.

Περὶ Φοῦ. Κεφ. ιʹ.

Φοῦ, οἱ δὲ, καὶ τοῦτο ἀγρίαν νάρδον

nimè tamen ſpinoſis, aſperíſq;. Radicibꝰ binis nititur, aut pluribꝰ, nigris, odoratis, ceu baſtulæ regię, ſed longè graciliorибꝰ, & lógè minoribus. Neq; caulem, neque fructum, neq; florẽ profert. Ad eadem ad quę Celticum efficax.

Aſarum. Cap. IX.

Aſarum, quod & ipſum aliqui ſylueſtre nardum appellãt, hederæ folijs minoribus multò, rotundioribúſque, floribus cytino hyoſcyami ſimilibus, purpureis, inter folia proxime radicem emicantibus, odoratis, in quibus ſemen acinoſum. gradices numeroſas, geniculatas, tenues, obliquas, gramini non diſsimiles, longè tamen graciliores, odoratas, excalfaciétes, & quæ linguam vehementer mordent. Excalfactoriam vim habet: vrinã cit, hydropicis & vetuſto coxendicum dolori prodeſt. Radices ſenis drachmis ex aqua mulſa potę, menſes trahunt, & veratri albi modo purgant. In vnguenta additur. Vmbroſis mõtibus ꝓuenit, ſed plurimum in Põto, Phrygia, Illyrico, & Italiæ Iuſtinienſi agro.

Phu. Cap. X.

Phu, quod & aliqui ſylueſtre nardum

nardum appellant, naſcitur in Ponto, folio oluſatri, aut elaphoboſci, caule cubitali, aut altiore, lęui, cauo, molli, in purpuram vergente, geniculis intercepto, floribus narciſſo proximis, maioribus, tenerioribus, & ex albicante purpureis: radice ſuperius ad digiti minoris craſſitudinem, ex obliquo villoſa in nigri veratri aut iunci odorati modum: capillamẽtis inuicem cõtextis, flaueſcentibus, odoratis, cum quadam odoris grauitate nardum æmulantibus. Excalfacit, vrinã mouet, ſi ſicca potui detur. Decoctum eadem præſtare poteſt. ad lateris etiam dolorem efficax, menſes cit, antidotis inſeritur. Adulteratur radice ruſci ammiſta: ſed maleficium deprehenditur: quoniam hæc dura eſt, & frangenti contumax, ſine vlla odoris gratia.

Malabathrum. Cap. XI.

Malabathrum arbitrãtur aliqui eſſe Indici nardi folium, falſi quadam odoris cognatione: permulta enim nardum olent, quemadmodum phu, aſarum, niris. ſecus autem res ſe habet. Nanque malabathrum foliũ ſui generis eſt, quod Indicæ gignunt paludes, lentis paluſtris

νάρδον καλοῦσι, γίνεται μὲν ἐν Πόντῳ, φύλλα δὲ ἐλαφοβόσκῳ ἢ ἱπποσελίνῳ παραπλήσια ἔχει, καυλὸν πηχυαῖον, ἢ μείζω, λεῖον, τρυφερὸν ἐμπόρφυρον, μεσόκοιλον, διειλημμένον γόνασιν, ἄνθη πρὸς τὰ τοῦ ναρκίσσου, μείζω δὲ καὶ τρυφερώτερα, καὶ ἐν τῷ ὑπολεύκῳ διαπόρφυρα· ῥίζα δὲ ἡ μὲν ἀνωτέρω, περὶ δακτύλου μικροῦ τὸ πάχος, πλάγια δὲ ἐπιρρίζια ἔχει καθάπερ σχῖνος ἢ μέλας ἐλλέβορος, ἀλλήλοις ἐμπεπλεγμένα, ὑπόξανθα, εὐώδη, ναρδίζοντα τῇ ὀσμῇ, μετά τινος βάρους βρωμώδους. δύναται δὲ θερμαίνειν, οὖρα κινεῖν ξηρὰ ποτιζομένη, καὶ τὸ ἀπόζεμα δὲ αὐτῆς, τὸ αὐτὸ δύναται ποιεῖν, καὶ πρὸς πλευρᾶς πόνον, ἔμμηνά τε ἄγει καὶ ἀντιδότοις μίγνυται. δολοῦται δὲ ὀξυμυρσίνης ῥίζαις παραμιγνυμένη· εὐχερὴς δὲ ἡ ἐπίγνωσις αὐτῆς ἐστι· σκληραὶ γάρ εἰσιν αὗται καὶ δύσθραυστοι δίχα εὐωδίας.

Περὶ Μαλαβάθρου. Κεφ. ιά.

Μαλάβαθρον ἔνιοι ὑπολαμβάνουσιν εἶναι τῆς ἰνδικῆς νάρδου φύλλον πλανώμενοι ἀπὸ τῆς κατὰ τὴν ὀσμὴν ἐμφερείας πολλὰ γάρ ἐστιν ὅμοια τῇ ὀσμῇ νάρδῳ, ὡς τὸ φοῦ, ἄσαρον, νῆρεις. οὐκ ἔχει δὲ οὕτως. ἴδιον γάρ ἐστι γένος φυόμενον ἐν τοῖς ἰνδικοῖς τέλμασι, φύλλον ὂν ἐπινηχό-

νηχόμενον τῷ ὕδατι, καθάπερ ἡ ἐπὶ τῶν τελμάτων φακῆ. ῥίζαν οὐκ ἔχον, ὅπερ συλλέγοντες, εὐθέως διαπείρουσι λίνῳ, καὶ ξηράναντες ἀποτίθενται. φασὶ δὲ καὶ τῆς θερείας ἀναξηρανθέντος τοῦ ὕδατος, καίεσθαι φρυγάνοις τὴν γῆν, μὴ γενομένου γὰρ τούτου μηκέτι φύεσθαι. ἔστι δὲ καλὸν τὸ πρόσφατον καὶ ὑπόλευκον, ἐν τῷ μελανίζειν ἀθραυστόν τε καὶ ὁλόκληρον, πληκτικὸν τῇ ὀσμῇ, καὶ ἐπιδιαμένον τῇ εὐωδίᾳ, ναρδίζον δὲ τῇ γεύσει μὴ ἁλμυρίζον. τὸ δὲ ἀδρανὲς καὶ τὸ λεπτοκοπούμενον, εὐρωτιῶσαν ἔχον τὴν ἀποφορὰν, φαῦλον, δύναμιν δὲ ἔχει τὴν αὐτὴν τῇ νάρδῳ. ἐνεργέστερον δὲ ἐκείνη πάντα ποιεῖ. διουρητικωτέρα μέντοι καὶ εὐστομαχωτέρα ἐστὶν, ἡ τοῦ μαλαβάθρου δύναμις, καὶ πρὸς τὰς ὀφθαλμικὰς φλεγμονὰς ἁρμόζει ἀναζεσθὲν ἐν οἴνῳ καὶ λεῖον ἐπιχριόμενον· ὑποτίθεται δὲ καὶ γλώσσῃ πρὸς εὐωδίαν στόματος, καὶ σὺν ἱματίοις τίθεται· ἄβρωτα γὰρ καὶ εὐώδη ταῦτα τηρεῖ.

Περὶ Κασσίας. Κεφ. ιβ΄.

Κασσίας δέ ἐστι πλείονα εἴδη, περὶ τὴν ἀρωματοφόρον ἀραβίαν γεννώμενα. ἔχει δὲ ῥάβδον παχύφλοιον, φύλλα δὲ ὡς πεπέρεως. ἐκλέγου δὲ τὴν ἔγκιρρον, εὐανθῆ, κοραλλίζουσαν, στενὴν λίαν, μακρὰν καὶ παχεῖαν, τοῖς συριγγίοις πλήρη,

δηκτικὴν

luſtris modo innatans aquis, ſine radice. Id collectum ſtatim lino tranſſuitur, & ſiccatum reconditur. Tradunt ſiccatis æſtiuo feruore aquis, humum aridis fruticib⁹ vri: quod vbi non euenerit, ne amplius quidem renaſci. Laudatur recens, ex candido nigricans, integrum, nec fragile, odore caput feriens, quod diu in ſua vi odore permaneat, & nardum ſapore imitetur, nullo ſalis guſtu. Infirmum verò & minutim contuſum, præſertim ſi carioſum virus olet, vitioſum eſt. Eaſdẽ nardo ſortitur vires; ſed efficacius omnia præſtat. Vrinam vehementius ciet, ac ſtomacho magis ꝓdeſt malabathri vis, Lippitudinibus, inflãmationibúſq; tritũ & in vino ferueſactum cõmodè illinitur: ſubditũ linguæ, oris halitũ & ſuauitatem cõmẽdat. Veſtium quoque odorem interpoſitum ſeruat, & ab eroſione tuetur.

Caſsia. Cap. XII.

Caſsia, cuius complura ſunt genera, iuxta odoriferam Arabiam gignitur, craſsi corticis ſarmento, folijs piperis. Eligẽda eſt fulueſcẽs, pulchri coloris, coralli æmula, perquã anguſta, longa, craſſa, & fiſtuloſa,

guſtu mordens, & cũ aliquanto feruore aſtringens, aromatica, vinoſo odore, cuiuſmodi eſt, quæ ab incolis, achy appellatur, ab Alexandriæ negociatoribus, daphnitis. Huic pręfert craſſa, purpurea & nigricans, Zigir cognomine, quæ roſam odore imitatur, p̃cipui in medicina vſus. Secundum locum tenet antedicta. Tertia, cui Muſeletico blaſto, id eſt germini, cognomen eſt. Reliquæ viles, & quæ aphemum dicitur, nigra, inſuauis, cortice tenui, ac rimoſo: & quæ darca, & citto vocitatur barbaro nomine. Similior huic eſt pſeudocaſia, quàm vt explicari poſsit, quæ guſtu coarguitur, cùm nec acris, nec odorata ſit, hærentéq; medullæ corticẽ habeat. Inuenitur etiam lata quædam fiſtula, mollis, leuis, ſurculoſa, q̃ antedictæ præfertur. Damnatur candicans, ſcabra, hircinum virus redolens, & quæ tenui fiſtula, & ſcabra cute ſit. Vim obtinet calfaciẽdi, vrinam ciendi, ſiccandi, & leniter aſtringendi. Cõuenit ad medicamẽta oculorum, quæ præſtandæ claritatis gratia cõcinnãtur, & ad malagmata. Lẽtigines tollit cum melle illita, menſes trahit,

cõtra

δηκτικὴν ἐν τῇ γεύσει, καὶ στύφουσαν μετὰ πολλῆς πυρώσεως, ἀρωματίζουσαν, οἰνίζουσαν τῇ ὀσμῇ, ἣ δὲ τοιαύτη ὑπὸ τῶν ἐπιχωρείων ἄχυ καλεῖται, δαφνῖτις δὲ προσαγορεύεται ὑπὸ τῶν ἐν ἀλεξανδρείᾳ ἐμπόρων. προὔχει δὲ ταύτης ἐστὶν ἡ μέλαινα καὶ ἐμπόρφυρος παχεῖα, ζίγιρ καλουμένη, ῥοδίζουσα τῇ ὀσμῇ μάλιστα πρὸς τὴν ἰατρικὴν χρῆσιν εὔθετος. δευτερεύει δ' ἡ προειρημένη. τρίτη δέ ἐστιν ἡ καλουμένη* βλάκτος μοσυλῖτις. αἱ δὲ λοιπαὶ εὐτελεῖς, ὡς ἡ καλουμένη ἀσυφήμων, μέλαινα καὶ ἀηδὴς καὶ λεπτόφλοιος, ἢ καὶ φλοιορράγης· ὡς καὶ ἡ κιττὼ καὶ* δάκαρ καλουμένη. Ἔστι δέ τις καὶ ψευδοκασσία ἀφάτως ἐμφερής, ἥτις ἐλέγχεται τῇ γεύσει, οὐκ οὖσα δριμεῖα, οὐ δὲ ἀρωματώδης, προσεχόμενόν τε τὸν φλοιὸν ἔχει τῇ ἐντεριώνῃ. εὑρίσκεται δὲ καὶ πλατεῖα σύριγξ, ἁπαλή, κούφη, εὐεργής, διαφέρουσα δὲ τῆς ἄλλης. ἀποδοκίμαζε δὲ τὴν ὑπόλευκον καὶ ψωρώδη, τραγίζουσαν ἐν τῇ ὀσμῇ, καὶ τὴν μὴ ἔχουσαν δὲ τὴν σύριγγα παχεῖαν, ψωρώδη δὲ καὶ λεπτήν. δύναμιν δὲ ἔχει θερμαντικὴν καὶ οὐρητικήν, ξηραντικήν, στύφουσαν πραέως. ἁρμόζει δὲ εἰς τὰ πρὸς ὀξυδορκίαν ὀφθαλμικὰ καὶ μαλάγματα· φακοὺς τε αἴρει μετὰ μέλιτος καταχριομένη, καὶ ἔμμηνα ἄγει,

καὶ

καὶ ἐχιοδήκτοις βοηθεῖ πινομένη, καὶ πρὸς τὰς ἐντὸς φλεγμονὰς πάσας ποθεῖσα καὶ πρὸς νεφρούς. εἰς ἐγκαθίσματά τε καὶ ὑποθυμιάματα γυναιξὶ, πρὸς ἀνευρυσμὸν μήτρας. διπλάσιον δὲ αὐτῆς μιγνύμενον τοῖς φαρμάκοις, εἰ μὴ παρείη κιννάμωμον, τὸ αὐτὸ δρᾷ, ἄγαν δέ ἐστι πολύχρηστος.

Περὶ Κινναμώμου. Κεφ. ιγ΄.

Κινναμώμου ἐστὶ πλείονα εἴδη, ὀνομαζόμενα ἐπιχωρείως. διαφέρει δὲ τὸ μόσυλον, διὰ τὸ σώζειν ποσῶς ἐμφέρειαν, πρὸς τὴν μοσυλίτιν καλουμένην κασσίαν. καὶ τούτου πρὸς τὸ πρόσφατον, τῇ χρόᾳ μέλαν, τεφρίζον ἐν τῷ οἰνώδει, λεπτὸν δὲ τοῖς ῥαβδίοις καὶ λεῖον, ὄζοις συνεχέσι κεχρημένον, σφόδρα εὐῶδες. σχεδὸν γὰρ ἡ τοῦ ἀρίστου κρίσις ἐστὶ περὶ τὴν ἐν τῇ εὐωδίᾳ ἰδιότητα. εὑρίσκεται γὰρ μετὰ τοῦ ἀρίστου καὶ ἰδιάζοντος ἡ ὀσμὴ πηγανίζουσα ἢ καρδαμώμῳ ἐμφορής. ἔτι καὶ δριμὺ καὶ δηκτικὸν τῇ γεύσει, καὶ ὑφαλμυρίζον μετὰ θερμασίας, ἔντε τῇ παρατρίψει μὴ ταχέως δασυνόμενον, καὶ ἐν τῷ θραύεσθαι χνοῶδες καὶ λεῖον ἔχον τὸ μεταξὺ τῶν ὄζων. δοκίμαζε δὲ ἀπὸ μιᾶς ῥίζης λαμβάνων τὸν θαλλόν. εὐχερὴς γὰρ ἡ τοιαύτη δοκιμασία. τὰ γὰρ θραύσματα, μίγματα τυγχάνει,

καὶ

cōtra viperarū ictus pota auxiliat, aduerſus ĩteſtinas inflāmationes omneis & renum vitia, pota proficit. Fœminis in ſolio deſidētibꝰ, aut ſuffimētis, ꝓdeſt ad dilatationē vuluæ. Ea duplo pondere medicamentis mixta cinnamomi vicē ſupplet, ſi ipſum deſit: nā eoſdē effectꝰ prębet, ad plurima perquā vtilis.

Cinnamomū. Cap. XIII.

Cinnamomi genera plura, patrium ſibi nomen vendicātia. Præfertur tamen moſyliticum, quòd caſsiæ, cui Moſyliti nomen eſt, aliquam referat effigiē. Sed in eo genere recens, nigrum, ex vinoſo in cinerium vergens, læue, tenuibus ramulis, ac frequentibus nobis cinctum, perquàm iucundè olēs. Optimi ferè indicium, iucundi odoris proprietate cōſtat. Inuenitur enim cū optimo, eoq; quod peculiare eſt, odor rutæ aut cardamomo ꝓximꝰ. Inſup acre, mordēs, & cū calfactiōe quadantenus ſalſum, quod nō citò confricanti aſperum, aut frianti lanuginoſum, leuibꝰ tamen internodijs appareat. Si certior fieri voles, vellito ab radice ſurculū. facilis eſt huiuſce modi probatio: nāq; fragmēta miſcellanea q̄dā eſſe videtur.

Quæ autē melius ſpirāt, ſuo halitu cū nares primū cōſulūtur, olfactū explentia, deterioris dignotionē impediūt. Eſt etiam montanū, craſſum, pumilū, fulueſcens admodū. Tertiū à Moſylitico, perquā ſuauiter olet, nigrū, fruticoſum, paucis intercedētibus geniculis. Quartum, fungoſum, cādicās, aſpectu tuberoſum, vile, ac friabile, magnā habēs radicē, quæ caſsiam planè repræſentat. Quintū genus, odore nares feriens, ſubruſum, & cortice fuluæ caſsiæ ſimile, tangēti firmū, minus neruoſum, denſa radice firmatum. Iis quæ thuris, caſsiæ, myrti, aut amomi odorem ſpirant, minus ſuauitatis ineſt. Deligito ſcabrum, albū, rugoſum: at læue, & lignoſum circa radicem, vt inutile reijcito. Eſt etiamnum ſimile aliud, cui pſeudocinnamomo cognomē eſt, vile, inualidi odoris, ſolutarūq; viriū. Vocatur etiam Zingiber, cū tamē ſit xylocinnamomum, præbēs quandam cinnamomi faciem. Eſt aūt lignoſum cinnamomū, ſarmēta lōga robuſtaq; ferens, odore lōgè cinnamomo inferiore. Sūt qui xylocīnamomū, à cinnamomo genere differre dicāt, ꝙ à natura ei⁹ abhorreat.

Cinna-

καὶ κατὰ τὴν πρώτην δοκιμασίαν τὰ κρείττονα περιπνέοντα καὶ πληροῦντα τὴν ὄσφρησιν, ἐμποδίζει τὴν τοῦ ἥττονος ἐπίκρισιν. ἔστι δὲ καὶ ὀρεινόν, παχύ, κολοβόν, σφόδρα ὑπόκιρρον τὴν χρόαν. καὶ τρίτον παρὰ τὸ μόσυλον, μέλαν καὶ λίαν εὐῶδες, εὐρυῶδες δὲ καὶ οὐ πολυγόνατον. τέταρτον, λευκόν, χαῦνον, ὀγκῶδες, εὐειδὲς καὶ εὐτελές, εὔθραυστόν τε καὶ μεγάλην ἔχον *ῥίζαν κασσίζουσαν. πέμπτον τῇ ὀσμῇ πληκτικόν, ὑπόκιρρον δὲ καὶ περιστεμφύλες κασσίᾳ πυρρᾷ, περὶ τὴν ἁφὴν δέ, στερεόν, οὐ πάνυ ἰνῶδες, παχύρριζον. τούτων δὲ τὸ πνέον λιβανωτοῦ ἢ μυρσίνης ἢ κασσίας ἢ ἀμώμου εὐωδίας ἧττόν ἐστιν. ἀπολέγου δὲ τὸ λευκὸν καὶ τὸ ψωρῶδες, καὶ τὸ ῥυσσόκαρφον· καὶ λεῖον, καὶ τὸ ξυλῶδες δὲ κατὰ τὴν ῥίζαν ὡς ἀχρεῖον παραιτοῦ. Ἐστι δέ τι καὶ ἄλλο ὅμοιον τὸ καλούμενον ψευδοκιννάμωμον εὐτελὲς οὐκ εὔτονον τῇ ὀσμῇ, ἐκλελυμένον δὲ καὶ τῇ δυνάμει. καλεῖται δὲ καὶ ζιγγίβερ ξυλοκιννάμωμον ὄν. ἔχον δέ τινα ἐμφέρειαν κινναμώμῳ. ἔστι δὲ ξυλῶδες κιννάμωμον, ἔχον ῥάβδους μακρὰς καὶ ῥωμαλέας καὶ τὴν εὐωδίαν πολὺ καταδεεστέρας. λέγεται δὲ ὑπ᾽ ἐνίων καὶ κατὰ γένος διαφέρειν τοῦ κινναμώμου τὸ ξυλοκιννάμωμον ἑτέρας ὂν φύσεως.

δύναμιν

δύναμιν δὲ ἔχει πᾶν κιννάμωμον θερμαντικὴν, οὐρητικὴν, μαλακτικὴν, πεπτικήν. ἄγει δὲ καὶ ἔμμηνα καὶ ἔμβρυα πινόμενον καὶ προστιθέμενον μετὰ σμύρνης, καὶ ἰοβόλοις θηρίοις καὶ θανασίμοις ἁρμόζει· καὶ τὰ ταῖς κόρας ἐπισκοτοῦντα ἀποκαθαίρει, θερμαίνει τε καὶ λεπτύνει, καὶ ἔστι διουρητικὸν, φακούς τε καὶ ἐφήλεις ἀποκαθαίρει μετὰ μέλιτος ἐπιχρισθὲν· ποιεῖ δὲ καὶ πρὸς βῆχας· καὶ καταῤῥοῦς, ὕδρωπας, νεφρίτιδας, δυσουρίας, μίγνυται δὲ καὶ τοῖς πολυτελέσι μύροις· καὶ καθόλου ἐστὶ πολύχρηστον. ἀποτίθεται δὲ εἰς διαμονὴν λεῖον οἴνῳ ἀναλαμβανόμενον, καὶ ξηραινόμενον ἐν σκιᾷ.

Περὶ Ἀμώμου. Κεφ. ιδʹ.

Ἀμωμόν ἐστι θαμνίσκος οἱονεὶ βότρυς, ἐκ ξύλου ἀντεμπεπλεγμένος ἑαυτῷ. ἔχει δέ τι καὶ ἄνθος μικρὸν, ὡς λευκοΐου, φύλλα δὲ βρυωνίᾳ ὅμοια. κάλλιστον δέ ἐστι τὸ ἀρμένιον, χρυσίζον τῇ χρόᾳ, ἔχον τὲ τὸ ξύλον ὑπόκιῤῥον, εὐῶδες ἱκανῶς. τὸ δὲ μηδικὸν διὰ τὸ ἐν πεδίοις καὶ ἐν ἐφύδροις τόποις φύεσθαι, ἀδυνατώτερον. ἔστι δὲ μέγα καὶ ὑπόχλωρον, καὶ πρὸς τὴν ἁφὴν ἁπαλὸν, καὶ ἰνῶδες τοῖς ξύλοις,* πηγανίζον τῇ ὀσμῇ. τὸ δὲ ποντικὸν ὑπόκιῤῥον, οὐ μακρὸν, οὐ δὲ δύσθραυστον, βοτρυῶδες, πλῆρες καρποῦ, καὶ τῇ ὀσμῇ πληκτικόν.

ἐκ

Cinnamomum omne excalfacit,emollit,& concoquit,vrinā ciet,tā méſes,quàm partus potum aut ex myrrha impoſitum pellit,contra beſtias,quæ virus eiaculātur, venenáq; cōuenit: caliginé pupillis oculorū obuerſantem diſcutit, craſsitiem extenuat,lentigines,& vitia cutis in facie ex melle illitū detergit:cōtra tuſſes,defluxiones,aquam ſubter cuté fuſam, renū vitia,& vrinæ difficultaté efficax eſt,vnguentis precioſis inſeri ſolet: & in ſumma, magni ad omnia vſus. Tritū vino excipitur,vmbraq; ſiccatum,quò diutius eduret,reconditur.

Amomum. Cap. XIIII.

Amomum exiguè fruticat, ex ligno ſe conuolués in racemi modum, flore, ceu candidæ violæ, paruo: folijs vitis albæ ſimilibus. Laudatur quàmmaximè Armeniacū fuluo auri colore, ligno ſubrufo, valde odorato. Medicum, quoniam in campeſtribus, & aquoſis enaſcitur, infirmius eſſe conſtat. Eſt autem magnum, ſubuiride, tactu tenerum, frutice venoſo, odore origani. Pōticum verò ſubrufum, paruum,fragile,racemoſū fructu turgens, & odore nares feriés

Deligito recens, candidum vel ſubrubrum, quod nec aſtrictum cohæreat, nec conuoluatur, ſed ſolutum diffundatur, ſeminis plenum, vuis paruis ſimile, graue, valde odoratum, modo cariem non contraxerit, acre, guſtu mordens, ſimplici colore non euariante. Vim habet calfaciendi, aſtringendi, exiccādi. Somnum allicit, & illitum fronti, doloris ſenſum aufert, inflammationes, & meliceridas concoquit, diſcutitque: iuuat quos ſcorpius percuſsit, ex ocimo illitum, & podagricis confert, inflammationes oculorum, viſcerúmque lenit ex vua paſſa, ad vuluarū vitia, in peſsis, aut inſeſsionibus vtile eſt. Decoctum iocineri, renibus, podagræ, potu conuenit. Antidotis immiſcetur, & precioſiſſimis vnguentis. Adulteratur amomum herba ſimili, quæ amomis vocatur, ſed ſine odore, ſine fructu. Naſcitur in Armenia, flore origani. Quare in huiuſcemodi probationibꝰ fragméta fugienda ſunt: eligenda autem, quæ ab vna radice integros ſurculos emittunt.

ἐκλέξει δὲ τὸ πρόσφατον καὶ λευκὸν ἢ ὑπέρυθρον, οὐ πεπιλημένον ἢ συμπεπλεγμένον, κεχυμένον δὲ καὶ διακεχυμένον, σπέρματος πλῆρες, ὅμοιον βότρυσι, *βαρὺ, σφόδρα εὐῶδες, δίχα εὐρῶτος, καὶ δριμὺ, δάκνον τὴν γεῦσιν, ἁπλοῦν τὴν χρόαν καὶ οὐ ποικίλον. δύναμιν δὲ ἔχει θερμαντικὴν, στυπτικὴν, ξηραντικὴν, ὑπνοποιὸν, ἀνώδυνον τῷ μετώπῳ καταπλασσόμενον, φλεγμονάς τε καὶ μελικηρίδας πεπαίνει καὶ διαφορεῖ. σκορπιοπλήκτοις τε μετ' ὠκίμου καταπλασθὲν ὠφελεῖ, ποδαγρικοῖς συμβάλλεται καὶ ὠφελεῖ, καὶ παρηγορεῖ, καὶ ὀφθαλμῶν φλεγμονὰς καὶ τὰς ἐν σπλάγχνοις σὺν σταφίδι, πρὸς δὲ τὰ γυναικεῖα καὶ ἐν προσθέτοις καὶ ἐν ἐγκαθίσμασι χρήσιμον, ποθὲν δὲ τὸ ἀφέψημα αὐτοῦ ἁρμόζει ἡπατικοῖς, νεφριτικοῖς, ποδαγρικοῖς. μίγνυται δὲ καὶ ἀντιδότοις, καὶ τοῖς πολυτελεστάτοις τῶν μύρων. δολίζουσι δέ τινες τὸ ἄμωμον τῇ λεγομένῃ ἀμωμίδι, ἐμφερεῖ οὔσῃ ἀμώμῳ, ἀνόσμῳ μέν τοι καὶ ἀκάρπῳ, γινομένῃ δὲ ἐν ἀρμενίᾳ, ἄνθος ἐχούσῃ ἐμφερὲς ὀριγάνῳ. δεῖ δὲ ἐν ταῖς τῶν τοιούτων δοκιμασίαις τὰ θραύσματα ἐκφεύγειν. ἐκλέγειν δὲ τὰ ἀπὸ μιᾶς ῥίζης ἔχοντα *κλάδους τελείους.

Coſtus. Cap. XV.

Pręcellit Arabicus, cādidus, leuis,

Περὶ Κόστου. Κεφ. ιέ.

Κόστου διαφέρει ὁ ἀραβικὸς, λευκὸς, ὢν

ῶν καὶ κοῦφος, πλείστην ἔχων καὶ ἡδεῖαν τὴν ὀσμήν. δευτερεύει δὲ ὁ ἰνδικὸς ἁδρὸς ὢν καὶ κοῦφος καὶ μέλας ὡς νάρθηξ. τρίτος δέ ἐστιν ὁ συριακὸς, βαρὺς, τὴν χρόαν πυξώδης, πληκτικὸς τῇ ὀσμῇ. ἄριστος δέ ἐστιν ὁ πρόσφατος, λευκὸς, πλήρης δι᾽ ὅλου, πυκνὸς, ξηρὸς, ἀτερηδόνιστος, ἄβρωμος, γεύσει δηκτικὸς, καὶ πυρώδης. δύναμιν δὲ ἔχει θερμαντικὴν, διουρητικὴν, ἐμμηνίων ἀγωγὸν καὶ τῶν περὶ ὑστέραν παθῶν ἀρωγὸν, ἐν προσθέμασι καὶ καταντλήμασι καὶ πυριάσεσι, πινόμενος δὲ ἐχιοδήκτοις βοηθεῖ οὐγγίας β΄. πλῆθος, καὶ πρὸς θώρακος πόνους καὶ σπάσματα, καὶ πνευματώσεις μετ᾽ οἴνου καὶ ἀψινθίου, καὶ ἀφροδίσια δὲ παρορμᾷ μετ᾽ οἰνομέλιτος, ἄγει δὲ καὶ ἕλμινθα πλατεῖαν μεθ᾽ ὕδατος, σύγχρισμά τε ῥιγοῦσι μετ᾽ ἐλαίου πρὸ τῆς ἐπισημασίας, καὶ παραλυτικοῖς, καθαίρει δὲ καὶ ἔφηλιν καταχρισθεὶς μεθ᾽ ὕδατος ἢ μέλιτος. μίγνυται δὲ καὶ μαλάγμασι καὶ ἀντιδότοις, μιγνύουσι δ᾽ ἔνιοι τὰς ῥωμαλεωτάτας τοῦ κομμαγηνοῦ ἑλενίου ῥίζας, δολοῦντες αὐτὸν, εὐχερὴς δὲ ἡ διάγνωσις, οὔτε γὰρ πυροῖ τὴν γεῦσιν τὸ ἑλένιον, οὔτε τὴν εὐωδίαν εὔτονον καὶ πληκτικὴν παρέχει.

Περὶ Σχοίνου. Κεφ. ιϛ΄.

Σχοῖνος, ἡ μέν τις γίνεται ἐν λιβύῃ,

ἡ δὲ,

leuis, eximia odoris ſuauitate. Secundum locum ſibi vendicat Indicus, leuis, vber, vt ferula niger. Tertius eſt Syriacus, grauis, colore buxeus, & odore feriens. Optimus eſt recens, albus, abundè plenus, dénſus, aridus, à teredinibus non eroſus, ſine graueolentia, guſtu calidus ac mordens. Vis ei excalfactoria, vrinam ciet, mēſes pellit, vitijs quæ vuluā malè habent, tam impoſitu quàm fotu & ſuffitu auxiliatur. Cōtra viperarum morſus ſextantem bibere prodeſt: item aduerſus pectoris dolores, conuulſa, inflationéſque, ex vino & abſinthio: venerem ex mulſo ſtimulat, latas ventris tineas ex aqua pellit, horroribus ex oleo, ante febrium acceſsiones, & neruorum reſolutionibus oblinitur: vitia cutis in facie, cum aqua vel melle illitus emendat. Additur in antidota & malagmata. Sunt qui admiſtis helenij comageni præduris radicibus, adulterét, quod deprehēſu facile eſt: ſiquidem neq; guſtu feruet helenium, neque validū odorem vibrat, vt caput tentare poſsit.

Odoratꝰ iūcus. Cap. XVI.

Odoratus iuncus, in Africa

& Arabia naſcitur. Laudatiſsimus ex Nabathæa: proximus Arabicus, quem aliqui Babylonium cognominant, alij teuchitin: peſsimus ex Africa. Eligendus eſt ruſus, recens, floribus refertus, tenuis, rubentibus fragmentis, qui manibus confricando roſæ odorem emittit, igneæ mordacitatis ad linguam. Floris, culmorum, radicíſq; eſt vſus. Vim vrinæ ciundæ habet, menſes pellit, diſcutit inflationes, caput aggrauat, modicè aſtringit, comminuit, excoquit, ac venarum ſpiracula laxat. Flos eius in potu vtilis ſanguinem reijcientibus, doloribus ſtomachi, pulmonis, iocineris, & renum, miſcetur antidotis. Radix aſtringentior eſt: ideo faſtidijs ſtomachi, hydropicis, conuulſis, drachma vnà cum pari pondere piperis, per dies aliquot datur. Decoctum vuluæ inflãmationibus, ad deſidentium fotus vtile eſt.

ἡ δὲ, ἐν ἀραβίᾳ. ἑτέρα δὲ ἐν τῇ ἀβαταίᾳ λεγομένῃ· ἥτις ἐστὶ κρατίστη. δευτερεύει δὲ ἡ ἀραβικὴ, ἣν ἔνιοι βαβυλώνιον καλοῦσιν, οἱ δὲ, τευχῖτιν. ἡ δὲ λιβυκὴ ἄχρηστος. ἐκλέγου δὲ τὴν πρόσφατον, ἔμπυρον, πολυανθῆ, σχιζομένην καὶ ἐμπόρφυρον καὶ λεπτὴν, καὶ ῥοδίζουσαν τῇ εὐωδίᾳ ἐπειδὰν διατρίβηται ταῖς χερσὶ, καὶ δάκνουσαν τὴν γλῶσσαν μετὰ πολλῆς πυρώσεως. χρῆσις δὲ τοῖς ἄνθεσι καὶ τῶν καλάμων καὶ τῆς ῥίζης. δύναμιν δὲ ἔχει διουρητικὴν, ἐμμηνίων ἀγωγὸν, πνευμάτων διαλυτικὴν, κεφαλῆς καρηβαρικὴν, ἀποσύφουσαν μετρίως, ἔτι καὶ ξυπτικὴν, πεπτικὴν, καὶ ἀναστομωτικήν. τὸ μὲν οὖν ἄνθος αὐτῆς, ποτίσμασι χρήσιμον πρὸς αἵματος ἀναγωγὰς καὶ πόνους στομάχου, πνεύμονος, ἥπατος, νεφρῶν, μίγνυται δὲ καὶ ἀντιδότοις. ἡ δὲ ῥίζα στυπτικωτέρα. διὸ καὶ τοῖς ἀσώδεσι στομάχοις δίδοται ὑδρωπιῶσί τε καὶ σπάσμασι μετὰ ἴσου πεπέρεως πρὸς ἡμέρας τινάς. τὸ δὲ ἀπόζεμα αὐτῆς, τῶν περὶ μήτραν φλεγμοναῖς εἰς ἐγκάθισμα ἁρμόδιον.

Calamus odoratus. Cap. XVII.

Περὶ Καλάμου. Κεφ. ιζ'.

CALAMVS odoratus in India naſcitur: melior eſt fuluus, denſe geniculatus, & qui aſſuloſe frangitur, plena araneorum

Κάλαμος ἀρωματικὸς, φύεται μὲν ἐν ἰνδίᾳ. ἔστι δὲ αὐτοῦ κάλλιστος ὁ κιῤῥὸς, πυκνογόνατος, καὶ εἰς πολλοὺς σκινδαλμοὺς θραυόμενος, γέμων ἀραχνίων

ἀραχνίων τὴν σύριγγα, ὑπόλευκος, ἐν δὲ τῇ διαμασήσει γλίσχρος· στυπτικὸς, ὑπόδριμυς, δύναται δὲ οὖρα κινεῖν ποθείς. ὅθεν ἁρμόζει μετὰ ἀγρώστεως ἢ σελίνου σπέρματος ἀφεψηθεὶς καὶ ποθεὶς, ὑδρωπικοῖς, νεφριτικοῖς, στραγγουριῶσι, ῥήγμασιν. ἄγει δὲ καὶ ἔμμηνα πινόμενος καὶ προστιθέμενος, βῆχάς τε ἰᾶται ὑποθυμιώμενος καθ' ἑαυτόν, καὶ σὺν ῥητίνῃ τερεβινθίνῃ, τοῦ καπνοῦ διὰ σύριγγος ἑλκομένου τῷ στόματι, ἀφέψεται δὲ καὶ εἰς ἐγκαθίσματα γυναικεῖα, καὶ ἐγκλύσματα, μίγνυται δὲ καὶ μαλάγμασι, καὶ θυμιάμασι πρὸς εὐωδίαν.

Περὶ Βαλσάμου. Κεφ. ιη΄.

Βάλσαμον τὸ μὲν δένδρον κατὰ μέγεθος λευκοΐου ἢ πυρακάνθης βλέπεται, φύλλα ἔχον ὅμοια πηγάνῳ λευκότερα δὲ πολλῷ καὶ ἀειθαλέστερα, γεννώμενον ἐν μόνῃ ἰουδαίᾳ, κατά τινα αὐλῶνα καὶ ἐν αἰγύπτῳ, διαφέρει αὐτὸ ἑαυτοῦ τραχύτητι καὶ μήκει καὶ ἰσχνότητι, λέγεται γοῦν τὸ λεπτὸν καὶ τριχῶδες τοῦ θάμνου θεριστόν. ἴσως διὰ τὸ εὐχερῶς θερίζεσθαι ἰσχνὸν ὄν. Τὸ δὲ ὀποβάλσαμον λεγόμενον ὀπίζεται ἐν τοῖς ὑπὸ κύνα καύμασιν ἐντεμνομένου σιδηροῖς ὄνυξι τοῦ δένδρου, ῥεῖ δὲ ὀλίγον, ὡς καθ' ἕκαστον ἔτος μὴ πλεῖον ἢ ἓξ ἢ ἑπτὰ

χόας

araneorum fiſtula, albicans, lentus in mandendo, & aſtringens, ac cum aliquanta acrimonia amarus. Vrinam potu ciet: quare cũ graminis, aut apij ſemine coctus, in aquæ ſubter cutẽ fuſę morbo, renum vitiis, ſtillicidio vrinæ, ruptíſq;, cõmodè bibitur: mẽſes & potu & appoſitu pellit. tuſsi ſuffitu medetur per ſe, aut ex reſina terebinthina, hauſto per arundinẽ fumo: ad muliebres inſeſſus decoquitur, & clyſteribus imponitur. Suffitionibus, malagmatíſque odoris gratia cõmiſcetur.

Balſamũ. Cap. XVIII.

Balſamũ, arbor albæ violę, lycij, ſiue pyracãthæ magnitudine cõſpicitur. Foliũ rutæ proximũ, lõgè cãdidius, perpetuò virens: in Iudæa ſolũ quadã valle & Ægypto naſcẽs. his differẽs modis: ſcabritia, ꝓceritate, gracilitate. Quod igit̃ tenui & capillacea coma eſt, theriſtũ vocant quaſi demeſsile: fortaſsis quoniam ob gracilitatẽ facile demetatur. Æſtiuis ſub ortu Canis ardoribus, arbos vnguibus ferreis inciditur, manátque è plaga ſuccus, quem Opobalſamum vocant: ſed tam exiguo ſtillatu, vt annis ſingulis, ne plures quidẽ quàm ſeni ſeptẽmve

congij

congij cogantur,inibíq; pōdus duplo repēditur argēto. Succi probatio eſt,vt ſit recēs,validi odoris,ſyncerus,non ad acorē vergēs,dilui facilis,læuis, aſtringēs, ac modicè mordēs guſtu. Sed variè vitiatur,miſto ab aliquibus terebinthi,cypri,lētiſci, balani vnguēto:itē ſuſino,metopio,melle,aut Cypri cera liquida. quod maleficium facilè deprehēditur.Nanq; merus in laneam veſtē fuſus, neq; maculā facit,neq; ſi eluatur notā relinquit:vitiatus autē inhęret: & lac inſtillatus coagulat, quod adulterat⁹ nō efficit. Quinetiā ſyncerus in aqua aut lacte celerrimè liquatur, coloréq; lacteſcit: vitiat⁹ verò olei modo innatat, ſe conuoluens, aut in ſtellæ modū diffundēs.Syncerus ſeneſcens craſſeſcit, deteriórq; redditur.Hallucinantur, qui aqua concretū peſſum ire, & ad ima ſidere arbitrātur, poſtea diſsipatū ſupernatare.E ligni genere, quod xylobalſamum vocant, probatur recēs, ſarmento tenui, fuluum, odoratum, quadámtenus opobalſamum ſpirās. Neceſſarius etiā ſeminis erumpit vſus: quare eligatur flauum, plenum, grande, pōderoſum, mordēs guſtu, feruēs

χόας συναθροίσεσθαι, πωλεῖται δὲ ἐν τῷ τόπῳ σταθμὸς αὐτοῦ πρὸς διπλοῦν ἀργύριον. ἔστι δὲ ὀπὸς καλὸς ὁ πρόσφατος, τῇ ὀσμῇ εὔτονος καὶ εἰλικρινής, καὶ μὴ παροξίζων, εὐδιάλυτος, λεῖος, στύφων καὶ δάκνων μετρίως τὴν γλῶσσαν. δολοῦται δὲ ποικίλως, οἱ μὲν γὰρ χρίσματι μίσγουσιν αὐτό. ὡς τὸ τερεβίνθινον, κύπρινον, σχίνινον, σούσινον, βαλάνινον, μετώπιον, μέλι, κηρωτὴν μυρσίνην ἢ κυπρίνην ὑγράν, λείαν. ἐλέγχεται δὲ εὐχερῶς ὁ τοιοῦτος· ἐπισταγεὶς γὰρ ὁ ἀκέραιος εἰς *ἐρεοῦν ὕφος, καὶ ἐκπλυνθείς, κηλίδα οὐ ποιεῖ οὐδὲ σπίλον. ὁ δὲ δεδολωμένος προσμένει. καὶ γάλακτι δὲ ἐπισταγεὶς πήγνυσι· τοῦτο δὲ ὁ δεδολωμένος οὐ δρᾷ, ἔτι ὁ ἀκέραιος ἐπιχυθεὶς γάλακτι ἢ ὕδατι χεῖται ταχέως καὶ γαλακτοῦται. ὁ δὲ δεδολωμένος ἐπιπλεῖ καθάπερ ἔλαιον, συστρεφόμενος ἢ διαχεόμενος ἀστεροειδῶς, τῷ μέντοι χρόνῳ καὶ ὁ ἀκέραιος παχυνόμενος, ἑαυτοῦ χείρων γίνεται. πλανῶνται δὲ οἱ νομίζοντες τὸν ἀκέραιον ἐπισταγέντα ὕδατι εἰς χωρεῖν εἰς βάθος πρῶτον. εἶτα ἀναπλεῖν εὐδιάχυτον. * Τὸ δὲ ξύλον ὃ καλεῖται ξυλοβάλσαμον, δόκιμόν ἐστι τὸ πρόσφατον καὶ λεπτόκαρφον, καὶ πυρρὸν εὐῶδες, βραχὺ πνέον ὀποβαλσάμου. τοῦ δὲ καρποῦ, καὶ γὰρ τούτου ἡ χρῆσις ἀναγκαία. ἐκλέγου τὸν ξανθόν, πλήρη, μέγαν, βαρύν, δάκνοντα τὴν γεῦσιν

καὶ

καὶ πυρσίζοντα, μετρίως παρεμφαίνοντα τοῦ ὀποβαλσάμου, φέρεται δέ τι ἀπὸ τῆς Πέτρας, ᾧ δολίζουσι τὸν καρπὸν, σπέρμα ὑπερικῷ ὅμοιον. ὅπερ γνώσῃ ἐκ τοῦ μεῖζόν τι εἶναι καὶ κενὸν καὶ ἀδύναμον, πεπερίζον τῇ γεύσει. δύναμιν δὲ ἔχει ἐνεργεστάτην ὁ ὀπὸς, θερμαντικώτατος ὢν, σμήχων τὰ ἐπισκοτοῦντα ταῖς κόραις, καὶ τὰς περὶ μήτραν ψύξεις ἰώμενος, προστιθέμενος μετὰ ῥοδίνης κηρωτῆς, ἄγει δὲ καὶ ἔμμηνα, καὶ δεύτερα, καὶ ἔμβρυα, καὶ ῥίγη συγχρισθεὶς λύει, καθαίρει δὲ καὶ τὰ ῥυπαρὰ τῶν ἑλκῶν. ἔστι δὲ καὶ πεπτικὸς καὶ οὐρητικὸς πινόμενος, δυσπνοοῦσιν ἁρμόζων, καὶ τοῖς ἀκόνιτον πεπωκόσι μετὰ γάλακτος, καὶ θηριοδήκτοις. μίγνυται δὲ καὶ ἀκόποις, καὶ μαλάγμασι καὶ ἀντιδότοις, καὶ καθόλου δραστικωτάτην ἔχει τὴν δύναμιν ὁ ὀπὸς τοῦ βαλσάμου, δευτέραν δὲ ὁ καρπὸς, ἐλαχίστην δὲ τὸ ξύλον. ὁ δὲ καρπὸς πινόμενος, ἁρμόζει πλευριτικοῖς, περιπνευμονικοῖς, βήσσουσιν, ἰσχιαδικοῖς, ἐπιληπτικοῖς σκοτωματικοῖς, ὀρθοπνοικοῖς, στροφουμένοις, δυσουροῦσι, θηριοδήκτοις, καὶ εἰς τὰ γυναικεῖα δὲ ὑποθυμιάματα εὐθετεῖ, καὶ εἰς ἐγκαθίσματα ἀφεψόμενος ἀναστομοῖ τὴν μήτραν, καὶ ἐπισπᾶται ὑγρασίαν. Τὸ δὲ ξύλον τὴν αὐτὴν ἔχει δύναμιν τῷ καρπῷ, ἥσσονα μέντοι· βοηθεῖ

feruens in ore, modicè opobalſamum olés. Adulteratur ſemine hyperico ſimili, quod à Petra oppido defertur. Sed coarguitur magnitudine, inanitate, virium ignauia, ſapore piperis. Efficaciſsima vis ineſt ſucco, & quàm maximè calfaciens: abſtergit quæ tenebras oculorú pupillis offundút, medetur per frictionibus vuluæ cum roſaceo cerato appoſitus: menſes quoque, ſecúdas & partus extrahit, horrores illitu diſcutit, vlcera ſordida expurgat & cruda concoquit, vrinam potu ciet, ægrè ſpirantibus prodeſt: datur in lacte contra aconitum hauſtum, aut ſerpentium ictus: miſcetur acopis, malagmatis, & antidotis. In ſumma, præcipua authoritas ſucco, ſecunda ſemini, minima ligno. Semen commodè potui datur doloribus lateris, pulmonum vitiis, tuſsi, iſchiadicis, comitialibus, vertiginoſis, orthopnoicis, vrinæ difficultati, torminibus ac ſerpentum morſibus: ad mulieres ſuffitus perquàm vtile eſt: vuluam aperit in deſeſsionibꝰ balnearú decoctum, & humorem euocat. Lignú eaſdem habet vires, aliquantò minores.

Ex

Ex aqua potum cruditatibus, torminoſis, vulſis, venatorum ictibus opitulatur, vrinam cit, ad capitis vulnera cum ſicca Iri cóuenit, ſquammas oſsium extrahit, & ad vnguentorum ſpiſſamenta additur.

Aſpalathus. Cap. XIX.

Aſpalathus, aliis eryſiſceptrum, frutex eſt ſurculoſus, multis ſpinis horrens. naſcitur in Iſtro, Niſyro, Syria, & Rhodiorum inſula: quo ad vnguentorũ ſpiſſamenta pigmentarij vtuntur. Optimus eſt grauis, detracto cortice rubens, aut in purpuram vergés, denſus, odoratus, guſtatu amarus. Eſt & alterum genus candidum, lignoſum, ſine odore: quod deterius habetur. Vim calfaciédi cum aſtrictione obtinet. vnde decoctum cum vino ad tetra oris vlcera colluenda conuenit, ad nomas genitalium, & ſordida vlcera infunditur: ſubiectum in peſſo, partum extrahit, aluum ſiſtit eius decoctum: & ſanguinis reiectioné potu cohibet, vrinæ difficultatem inflationéſque diſcutit.

Muſcus. Cap. XX.

Bryon, id eſt muſcꝰ, à quibuſdam ſplachnon appellatur: in cedro

βοηθεῖ δὲ ἀφεψηθὲν ὕδατι καὶ πινόμενον ἀπεψίαις, στρόφοις, θηριοδήκτοις, σπωμένοις, οὖρά τε ἄγει, καὶ πρὸς τὰ ἐν κεφαλῇ τραύματα μετὰ ἴρεως ἁρμόζει ξηρᾶς, ἀνάγει δὲ καὶ λεπίδας, πήγνυται δὲ καὶ εἰς τὰ τῶν μύρων στύμματα.

Περὶ ἀσπαλάθου. Κεφ. ιθʹ.

Ἀσπάλαθος, * οἱ δὲ ἐρυσίσκηπτρον, θάμνος ἐστὶ ξυλώδης, ἀκάνθας πολλὰς κεκτημένος, γεννώμενος ἐν ἴστρῳ καὶ νισύρῳ καὶ συρίᾳ καὶ ῥόδῳ, ᾧ χρῶνται οἱ μυρεψοὶ εἰς τὰς τῶν μύρων στύψεις. ἔστι δὲ καλὸς ὁ βαρύς, καὶ μετὰ τὸ περιφλοισθῆναι ὑπέρυθρος ἢ πορφυρίζων, πυκνός, εὐώδης, πικρίζων ἐν τῇ γεύσει, ἔστι δέ τι καὶ ἕτερον εἶδος αὐτοῦ λευκόν, ξυλῶδες, ἄνοσμον, ὃ δὴ καὶ χεῖρον καθέστηκε. Δύναμιν δὲ ἔχει θερμαντικὴν μετὰ στύψεως. ὅθεν πρός τε τὰς ἄφθας ἑψηθεὶς μετ' οἴνου καὶ διακλυζόμενος ἁρμόζει * καὶ πρὸς τὰς ἐν αἰδοίοις καὶ νομὰς καὶ ἀκαθαρσίας ἐγκλυζόμενος, καὶ πρὸς τὰς ὀζαίνας, ἔμβρυά τε κατασπᾷ μιγνύμενος πεσσῷ, τὸ δὲ ἀφέψημα αὐτοῦ κοιλίαν ἵστησι· καὶ αἵματος ἀναγωγὴν ποθέν, δυσουρίαν τε καὶ ἐμπνευμάτωσιν λύει.

Περὶ βρύου. Κεφ. κʹ.

Βρύον, ὑπό τινων δὲ σπλάγχνον καλεῖται, εὑρισκόμενον ἐπὶ δένδρων.

δένδρων κεδρίνων, ἢ λευκίνων ἢ δρυΐνων. διαφέρει δὲ τὸ *κέδρινον. δεύτερον δὲ τὸ λεύκινον, ἔστι δὲ αὐτοῦ τὸ εὐωδέστερον, καὶ λευκὸν καλὸν, τὸ δὲ μελανίζον χεῖρον. Δύναμιν δὲ ἔχει στυπτικὴν ποιοῦντα πρὸς τὰ περὶ μήτραν ἐν ἀφεψήμασιν εἰς ἐγκάθισμα, μίγνυται δὲ καὶ μύροις βαλανίνοις καὶ χρίσμασι διὰ τὸ ἐν αὐτῷ στυπτικὸν, καὶ εἰς θυμιαμάτων δὲ καὶ ἀκόπων σκευασίαν ἐστὶν εὔθετον.

Περὶ Ἀγαλλόχου. Κεφ. κα΄.

Ἀγάλλοχον ξύλον ἐστὶ φερόμενον ἐκ τῆς ἰνδίας, καὶ * ἀραβίας θυΐνης, ἐστιγμένον, εὐῶδες, παραστύφον ἐν τῇ γεύσει μετὰ ποσῆς πικρίας, φλοιὸν ἔχον δερματώδη, καὶ ὑποποίκιλον. ποιεῖ δὲ διαμασώμενον καὶ διακλυζόμενον τὸ ἀφέψημα πρὸς εὐωδίαν στόματος, καὶ διάπασμα δὲ ὅλου τοῦ σώματός ἐστι. θυμιᾶται δὲ ἀντὶ λιβανωτοῦ, ἡ δὲ ῥίζα αὐτοῦ < ὁλκὴ πινομένη, στομάχου πλάδον καὶ ἀτονίαν καὶ καῦσωνα παρηγορεῖ· τοῖς τε ἀλγοῦσι πλευρὰν καὶ ἧπαρ ἢ δυσεντερικοῖς ἢ στροφουμένοις, ἀρήγει πινομένη μεθ' ὕδατος.

Περὶ Νασκάφθου. Κεφ. κβ΄.

Νάσκαφθον, οἱ δὲ νάρκαφθον, καὶ τοῦτο ἐκ τῆς ἰνδικῆς κομίζεται. ἔστι δὲ φλοιῶδες, συκαμίνου λεπίσμασι ἐοικὸς,

cedro arbore, populo alba, & quercu inuenitur. Optimum eſt cedrinum, proximum populneum: in quo genere candidum & odoratius præſtat, nigricans improbatur. Aſtringendi vim habet. Decoctum inſidentium vuluis vtile: vnguento balanino, oleíſque inſpiſſandi gratia inſeritur, thymiamatum, acoporúmque compoſitionibus conueniens.

Agallochum. Cap. XXI.

Agallochũ, lignum eſt quod ex India atque Arabia deportatur, thuiæ ligno ſimile, maculatum, odoratum, guſtu aſtringens, cum quadam amaritudine, cute verius quàm cortice veſtitur, aliquantulum verſicolore. Manditur, aut decocto os colluitur, commendandi halitus gratia. Sudores arcet toto corpori inſparſum: pro thure ad ſuffimenta ſubſtituitur. Radix epota drachmę vni pondere, humida ſtomachi vitia, & imbecillitaté, feruorémque mulcet: ſi lateris, iocineríſue dolor excruciat, ſi dyſenteriæ, aut tormina infeſtant, ex aqua bibere prodeſt.

Narcaphthum. Cap. XXII.

Narchaphtũ ex India defert, corticoſum, ſimile ſycomori libro:

bro quod iucũdi odoris gratia ſuffitur. Miſcetur thymiamatis compoſitis : conſtrictionibus vuluæ ſuffitu prodeſt.

Cancamum. Cap. XXIII.

Cancamum Arabici ligni lachryma eſt, mirrhæ quodammodo ſimilis, viroſi guſtus, quã ad ſuffimenta vſurpant. Veſtes eo, additis ſtyrace & myrrha, ſuffiũtur. Vim proditur obtinere extenuãdi obeſos, ſi ternûm obolorum põdere ex aqua, aut mulſo aceto pluſculos dies ebibatur, lienoſis datur, comitialibus, & ſuſpirioſis: menſes cum aqua mulſa pellit, oculorũ cicatrices confeſtim emẽdat, vino madefactũ medetur eorũdem hebetudinibus, aduerſus gingiuas humore prægnanteis, doloreſq; dẽtiũ, nõ aliud efficacius.

Cyphi. Cap. XXIIII.

Cyphi odorati ſuffimẽti cõpoſitio eſt, dicata diis, qua abũdẽ Ægyptij ſacerdotes vtũtur. In antidota miſceri ſolet, ſuſpirioſis datur in potu. Permultæ componendi rationes, quarũ vna hæc eſt: Sumito cyperi dimidiũ ſextarium, cũ pari baccarum iuniperi adultæ modo: vuæ paſſæ pinguis, exẽptis vinaceis, minas duodecim : reſinæ repurgatæ minas quinq; calami

κὸς, θυμιώμενον διὰ τὴν εὐωδίαν, καὶ μιγνύμενον τοῖς σκευαστοῖς θυμιάμασι, ὠφελεῖ καὶ μήτραν ἐστεγνωμένην ὑποθυμιαθέν.

Περὶ Κα[γ]κάμου. Κεφ. κγʹ.

Κάγκαμον δάκρυόν ἐστιν ἀραβικοῦ ξύλου σμύρνῃ* προσεοικός, βρομῶδες ἐν τῇ γεύσει, ᾧπερ ὡς θυμιάματι χρῶνται. ὑποκαπνίζουσι δὴ καὶ τὰ ἱμάτια μετὰ σμύρνης καὶ στύρακος. δύναμιν δὲ ἱστορεῖται ἔχειν, ἰσχναντικὴν τῶν καταπιμέλων, τριοβόλου πλῆθος πινόμενον, σὺν ὕδατι ἢ ὀξυμέλιτι ἐφ' ἱκανὰς ἡμέρας, δίδοται καὶ σπληνικοῖς, καὶ ἐπιληπτικοῖς, καὶ ἀσθματικοῖς· ἔμμηνά τε ἄγει σὺν μελικράτῳ, καθαίρει δὲ καὶ τὰς ἐν ὀφθαλμοῖς ταχέως οὐλάς, καὶ ἀμβλυωπίας ἰᾶται, διεθὲν οἴνῳ· πρός τε μυδήσεις οὔλων καὶ ὀδονταλγίας, ὡς οὐδὲν ἕτερον ποιεῖ.

Περὶ Κύφεως. Κεφ. κδʹ.

Κῦφι θυμίαμά ἐστι σκευασία κεχαρισμένη θεοῖς. χρῶνται δὲ αὐτῷ κατακόρως οἱ ἐν Αἰγύπτῳ ἱερεῖς. μίγνυται δὲ καὶ ἀντιδότοις, καὶ ἀσθματικοῖς δίδοται ἐν ποτίσμασι. σκευασίαι δὲ αὐτοῦ ἐμφέρονται πλείονες, ἐν αἷς ἐστι καὶ αὕτη· κυπείρου ἡμίξεστον, ἀρκευθίδος ἀδρᾶς τὸ αὐτό· σταφίδων λιπαρῶν ἐκγεγιγαρτισμένων μνᾶς ιβʹ· ῥητίνης ἀποκεκαθαρμένης μνᾶς εʹ. καλάμου

μου ἀρωματικοῦ, ἀσπαλάθου, σχίνου, ἑκάστου μνᾶν ά. σμύρνης < ιϐ΄. οἴνου παλαιοῦ ξέστας θ΄. μέλιτος μνᾶς β΄. ἐκγιγαρτίσας τὴν σταφίδα κόψον καὶ λέανον μετ᾽ οἴνου καὶ τῆς σμύρνης, καὶ τὰ ἄλλα κόψας καὶ σήσας, μίξον τούτοις, ἔασόν τε συμπιεῖν ἡμέραν ά. εἶτα ἑψήσας τὸ μέλι ἄχρι κολλώδους συστάσεως, μίξον ἐπιμελῶς τὴν ῥητίνην τετηκυῖαν· εἶτα τὰ λοιπὰ συναναμείψας ἐπιμελῶς ἀποτίθεσο εἰς ἀγγεῖον ὀστράκινον.

Περὶ Κρόκου. Κεφ. κέ.

Κρόκος ἐστὶ κράτιστος ἐν ἰατρικῇ χρήσει, ὁ κωρύκιος, πρόσφατος ἐστὶ καὶ εὔχρους, ὀλίγον τὸ λευκὸν ἔχων ἐπὶ τῆς ἕλικος, ἐπιμήκης, ὁλομελὴς, ἄθραυστος, * ἀνέλλειπὴς, πλήρης, βάπτων ἐν διέσει τὰς χεῖρας, οὐκ εὐρωτιῶν ἢ ἰκμάζων, ἐπακτικὸς δὲ ἐν τῇ ὀσμῇ καὶ δριμύς· ὁ γὰρ μὴ τοιοῦτος ἢ παλαιός ἐστιν, ἢ βεβρεγμένος. δευτερεύει δὲ ὁ ἐκ τῆς πρὸς λυκίαν κωρυκίου, καὶ ὁ ἀπὸ τοῦ λυκιακοῦ ὀλύμπου. εἶτα ὁ ἐξ αἰγῶν τῆς αἰτωλίας, ὁ δὲ κυρηναϊκὸς ὁ ἐκ κεντοείας, πάντων τῶν κατὰ τὴν σικελίαν, ἀσθενὴς κατὰ δύναμιν, λαχανώδεις ὄντες πάντες. διὰ μέν τοι τὸ πολύχυλον καὶ εὔχρουν οἱ ἐν τῇ ἰταλίᾳ τὴν θύαν βάπτοντες, τούτῳ χρῶνται.

πολλοῦ

lami & iunci odoratorum, & aſpalathi, ſingulorum minam: myrrhæ duodecim: vini veteris ſextarios nouem, cum duabus mellis minis: vuam paſſam detractis vinaceis tuſam, cum vino & myrrha ſubigito: cætera tuſa & cribrata adiicito, die vno humorem cõbibere ſinito, dein mel coquito dum ſibi glutinis aſciſcat craſsitudinem, eliquatã reſinam accuratè permiſceto cũ reliquis diligẽter cõtritis, & in fictile vas recõdito.

Crocum. Cap. XXV.

Crocum optimũ in medẽdi vſu coryceũ, recẽs, & boni coloris, paulũ candidi gerẽs in capreolo, oblongũ, omnibus ſuis partibus cõſtãs, nõ fragile, plenũ, à quo detractũ eſt nihil, q̃d madefactũ manus inficit, nec ſitũ redolet, aut cariem ſentit, ſubacre: ſin hui⁹ generis nõ eſt, aut vetus, aut humore perfuſũ creditur. Secũdus locus datur Coryceo, è tractu Lyciæ contermino. Tertius Lycio, è mõte Olympo. dein ex Ægibus Ætoliæ. Cyrenaicũ & Cẽturipinũ inter Sicilica omnia viribus infirmius eſt. Omniũ natura oleracea. Itali tamẽ ob ſucci copiã, & coloris venuſtatẽ, tingẽdis mortariis dicauerunt:

quibus

quibus de cauſis magno venditur, Vtiliſsimũ in medicina qđ antè deſcripſimus. Adulteratur immiſto crocomagmate tuſo, atque etiam ſapæ ſublitu: contrita, quò pondus adiiciatur, ſimul argẽti ſpuma, aut plũbagine: ſed maleficiũ declarat inſidens puluis, præſertim ſi defrutum in odorãdo ſubolet. Theſſalus ipſam tantum odoratũ eſſe voluit. Alij exitioſum, tribus drachmis ex aqua potis. Proculdubio vim coquendi, emolliendi, atque ſubſtringendi habet: vrinam cit, elegantem colorem præſtat, qui ex paſſo biberint, crapulam non ſentient: oculorum fluxiones illitũ cum humano lacte, cohibet: additur in potiones, quæ interaneorũ cauſa tẽperantur: ad vuluę etiã ſediſq; cataplaſmata, vtiliter inditur: venerẽ ſtimulat, vergẽtes ad ignẽ ſacrum inflãmationes mulcet, auriculariis collectionibus vtile. Quò facilius cõteratur, in calido fictili ſole ſiccari oportet, celeritérq; verſari. Vrinam mouet radix ex paſſo pota.

Crocomagma. Cap. XXVI.

Fit etiam expreſsis vnguenti crocini odoramentis, & in formas digeſtis, qđ crocomagma vocant

πολλοῦ δὲ πιπράσκεται διὰ τοῦτο. εἰς δὲ τὰ φάρμακα, ὁ προγεγραμμένος ἐστὶ χρήσιμος. δολοῦται δὲ μίξει κροκομάγματος κεκομμένου, ἢ δι' ἑψήματος ὑποχριόμενος συντετριμμένου, εἰς τὸ βαρυσταθμῆσαι, λιθαργύρου ἢ μολυβδαίνης. δηλοῖ δὲ ταῦτα τό, τε ἐντρέχον κονιορτῶδες, καὶ τὸ τῆς ὀσμῆς ἑψηματῶδη τυγχάνειν. *Ἔχει δύναμιν πεπτικήν, μαλακτικήν, ὑποστύφουσαν, οὐρητικήν, παρέχει εὔχροιαν, καὶ ἀκραίπαλος ἐστὶ μετὰ γλυκέος πινόμενος· ῥεύματά τε ὀφθαλμῶν ἐγχριόμενος στέλλει σὺν γάλακτι γυναικείῳ· μίγνυται δὲ καὶ τοῖς πρὸς τὰ ἐντὸς ποτίσμασι χρησίμως, καὶ προσθέμασι καὶ καταπλάσμασι τοῖς πρὸς τὴν μήτραν καὶ δακτύλιον, παρείσησι δὲ καὶ πρὸς ἀφροδίσια, τάς τε ἐρυσιπελατώδεις φλεγμονὰς πραΰνει καταχριόμενος, καὶ εἰς τὰς ὠτικὰς χρησιμεύει· φασὶ δὲ καὶ ἀναιρετικὸν αὐτὸν εἶναι μεθ' ὕδατος πινόμενον πλῆθος < γ'. πρὸς δὲ τὸ εὔλεαντον αὐτὸν γίνεσθαι, δεῖ ἐν ἡλίῳ ψύχειν ἐν ὀστρακίνῳ θερμῷ ταχέως τε δεῖ στρέφειν, καὶ ἡ ῥίζα δὲ αὐτοῦ πινομένη σὺν γλυκεῖ, οὖρα κινεῖ.

Περὶ Κροκομάγματος. Κεφ. κϛ'.

Τὸ δὲ Κροκόμαγμα γίνεται ἐκ τοῦ κροκίνου μύρου, τῶν ἀρωμάτων ἐκπιεσθέντων, καὶ ἀναπλασθέντων,

θέντων, ἔστι δ' αὐτοῦ τὸ εὐῶδες καλὸν, μέσως κατάσμυρνον, βαρὺ, μέλαν, ἄξυλον, ἐν τῷ διεθῆναι ἱκανῶς, κροκῶδες τὴν χρόαν, λεῖον, ὑπόκιρρον, βάπτον ἰσχυρῶς τοὺς ὀδόντας καὶ τὴν γλῶσσαν, ἐπιμένον τε συχνὰς ὥρας.* Δύναμιν δὲ ἔχει σμηκτικὴν, τῶν ἐπισκοτούντων ταῖς κόραις. οὐρητικὴν, μαλακτικὴν, πεπτικὴν, θερμαντικήν. ἀναλογεῖ δὲ κατὰ ποσὸν τῇ τοῦ κρόκου δυνάμει. πλεῖστον γὰρ τούτου μετείληφεν.

Περὶ ἑλενίου. Κεφ. κζʹ.

Ἑλένιον φύλλα ἔχει φλόμῳ τῷ στενοφύλλῳ παραπλήσια, τραχύτερα δὲ καὶ ἐπιμήκη, καυλὸν δὲ οὐκ ἀνίησιν ἔν τισι τόποις· ῥίζαν *ὑπόκιρρον, εὐώδη, μεγάλην, ὑπόδριμυν, ἀφ' ἧς εἰς τὴν φύτευσιν καθάπερ ἐπὶ τῶν κρίνων ἢ ἄρων λιπαραὶ παραφυάδες λαμβάνονται. γίνεται δὲ ἐν ὀρεινοῖς καὶ συσκίοις καὶ ἀνίκμοις τόποις. ὀρύσσεται δὲ ἡ ῥίζα θέρους, καὶ τεμνομένη ξηραίνεται. κινεῖ δὲ τὸ ἀφέψημα αὐτῆς πινόμενον οὖρα καὶ ἔμμηνα· αὐτὴ δὲ ἡ ῥίζα λαμβανομένη ἐν ἐκλικτῷ μετὰ μέλιτος, ἁρμόζει βηξὶν ὀρθοπνοίαις, ῥήγμασι, σπάσμασιν, ἐμπνευματώσεσι, θηρίων δήγμασι. καθόλου θερμαντικὴ ὑπάρχουσα.

τὰ δὲ

vocant. Optimum eſt odoratum, modicè myrrham olens, graue, nigrum, ligni expers, læue, ſubamarum, quod madefactũ croci colorem reddit, guſtatumque vehemẽter dentes ac linguam inficit, multis durãs annis, quale eſt quod à Syria defertur. Habet ſuas vires ad delenda quę caliginem oculis obuerſant: vrinã cit, calfacit, cõcoquit, & emollit. vires croci proportione quadamtenus repræſentat, quandoquidẽ plurimam croci partem ſibi crocomagma vendicat.

Helenium. Cap. XXVII.

Helenium folia habet verbaſci anguſtioris folij, aſperiora, oblonga: caulem quibuſdam in locis non emittit: radicẽ ſubalbidam, interdum ſubrufam, odoratam, ſubacrẽ, vegetam, magnam, ex qua agnatę propagines liliorum aut ari modo ſeruntur. Montibus in vmbroſis, ſiccóq; ſolo prouenit. Foditur ęſtate radix, particulatímque diſſecta ſiccatur. Potum radicis decoctum menſes & vrinas ciet. ipſaq́; in eclegmate ex melle prodeſt tuſſi, orthopnœæ, ruptis, cõuulſis, inflationibus, & ſerpentiũ morſibus. In ſumma excalfaciens.

Folia ex vino cocta vtiliter iſchiadicis illinũtur. Heleniũ ſtomacho vtile in paſſo cõditũ: ſiquidem ſalgamarij paululum ſiccatam radicem, mox decoctum, & frigida aqua madefactam, in ſapam conijciunt, & ad vſus recondunt. Trita potáque ad cruentas excreationes efficax eſt.

Heleniũ Ægyptiacum. Cap. XXVIII.

Alterũ helenij genus in Ægypto gigni Crateuas tradit: herba eſt cubitalibus ramulis, ſerpilli modo per humum repentibus, foliis lenticulæ circa ramos, ſed longioribus crebríſque, radice pallida, digiti minoris craſſitudine, per ima tenui, ſupernè craſsiore, cortice nigro. Naſcitur in maritimis collibúſque. Radix vna in vino epota, contra ſerpentium ictus auxilatur.

Omphacium, oleúmq; Cap. XXIX.

Oleũ quod ex immaturis oliuis exprimitur, ad multos vſus rectè valẽtibus accõmodatiſſimũ: omphacinũ id appellatur. Præſtat recẽs, odoratum, quod non mordeat. Tale vnguentorum compoſitionibus idoneum intelligitur. Stomacho vtile

τὰ δὲ φύλλα αὐτῆς ἐπιπλάττεται ἀφεψηθέντα μετ' οἴνου, ἰσχιαδικοῖς ὠφελίμως· ἔστι δὲ καὶ εὐστόμαχος ταριχευθεῖσα ἐν γλυκεῖ· ξηράναντες γὰρ αὐτὴν ἐπ' ὀλίγον οἱ ἀλμευταὶ, εἶτα ἀφεψήσαντες, ἀποβρέχουσιν ὕδατι ψυχρῷ· εἶτα βάλλοντες εἰς ἕψημα, ἀποτίθενται εἰς χρῆσιν, ποιεῖ δὲ λεία πινομένη, αἱμοπτοϊκοῖς.

Περὶ Ἑλενίου αἰγυπτίου. Κεφ. κη'

Ἑλένιον ἄλλο ἱστορεῖ Κρατεύας γίνεσθαι ἐν Αἰγύπτῳ· πόα δέ ἐστι κλῶνας ἔχουσα πηχυαίους, ἐπὶ γῆς ἐῤῥιμμένοις ὥσπερ τὸ ἕρπυλλον. φύλλα δὲ τοῖς τοῦ φακοῦ ὅμοια, μακρότερα δὲ καὶ πολλὰ περὶ τοῖς κλωνίοις, ῥίζαν ὠχρὰν, πάχος δακτύλου μικροῦ, κάτωθεν λεπτὴν, ἄνωθεν δὲ παχυτέραν, φλοιὸν ἔχουσαν μέλανα. φύεται δὲ ἐν παραθαλασσίοις τόποις καὶ γεωλόφοις. Δύναμιν δὲ ἔχει μετ' οἴνου πινομένη μία ῥίζα, θηριοδήκτοις βοηθεῖν.

Περὶ Ἐλαίου ὠμοτριβοῦς. Κεφ. κθ'.

Ἔλαιον πρὸς τὴν ἐν ὑγείᾳ χρῆσιν ἄριστον τὸ ὠμοτριβές· ὃ καὶ ὀμφάκινον καλεῖται. τούτου διαφέρει τὸ νέον. ἄδηκτον εὐῶδες, χρήσιμον δὲ τὸ τοιοῦτον καὶ εἰς τὴν τῶν μύρων κατασκευήν. ἔστι δὲ καὶ εὐστόμαχον διὰ

διὰ τὸ στύφειν· καὶ οὔλων σταλτικὸν· καὶ ὀδόντων κρατυντικὸν, κρατούμενον ἐν τῷ στόματι. καὶ ἱδρώτων ἐφεκτικόν.

Περὶ Ἐλαίου κοινοῦ. Κεφ. λ΄.

Τὸ δὲ καὶ παλαιότερον καὶ λιπαρώτερον, εἰς τὴν τῶν φαρμάκων χρῆσιν εὔθετον. κοινῶς δὲ πᾶν ἔλαιον, θερμαντικόν ἐστι καὶ μαλακτικὸν γαστρὸς, δυσπερίψυκτον φυλάσσον τὸ σῶμα, ἑτοιμότερον πρὸς τὰς ἐνεργείας ποιοῦν. ἔστι δὲ καὶ εὐκοίλιον καὶ μαλακτικὸν, ἀμβλῦνόν τε τὰς τῶν ἑλκούντων φαρμάκων δυνάμεις ἐν τῇ μίξει, δίδοται δὲ καὶ πρὸς τὰ θανάσιμα συνεχῶς πινόμενον καὶ ἐξεμέμενον. καθαίρει δὲ ὅσον κοτύλην σὺν πτισάνης ἴσῳ χυλῷ ποθὲν ἢ ὕδατι. στροφουμένοις τε ἐν ποτῷ, ὠφελίμως δίδοται μετὰ πηγάνου ἑψηθὲν *κυάθων ἓξ πλῆθος, ἕλμινθάς τε ἐκβάλλει, καὶ ἐνίεται δὲ τὸ αὐτὸ, μάλιστα πρὸς τὰς εἰλεώδεις. τὸ δὲ παλαιὸν θερμαντικώτερον καὶ διαφορητικώτερον· πρὸς ὀξυδορκίαν τε ὑπάλειμμα, μικτέον δὲ εἰ μὴ παρείη παλαιὸν ἔλαιον οὕτω, *κατακεράσας εἰς ἀγγεῖον τοῦ παρόντος τὸ κρεῖσσον, ἕψε ἕως οὗ σχῇ μέλιτος πάχος καὶ χρῶ· τὴν γὰρ αὐτὴν τῷ προειρημένῳ εἰσφέρεται δύναμιν.

Περὶ Ἐλαίου ἐκ τῆς ἀγρίας ἐλαίας. Κεφ. λα΄.

Τὸ δὲ ἐκ τῆς ἀγρίας ἐλαίας ἔλαιον, * στυπτικώτερον, πρὸς μὲν

vtile eſt, quòd aſtringat: gingiuas contrahit, dentes firmat, ſi contineatur in ore, ſudores cohibet.

Oleũ cõmune. Cap. XXX.

Et quò vetuſtius ac pinguius, eò ad medicamenta aptius eſt. Et (vt reliqua in commune dicantur) omne oleum calfacit, emollit ventrem, à perfrictionibus corpus tuetur, ipſúmque promptius ad obeunda munera reddit, aluũ emollit, vlcerãtium venenorum vires permiſtum hebetat, contra venena datur, aſsiduè potũ redditúmque vomitionibus, ſoluit aluum heminæ menſura cũ pari ptiſanæ ſucco aut aqua potum, ad tormina calidum ſimul decocta ruta tribus ſextariis in potu datur, ventris animalia pellit, idem maximè ilei inteſtini morbo laborantibus infunditur. Vetus magis calfacit & vehementius diſcutit, oculorum claritati ſublitũ confert. Si vetuſti non ſit occaſio, in vaſe decoquitur ad mellis craſsitudinem, vt vetuſtaté repræſentet.

Oleum ſylueſtris oliuæ. Cap. XXXI.

Oleũ qđ ſylueſtres oliuę fundũt, vehemẽter aſtringit, & ad

ſanorũ vſus ſecundũ ſibi locũ védicat. In doloribꝰ capitis vtiliter ꝓ roſaceo ſubſtituitur, ſudores arcet, defluétes capillos inhibet, furfures, vlcera capitis manãtia, ſcabié lepráſq; abſtergit: tardius canitié ſentiũt, qui eo quotidie perunguntur.

Oleũ candidũ. Cap. XXXII.

Candidum oleũ fit hoc modo: Album colore, nec anniculo vetuſtius, in nouum fictile oris patuli funditur, centum heminarum menſura, & ſub ſolem media quaque die cõcha refunditur: ex altóque demittitur, vt aſsidua deuolutiõe, ictúque agitatũ reſpumet: octaua die fœnumgræcũ mũdũ quinquaginta denariorũ pondere, calida aqua madefactũ donec emolleſcat, in ſupradictũ oleũ deiicitur, ita ne extillet aqua: poſtea tedæ præpinguis piceę, aſſulatim cæſæ æquale pondus adiicitur, & tráſactis octo diebus, oleũ cõcha mouetur. Vbi candoré contraxerit, in vas nouũ vetere vino affuſum recõdi debet, ſubſtratis ſertulæ Cãpanę corollis drachmas vndecim pédentibus, cũ pari iridis pondere: ſin minus, rurſus ſoli mãdandũ, & idem munus obeundum, vſque dum inalbeſcat.

Sicyoniũ.

τῶν ἐν ὑγείᾳ χρῆσιν, δεύτερον. κεφαλαλγοῦσι δὲ ἀντὶ ῥοδίνου ἁρμόζει, ἐπέχον καὶ ἱδρῶντας καὶ τρίχας ῥεούσας, ἀποσμήχει δὲ καὶ πίτυρα, καὶ ἀχῶρας, καὶ ψώρας, καὶ λέπρας· βραδιόν τε πολιοῖ καθ᾽ ἑκάστην ἡμέραν ἐπαλειφόμενον.

Ελαιον λευκόν. Κεφ. λβ΄.

Λευκαίνεται δὲ ἔλαιον οὕτω· λαβὼν τὸ τῇ χρόᾳ μὲν λευκόν, τὴν ἡλικίαν δὲ μὴ πλέον ἐνιαυσίου, ἔγχεε εἰς κεραμοῦν ἀγγεῖον πλατύστομον, καινόν, ἔστω δὲ τὸ μέτρον κοτύλαι ρ΄. εἶτα θεὶς ὑφ᾽ ἥλιον, ἀνάχει κόγχῳ καθ᾽ ἑκάστην ἡμέραν κατὰ τὸ μέσον. ὑψόθι τῇ καταφορᾷ χρώμενος, ἵνα τῇ συνεχεῖ κινήσει καὶ πληγῇ μεταβάλληται καὶ ἀφρίσῃ. τῇ δὲ ὀγδόῃ ἡμέρᾳ, βρέξας τήλεως καθαρᾶς < ν΄. ἐν ὕδατι θερμῷ, ἔμβαλε μαλακὴν γενομένην εἰς τὸ προειρημένον ἔλαιον χωρὶς τοῦ στραγγίσαι τὸ ὕδωρ· προσαπόδος δὲ καὶ δαλὸν πίτυος ὡς ὅτι λιπαρώτατον καὶ εἰς λεπτὰ κατεσχισμένον τὰς ἴσας ὁλκάς, καὶ οὕτως ἔασον ἄλλας ὀκτὼ ἡμέρας διεχθεῖν· μετὰ δὲ ταύτας ἀνάχει τῷ κόγχῳ τὸ ἔλαιον. τό, τε λοιπὸν εἰ μὲν εἴη τοῦ τέλους τετευχός, εἰς καινὸν ἀγγεῖον προεκκλυσμένον, οἴνῳ παλαιῷ κατακεράσας, ἀποτίθεσο προϋπεστρωμένων μελιλώτων στεφανίσκων* ἀλίσκων ὁλκῶν ια΄. καὶ ἴρεως τῆς ὅσης· εἰ δὲ μή, πάλιν ἐν ἡλίῳ θετέον αὐτό. καὶ ἐργαστέον ἄχρις οὗ λευκὸν γένηται.

Περὶ

Περὶ Σικυωνίου ἐλαίου.
Κεφ. λγ.

Ἔνεστι δὲ καὶ σικυώνιον τὸ προειρημένον οὕτω σκευάζειν· εἰς λέβητα κεκασσιτερωμένον, πλατύστομον, ἐγχέας νέου ἐλαίου ὠμοτριβοῦς καὶ λευκοῦ χόα ά. καὶ ὕδατος ἡμίχουν, ἕψε κούφῳ πυρὶ κινῶν πραέως· ὅταν δὲ ἀναζέσῃ δὶς, ὑπόσπασον τὸ πῦρ καὶ ψύξας ἀποκόγχυσον τὸ ἔλαιον, εἶτα ἄλλο ἐπιδοὺς ὕδωρ, συναναζέσον αὐτῷ καὶ τὰ λοιπὰ ποιήσας καθὼς σοι ὑποδέδεικται, ἀπόθου. σκευάζεται δὲ τοῦτο μάλιστα ἐν σικυωνίᾳ σικυώνιον καλούμενον. Δύναμιν δὲ ἔχει ποσῶς θερμαντικὴν, ἁρμόζον ἐν πυρετοῖς καὶ τοῖς περὶ νεῦρα πάθεσι. χρῶνται δὲ αὐτῷ καὶ γυναῖκες, ἐπὶ τῷ* στιλβότερῳ.

Sicyonium. Cap. XXXIII.

Sicyonij componendi ratio hæc eſt:In lebetē oris lati ſtanno inductum,funditur olei albi quod crudæ oliuæ reddiderunt,congius vnus,aquæ ſemicongius: leui id igne coquitur, leniter mouendo:at vbi bis efferbuit,& ſubtracto igne refrixit, innatans oleũ concha decapulatur, & adiecta noua aqua cõferueſcit, & reliquis vt diximus peractis reponitur.In Sicyonia maximè fieri cõſueuit, Sicyonij inde accepto cognomine.Calfactoriã ad quendam vſq; modum vim habet. Febri ac neruorum vitiis prodeſt.fœminę ad commendandum faciei nitorē eo vtũtur.

Ῥύπος βαλανείων.
Κεφ. λδ.

Ὁ δὲ ἐπὶ τοῖς βαλανείοις συναιρόμενος, δύναται θερμαίνειν, μαλάσσειν, διαφορεῖν, ῥαγάσι τε καὶ κονδυλώμασιν ἐν δακτυλίοις.

Strigmenta balnearum.
Cap. XXXIIII.

Strigmenta à balneis calfaciunt, molliunt, diſcutiunt: ad ſedis rimas & condylomata illinuntur.

Ῥύπος ἐκ τῆς παλαίστρας.
Κεφ. λέ.

Ὁ δὲ ἐπὶ τῆς παλαίστρας προσειληφὼς τὴν κόνιν, ἐοικὼς δὲ ῥύπῳ, τὰς περὶ τοὺς κονδύλοις συστροφὰς ἐπιτιθέμενος ὠφελεῖ· καὶ ἰσχιαδικοὺς θερμὸς ἀντὶ μαλάγματος ἢ πυρίας ἐπιτιθέμενος.

Strigmēta palæſtrica.
Cap. XXXV.

Illa verò quæ ex palæſtris puluerē ſibi aſciuerunt, in ſordis ſpeciem redacta, articulorum nodos impoſita adiuuãt: iſchiadicis in fotus aut malagmatis locum, calida commodè ſufficiuntur.

Strigméta gymnaſiorũ. Cap. XXXVI.

Deraſę gymnaſiorum parietibus ſimulacríſque ſordes, calfaciunt: tubercula, quę ægrè ad coctionem perducuntur, diſsipant: deſquammatis & vlceribus ſenum proſunt.

Elæomeli. Cap. XXXVII.

In Palmyris Syriæ, quod eleomeli vocant, ex quodã caudice manat, oleum melle craſſius, ſapore dulci. Bilem, cruditatéſq; detrahit, ſextario cũ vna aquæ hemina dato. Sed qui ſumpſere, torpeſcunt & viribus deficiuntur: quod minimè vereri oportet, verùm crebrò excitare, ne veterno preſſi ſomnos captent. Fit & oleum è pinguitudine ſurculorum oleę: optimum vetus, craſſum, pingue, non turbidum. Calfacit, priuatímque caliginibus oculorum illinitur: lepras, neruorúmque dolores illitum emendat.

Cicinum oleum. Cap. XXXVIII.

Cicinum oleũ hoc modo tẽperatur: Maturi ricini quã voles quãtitate torrido ſole flacceſcunt, & vuarũ more inſtrati tãtiſper inſolãtur, dũ veſtiés cortex

Ρύπος γυμνασίων. Κεφ. λϛʹ.

Καὶ ὁ ἐν τοῖς τῶν γυμνασίων τοίχοις ῥύπος, καὶ ὁ ἀπὸ τῶν ἀνδριάντων, θερμαίνει τε καὶ διαχεῖ τὰ δύσπεπτα φύματα, καὶ πρὸς ἀποσύρματα καὶ περὶ ἕλκη πρεσβυτικὰ ἁρμόζει.

Περὶ ἐλαιομέλιτος. Κεφ. λζʹ.

Ελαιόμελι κατὰ παλμυρὰ τῆς συρίας ἔκ τινος στελέχους, ἔλαιον μέλιτος παχύτερον ῥεῖ, γλυκὺ τῇ γεύσει, ὅπερ πινόμενον πλῆθος κυάθων βʹ μετὰ κοτύλης μιᾶς ὕδατος, ἄγει κατὰ κοιλίαν ὠμὸν* καὶ χολῶδες· ἐννωθροὶ δὲ γίνονται καὶ ἔκλυτοι οἱ λαμβάνοντες, ὅπερ οὐ δεῖ εὐλαβεῖσθαι, διεγείρειν δὲ αὐτοὺς μὴ ἐῶντας καταφέρεσθαι. σκευάζεται δὲ καὶ ἐκ τοῦ λίπους τῶν θαλλῶν ἔλαιον· ἔστι δὲ αὐτοῦ κάλλιστον καὶ παλαιὸν, καὶ παχὺ καὶ λιπαρὸν, οὐ τεθολωμένον· θερμαίνει δὲ ἰδίως ποιοῦν πρὸς τὰ ἐπισκοτοῦντα ταῖς κόραις ἐπιχριόμενον, καὶ λέπρας καὶ ἀλγήματα περὶ νεῦρα ἐγχριόμενον ὠφελεῖ.

Περὶ κικίνου ἐλαίου. Κεφ. ληʹ.

Κίκινον ἔλαιον σκευάζεται τούτῳ τῷ τρόπῳ· λαβὼν ὡρίμων κρότωνων ὅσον ἂν δόξῃ, καὶ ψύξας εἰς ἥλιον, καταστρώσας σταφυλοπέδου τρόπον ἕως ἂν ὁ περικείμενος

φλοιὸς

φλοιὸς ἀποῤῥαγεὶς ἐκπέσοι, συναγαγὼν τὴν σάρκα, ἔμβαλε εἰς ὅλμον καὶ κόψας ἐπιμελῶς εἰς λέβητα κεκασσιτερωμένον βάλε, ὕδωρ ἔχοντα, καὶ ἀνάβρασον ὑποκαίων, ὅταν δὲ ἀναλώσῃ τὴν ἐν αὐτοῖς ὑγρότητα πᾶσαν, ἄρας τὸν λέβητα ἀπὸ τοῦ πυρὸς, ἀπόψα μύακι τὸ ἐπιπλέον ἔλαιον καὶ ἀποτίθεσο. οἱ δὲ αἰγύπτιοι διὰ τὸ δαψιλῶς χρήζειν, ἑτέρως αὐτὸ σκευάζουσι, μετὰ γὰρ τὸ καθᾶραι εἰς μύλην ἀποδιδόντες τοὺς κρότωνας, ἀλήθουσιν ἐπιμελῶς· εἶτα εἰς σπυρίδας ἐμβάλλοντες τὸ ἀληλεσμένον, δι᾽ ὀργάνου ἐκθλίβουσιν, ὡραῖοι δέ εἰσιν οἱ κρότωνες, ὅταν ὑπὸ τῶν περιεχόντων αὐτοὺς σφαιρίων ἀπολύωνται. ποιεῖ δὲ τὸ κίκινον πρὸς ἀχῶρας καὶ ψώρας καὶ τὰς ἐν ἕδρᾳ φλεγμονὰς, πρός τε ὑστέρας μύσεις καὶ διαστροφάς· ἔτι δὲ οὐλὰς ἀπρεπεῖς καὶ ὠταλγίας, ἐμπλάστροις τε μιγνύμενον, ἐμπρακτοτέρας αὐτὰς ἐργάζεται· ἄγει δὲ καὶ κατὰ κοιλίαν ὑδατῶδες ποθὲν, ἐκκρίνει δὲ καὶ ἕλμινθας.

cortex fractus decidat. Caro colligitur, & coniecta in pilam diligenter tunditur: poſtea in lebetem ſtanno illito, qui aquam habeat, demittitur, ſubiectóque igni ferueſcunt: & vbi inſitum prorſus humorem reddiderunt, ſublato ab igni vaſe, innatans oleum concha tollitur, & reconditur. Sed in Ægypto, vbi largior increbuit vſus, longè ſecus fieri ſolet. Nam repurgatos ricinos molæ mandant, & accuratè molitos per ſportulam torculo exprimunt. Tum quidem ematuruerunt ricini, cùm continentibus orbiculis exuuntur. Ad pſoras, & vlcera capitis manantia valet: prodeſt ſedis inflammationibus, vuluis conuerſis atque præcluſis: item indecoris cicatricibus, & aurium doloribus: emplaſtra efficicaciora reddit additum, potu aquã aluo extrahit, ventris animalia pellit.

Περὶ Ἀμυγδαλίνου ἐλαίου. Κεφ. λθ.

Amygdalinũ. Cap. XXXIX.

Ἀμυγδάλινον ἔλαιον ὅ τινες μετώπιον καλοῦσι· σκευάζεται οὕτως· ἀμυγδάλων πικρῶν* χ δ β΄. καθάρας καὶ ξηράνας, κόψον ὑπέρῳ ξυλίνῳ ἐν ὅλμῳ κούφως μέχρις μάζα γένηται, ἐπιχέας τε ζεστοῦ ὕδατος κοτύλας β΄.

Amygdalinum oleum, quod aliqui metopium vocant, hoc fit modo: Semodius ex amaris nucibus repurgatis ſiccatíſque, in pila ligneo piſtillo leniter tunditur in offas, aquę quæ ferbuerit ſextarius adiicitur,

&vbi dimidia hora humorem hauſerit, vehementius quàm antea tunditur, mox tabellis premitur, & quod digitis hæſit, concha excipitur. Preſsis nucibus rurſum hemina aquæ inſpergitur, & poſtquam ebiberint: idem opus proſequendum. Singulas heminas reddunt ſinguli modij. Contra vuluarum dolores, ſtrangulatus, conuerſiones, & eorundẽ locorũ inflammationes, & efficax eſt: vitiis renum, calculoſis, difficili vrinæ, ſuſpirioſis, lienoſiſque proficit: dolores capitis, grauitatem auditus, ſonos incertos, tinnitúſque diſcutit: maculas & vitia cutis tollit è facie, & eam erugat cũ melle, radice lilij & Cypria cera aut roſaceo cerato: & oculorũ hebetudines emendat, vlcera capitis manãtia & furfures cum vino abſtergit.

Balaninum.
Cap. XL.

Simili modo fit Balaninum oleum, quod repurgat maculas, lentigines, varos, & cicatrices nigras. Aluum ſoluit, ſtomacho aduerſatur, contra aurium dolorem, ſonos, & tinnitus auxilio eſt, cum anſerino adipe inſtillatum.

Seſa-

ἔα συμπιεῖν ἡμιώριον, ἀφ' ἧς πάλιν βιαιότερον τρῖβε, εἶτα ἀποθλίβων πρὸς πλάκα ἐξίπου, καὶ τὸ ἀπὸ τῶν δακτύλων εἰς μύακα ἀναλάμβανε· εἶτα πάλιν εἰς τὸ ἀποτεθλιμμένον κοτύλην ὕδατος μίαν ἐπιχέας, καὶ συμπιεῖν ἐάσας, τὸ αὐτὸ ποίει. ἀποδίδωσι δὲ κοτύλην ά τὸ τετραχοίνικον. ποιεῖ δὲ πρὸς τὰς ἐν μήτρᾳ ἀλγηδόνας καὶ πνίγας ὑστερικὰς, διαστροφάς τε καὶ φλεγμονὰς τῶν αὐτῶν τόπων· ἔτι δὲ κεφαλαλγίας καὶ ὤτων πόνοις, καὶ ἤχοις καὶ συριγμοίς· ὠφελεῖ δὲ καὶ νεφριτικοὺς, καὶ δυσουριῶντας, καὶ λιθιῶντας, καὶ ἀσθματικοὺς, καὶ σπληνικούς· αἴρει δὲ καὶ σπίλους ἐκ προσώπου, καὶ ἐφήλεις καὶ ῥυτίδας, μέλιτι μιγνύμενον καὶ κρίνου ῥίζῃ καὶ κυπρείνῃ ἢ ῥοδίνῃ κηρωτῇ, καὶ ἀμβλυωπίας δέ ἐστιν ἀνασκευαστικόν· σὺν οἴνῳ δὲ ἀχῶρας καὶ πιτυρίας σμήχει.

Περὶ Βαλανίνου ἐλαίου.
Κεφ. μ΄.

Εοικότως δὲ καὶ τὸ βαλάνινον σκευάζεται· δύναμιν δὲ ἔχει καθαρτικὴν σπίλων, φακῶν, ἰόνθων, οὐλῶν μελανίας, κοιλίας καθαρκτικὴν, ἔστι δὲ κακοστόμαχον· ἁρμόζει καὶ ὠταλγίαις, καὶ ἤχοις, καὶ συριγμοῖς, μετὰ χηνείου στέατος ἐγχεόμενον.

Ελαιον

Ἔλαιον σησάμινον. Κεφ. μά.

Ὁμοίως δὲ σκευάζεται τοῖς προειρημένοις, τό, τε σησάμινον ἐκ τοῦ σησάμου.

Ἔλαιον καρύϊνον. Κεφ. μβ'.

Καὶ τὸ καρύϊνον ἐκ τῶν βασιλικῶν καρύων συντιθέμενον. δύναμιν δὲ ἔχει τὴν αὐτὴν τῷ βαλανίνῳ.

Περὶ Ὑοσκυαμίνου ἐλαίου. Κεφ. μγ'.

Καὶ τὸ ὑοσκυάμινον δὲ σκευάζεται οὕτω· λαβὼν τὸν λευκὸν καρπὸν ξηρὸν πρόσφατον καὶ κόψας, ὕδατι θερμῷ φύρα ὡς προείρηται ἐπὶ τοῦ ἀμυγδαλίνου. ἡλιάζων δὲ τὰ ὑπὸ χεῖρα ξηραινόμενα αὐτοῦ μέρη, τῷ ὅλῳ ἀναμίσγε· καὶ τὸ αὐτὸ ποίει ἄχρις ἂν μελανθῇ καὶ δυσῶδες γένηται· εἶτα διηθήσας καὶ ἐκθλίψας ἀποτίθεσο. ποιεῖ δὲ καὶ πρὸς ὠταλγίας, καὶ πεσσοῖς μίγνυται μαλακτικὸν ὄν.

Περὶ Κνιδελαίου. Κεφ. μδ'.

Ὁμοίως δὲ καὶ τὸ διὰ τοῦ κνιδείου σκευάζεται κόκκου λεπτισθέντος καὶ κοπέντος, καθαρτικὴν δὲ ἔχει δύναμιν κοιλίας πινόμενον.

Περὶ Κνικελαίου. Κεφ. μέ.

Ὡσαύτως δὲ καὶ τὸ κνίκινον σκευάζεται. δύναμις δὲ ἡ αὐτὴ τῷ διὰ τοῦ κνιδείου κόκκου, ἀνειμένη δὲ μᾶλλον.

Περὶ Ῥαφανελαίου. Κεφ. μς'.

Τὸ δὲ ῥαφάνινον σκευάζεται ἐκ τοῦ αὐτοῦ σπέρματος ὥσπερ καὶ τὰ λοιπά. τοῖς ἐν νόσου δὲ φθειριῶσιν ἁρμόζει, καὶ τὰς περὶ τὸ πρόσωπον σμήχει

Seſaminum. Cap. XLI.

SIMILIS ſeſaminij ratio.

Caryinũ. Cap. XLII.

Fit etiã è nuce iuglãdę oleũ, quod caryinũ vocant. Eãdem vim habet quam Balaninum.

Hyoſcyaminũ. Cap. XLIII.

Hyoſcyaminum ſic fit: Semẽ candidum, recens ac ſiccũ tũditur, & calida aſpergitur aqua, vt in amygdalino diximus, diúque inſolatur, ſiccatæ, quæ ſub manu ſunt, partes cum reliqua maſſa permiſceantur: hoc autẽ fieri oportet dum nigreſcat & grauiter oleat: mox preſsũ atq; excolatum reconditur. Ad aurium dolores efficax eſt, peſsis miſcetur, ad emolliendũ vtile.

Gnidicũ oleũ. Ca. XLIIII.

Fit & è grano gnido purgato & tuſo. Vis ei aluum ſoluere potu.

Cnicinũ oleũ. Cap. XLV.

Non ſecus cnicinum oleũ temperatur: cui facultas eadẽ eſt quæ facto è gnido grano, verum inualidior.

Oleũ Raphanicũ. Ca. XLVI.

Raphaninum è raphani ſemine fieri ſolet, cæterorum more. Phthiriaſes mala valetudine contractas tollit, ſcabritias

britias cutis in facie emendat. Ad obſonia vtuntur Ægyptij.

Melanthinum oleum.

Cap. XLVII.

Melanthinum idem quod raphaninum poteſt.

Oleũ Sinapicũ. Cap. XLVIII.

Tritũ ſinapis ſemẽ,& calida aqua madefactũ, adiecto poſt ea oleo exprimit͂,id ad diuturnos dolores efficax eſt,trãsfert humores q in aliqua parte cõcreuerũt. Mirteũ. Cap. XLIX.

Myrtei faciũdi ratio hęc eſt: E myrto nigra ſylueſtri,aut ſatiua,foliorũ moliſsima quęque tuſa pręmunt͂:ſucco pares omphacini olei portiões adiiciũt͂, ſubiectisq; carbonib⁹ ĩferueſcũt donec cõcoquant͂,innatãs oleũ deradit͂. Sed lõgè facilior hęc cõpoſitio: Tenera folia cõtuſa coquũt͂ in oleo & aqua,& qđ ĩnatat eximit͂. Priuatim alij deiecta ĩ oleũ folia ĩ ſole macerãt:alij pri⁹ oleũ ĩſpiſſant malicorio,cupreſſo,cypiro et iũco odorato. Efficaci⁹ eſt amarum guſtu & oleoſũ,viride,tranſlucens,& olens myrtũ. Aſtringit ex indurat,ideò medicamentis miſcetur quæ cicatricẽ obducunt:prodeſt vlceribus in capite manantibus,ambuſtis igni

&

σμήχει τραχύτητας. χρῶνται δὲ αὐτῷ οἱ ἐν Αἰγύπτῳ τοῖς προσοψήμασι συνέψοντες αὐτό.

Περὶ Μελανθελαίου. Κεφ. μζʹ.

Καὶ τὸ μελάνθινον δὲ τὴν αὐτὴν ἔχει δύναμιν, καὶ σκευασίαν τῷ ῥαφανίνῳ.

Περὶ Σιναπελαίου. Κεφ. μηʹ.

Τὸ δὲ σινάπινον σκευάζεται, λεαινομένου τοῦ σινήπεως καὶ βρεχομένου ὕδατι* ψυχρῷ, ἔπειτα μιγνυμένου ἐλαίου, καὶ συνεκθλιβομένου· ποιεῖ δὲ πρὸς τὰ χρόνια ἀλγήματα μετὰ σύγκρισιν. Περὶ μυρσινελαίου. Κε. μθʹ.

Μυρσίνινον δὲ σκευάζεται οὕτω· λαβὼν τὰ ἁπαλὰ φύλλα τῆς μελαίνης μυρσίνης ἢ ἀγρίας ἢ ἡμέρου, κόπτε, πιέζων· ἴσον δὲ τῷ χυλῷ, ἐλαίου ὀμφακίνου μίσγων, χλίαινε ἐπ' ἀνθράκων, ἕως ἂν συνεψηθῇ αἴρων τὸ ἐφιστάμενον. εὐκοπωτέρα δὲ σκευασία, τὰ ἁπαλὰ τῶν φύλλων κόψαντα, ἕψειν μεθ' ὕδατος, καὶ ἐλαίου, καὶ τὸ ἐφιστάμενον ἀποψᾶν, ἰδίως δὲ τὰ φύλλα καθέντα εἰς ἥλιον, ἐν ἐλαίῳ ἀποβρέχειν. ἔνιοι δὲ προσύφουσι τὸ ἔλαιον σιδίοις, κυπαρίσσῳ, κυπείρῳ, σχίνῳ. ἔστι δὲ ἐμπρακτικώτερον τῇ γεύσει πικρίζον, καὶ ἐλαιῶδες, χλωρόν, διαφανές, ὄζον μυρσίνης. Δύναμις δὲ αὐτοῦ στυπτική, σκληρωτική, διὸ καὶ ποιεῖ μιγνύμενον ἀπουλωτικοῖς, καὶ πρὸς πυρίκαυστα, ἀχῶρας, πίτυ-

ρα,

ρα, ἐξανθήματα, παρατρίμματα, ῥαγάδας κονδυλώματα ἄρθρα κεχαλασμένα· ἱδρῶτας στέλλει, καὶ ὅσα στύψεως ἢ πυκνώσεως ἔχει χρείαν.

Περὶ Δαφνελαίου.
Κεφ. ν΄.

Τὸ δὲ δάφνινον σκευάζεται διὰ τῶν δαφνίδων, ὅταν ὦσι δρυοπετεῖς, ἑψομένων μεθ' ὕδατος· ἐκ γὰρ τοῦ περικειμένου λέπους, ἀνίησιν λιπαρίαν τινά, ἣν διακόψαντες χερσὶν εἰς μύακας ἀναλαμβάνουσιν. ἔνιοι δὲ ὀμφάκινον ἔλαιον προστύψαντες, κυπείρῳ, καὶ σχοίνῳ καὶ καλάμῳ, καὶ μετὰ ταῦτα δάφνης φύλλα ἁπαλὰ βαλόντες, συνέψουσιν. οἱ δὲ, καὶ δαφνίδας ἕως ἂν ἱκανὸν γένηται τῇ ὀσμῇ. ἔνιοι δὲ καὶ στύρακα μίσγουσι καὶ μυρσίνην. ἀρίστη δὲ πρὸς σκευασίαν ἡ ὀρεινὴ καὶ πλατύφυλλος δάφνη. διαφέρει δὲ τοῦ δαφνίνου τὸ πρόσφατον, χλωρὸν τῇ χρόᾳ, πικρότατον, δριμύ. Δύναμιν δὲ ἔχει θερμαντικήν, μαλακτικήν, ἀναστομωτικήν, κόπων λυτικήν. ἁρμόζει καὶ τοῖς περὶ τὰ νεῦρα πάθεσι πᾶσι, καὶ ὠταλγίαις, καὶ καταῤῥοιζομένοις*· ἔστι δὲ καὶ ναυτιῶδές ποθέν.

Περὶ Σχινελαίου. Κεφ. να΄.

Τὸ δὲ σχίνινον ὁμοίως ἐκ τοῦ καρποῦ πεπείρου σκευασθὲν, ὡς τὸ δάφνινον, προστυφθὲν.

ὑγιάζει

& papularũ eruptionib⁹. Facit ad attrita & furfures, ſedis rimas, cõdylomata, articulos laxatos, corporis ſudores cõpeſcit, & omnia quæ aſtrictioné inſpiſſationemq; deſiderant.

Laurinum. Cap. L.

Laurinũ fit hoc modo: Lauri baccæ cum maturæ ſunt, in aqua coquuntur: ſiquidem ex obducto cortice quandã pinguitudiné reddunt, quæ manibus ſubacta, cõcha excipitur. Alij omphacinũ prius oleũ cypiro, iũco odorato, & calamo inſpiſſant, deinde tenera lauri folia cõcoquũt. alij etiam baccas, donec oleũ odoré cõtraxerit. alij ſtyracé & myrtũ addunt, Optima laurus ad id latifolia & montana. Oleũ laurinũ vtilius quò receti⁹, quoq; viridius colore: amariſsimũ, & acre. Vis ei excalfactoria, emolliens: venarũ ſpiracula aperit, laſsitudines diſcutit, omnibus neruorũ vitijs, algoribus, deſtillationib⁹, auriũ dolorib⁹, malis renum frigore cõtractis, illitũ non aliud iuuantius: attamen potum nauſeam parit.

Lentiſcinum. Cap. LI.

Similis létiſcini ratio.. Nã é maturo fructu téperatũ, factis prius ſpiſſamétis, vt ĩ laurino dixim⁹.

Hoc

Hoc ſcabiem iumentorum canúmque ſanat, vtiliſsimũ peſſis, acopis, & leprarum medicamétis: ſudores cohibet. Nec ſecus terebinthinum fieri ſolet, quod refrigerat & aſtringit.

Maſtichinum. Cap. LII.

Maſtichinum è trita fit maſtiche, quod contra omnia vuluæ mala efficax eſt: mediocriter calfacit, aſtringit, & emollit. Aduerſus prominentes ſtomachi duritias, cœliacorum, dyſentericorúmque cruciatus vtile: facié emaculat, & colorem nitidum facit. optimum in Chio inſula componitur.

Vnguentorum cõpoſitio. Cap. LIII.

De ratione vnguentorũ cõſequéter tractãdũ exiſtimauimus, quãdoquidé ea in nõnullis corporũ vitijs, aut medicamétis miſta, aut corpori perfuſa, aut naribꝰ obiecta, plurimũ proſunt. in quorũ probationibus cõſulere nares oportet, an ea oleãt ex quibus téperãtur. Optimũ huiuſcemodi iudiciũ, qđ in qbuſdã planè obſeruari nõ poteſt, ꝓpter ea q̃ admiſcẽt odore ceteris ꝑualétia: vt in amaracino & crocino, telino et pleriſq; aliis, q̃ crebra circa hęc meditatiõe experiri cõueniet.

ὑγιάζει ψώρας κτηνῶν καὶ κυνῶν καὶ εἰς πεσσοὺς καὶ εἰς ἄκοπα καὶ λεπρικὰ ἐπιτηδείως μίγνυται. στέλλει δὲ καὶ ἱδρῶτας, καὶ τὸ τερεβίνθινον δὲ ὁμοίως σκευάζεται· ψύχει δὲ καὶ στύφει.

Περὶ Μαστιχελαίου. Κεφ. νβ΄.

Τὸ δὲ μαστίχινον, ἐκ τῆς μαστίχης λείας σκευάζεται. ποιεῖ δὲ πρὸς τὰ ἐν ὑστέρᾳ πάντα, ἠπίως θερμαῖνον, στύφον, μαλάσσον, καὶ πρὸς τὰ περὶ τὸν στόμαχον ἐπιῤῥιπτόμενα σκιῤῥώματα καὶ κοιλιακὰ, καὶ δυσεντερικὰ, καὶ τὰ ἐπὶ τοῦ προσώπου καθαίρει, καὶ εὔχροιαν ποιοῦν· συντίθεται δὲ ἐν Χίῳ τῇ νήσῳ κάλλιστον.

Σύνθεσις περὶ Μύρων. Κεφ. νγ΄.

Ἐπεὶ δὲ καὶ τὰ μύρα ἐνθετεῖ ἐπ᾽ ἐνίων παθῶν καὶ μιγνύμενα φαρμάκοις καὶ ἐμβρεχόμενα καὶ ὀσφραινόμενα, ἀκόλουθον ἡγούμεθα καὶ τὴν τούτων παράδοσιν ποιήσασθαι, ἃ δεῖ δοκιμάζοντας ἐπιβλέπειν, εἰ ἀφ᾽ οὗ ἡ κρᾶσις ἐστὶ τοῦ μύρου, ἐκεῖνο πνεῖ κατὰ τὴν ὄσφρησιν. ἀρίστη δὲ ἐστὶν ἡ τοιαύτη* κρίσις· ἐπ᾽ ἐνίων μέντοι οὐ φυλάττεται τὸ τοιοῦτον διὰ ἐπικράτειαν μιγμάτων σφοδροτέρων, ὡς ἐπὶ ἀμαρακίνου καὶ κροκίνου καὶ τηλίνου καὶ ἄλλων τινῶν ἀπὸ ἐκ τῆς περὶ αὐτὰ* γυμνασίας δοκιμαστέον.

Περὶ Ῥοδίνου σκευασίας. Κεφ. νδ΄.

Ῥόδινον ἔλαιον γίνεται οὕτω· σχοίνου λίτρας ε΄. οὐγγίας η΄. ἐλαίου λίτρας κ΄. οὐγγίας ε΄. κόψας καὶ φυράσας ὕδατι, ἕψε ἀνακινῶν· εἶτα ἀπηθήσας εἰς τὰς κ΄. λίτρας καὶ οὐγγίας ε΄. ἐλαίου, βάλε ῥόδων ἀβρέχων ἀριθμῷ χίλια πέταλα* καὶ τὰς χεῖρας μέλιτι χρίσας, ἀνακίνει πλεονάκις ὑποθλίβων ἠρέμα· ἔπειτα ἐάσας τὴν νύκτα ἔκθλιβε, ὅταν δὲ τὸ τρυγῶδες ὑποστῇ, ἄλλαξον τὸ ὑποδεχόμενον ἀγγεῖον· ἀποτίθεσο δὲ εἰς κρατῆρα μέλιτι κατακεχρισμένον. βαλὼν δὲ εἰς λυτηρίδιον τὰ ἐξιπωθέντα ῥόδα, ἐπίχει λίτρας η΄. οὐγγίας γ΄. τοῦ ἐστυμμένου ἐλαίου, καὶ πάλιν ἐξίπου. ἔσται δέ σοι τοῦτο δεύτερον, κἂν βουληθῇς ἄχρι γ΄. ἢ δ΄. ἀποβρέχῃς ἐπιχέων ἐξίπου. γίνεται γὰρ τὸ μὲν α΄. τὸ δὲ β΄. τὸ δὲ γ΄. τὸ δὲ δ΄ μύρον. ὁσάκις δ᾽ ἂν ποιῇς, τοὺς κρατῆρας, προκατάχριε μέλιτι. εἰ δὲ θέλεις δευτέραν ἐμβολὴν ποιήσασθαι, εἰς τὸ πρῶτον ἐξιπωθὲν ἔλαιον, τὸν ἴσον ἀριθμὸν προσφάτων ῥόδων ἀβρέχων ἔμβαλε καὶ ἀνακινῶν ταῖς χερσὶ προδεδευμέναις μέλιτι, ἐκπίεζε, καὶ ποίει τὸ δεύτερον καὶ τρίτον καὶ τέταρτον ὁμοίως ἐκθλίβων. καὶ ὁσάκις δ᾽ ἂν ποιῇς τοῦτο, νεαρὰ ὀνυχίζων

προσβαλε

Roſaceum. Cap. LIIII.

Roſaceum ſic fit: Iunci odorati quinque libras & beſſem tundito, et ſubactas aqua in viginti olei libris & quincunce ſubinde mouẽdo, coquito: dũque percolaueris, in olei libras viginti & quicuncem, adiicito roſas non madefactas numero mille, & manib⁹ melle perunctis, identidem moueto, interdiu premens, finito nocte tota macerari, poſtea exprimito: & vbi recremẽtum peſſum ierit, mutato vaſe, in craterẽ melle illitũ recondito. Cæterùm roſas quæ antea preſſæ fuerunt, in tabellum demittito, & affuſis octo libris & quadrãte ſpiſſati olei, iterum premito, eritque ſecũdarium oleum: Quòd ſi tertias vſq;, quartáſve perfuſiones infundẽs exprimere voles, ſecundarium fiet, tertiariũ, & quartarium vnguẽtum. Sed quoties id feceris, vaſa melle oblini debent. Si verò ſecundã infuſionem inſtituere libet, in expreſſum oleum, numero pari recẽtes roſas, nullo humore imbutas inijcito: manib⁹ melle pręmadefactis, agitãs p̃mito: & iterum, tertio aut quarto ſimili modo exprimẽs facito, totiéſq; recẽtes roſas detractis vnguib⁹

immittito

immittito : fiet enim ita oleum multò validius: nam ſepties oleum roſarum infuſionem admittit, nec amplius. Prelum melle perūgatur, oleum à ſucco diligenter ſecerni oportet: nam ſi minimnm quid relinquatur, vnguentum corrumpet. Alij autem detractis vnguibus, roſas tantùm oleo macerant in ſole hoc modo: Roſæ quæ ſelibram pondere æquant in ſextario olei diebus octo madeſcunt, & vſque tertiam perfuſionem quadraginta diebus inſolantur, & ſic oleum reconditur. Alij calamo, aut aſpalatho prius olei ſpiſſamenta faciūt. Alij coloris cauſa anchuſam admiſcent, & ſalem, quò minus oleat. Vim aſtringendi & refrigerandi obtinet, fomentis & cataplaſmatibus vtile. Potū ſoluit aluum, ſtomachi ardorem reſtringit, vlcera caua replet & mulcet, quæ cacoëthe vocantur: vlceribus in capite manantibus, atque feruidis eruptionibus illinitur: caput dolens eo perfunditur, dētes inter initia doloris collui ꝓdeſt, ad genarum duritias illitū efficax eſt, ad laceſsita interanea & concitatas vuluas vtiliſsimè ſubiicitur.

Elatinū.

προσέβαλε ῥόδα, δυναμικώτερον γὰρ γίνεται· ἄχρι δὲ ἑβδόμης ἐμβροχῆς, ἐπιδέχεται τὸ ἔλαιον* τὴν ἐμβολὴν τῶν ῥόδων, ἔπειτα δὲ οὐκέτι. κεχρίσθω δὲ καὶ ἡ ληνὸς μέλιτι, δεῖ δὲ ἐπιμελῶς τὸ ἔλαιον τοῦ χυλοῦ χωρίζειν· ἀπολιφθὲν γὰρ τοὐλάχιστον, τὸ μύρον φθείρει. ἔνιοι δὲ αὐτὰ μόνα τὰ ῥόδα ὀνυχίσαντες καὶ ἡλιάσαντες, ἐναποβρέχουσι τῷ ἐλαίῳ ἔχοντα σταθμὸν οὐγγίας ϛ΄. εἰς μίαν ξέστην ἐλαίου, καὶ ἀλλάσσοντες, ἡμέρας η΄. καὶ ἡλιάζοντες ἐπὶ ἡμέρας μ΄. ἄχρι τρίτης ἐμβροχῆς, οὕτως ἀποτίθενται. ἔνιοι δὲ προστύφουσι τὸ ἔλαιον, κάλαμον καὶ ἀσπάλαθον ἐμβάλλοντες· οἱ δὲ, καὶ ἄγχουσαν ἕνεκεν εὐχροίας, καὶ ἅλας πρὸς τὸ μὴ* φθείρεσθαι. δύναμιν δὲ ἔχει στυπτικὴν, ψυκτικὴν, εὔθετον εἰς ἐμβρέγματα καὶ καταπλασμάτων μίξεις· λύει δὲ καὶ κοιλίαν ποτιζόμενον, καὶ καῦσον σβέννυσι στομάχου. ἔστι δὲ καὶ θρεπτικὸν κοίλων ἑλκῶν, καὶ τῶν κακοήθων πραϋντικὸν, ἀχώρων καὶ ἐκζεμάτων ἐπάλειμμα. καὶ κεφαλαλγίας ἔμβρεγμα, ἐν ἀρχῇ ὀδονταλγίας διάκλυσμα· ποιεῖ δὲ καὶ πρὸς βλέφαρα ἐσκληρυμμένα ἐγχριόμενον, πρός τε ἐντέρων ἐρεθισμοὺς καὶ ὑστέρας ἐγκλυζόμενον χρήσιμον.

Περὶ

Περὶ Ἐλατίνου σκευασίας. Κεφ. νε´.

Ἐλάτην θλάσαι καὶ διακνίσας, ἔμβαλε εἰς λουτῆρα καὶ ἐπίχει ὀμφάκινον ἔλαιον ἐπὶ ἡμέρας γ´. ἀνελόμενός τε εἰς σπυρίδα ἔξιπου. ἔστω δὲ ἑκάτερα ἰσόσταθμα, εἶτα ἀποθέμενος ἐν καθαρῷ ἀγγείῳ, χρῶ. δύναμιν δὲ ἔχει ἀναλογοῦσαν τῷ ῥοδίνῳ, κοιλίαν δὲ οὐ μαλάσσει.

Περὶ μηλίνου σκευασίας. Κεφ. νς´.

Ἔλαιον μήλινον σκευάζεται τὸν τρόπον τοῦτον· ἐλαίου ξέστας ς´. ὕδατος ξέστας ι´. μίξας, προσέμβαλε λαπάθης τεθλασμένης οὐγγίας γ´· σχίνου οὐγγίαν α´. καὶ ἐάσας ἡμέραν μίαν, ἕψησον, εἶτα ἀπηθήσας τὸ ἔλαιον, βάλε εἰς ἀγγεῖον πλατύστομον, ἐπιθείς τε ῥῶπον ἐκ καλάμου, ἢ ψίαθον* ἀραιάν, ἄνωθέν τε ἐπιθεὶς κυδώνια μῆλα καὶ περικαλύψας ἱματίοις, ἔασον ἡμέρας ἱκανὰς ἕως ἂν ἐπισπάσηται τὴν ἀπὸ τῶν μήλων δύναμιν τὸ ἔλαιον. ἔνιοι δὲ τὰ μῆλα περιβάλλοντες ἱματίοις ἐπὶ ἡμέρας ι´, ἵνα συνέχηται καὶ μὴ διαπνέηται ἡ εὐωδία, μετὰ ταῦτα ἀποβρέχουσι τῷ ἐλαίῳ ἡμέρας β´ καὶ νύκτας· εἶτα ἐξιπώσαντες ἀποτίθενται. Δύναμιν δὲ ἔχει στυπτικήν, ψυκτικήν· ποιοῦν πρὸς τὰ ψωρώδη ἕλκη καὶ πίτυρα, χίμετλα, ἕρπητας, καὶ πρὸς τὰς ἐν ὑστέρᾳ ἑλκώσεις ἐγχυματιζόμενον, οὖρά τε ἠρεθισμένα

στέλλει

Elatinum. Cap. LV.

Fracta elate tuſa & ſcarificata, in labellũ deiicitur: omphacinũ oleum triduo infunditur, mox per ſportulã exprimitur: verùm pares eſſe debẽt vtriuſque portiones, dein mũdo vaſe ad vſus reconditur. Viribus roſaceo ꝓportione reſpõdet: aluum tamen non mollit.

Melinum. Cap. LVI.

Melinum hoc modo tẽperatur: Olei congius decẽ aquæ ſextariis admiſcetur. Adiicitur elatæ palmarum fractæ quadrans, & iunci odorati vncia: quæ die vno macerata coquũtur, mox in vas oris patuli oleũ excolatur, & indita arundinacea crate, aut vetuſta tegete, cotonea mala ſuperponuntur, & veſtimẽtis operta tantiſper inibi reſident, dum malorũ vires ad ſe oleum alliciat. Aliqui cotonea, decem dierum ſpatio operimentis inuoluunt, vt contineãt odoris ſuauitas, nec euaneſcat: poſtea biduo macerata oleo exprimũtur, oleumq; recõditur. Id vim refrigeratoriam & aſtringentẽ habet. Cõtra ſcabioſa vlcera & quæ ſerpunt, ac furfures, perniúculóſque effectũ prębet: exulceratis vuluís infunditur, citatã vrinã

ſiſtit

ſiſtit infuſum, ſudores cohibet, contra cantharidas, bupreſtim, pinorum erucas, bibitur. Laudatur maximè quod cotonea mala olet.

OEnanthini compoſitio. Cap. LVII.

OEnanthe è labruſca, optimè olens poſtquam emarcuit, deiecta in omphacinũ oleum mouetur, voluitúrque: & cùm biduo manſerit, exprimitur, & reconditur. Aſtringit, proximum roſaceo effectum præbens: ſed aluum non reſoluit, aut mollit. Probatiſsimum eſt, quod odore œnãthen refert.

Telini componendi ratio. Cap. LVIII.

Fœnigræci libræ quinque, calami libra vna, cypiri libræ duæ, olei libris nouem, ſeptenis diebus macerantur, quotidie ter mouētur, poſtea premuntur, & reponuntur. Aliqui pro calamo cardamomũ ſubſtituũt, & cypiri loco xylobalſamum macerãt. Alij oleo antea his odoribus ſpiſſato fœnũgræcum macerantes exprimunt. Hoc telinum abſceſſus emollit, & concoquit, omnibus vuluarum duritiis magnopere cõuenit, fœminis difficilè pariētibus ſubiicit, vbi prę excretis

στέλλει ἐγκλυζόμενον, καὶ ἱδρῶτας ἐφίστησι, πίνεται δὲ καὶ πρὸς κανθαρίδας, βουπρήστεις,* πιτυοκάμπην. ἔστι δὲ αὐτοῦ δόκιμον τὸ κυδωνίων ὄζον μῆλον.

Περὶ Οἰνανθίνου σκευασίας. Κεφ. νζ΄.

Οἰνάνθην τὴν ἐκ σταφυλῆς εὐώδη μαράνας, βάλε εἰς ὀμφάκινον ἔλαιον, καὶ κίνει μεταστρέφων, ἐάσας δὲ ἡμέρας δύο, ἔξιπου, καὶ ἀποτίθεσο. Δύναμιν δὲ ἔχει στυπτικήν, ἀναλογοῦσαν τῇ τοῦ ῥοδίνου· ἐκτὸς τοῦ τὴν κοιλίαν λύειν καὶ μαλάσσειν. καὶ τούτου δέ ἐστι δοκιμώτατον, τὸ ἐμφαῖνον ἐν τῇ ὀσμῇ τὴν οἰνάνθην.

Περὶ Τηλίνου σκευασίας. Κεφ. νή.

Τήλεως λίτρας ε΄. ἐλαίου λίτρας θ΄. καλάμου λίτραν α΄. κυπείρου λίτρας β΄. ἀπόβρεχε τῷ ἐλαίῳ ἐπὶ ἡμέρας ζ΄. κινῶν ἑκάστης ἡμέρας τρίς· εἶτα ἔξιπου καὶ ἀποτίθεσο. οἱ δέ, ἀντὶ μὲν καλάμου καρδάμωμον, ἀντὶ δὲ τῆς κυπείρου, ξυλοβάλσαμον συναποβρέχουσιν. οἱ δέ, προστύφουσι τὸ ἔλαιον τούτοις, καὶ μετὰ ταῦτα τὴν τῆλιν ἀποβρέχοντες ἐξιποῦσι. Δύναμιν δὲ ἔχει μαλακτικὴν ἀποστημάτων, πεπτικήν. μάλιστα δὲ ἁρμόζει τοῖς περὶ μήτραν πᾶσι σκληρώμασι. δυστοκούσαις τε ἐγχυματίζεται ἐπειδὰν κατάξηρα

τὰ περὶ

τὰ περὶ τοὺς τόποις γίνονται, προεκκριθέντων τῶν ὑγρῶν, πρός τε τὰς ἐν* δακτυλίῳ φλεγμονάς, καὶ ἐγκλύζεται ἐπὶ τῶν τεινεσμῶν ὠφελίμως, πιτυρά τε καὶ ἀχῶρας σμήχει, καὶ πρὸς κατακαύματα καὶ χίμετλα ποιεῖ μετὰ κηροῦ, σμήχει τε ἐφήλιδας· καὶ εἰς στιλβώματα μίγνυται. ἐκλέγου δὲ τὸ πρόσφατον καὶ μὴ λίαν παρεμφαῖνον τὴν τῆς τήλεως ὀσμὴν, σμῆχον τὰς χεῖρας. γλυκύπικρον ἐν τῇ γεύσει, τὸ γὰρ τοιοῦτον κάλλιστον.

Περὶ Σαμψυχίνου σκευασίας. Κεφ. νθ'.

Ερπύλλου, κασσίας, ἀβροτόνου, σισυμβρίου ἄνθους, μυρσίνης, πετάλων σαμψύχου, ἑκάστου λαμβάνων στοχασμῷ, πρὸς τὴν ἑκάστου αὐτῶν δύναμιν ἀποβλέπων, κόπτε ἐν τῷ αὐτῷ πάντα, καὶ ἐπίχεε ἐλαίου ὀμφακίνου τοσοῦτον, ὥστε μὴ κατακρατεῖσθαι τὴν δύναμιν τῶν ἐν αὐτῷ βρεχομένων, καὶ ἔασον ἡμέρας τέτταρας καὶ ἔκθλιβε, καὶ πάλιν τὸ αὐτὸ πλῆθος τῶν αὐτῶν προσφάτων, ἀπόβρεχε τὸν ἴσον χρόνον, καὶ ἐξίπου· ἔσται γὰρ εὐτονώτερον. ἐκλέγου δὲ τὸ μέλαν χλωρὸν τῇ χρόᾳ σάμψυχον, ἐπιπολὺ ὄζον, μετρίως δριμύ. Δύναμιν δὲ ἔχει θερμαντικὴν, λεπτυντικὴν, δριμεῖαν, ποιεῖ δὲ καὶ πρὸς μύσιν καὶ διαστροφὴν ὑστέρας, ἔμμηνά τε καὶ ἔμ-

βρυα

cretis humoribus loci ſiccitatem cõtraxerunt, ſedis inflammationes lenit, teneſmo ſubditum prodeſt, vlcera capitis ma nãtia furfureſq; expurgat, ambuſtis, & pernionibus addita cera proficit, vitia cutis in facie emẽdat, pigmẽtis ad cõciliandum faciei nitorẽ inſerit̃. Eligi oportet recens, quod nõ vehementer fœnigræci odorẽ præ ſe ferat, & manus abſtergat, ſapore ex dulci in amarũ inclinato: tale enĩ optimũ iudicat̃.

Sampſuchini cõpoſitio
Cap. LIX.

Serpilli, caſsiæ, abrotoni, florum ſiſymbrij, frondiũ myrti, ſampſuchi ſingulæ portiones, quadã pro viribus ipſorũ coniectatione, vnà tundunt̃, atque is omphacini olei modus adijcitur, qui madentium vires nõ euincat: hæc poſt quatriduum exprimũtur. Denuo noua alia, ſimili mẽſura, & ęquali tẽpore macerata p̃mũtur: ita enĩ validius reddi ſolet. Eligi oportet ſampſuchũ colore ex atro viridi, plurimum redolẽs, mediocriter acre. Vim habet acrem, calfactoriam, extenuãtem, aduerſus vuluæ præcluſiones cõuerſionéſque efficax eſt, mẽſes & ſecundas & partus extrahit,

d vuluæ

vuluæ ſtrangulatus recreat, lũborum inguinúmque dolores lenit: ſed cum melle vti eo præſtat, quandoquidem vehementi aſtrictione locos indurat. Laſsitudines illitum diſcutit, in opiſthotonicorum, vulſorúmq; cataplaſmata vtiliſsimè additur.

Ocimini compoſitio. Cap. LX.

Ociminum oleum fit vt cyprinum: Ocimi folia decerpta librarum vndecim, & beſſis pondo, die noctúque viginti olei libris macerato, premito, colato: cúmque exhauſeris quallum, rurſus parem olei modum fundito, & exprimito. Vocatur autem id ſecundarium: nam tertiæ perfuſionis non eſt capax. Deinde recens ocimum æquali pondere, vt in roſaceo diximus, rurſus maceratur, & cùm tanto temporis ſpatio maduerit, exprimitur, & oleum reconditur. quod ſi in animo fuerit ter aut quater madefacere, ſemper ocimum recens addes. Poteſt ex omphacino cõfici: ſed illo modo melius. Idem quod ſampſuchinum poteſt, ſed inefficacius.

Abroto-

βρυα ἐπισπᾶται, καὶ πνίγας ὑστερικὰς ἀνακτᾶται, ὀσφύων τε καὶ βουβώνων ἀλγήματα πραΰνει, σὺν μέλιτι δὲ αὐτῷ χρῆσθαι βέλτιον, ἐπεὶ τῇ σφοδρᾷ στύψει σκληρύνει τοὺς τόπους, λύει καὶ κόπους συγχριόμενον, εἴς τε τὰ ἐπὶ τῶν ὀπισθοτονικῶν καταπλάσματα, ἐπιτηδείως μίγνυται, καὶ τῶν ἄλλως σπωμένων.

Περὶ ὠκιμίνου σκευασίας. Κεφ. ξ'.

Λαβὼν ἐλαίου λίτρας κ'. ὠκίμου σταθμῷ λίτρας ια'. οὐγγίας η'. ἀποφυλλίσας, ἀπόβρεχε νύκτα καὶ ἡμέραν ἐν τῷ ἐλαίῳ, εἶτα ἔξιπου καὶ ἀποτίθεσο· ἐκκενώσας δὲ τὰ ἀπὸ τῆς κυρτίδος, ἐπίχει πάλιν τὸ ἴσον πλῆθος τοῦ ἐλαίου καὶ ἔξιπου. καλεῖται δὲ τοῦτο δευτερεῖον· τρίτην γὰρ οὐκ ἐπιδέχεται βροχήν. εἶτα πρόσφατον ὤκιμον λαβὼν ἴσον, πάλιν ἀπόβρεχε ὡς ἐπὶ τοῦ ῥοδίνου εἴρηται, τὸ δὲ ἤδη ἀποβεβρεγμένον ἐπιχέων καὶ ἐῶν τὸν αὐτὸν χρόνον, ἔκθλιβε καὶ ἀποτίθεσο. κἂν τρὶς δὲ ἢ τετράκις θέλῃς, ἀπόβρεχε, πρόσφατον ἀεὶ ὤκιμον ἐμβάλλων. δύναται δὲ καὶ ἐκ τοῦ ὀμφακίνου σκευάζεσθαι· βέλτιον δὲ ἐκείνως. δύναται δὲ τὰ αὐτὰ τῷ σαμψυχίνῳ ἔλαττον ἐνεργοῦν.

Περὶ

Περὶ Ἀβροτονίνου σκευασίας. Κεφ. ξα΄.

Ἀβροτόνινον ἐκ τοῦ εἰς τὸ κύπριον ἡρωματισμένου ἐλαίου λίτρας θ΄. οὐγγίας ε΄. ἀβροτόνου φύλλων λίτρας η΄. ἐμβαλὼν καὶ ἀποβρέξας, νύκτα καὶ ἡμέραν ἐξίπου. πολυχρόνιον δ' εἰ βούλει ποιῆσαι, ἐκβαλὼν τὰ πρῶτα φύλλα, ἔμβαλε ἕτερα φύλλα, καὶ ἐναποβρέχων ἔκπιεζε. Δύναμιν δὲ ἔχει θερμαντικὴν, ποιοῦσαν πρὸς τὰς ἐν ὑστέρᾳ μύσεις καὶ σκληρίας, ἄγον ἔμμηνα καὶ δεύτερα.

Abrotonini compoſitio. Cap. LXI.

Olei cyprini odoribus imbuti libris nouem & quincunce, foliorum abrotoni libras octo die noctúque madefactas, premito. Quòd ſi in longum tempus oleum velis aſſeruari, eiectis prioribus foliis noua appones, & macerata exprimes. Calfacit, ad vuluæ duritias præcluſionéſque efficax eſt, menſtrua & ſecundas pellit.

Περὶ Ἀνηθίνου σκευασίας. Κεφ. ξβ΄.

Ἐλαίου λίτρας η΄. οὐγγίας* θ΄. ἀνήθου ἀνθοῦς λίτρας ια΄. οὐγγίας η΄. ἐναπόβρεχε τῷ ἐλαίῳ ἡμέραν α΄· εἶτα ἔκπιεζε ταῖς χερσὶ καὶ ἀποτίθεσο. ἐὰν δὲ θέλῃς διάβροχον ποιῆσαι, πρόσφατον ἀνήθου ἄνθος ὡσαύτως ἀπόβρεχε. δύναται δὲ μαλάσσειν τὰ περὶ μήτραν καὶ ἀναστομοῦν, ἁρμόζον πρὸς τὰ περιοδικὰ ῥίγη θερμαῖνον καὶ *κόπους λύον, καὶ ἀλγήματα ἄρθρων ὠφελοῦν.

Anethini compoſitio. Cap. LXII.

Olei libris octo & dodrãte, florũ anethi libras vndecim & beſſem, maceratas in oleo die vna, manibus premito & recõdito. Quod ſi iterũ perfundere velis, recẽtes anethi flores cõſimiliter madefacito. Vuluarum duritias emollit, venarũ ſpiracula laxat, cõtra horrores febriũ circuitu redeũtes auxiliat̃: calfacit enĩ, & laſsitudines diſcutit: prodeſt articulorũ doloribus.

Περὶ Σουσίνου σκευασίας. Κεφ. ξγ΄.

ΤΟ δὲ σούσινον, ὃ ἔνιοι κρίνινον καλοῦσιν, οὕτω σκευάζεται· ἐλαίου λίτρας θ΄. οὐγγίας ε΄. καλάμου λίτρας ε΄. οὐγγίας γ΄. σμύρνης οὐγγίας ε΄. φυράσας

Suſinum. Cap. LXIII.

Suſinum, quod alij lilinum appellant, ſic temperatur: Olei libræ nouem cum quincunce, calami libræ quinque & quadrans, myrrhæ vnciæ quinque,

permixto odorifero vino decoquuntur & colato oleo, cardamomi tuſi & cœleſti aqua madefacti libræ tres, & ſemis macerantur, premuntúrque, tres libræ cum ſemiſſe ſpiſſati olei aſſumũtur, mille lilia decerptis foliis, in latũ, non tamẽ profundum, labellum demittuntur: iniectum oleum, manibus melle perũctis agitatur: die noctúque conquieſcunt, & in pyxidem matutinis exprimuntur, quod defluet oleũ, protinus ab aqua, quæ ſimul expreſſa fuerat, colo ſecerni oportet: (nõ enim, vt roſaceum, moram tolerat: nam concalfactum feruet & cõputreſcit: quare ſæpius decapulandum) vaſa melle illinenda tenuis ſal inſpargendus, & ſi qua ſordes vaſis faucibus hæſit, eximenda. Odoramentis iam expreſſis ex quaſillo in labellum trãſfuſis, rurſum olei prius odoribus imbuendi, quod primum pondus æquet, & cardamomi tuſi drachmæ decem coniiciuntur. Hæc manibus ſcitè preſſa interiecta breui mora exprimuntur: quod profluit, repurgatur. Tertio eadẽ infundũtur, adiecto cardamomo, & ſale, & manibus melle madefactis. Longè

φυράσας οἴνῳ εὐώδει, ἕψε, εἶτα ἀπηθήσας τὸ ἔλαιον, ἀπόχει μετὰ καρδαμώμου κεκομμένου καὶ βεβρεγμένου ὕδατι ὀμβρείῳ λίτρας γʹ. οὐγγίας ϛʹ. καὶ ἐάσας βραχὺ ἐναποθλίβε· καὶ λαβὼν ἐκ τοῦ ἐσυμμένου ἐλαίου τρεῖς καὶ ἥμισυ λίτρας, κρίνα ἀριθμῷ χίλια, ἀποφυλλίσας, θὲς ἐν λυτῆρι πλατεῖ. μὴ βαθεῖ ἐπιχέας τε τὸ ἔλαιον, ἀνακίνει ταῖς χερσὶ μέλιτι κεχρισμέναις· ἐάσας δὲ ἡμέραν μίαν καὶ νύκτα, πρωῒ ἀνελόμενος εἰς πυξίδα ἐξίπου, τὸ δὲ φερόμενον ἀπόθει εὐθέως ἀπὸ τοῦ συνεκθλιβέντος ὕδατος τῷ ἐλαίῳ· οὐ γὰρ ὑπομένει ὡς τὸ ῥόδινον, συνθερμαινόμενον δὲ ἀναζεῖ καὶ σήπεται, μετάγγιζε δὲ πολλάκις εἰς ἕτερα ἀγγεῖα μέλιτι κατακεχρισμένα προσπάσσων ἅλα λεπτὸν, καὶ τὴν συλλεγομένην ἀκαθαρσίαν ἐπιμελῶς ἀφαιρῶν, μετακεράσας δὲ ἐκ τοῦ κοιλιδίου τὸ ἐξιπωθὲν ἄρωμα εἰς τὸν λυτῆρα, πάλιν ἐπίχει τοῦ ἠρωματισμένου ἐλαίου τὸ ἴσον πλῆθος τῷ προτέρῳ, καὶ καρδαμώμου κεκομμένου συνέμβαλλε ὁλκὰς ιʹ. καὶ ἀνακινήσας χρησίμως ταῖς χερσὶ, καὶ ἐπισχὼν μικρὸν, ἐξίπου, τὸ ἀπορρέον ἀποκαθαίρων. καὶ τρίτον ἐπιχέας πάλιν τὸ αὐτὸ ποίει, προσεπεμβάλλων καὶ τὸ καρδάμωμον καὶ τοὺς ἅλας ὁμοίως, καὶ τὰς χεῖρας βρέχων τῷ μέλιτι θλίβων.

καὶ

καὶ ἔσται τὸ μὲν πρότερον ἐκπιεσθὲν ἄριστον· ἐχόμενον δὲ τὸ ἑξῆς· τρίτον τὸ τελευταῖον. καὶ πάλιν λαβὼν χίλια κρίνα καὶ ἀποφυλλίσας διάθες· καὶ ἐπιχέας τὸ πρῶτον ἐξιπωθὲν μύρον δεῦε, τὰ αὐτὰ ποιῶν ὡς προεποίεις ἐπὶ τοῦ πρώτου, καρδάμωμον παραμίσγων, εἶτα ἐξιπῶν, ποίει τὰ αὐτὰ καὶ ἐπὶ τοῦ δευτέρου καὶ τρίτου ὡς εἴρηται. προσεμβάλλων καὶ τὸ καρδάμωμον· εἶτα ἐξίπου καὶ ποίει τὰ αὐτά. ὁσάκις δ᾽ ἂν ἀποβρέξῃς νεαρὰ κρίνα δυναμικώτερον ἕξεις τὸ μύρον. ἐπὶ τέλει δὲ ὅταν αὐτάρκως ἔχειν σοι δοκῇ, μίσγε ἑκάστῃ σκευασίᾳ σμύρνης χρηστῆς < οβʹ. κρόκου < ιʹ. καρδαμώμου < οεʹ. οἱ δὲ κρόκου καὶ κινναμώμου τὸ ἴσον κόψας ἔμβαλε εἰς τὸν λουτῆρα μεθ᾽ ὕδατος, καὶ ἐπίχεε τὸ πρῶτον ἐκπιεσθὲν μύρον· εἶτα ἐάσας μικρὸν, ἀναλάμβανε εἰς ἀγγεῖα μικρὰ ξηρὰ προκεχρισμένα κόμμι ἢ σμύρνῃ, καὶ κρόκῳ καὶ μέλιτι μεθ᾽ ὕδατος διεμένοις. τὰ δ᾽ αὐτὰ ποίει καὶ ἐπὶ τοῦ δευτέρου ἐκπιέσματος καὶ ἐπὶ τοῦ τρίτου. ἔνιοι δὲ τὸ ἁπλοῦν ἐξ ἐλαίου βαλανίνου καὶ κρίνου ἢ ἄλλου ἐλαίου σκευάζουσι. δοκεῖ δὲ διαφέρειν τὸ ἐν φοινίκῃ, καὶ ἐν αἰγύπτῳ γινόμενον. ἄριστον δὲ αὐτοῦ τὸ ὄζον κρίνου. Δύναμιν δὲ ἔχει θερμαντικὴν, μαλακτικὴν, ἀναστομωτικὴν, τῶν περὶ μήτραν μύσεων καὶ φλεγμονῶν.

καὶ

Longè optimũ erit, quod prius exprimitur: ſecũdum quod ſequitur: tertium locum ſibi vendicat, quod nouiſsimum prodit. Denuo in mille lilia euulſis foliis expreſſum primo oleum infunditur: tum eadem ratione proſequendum, idemq; faciẽdum, vt prius, addito cardamomo, dein expreſſo: & quò frequentius recentia lilia maceraueris, eò validius vnguentum efficies. Denique cũ factũ abundè videbitur, ſingulis cõpoſitionibus miſcere conuenit myrrhæ q̃ optimæ duas & ſeptuaginta drachmas, & croci decem, cardamomi quinq;, & ſeptuaginta: croci verò & cinnamomi pares portiones tunduntur, & cribratę in lutrã cũ aqua demittũtur, expreſſumq; primò vnguentum infunditur, & paulò pòſt excipiũtur vaſculis ſiccis, myrrha aut gũmi anteà perfuſis, & croco, melle & aqua madefactis. Eadẽ fiunt in altera aut tertia expreſsione. Aliqui ſimplex ex balanino, alióve oleo, & liliis componũt. Optimũ eſſe cõſtat in Phœnice, mox Ægypto factũ. Sed cũ primis laudat̃, qđ lilia redolet. Excalfacit, emollit, vuluæ præcluſiones, et collectiões aperit.

 vtiliſsi-

vtiliſsimũ ad muliebria mala: vlcera in capite manãtia, ferui das eruptiões, varos, furfuréſq; emẽdat: vibices cicatricéſq; celerrimè ad colorẽ reducit, ita vt ſæpe fallãt. In ſumma extenuat, potũ bilẽ per aluũ extrahit, vrinam ciet: ſed ſtomacho alienum eſt, & nauſeam parit.

Narciſsinum. Cap. LXIIII.

Narciſsini olei ſpiſſamenta ita fiũt: Sex libræ aſpalathi cum ſextãte tũdunt, olei eloti libræ ſeptuaginta cũ vnciis quinque aſſumũtur. Aſpalathꝰ aqua madefactꝰ in tertia olei parte coquit: quo exẽpto, calamꝰ quinque libris, & beſſe adiicitur, cũ myrrhæ gleba cõtundit, cribrataq; ac vino veteri odorato imiſta, decoquitur: ſimul ac autem cũ ijs efferbuerit, eximit: refrigeratũ oleũ excolatur, cuius portio in labellũ mittitur, flores narciſsi quãplurimi cõijciũtur: qui bidui ſpatio (vt in ſuſino dictũ eſt) permoti exprimunt. Oleũ ſubinde decapulãdum, ſiquidẽ celerrimè putredinem ſentit. Valet hoc ad emolliendas vuluæ duritias, ꝑcluſionéſq;: ſed capitis dolores facit.

Crocinum. Cap. LXV.

Cũ crocinũ cõponere voles,

prius

καὶ καθόλου πάντων ἐστὶ χρησιμώτατον πρὸς τὰ γυναικεῖα· ἁρμόζει δὲ καὶ πρὸς ἀχῶρας, ἰόνθους, πίτυρα· ἐκζέματα, μώλωπάς τε ταχέως μεταβάλλει καὶ ὁμόχρους ποιεῖ. καὶ καθόλου ἐστὶν ἀραιωτικόν, ἄγει δὲ καὶ χολὴν κατὰ κοιλίαν πινόμενον· κινεῖ δὲ καὶ οὔρησιν. ἔστι δὲ καὶ κακοστόμαχον, καὶ ναυτίας ποιητικόν.

Περὶ Ναρκισσίνου σκευασίας. Κεφ. ξδʹ.

Ἔλαιον ναρκίσσινον στύφεται οὕτως· ἐλαίου πεπλυμένου λίτρας οʹ. οὐγγίας εʹ. ἀσπαλάθου λίτρας ϛʹ. οὐγγίας βʹ. κόψας καὶ βρέξας ὕδατι, τῷ τρίτῳ τοῦ ἐλαίου μίξας, ἕψε. εἶτα ἐξελὼν τὸν ἀσπάλαθον καλάμου βάλε λίτρας εʹ. οὐγγίας ηʹ. καὶ σμύρνης χόνδρον κόψας καὶ σήσας, φύρασον οἴνῳ παλαιῷ εὐώδει, καὶ μίξας ἕψε· ὅταν δὲ καὶ μετὰ τούτων ἀναζέσῃ, ἐξελὼν ἀπήθει τὸ ἔλαιον ψυχθέν· εἶτα λαβὼν ἐκ τοῦ ἐλαίου εἰς λουτῆρα, ἀπόχει, καὶ τοῦ ναρκίσσου ὡς ὅτι πλεῖστον ἔμβαλε τὸ ἄνθος, ἐπὶ ἡμέρας βʹ. κινῶν. ὡς ἐπὶ τοῦ σουσίνου, ἐξίπου τε καὶ μετάγγιζε πυκνῶς, καὶ γὰρ τοῦτο σήπεται. ποιεῖ δὲ πρὸς τὰ ἐν ὑστέρᾳ, μαλάσσον τὰς περὶ αὐτὴν σκληρείας καὶ μύσεις· ἔστι δὲ κεφαλαλγές.

Περὶ κροκίνου σκευασίας. Κεφ. ξεʹ.

Κρόκινον δὲ σκευάζων, προσύ-

ψεις

-ψεις τὸ ἔλαιον ὡς εἴρηται ἐπὶ τοῦ σουσίνου, πλήθει καὶ συσταθμίᾳ τῇ αὐτῇ· λαβὼν δὲ ἐκ τοῦ ἐστυμμένου ἐλαίου εἰς τὸ σούσινον λίτρας τρεῖς ἥμισυ βάλε κρόκου < η'. καὶ ἀνακίνει πολλάκις τῆς ἡμέρας, ποιῶν τοῦτο συνεχῶς ἐπὶ ἡμέρας ε'. τῇ δὲ ἕκτῃ ἀπόχει τὸ ἔλαιον ἀπὸ τοῦ κρόκου καθαρείως, τῷ δ' αὐτῷ κρόκῳ ἐπίχει τὸ ἴσον πλῆθος τοῦ ἐλαίου καὶ ἀνακίνει ἡμέρας γ'. εἶτα ἀποχέας πρόσμιξον σμύρνης κεκομμένης καὶ σεσησμένης < μ'. καὶ κίνει ἐν ὅλμῳ χρησίμως, εἶτα ἀπόθου. ἔνιοι δὲ τὸ ἴσον εἰς κύπρινον ἠρωματισμένου ἐλαίου καὶ εἰς τὸ κρόκινον χρῶνται. ἔστι δὲ αὐτοῦ κράτιστον, τὸ κατακόρως κρόκου πνέον, ὅπερ εἰς τὴν ἰατρικὴν χρῆσιν ἁρμόζει. δεύτερον δὲ τὸ τῇ σμύρνῃ παρεμφέρον. Δύναμιν δὲ ἔχει θερμαντικήν, ὑπνωτικήν, ὅθεν πολλάκις ἐπὶ φρενιτικῶν ἁρμόζει καταβρεχόμενον, ἢ ἀποσφραινόμενον, ἢ καὶ κατὰ μυξωτήρων διαχριόμενον· ἔστι δὲ καὶ πυοποιόν, καὶ καθαρτικὸν ἑλκῶν, καὶ πρὸς τὰς ἐν μήτρᾳ σκληρίας καὶ μύσεις καὶ τὰ ἐν αὐτῇ κακοήθη, σὺν κηρῷ καὶ κρόκῳ καὶ μυελῷ καὶ ἐλαίῳ διπλασίονι. συμπέπτει γὰρ καὶ μαλάσσει καὶ ὑγραίνει καὶ πραΰνει· ποιεῖ καὶ πρὸς τὰς ἀπογλαυκώσεις μεθ' ὕδατος ὑπαλειφόμενον. ἀναλογεῖ δὲ αὐτῷ καὶ τὸ λεγόμενον βουτύρινον καὶ ὀνύχινον, καὶ στυράκινον, τοῖς ὀνόμασι μόνοις διαφέροντα, τῇ μέντοι

σκευασία

prius olei, vt in ſuſino dixim9, ſpiſſamenta facies, eiſdem póderibus, & menſuris: cuius olei libras treis & ſemiſſem, croci vnciam vnam aſſumes, idétidem quotidie moueto, & ſexta die, quàm hoc aſsiduo ꝑegeris, oleum á croco colis incernito, eidem croco parem olei modum adiicito, moue triduo, dein contuſæ myrrhæ atque cribratæ drachmas quadraginta permiſceto, & in pila agitatum recondito. Aliqui oleo aromatibus ad cyprinum imbuto in crocini cópoſitione vtuntur. Optimum eſt, quod abundè crocum ſpirat, in medendi vſu expetitum. Proximum, quod myrrham refert. Calfacit, ſomnum allicit, quare perſæpe phreniticis ſubuenit, perfuſum, aut naribus admotum, aut illitum: pus mouet, vlcera purgat, contra vuluæ duritias atque præcluſiones, & vlcera, quæ cacoëthe vocantur, prodeſt cum croco, cera, medulla, duplicato olei pondere. Concoquit enī, emollit, humectat, & permulcet: ad oculorū glaucitates ex aqua illinitur. Huic autē ꝓportione reſpódét butyrinū, onychinū & ſtyracinum: quæ etſi

 nomi-

nominibus diſtant, viribus & compoſitione cognata ſunt.

Cyprini ſpiſſamentum. Cap. LXVI.

Olei omphacini eloti pars vna, aquæ cœleſtis tantundem cum ſemiſſe, cuiꝰ vna parte oleum diluitur, altera adiiciẽdis odoramentis admiſcetur: dein aſſumptis aſpalathi libris quinq;, & ſemiſſe, calami libris ſex, & ſemiſſe, myrrhæ libra vna, cardamomi libris tribꝰ, & dodrãte, olei libris nouem, & vnciis quinque. Aſpalathus tuſus, & aqua affuſus decoquitur in oleo donec conferueſcat, myrrha autem vino vetere odorifero ſubacta, contuſusq; ſimul calamus, digeruntur in offulas, quæ exempto aſpalatho immittũtur: & vbi efferbuerint, ſublato aheno, oleum percolatur. Cardamomũ tuſum reliqua aqua aſperſum infundit, ſpatha agitat, nulla, dũ refrixerit, interpellatione. Poſt hęc collato oleo, in viginti octo libras olei, floris liguſtri, qđ cyprũ vocãt, ſex & quadraginta libræ cum beſſe inſtillant, q̃ ſufficiẽter madefactæ per ſportulã exprimũtur. Quòd ſi copioſiꝰ deſideretur, idem recentium florũ põdus iniectũ ſimili modo ꝓmat.

&

σκευασίᾳ καὶ τῇ δυνάμει ὄντα παρόμοια.

Περὶ Κυπρίνου σύψεως καὶ σκευασίας ἐλαίου. Κεφ. ξϛ΄.

Ἐλαίου ὀμφακίνου πεπλυμένου μέρος ά, ὕδατος ὀμβρίου μέρος αϛ΄. τὸ μὲν ἐπέχει τῷ ἐλαίῳ, τὸ δὲ φύρα σὺν τοῖς ἐμβληθησομένοις ἀρώμασιν· εἶτα λαβὼν ἀσπαλάθου λίτρας έ, ἥμισυ, καλάμου λίτρας ϛ΄, ἥμισυ· σμύρνης λίτραν ά. καρδαμώμου λίτρας γ΄. οὐγγίας θ΄. καὶ ἐλαίου λίτρας θ΄. οὐγγίας έ, τὴν ἀσπάλαθον κόψας καὶ βρέξας ἐν ὕδατι ἐμβαλὼν, ἕψε μετὰ τοῦ ἐλαίου ἕως ἂν συναναζέσῃ, τὴν δὲ σμύρναν, δεὶς οἴνῳ παλαιῷ εὐώδει τὸν κάλαμον κεκομμένον σὺν ἀναφύρα μετὰ τῆς σμύρνης, καὶ ἐξελὼν τὴν ἀσπάλαθον, ἔμβαλε τὸ φύραμα τοῦ καλάμου· ὅταν δὲ μετὰ τούτου ζέσῃ, καθελὼν ἀπήθησον τοῦ χαλκοῦ τὸ ἔλαιον. καὶ καταχεῖ κατὰ τοῦ καρδαμώμου κεκομμένου καὶ πεφυραμένου τῷ λοιπῷ ὕδατι, καὶ κινεῖ σπάθῃ, ἕως ἂν ψυγῇ μὴ διαλείπων. εἶτα ἀπηθήσας τὸ ἔλαιον, ἔμβαλε εἰς τὰς κή. τοῦ ἐλαίου λίτρας ἄνθους κυπείρου λίτρας μϛ΄. οὐγγίας ή. ἐάσας τε ἀποβραχῆναι, ἐξίπωσον διὰ σπυρίδος. ἐὰν δὲ πλείω θέλῃς, τοῦ νεαροῦ ἄνθους τὸ ἴσον ἐμβαλὼν πλῆθος ὁμοίως ἐξίπου.

ἐὰν

ἐάν τε δίβροχον ἐάν τε τρίβροχον βούλῃ ποιεῖν· δυναμικώτερον γὰρ γίνεται. ἐκλέγεσθαι δὲ δεῖ τὸ χρηστὸν καὶ μετ' εὐωδίας πληκτικόν. ἔνιοι δὲ καὶ κιννάμωμον μίσγουσι. Δύναμιν δὲ ἔχει θερμαντικὴν, μαλακτικὴν, ἀναστομωτικὴν, ἁρμόζουσαν τοῖς περὶ μήτραν καὶ νεῦρα πάθεσι, καὶ πλευριτικοῖς καὶ κατάγμασι, καθ' ἑαυτὸ καὶ κηρωτῇ μιγνύμενον. μίγνυται δὲ καὶ μαλάγμασι τοῖς ἁρμόζουσιν, ὀπισθοτονικοῖς, συναγχικοῖς, βουβώνων φλεγμονῇ, καὶ ἀκόποις.

Περὶ Στύψεως Ἰρίνου.

Κεφ. ξζ'.

Σπάθης λίτρας ϛ'. οὐγγίας η'. ἐλαίου λίτρας ογ'. οὐγγίας ε'. κόψας ὡς λεπτότατα, μίξον ὕδατος κοτύλας ι'. καὶ βαλὼν ἐς χαλκοῦν, ἕψε μέχρις ἂν οὗ τὴν ὀσμὴν ἀναλάβοι· εἶτα ἀπήθει εἰς κρατῆρα μέλιτι κατακεχρισμένον· ἐκ τούτου τοῦ ἠρωματισμένου ἐλαίου, τὸ πρῶτον ἴρινον σκευάζεται, ἐναποβρεχομένης τῷ ἐστυμμένῳ ἐλαίῳ ἴρεως ὡς ὑπογέγραπται, ἢ οὕτως· ἐλαίου λίτρας ο'. οὐγγίας ε'. ξυλοβαλσάμου λίτρας ε'. οὐγγίας β'. κόψας ὡς εἴρηται, σύνεψε· εἶτα ἐξελὼν τὸ ξυλοβάλσαμον, πρόσεμβαλε καλάμου κεκομμένου λίτρας θ'. οὐγγίας

& iterũ aut tertiò ſi quis velit, madefacere poterit,& ita reddetur efficacius. Eligi oportet bonum,quod cum odoris ſuauitate nares feriat. Aliqui cinnamomum addunt. Calfacit, emollit, ora venarum adaperit, vuluæ neruorúmque vitiis conuenit, pleuriticis, fractíſque per ſe vel cerato immiſtum:malagmatis imponi ſolet,quæ opiſthotonicis,angina laborantibus,inflammationíq; inguinum opitulantur: item in acopa adiicitur.

Irini ſpiſſamentum.

Cap. LXVII.

Spathæ quàm minutiſsimè contuſæ ſex libras cum beſſe, in tribus & ſeptuaginta libris, & quincunce olei, æreo vaſe, additis decem aquæ heminis incoquito, quoad odorem acceperit: poſtea in capulam melle oblitam colato: ex eo aromatibus imbuto oleo, irinum primò temperatur, irine ex oleo inſpiſſato macerata, vt ſcripſimus.Sed alia eſt componendi ratio: In olei ſeptuaginta libris & quincunce, xylobalſami(vt dictum eſt) contuſi, libras quinque & ſextantem excoquito, poſtea detracto xylobalſamo nouẽ libras,

&

& dextantem adiicito, & myrrhæ glebam vetere vino odorato perfuſam, & in olei ita odoribus imbuti quatuordecim libris, totidem tuſæ iridis, binis diebus ac noctibus madefacito, ſtrenuè & vehementer diſtringito. Quòd ſi vis validius fieri, par pondus iterum ac tertio ſimiliter maceratum exprimito. Lōgè optimum eſt quod ſolā irin olet, quale eſt in Perga Pamphiliæ, & Elide Achaiæ natum. Vim habet calfactoriam atque emolientem, cruſtas adimit, ſordida vlcera & putrida purgat, confert fœminis vuluæ cauſariis. Item inflammatiouibus eiuſdem atque præcluſionibus, partus eiicit, hæmorrhoidas recludit, contra aurium ſonitus ex aceto, ruta & amaris nucibus, prodeſt: diuturnis deſtillationibus, naribus illitum, & contra graueolentia earum vlcera, quas ozænas vocant, auxiliatur: aluum purgat cyathus epotus, facit ad ilei cruciatus, vrinam mouet, difficileis vomitiones adiuuat, perūctis eo digitis & immiſsis, vel iis quæ ad vomitum ciendum induntur: anginæ etiam illinitur, aut ex aqua mulſa gargarizatur: item

οὐγγίας ι. σμύρνης χόνδρον οἴνῳ παλαιῷ ἐμβρέχων εὐώδει· εἶτα λαβὼν ἐκ τοῦ ἐσυμμένου ἐλαίου καὶ ἠρωματισμένου λίτρας ιδʹ. ἐναπόβρεχε, ἴρεως κεκομμένης ἴσον τῷ σταθμῷ, ἐῶν ἡμέρας βʹ. καὶ νύκτας βʹ. εἶτα ἔξιπου βιαίως καὶ νεανικῶς. καὶ εἰ βούλει δυναμικώτερον εἶναι, τὸν ἴσον σταθμὸν καὶ δὶς καὶ τρὶς ὁμοίως ἐναποβρέχων ἔξιπε. κράτιστον δὲ ὑπάρχει τὸ ἐν ὀσφρήσει μηδενὸς ἄλλου, μόνης δὲ τῆς ἴριδος ποιοῦν. τοιοῦτον δέ ἐστι τὸ ἐν πέργῃ τῆς παμφυλίας, καὶ ἐν ἤλιδι τῆς ἀχαΐας γινόμενον. Δύναμιν δὲ ἔχει μαλακτικήν, θερμαντικήν, ἐσχάρας τε καὶ σηπεδόνας καὶ ῥυπαρίας ἀνακαθαίρει, καὶ ταῖς περὶ μήτραν διαθέσεσιν ἁρμόζει, φλεγμοναῖς τε καὶ μύσεσιν, ἔμβρυά τε ἐκβάλλει, καὶ αἱμορροΐδας ἀναστομοῖ, πρός τε ἤχους ὤτων σὺν ὄξει καὶ πηγάνῳ καὶ πικροῖς ἀμυγδάλοις, καὶ πρὸς κατάρροις χρονίζοντας, διαχριομένων τῶν μυξωτήρων, καὶ πρὸς ὀζαίνας· καθαίρει δὲ καὶ τὴν κοιλίαν, κυάθου πλῆθος ποθέν. ποιεῖ καὶ πρὸς εἰλεώδη, κινεῖ καὶ οὖρα. καὶ ἐπὶ τῶν δυσχερῶς ἐμούντων, διαχριομένων τῶν δακτύλων, ἢ τῶν ἐμετηρίων, καὶ ἐπὶ συναγχικῶν διαχριόμενον ἢ ἀναγαργαριζόμενον σὺν μελικράτῳ.

καὶ

καὶ πρὸς τραχύτητα ἀρτηρίας. δίδοται καὶ τοῖς κώνειον ἢ μύκητας ἢ κόριον πεπωκόσιν.

Περὶ Γλευκίνου σκευασίας. Κεφ. ξή.

Γλεύκινον δὲ σκευάζεται τὸ ἁπλοῦν, ἔκ τε ἐλαίου ὀμφακίνου, καὶ σχοίνου, καὶ καλάμου, καὶ νάρδου κελτικῆς, καὶ σπάθης, καὶ ἀσπαλάθου, καὶ μελιλώτου, καὶ κόστου, καὶ γλεύκοις συμπεριτιθεμένων τῶν στεμφύλων τῷ ἔχοντι ἀγγείῳ τὰ ἀρώματα καὶ τὸν οἶνον, καὶ τὸ ἔλαιον. κινεῖται δὲ ἐπὶ ἡμέρας λ΄. δὶς τῆς ἡμέρας, καὶ μετὰ ταῦτα ἐκπιεσθὲν, ἀποτίθεται. Δύναμιν δὲ ἔχει θερμαντικὴν, μαλακτικὴν, ἀνετικήν· ποιοῦσαν πρὸς τὰ ῥίγη καὶ τὰ νευρικὰ πάθη, καὶ τὰ ἐν ὑστέρᾳ. παντὸς δὲ ἀκόπου μᾶλλον ὠφελεῖ μαλακτικὸν ὄν.

Περὶ Ἀμαρακίνου. Κεφ. ξθ΄.

Ἀμαράκινον δὲ ἐν Κυζίκῳ κάλλιστον γίνεται· σκευάζεται δὲ διὰ τοῦ ὀμφακίνου ἐλαίου καὶ βαλανίνου στυφομένων ξυλοβαλσάμῳ,* σχοίνῳ, καλάμῳ, ἡδυνομένων δὲ, ἀμαράκῳ, κόστῳ, ἀμώμῳ, νάρδῳ, καρποβαλσάμῳ καὶ σμύρνῃ. οἱ δὲ πολυτελέστερον αὐτὸ ποιοῦντες, μίσγουσι καὶ κινάμωμον. παραλαμβάνεται δὲ μέλι καὶ οἶνος εἰς τὴν τῶν ἀγγείων χρῖσιν καὶ φύρασιν τῶν κεκομμένων ἀρωμάτων. ἔστι δὲ θερμαντικὸν, καρω-

item cõtra arteriæ ſcabritiem. datur etiam iis qui cicutã, coriandrum, aut venena fungorum hauſerunt.

Gleucinum. Cap. LXVIII.

Gleucinum abſolutè conſtat omphacino oleo, iunco odorato, calamo, celtica nardo, ſpatha, aſpalalatho, ſertula campana, coſto, & muſto: circundatis interim vinaceis vaſi, quod aromata, vinum & oleum cõceperat. Tricenis diebus, his in die mouetur poſtea expreſſum oleũ reconditur. Calfacit, emollit, remittit: horroribus & neruorum vuluæque vitiis auxiliatur. omni acopo iuuãtius: quippe quòd emolliat.

Amaracinum.

Cap. LXIX.

Amaracinum longè optimũ in Cyzico fieri ſolet ex omphacino & balanino, ſpiſſamentis è xylobalſamo, iũco odorato, & calamo factis, conditiſq; amaraci, coſti, amomi, nardi, caſſiæ, carpobalſami & myrrhæ odorib⁹. Aliqui, quò precioſius fiat, cinnamomum addũt. Mel autem & vinum aſſumuntur: hoc in vaſorum illitioné, illud ad cogendas tuſorum aromatum offas. Amaracinũ calfacit, ſopo-

ſoporem mouet, venarũ ſpiracula aperit, emollit, feruorem excitat, vrinam cit, putrilaginibus ac fiſtulis per quàm vtile: nec non humentibus herniis, poſtquam medica manus operam ſuam impenderit, cruſtas, & tetra vlcera, quæ theriomata vocant, rumpit: difficili vrinæ, illita ſede, & eius inflammationibus auxiliatur: hæmorrhoidas illitu ſoluit, vuluæ ſubditum menſtruos curſus euocat, duritias ac vuluæ tumores diſcutit, vulneratis neruis, & muſculis confert, laneo centunculo modicè madefactum & impoſitum.

καρωτικὸν, ἀναστομωτικὸν, μαλακτικὸν, πυρωτικὸν, οὐρητικὸν, εὔχρηστον εἴς τε τὰς σήπας καὶ σύριγγας, καὶ ὑδροκήλας μετὰ τὰς χειρουργίας· περιῤῥήσσει τε τὰς ἐσχάρας καὶ τὰ τεθηριωμένα ἕλκη· πρός τε δυσουρίαν ἁρμόζει περιχριόμενον τοῦ δακτύλου· καὶ πρὸς τὰς φλεγμονὰς αὐτοῦ, καὶ πρὸς αἱμορροΐδων ἀναστόμωσιν περιχριόμενον· ἔμμηνά τε κινεῖ προστιθέμενον τῇ μήτρᾳ, σκληρείας καὶ οἰδήματα ἐν ὑστέρᾳ διαφορεῖ, καὶ πρὸς τὰ νευρότρωτα καὶ μυότρωτα, συμφέρει ἐν πιλήμασιν ἀραιῶς βρεχόμενον καὶ ἐπιτιθέμενον.

Megalinũ. Cap. LXX.

Factitabatur olim megalinũ, ſed nunc compoſitio exoleuit & prorſus obliterata eſt. Cuius ad hiſtoriæ complementũ meminiſſe non fuit alienum. Miſtura cum amaracino eadem erat, ſed reſina exuperabat, hac tantum ratione differens. Quare leuiter emollit. Reſina vnguentis, neque tutelæ neque voluptatis gratia adiicitur, ſed coloris craſſamentiq; cauſa. Ea tantiſper coquitur, dum deſinat olere: cuius coquendæ ratio declarabitur, dum de reſina diſſeremus.

Περὶ μεγαλείου. Κεφ. ό.

Τὸ δὲ μεγαλεῖον καλούμενον, πάλαι μέν ποτε ἐσκευάζετο, ἐκλέλοιπε δὲ νῦν. πρὸς ἐκπλήρωσιν δὲ τῆς ἱστορίας, οὐκ ἔστιν ἄτοπον ἐπιμνησθῆναι. καὶ τούτου δὲ σκευασία ἡ αὐτὴ τῷ ἀμαρακίνῳ, πλεονάζει δὲ τῇ ῥητίνῃ, καὶ ταύτῃ διαφέρει. ἔστι δὲ μαλακτικὸν ἠπίως. ἡ μέν τοι ῥητίνη μίγνυται τοῖς μύροις, οὔτε φυλακῆς οὔτε ἡδονῆς χάριν, χρώματος δὲ καὶ πάχους ἕνεκα. μίγνυται δὲ ἡ τερεβινθίνη ἀφεψομένη, ἄχρις ἂν ἄοσμος γένηται. δηλωθήσεται δὲ ἐν τοῖς περὶ ῥητίνης ἡ ἕψησις αὐτῆς.

Hedy- Περὶ Ἡδύ-

Περὶ Ἡδυχρόου. Κεφ. οα΄.

Καὶ τὸ καλούμενον δὲ ἡδύχρουν, σκευαζόμενον δὲ ἐν Κῷ τῆς αὐτῆς ἔχεται δυνάμεώς τε καὶ σκευασίας τῷ ἀμαρακίνῳ, εὐωδέστερον δὲ τυγχάνει.

Περὶ Μετωπίου. Κεφ. οβ΄.

Σκευάζεται δὲ καὶ ἐν αἰγύπτῳ μύρον, ὅπερ ἐγχωρίως ὑπ' αὐτῶν καλούμενον μετώπιον, διὰ τὴν τῆς χαλβάνης μίξιν· τὸ γὰρ ξύλον ἐξ οὗ γεννᾶται ἡ χαλβάνη, μετώπιον καλεῖται. δι' ἀμυγδάλων δὲ πικρῶν καὶ ἐλαίου ὀμφακίνου καὶ καρδαμώμου, σχίνου τὲ καὶ καλάμου καὶ μέλιτος καὶ οἴνου καὶ σμύρνης καὶ βαλσάμου καρποῦ καὶ χαλβάνης καὶ ῥητίνης συντίθεται. δόκιμον δὲ ἐστι τὸ βαρύοσμον καὶ λιπαρὸν· ἐμφαῖνον μᾶλλον τοῦ καρδαμώμου καὶ τῆς σμύρνης, ἤπερ τῆς χαλβάνης. σφόδρα δὲ θερμαίνει καὶ πυροῖ καὶ ἀναστομοῖ, ἐπισπᾶταί τε καὶ καθαίρει ἕλκη· πρός τε νεῦρα καὶ μύας διακοπέντα ποιεῖ, ὑδροκήλας τὲ σὺν σηπτοῖς. μίγνυται δὲ καὶ μαλάγμασι καὶ κηρωταῖς. πρός τε ῥίγη καὶ ὀπισθοτονικῶς ἀγομένοις χρησιμεύει· κινεῖ δὲ καὶ ἱδρῶτας, καὶ ἀναστομοῖ τὰ περὶ ὑστέραν, καὶ σκληρείας τὰς περὶ αὐτὴν χαλᾷ. καὶ καθόλου μαλακτικὴν ἔχει τὴν δύναμιν.

Περὶ Μεν-

Hedychroum. Cap. LXXI.

Quod hedychroon vocant, in Co fieri ſolet: eiſdem præditum viribus & miſturis, quibus amaracinum, ſed ſuauius ſpirat.

Metopium. Cap. LXXII.

Fit in Ægypto vnguentum, quod metopion patrio nomine appellatur, propter galbani miſtionem: nã lignum in quo galbanũ enaſcitur, metopion vocãt. Cõſtat amaris nucibus, omphacino oleo, cardamomo odorato iunco, calamo, melle, vino, myrrha, balſami ſemine, galbano & reſina. Probatur pingue, graui odore, quod magis cardamomum & myrrhã, quàm galbanum reſipiat. Calfacit vehementer, & adurit, atque extrahit, ora vera venarũ aperit, vlcera purgat, extrahítque: ad præciſos neruos, & muſculos, ad hernias humore contractas, cum erodentibus medicamẽtis efficax eſt: ceratis & malagmatis inſeritur: horroribus, conuulſiſq; ptæſertim quibus ceruix in ſcapulas deiecta, & retrorſum cõtracta eſt, vtile habetur: ſudores ciet, vuluæ ſpiracula recludit, & eiuſdem duritias laxat: in ſumma molliendi naturam habet.

Men-

Mendeſium. Cap.LXXIII.

Mendeſium conſtat balanino oleo, myrrha, caſsia, & reſina. Aliqui tamen poſt ſingulorum pondera, cinnamomi exiguũ addunt, nullo compendio: nam quæ ſimul excocta non fuere, vim nullam exhibent. Similem metopio vim obtinet, ſed inferiorem multó.

Stacte. Cap. LXXIIII.

Stacte vocatur pinguitudo recẽtis myrrhę cũ exigua aqua tuſę, & organo expreſſę, Ea per quàm odorata, ac precioſa eſt: atq; vnguẽtũ per ſe facit, quod ſtacte nominatur. Maximè ꝓbatur, quæ nullã olei miſtionẽ admiſit, cuius minima portio cõpos eſt viriũ plurimarũ. Vim calfactoriã myrrhæ & calidis vnguentis reſpondentẽ habet.

Cinnamominũ. Cap.LXXV.

Cinnamominum conſit è balanino oleo, & xylobalſami, calami, iunci odorati ſpiſſamẽtis, atque cinnamoni, & feminis balſamini ſuauitate conditur, quadrupláque myrrhæ ad cinnamomum portione, mel ad cogenda omnia adiicitur. Laudatſ nõ acre, molli odore, planè myrrhã redolẽs, craſſum, odoratũ, guſtu perquã amaro.

Id

Περὶ Μενδησίου. Κεφ. ογ'.

Καὶ τὸ μενδήσιον δὲ λεγόμενον, ἐκ τοῦ βαλανίνου ἐλαίου καὶ σμύρνης καὶ κασσίας* καὶ ῥητίνης σκευάζεται. ἔνιοι δὲ μετὰ τὸν κατασταθμισμὸν, κιννάμωμον μικρὸν προσεπεμβάλλουσιν ἀνωφελῶς· οὐκ ἐνδίδωσι γὰρ τὰ μὴ συνεψημένα τὴν δύναμιν. ἐμφερῆ δὲ ἔχει τὴν ἐνέργειαν τῷ μετωπίῳ, ἥττονα μέντοι.

Περὶ Στακτῆς. Κεφ. οδ'.

Στακτὴ δὲ καλεῖται προσφάτου σμύρνης τὸ λιπαρὸν, κεκομμένης μεθ' ὕδατος ὀλίγου, ἀποτεθλιμμένου τε δι' ὀργάνου. εὐώδης τε λίαν καὶ πολυτελής ἐστι· καὶ καθ' ἑαυτὴν ἐστιν μύρον τὸ καλούμενον στακτή. δόκιμος δὲ ἐστιν ἡ ἀμιγὴς ἐλαίῳ καὶ ἐν ἐλαχίστῳ πλείστην δύναμιν κεκτημένη, οὖσα θερμαντικὴν, ἀναλογοῦσαν τῇ σμύρνῃ καὶ θερμαίνουσι τῶν μύρων.

Περὶ κινναμωμίνου. Κεφ. οε'.

Κινναμώμινον δὲ ἐκ τε ἐλαίου, βαλανίνου καὶ συμμάτων ξυλοβαλσάμου, καλάμου, σχίνου, ἡδυσμάτων δὲ, κινναμώμου, βαλσάμου καρποῦ, σμύρνης τετραπλασίονος παρὰ τὸ κιννάμωμον σκευάζεται. μίγνυται δὲ καὶ μέλι εἰς τὴν φύρασιν. δόκιμον δὲ ἐστι τὸ δριμὺ, μαλακὸν δὲ τῇ ὀσμῇ, καὶ παρεμφαῖνον σμύρνης, παχύ τε καὶ εὐῶδες, ἄγαν δὲ τῇ γεύσει πικρόν.

τὸ γὰρ

τὸ γὰρ τοιοῦτον οὐκ ἐκ ῥητίνης, ἀλλ' ἐκ σμύρνης ἔχει τὸ πάχος· ἡ γὰρ ῥητίνη οὐ προσδίδωσι πικρίαν, οὐδὲ εὐωδίαν. Δύναμιν δὲ ἔχει σφόδρα δριμεῖαν καὶ θερμαντικὴν καὶ πικράν. ἀναστομοῖ γοῦν, θερμαίνει καὶ διαφορεῖ, καὶ διαχεῖ, καὶ ἐπισπᾶται ὑγρὰ, καὶ πνεύματα· ἔστι δὲ καρηβαρικὸν, ποιεῖ δὲ καὶ πρὸς τὰ περὶ μήτραν σὺν ἐλαίῳ διπλασίονι καὶ κηρῷ, καὶ μυελῷ. οὕτω γὰρ ἀποβάλλει τὸ πολὺ τῆς δριμύτητος, καὶ γίνεται μαλακτικόν. ἄλλως γὰρ συγκαίει καὶ σκληρύνει βαιότατα πάντων τῶν παχέων μύρων. ποιεῖ καὶ πρὸς σύριγγας καὶ σήπτας ἐναργῶς· καὶ πρὸς ὑδροκήλας καὶ ἄνθρακας καὶ γαγγραίνας σὺν καρδαμώμῳ· πρός τε ῥίγη τὰ περιοδικὰ καὶ πρὸς τρόμους, καὶ τοὺς ἀπὸ τῶν ἰοβόλων θηρίων δακνομένους ἐν συγχρίσματι, ἐπίθεμά τε σκορπιοπλήκτοις καὶ φαλαγγιοδήκτοις.*

Περὶ ναρδίνου μύρου. Κεφ. οϛ´.

Νάρδινον μύρον ποικίλως σκευάζεται διὰ τοῦ μαλαβαθρίνου φύλλου καὶ δίχα τούτου· ὡς τὸ πολὺ δὲ μίγνυται τῷ βαλανίνῳ ἐλαίῳ, ἢ ὀμφακίνῳ· πρὸς μὲν τὴν στύψιν τοῦ ἐλαίου σχοῖνος· πρὸς δὲ τὴν εὐωδίαν κόστος, ἄμωμον, νάρδον, σμύρνα, βάλσαμον. ἔστι δὲ χρηστὴ ἡ λεπτὴ, μὴ δριμεῖα, ἔχουσα τὴν εὐωδίαν τῆς ξηρᾶς νάρδου

ἢ ἀ-

Id nõ àreſina,ſed myrrha craſſitudinẽ obtinuit: reſina enim neq; amaritudinẽ præbet, neque vllã odoris gratiã adiicit. Vim habet admodũ acrẽ,amarã, & calfacientẽ. Itaq; ora venarum aperit, calfacit,diſcutit, diffundit, humores & ſpiritus attrahit,caput aggrauat, cõtra vuluæ vitia cũ duplo oleo, cera,& medulla efficax eſt.Ita enim ferè multũ acrimoniæ exoleſcit, & quædã emolliẽdi vis contrahitur. alioqui adurit, & præ omnibus craſsis unguẽtis indurat.Facit mirũ in modum ad fiſtulas & vlcera quę putredinis vitiũ ſenſerunt:itẽ ad hernias humidiores,carbũculos,febriũ horrores,tremores,gãgrænásq; cũ cardamomo:aduerſus ſerpentiũ morſus illinitur, ſcorpionũ & phalangiorũ ictibus cum tritis groſsis imponitur.

Nardinum. Cap. LXXVI.

Ratio nardini faciundi euariat.Nam aut malabathrino folio,aut ſine eo fit: plerunq; autẽ balanino oleo, aut omphacino: iuncus odoratus ſpiſſamenti gratia adiicitur: ſicuti propter odoris ſuauitatem, coſtus, amomum, nardum, myrrha, balſamum. Laudatur tenue, non acre, nardi aridæ

aut

aut amomi odorem referens. Vis ei extenuans, acris, expurgat, excalfacit, abſterget humores, rarefacit. Hoc liquidũ eſt, nec habet ſtrigmenti craſsitudinẽ, niſi reſinã recipiat. Fit etiã ſimplex ex omphacino oleo, iũco, calamo, coſto & nardo.

Malabathrinũ. Cap. LXXVII.

Malabathrinum ſpiſſamenta nardini habet, inſuper myrrhæ pluſculũ additur: qua de cauſa calfacit, crocino aut amaracino viribus reſpondens.

Myrrha. Cap. LXXVIII.

Myrrha lachryma eſt arboris, quæ in Arabia gignitur, Ægyptiæ ſpinæ non diſsimilis: è cuius vulnere defluit lachryma in ſubiectas tegetes, alia circũ caudicẽ concreſcit. Dicitur ex his aliqua pediaſimos præpinguis, qua expreſſa, Stacte emittitur. Alia gabirea pinguiſsima, læto & pingui ſolo naſcẽs, ea copioſam ſudat ſtacten. Omnium prima eſt, quæ troglodytica appellatur, accepto cognomine à loco, in quo prouenit: ſplendens, ſubuiridis, ac mordens. Quinetiam legitur tenuis quædam, quæ à troglodytica ſecunda eſt, bdellij modo mollis, verum odore grauiuſcula, apricis naſcens.

Alia

ἢ ἀμώμου. Δύναμις δὲ αὐτῆς λεπτυντική, δριμεῖα, σμηκτική, ἀραιωτική ὑγρῶν, θερμαντική. ὑγρὰ δέ ἐστι καὶ οὐ γλοιώδης, ἐὰν μὴ ῥητίνην ἔχῃ. σκευάζεται δὲ καὶ λιτὴ δι᾽ ὀμφακίνου ἐλαίου καὶ σχίνου, καὶ καλάμου, καὶ κόστου, καὶ νάρδου.

Περὶ Μαλαβαθρίνου. Κεφ. οζʹ.

Τὸ δὲ μαλαβάθρινον, ἔχει μὲν στύμματα ἃ καὶ ἡ νάρδος, σμύρνης δὲ πλέον· διὸ καὶ γίνεται θερμαντικόν, ἀναλογοῦν τῷ κροκίνῳ καὶ ἀμαρακίνῳ τὴν δύναμιν.*

Περὶ Σμύρνης. Κεφ. οηʹ.

Σμύρνα δάκρυόν ἐστι δένδρου γεννωμένου ἐν ἀραβίᾳ, ὅμοιον τῇ αἰγυπτιακῇ ἀκάνθῃ· οὗ ἐγκοπτομένου ἀποῤῥεῖ τὸ δάκρυον εἰς ὑπεστρωμένας ψιάθους· τὸ δέ, ἐπὶ τῷ στελέχει περιπήγνυται. καὶ λέγεται αὐτῆς ἡ μέν τις πεδιάσιμος λιπαρά, ἧς πιεζομένης, ἡ στακτὴ λαμβάνεται· ἡ δέ τις γαβιρέα λιπαρωτάτη, ἐν εὐγείοις καὶ λιπαροῖς τόποις γεννωμένη, ἣ καὶ πολλὴν ἀνίησι τὴν στακτήν. πρωτεύει δὲ ἡ τρωγλοδυτικὴ καλουμένη, ἀπὸ τῆς γεννώσης αὐτὴν χώρας· ὑπόχλωρος καὶ δηκτικὴ οὖσα, διαυγής. συλλέγεται δέ τις καὶ λεπτὴ μετὰ τὴν τρωγλοδυτικὴν ἀριθμουμένη, ἐνάπαλλος ὡς τὸ βδέλλιον, ὑπόβρωμος τῇ ὀσμῇ, ἐν εὐηλίοις τόποις γεννωμένη.

ἡ δέ τις

ἡ δέ τις καυκαλὶς λεγομένη, ὑπέρωρος, μέλαινα, κάτοπτος. ἡ δὲ χειρίστη ἐν ἁπάσαις, ἐργασίμη καλεῖται, ψαφαρὰ καὶ ἀλιπὴς, δριμεῖα, κομμίζουσα τῇ ὄψει καὶ τῇ δυνάμει. καὶ ἡ ἀμιννέα δὲ καλουμένη, ἀποδόκιμος. καὶ πέσματα δὲ ἐξ αὐτῶν γίνεται· ἀπὸ μὲν τῶν λιπαρῶν εὐώδη καὶ λιπαρά· ἀπὸ δὲ τῶν ξηρῶν ἀλιπῆ καὶ οὐκ εὐώδη, ἄτονος διὰ τὸ μὴ προσειληφέναι ἔλαιον εἰς τὴν ἀνάπλασιν. δολίζεται δὲ κόμμι βραχέντι σμύρνης ἀποβρέγματι καὶ μιγνυμένῳ. ἐκλέγου δὲ τὴν νέαν, ψαθυρὰν, κούφην, ὁμόχρουν πανταχόθεν, καὶ τὴν ἐν τῷ θλασθῆναι, ἔνδοθεν, λευκὰς, ὀνυχοειδεῖς, ἔχουσαν διαφύσεις, λείας, μικρόβωλόν τε, πικρὰν, εὐώδη, δριμεῖαν, θερμαντικήν· ἡ δὲ βαρεῖα καὶ τῇ χρόᾳ πισσώδης ἐστὶν ἄχρηστος. Δύναμιν δὲ ἔχει θερμαντικὴν, καρωτικὴν, κολλητικὴν, ξηραντικὴν, στυπτικὴν, μαλάσσει δὲ καὶ μήτραν μεμυκυῖαν καὶ ἀναστομοῖ· ἄγει δὲ ἔμμηνα καὶ ἔμβρυα συντόμως, σὺν ἀψινθίῳ ἢ θέρμων ἀποβρέγματι, ἢ πηγάνου χυλῷ προστεθεῖσα. λαμβάνεται δὲ αὐτῇ καταποτίου μέγεθος κυάμου πρὸς βῆχα χρόνιον καὶ ὀρθόπνοιαν, καὶ πλευρᾶς πόνον καὶ θώρακος, λύσιν τε κοιλίας, καὶ δυσεντερείας, λύει δὲ καὶ ῥίγη,

πρὸ

Alia caucalis cognominatur, præter modũ exoleta, nigra, & retorrida. Omniũ deterrima, quę ergaſima dicitur, pingui carés, cano ſitu obducta, acris ad gũmi imaginé vergens, & viribus eius proxima. Improbatur aminnea cognomine. Ex iis paſtilli fiunt, ſed è pinguibus pingues, & odorati: è ſiccioribus haudquaquam pingues, & inodorati: minus odore pollet, quæ oleum non admiſit, cum in paſtillos digerebatur. adulteratur macerato gummi aqua, in qua myrrha maduerit. Eligenda eſt recens, ſquallore obſita, leuis, vndique cõcolor, quæ cõfracta venas vnguium modo candidas & læues oſtendat, minutis glebis, amara, acris, odorata, calfaciẽs: ſuperuacua & inutilis eſt ponderoſa, coloris picei. Calfacit, cohibet, ſoporem gignit, glutinat, ſiccat, aſtringit, vuluam emollit, & præcluſam aperit: menſes & partus celeriter extrahit, cum abſinthio, lupinorum cremore, vel ſucco rutæ admota: tuberculo fabæ deuorat̃ in vetere tuſsi, orthopnœa, in laterũ pectoriſq; doloribus, in alui profluuio, & dyſenteria: horrores diſcutit,

e duabus

duabus horis ante febrium acceſsiones, fabæ magnitudine pota cum pipere & aqua: ſubdita linguæ liquatáque, ſcabritiem arteriæ expolit: obtuſam vocem expedit, ventris tineas enecat, contra grauem oris halitum manditur, & aduerſus alarum tædia cum liquido alumine illinitur. gingiuas & dentes ſtabilit, colluto cum vino & oleo ore: vulnera capitis illitu glutinat, medetur fractis auribus ac oſsib⁹ nudatis, peruncta cum cochleæ carnibus. Item purulentis auribus inflammatíſque cum meconio, caſtorio, & glaucio: ad varos autem cum caſsia & melle illinitur, impetigines ex aceto purgat, defluentes capillos cum ladano & vino myrteo illita, firmat: diuturnas deſtillationes lenit, illitis penna naribus: oculorum vlcera complet, albugines tollit, caliginem diſcutit, ſcabritiem læuigat, Fit è myrrha, perinde atque thure, fuligo, &, vt poſtea oſtendemus, ad eadem conueniens.

Myrrha Bœotica.
Cap. LXXIX.

Bœotica myrrha, diſſecta radix eſt arboris cuiuſdã ĩ Bœotia naſcẽtis

πρὸ δύο ὡρῶν τῆς ἐπιβολῆς μετὰ πεπέρεως καὶ ὕδατος τὸ μέγεθος κυάμου ποθεῖσα, ἀρτηρίας τε τραχύτητα καὶ δυσμοὺς φωνῆς, ἀποκαθίστησιν ὑποτιθεμένη τῇ γλώττῃ καὶ ἀποχυλιζομένη· κτείνει δὲ καὶ ἕλμινθας, καὶ πρὸς δυσωδίαν στόματος διαμασᾶται· πρὸς δὲ μασχαλῶν πόνους, μετὰ στυπτηρίας ὑγρᾶς διαχρίεται· σὺν οἴνῳ δὲ καὶ ἐλαίῳ διακλυζομένη, ὀδόντας καὶ οὖλα κρατύνει· κολλᾷ δὲ καὶ τὰ ἐν τῇ κεφαλῇ τραύματα ἐπιπλασσομένη, καὶ τὰ τεθλασμένα ὦτα καὶ ἐψιλωμένα ὀστᾶ ἰᾶται σὺν κοχλίου σαρκὶ ἐπιχριομένη, καὶ τὰ πυορροοῦντα τῶν ὤτων καὶ φλεγμαίνοντα, σὺν μηκωνίῳ καὶ καστορίῳ καὶ γλαυκίῳ· πρὸς δὲ ἰόνθους μετὰ κασσίας καὶ μέλιτος ἐπιχρίεται, λειχῆνάς τε ἀποσμήχει σὺν ὄξει, καὶ τρίχας ῥεούσας μετὰ λαδάνου καὶ οἴνου καὶ μυρσινίνου καταχριομένη ῥώννυσι· πραΰνει δὲ καὶ τοὺς χρονίους κατάῤῥους διαχριομένη πτερῷ τῶν μυξωτήρων· πληροῖ καὶ τὰ ἐν ὀφθαλμοῖς ἕλκη, καὶ καθαίρει τὰ λευκώματα καὶ τὰ ἐπισκοτοῦντα τῆς κόρης, καὶ τραχώματα σμήχει. γίνεται δὲ καὶ λιγνὺς ἐξ αὐτῆς ὁμοίως τῇ ἐκ τοῦ λιβάνου, ὡς ὑποδείξομεν, ἁρμόζουσα πρὸς τὰ αὐτά.

Περὶ βοιωτικῆς σμύρνης.
Κεφ. οθ΄.

Η δὲ βοιωτικὴ σμύρνα, ἐστὶ δένδρου τινὸς ἐν βοιωτίᾳ γινομένου

νου ῥίζα τετμημένη. ἐκλέγου δὲ τὴν ἐμφερῆ σμύρνῃ κατὰ τὴν εὐωδίαν. Δύναμιν δὲ ἔχει θερμαντικήν, μαλακτικήν, διαλυτικήν. μίγνυται δὲ καὶ θυμιάμασι χρησίμως.

Περὶ στύρακος. Κεφ. π΄.

Στύραξ δάκρυόν ἐστι δένδρου τινὸς ὁμοίου κυδωνίῳ. διαφέρει δὲ αὐτοῦ ὁ ξανθὸς καὶ λιπαρὸς ῥητινώδης, θρόμβοις ἔχων ὑπολεύκοις, ἐπιδιαμένων τῇ εὐωδίᾳ ὡς ἐπιπλεῖστον, καὶ ἐν τῷ μαλάσσεσθαι ἀνεὶς ὑγρασίαν τινὰ μελιτώδη· τοιοῦτος δέ ἐστιν ὁ καταβαλίτης καὶ πισιδικὸς καὶ κιλίκιος. φαῦλος δὲ ὁ μέλας καὶ * ψαθυρὸς, καὶ πιτυρώδης. εὑρίσκεται δὲ καὶ δάκρυον κόμμι ἐοικὸς, διαυγὲς, σμυρνίζον· ὀλίγον δὲ τοῦτο γίνεται. δολίζουσι δὲ αὐτὸ τοῖς ἐκ τοῦ δένδρου πρίσμασιν ἅπερ ὑπὸ τῶν σκωλήκων ἀναπιπρᾶται μιγνυμένη καὶ μέλιτι καὶ ἴρεως ὑποστάθμῃ, καὶ ἄλλοις τισίν. ἔνιοι δὲ κηρὸν ἢ στέαρ ἀρωματίσαντες συμμαλάσσουσιν ἐν τοῖς ὀξυτάτοις ἡλίοις τῷ στύρακι, καὶ δι' ἠθμοῦ εὐρυτρήτου ἐκθλίβουσιν εἰς ὕδωρ ψυχρὸν ποιοῦντες σκωλήκια καὶ πωλοῦσι, σκωληκίτην ὀνομάζοντες.* ἐγκρίνουσι δὲ οἱ ἄπειροι τὸν τοιοῦτον ὡς ἀκέραιον, οὐ προσέχοντες τῇ κατὰ τὴν ὀσμὴν εὐτονίᾳ, δριμὺς γὰρ λίαν ἐστὶν ὁ ἄδολος.

Δύναμιν

tia naſcentis, Melior eſt quæ myrrham odoris ſuauitate repręſentat. Vis ei calfactoria ineſt, emollit diſcutítq; ſuffimentis commodiſsimè inſeritur.

Styrax. Cap. LXXX.

Styrax lachryma eſt arboris malo cotoneę ſimilis. Pręfertur ſordeſcens, flauus, reſinoſus, albicãtibus grumis, quàm plurimũ in ſua odoris gratia permanẽs: qui dũ mollitur, melleũ liquorẽ reddit: qualis è Catabali, Piſidia, & Cilicia deuehitur. Deterior niger, furfuroſus, friabilis, canóq; ſitu obductus. Cæterum lachryma inuenitur gũmiũ ſimilitudine, perlucida, & myrrhæ ęmula: verũ perpauca manat. Adulteratᷣ ligni ſcobe, quã vermiculi erodẽtes excuſſerũt, melle, & iridis ſedimẽto, & q̃buſdã aliis. Alij cerã aut adipẽ odoribus imbutũ, flagrãtiſsimis ſolib⁹ cũ ſtyrace ſubigũt, & ꝑ laxa cribri foramina ĩ frigida aqua veluti vermiculos exprimũt, venũdantq;. Styracẽ hũc (quoniã vermiculorũ ſpeciẽ cõtrahatᷣ) ſcholecitẽ cognominant, tanq̃ ſyncerũ imperiti approbãt, nõ animaduertẽtes ad pręcipuam odoris fragrantiã: ſiquidem acer admodũ eſt, qui adulterationis vitio caret.

e ij Styrax

Styrax calfacit, emollit, & concoquit: medetur tuſsi, deſtillationibus, raucedini, grauedini, & interceptæ voci: vuluę præcluſæ duritiáve laboranti conuenit, cit menſes potu appoſitúque, aluũ leuiter mollit, ſi exiguum cum reſina terebinthina catapotij modo deuoretur. Miſcetur vtiliter diſcutiẽtibus malagmatis, acopíſque. Adoletur autẽ & igni torretur, vt fiat ex eo, veluti ex thure, fuligo, ad eadem conueniẽs ad quæ thuris fuligo. Ex eo etiam in Syria ſtyracinum oleum componitur, quod calfacit vehementer, & emollit: verum caput dolore afficit, adgrauátque, & ſoporem adfert.

Bdellium. Cap. LXXXI.

Bdellium alij bolchon appellant, alij madelcon: lachryma eſt ſaracenicæ arboris. Probatur guſtu amarũ, tranſflucidũ, taurini glutinis in morẽ, intus pingue, liqueſcens facile, ligni ac ſordis expers, ſuffitu odoratum, vngui ſimile. Eſt etiamnũ bdellij genus ſordidum, nigrũ, vberioribꝰ glebulis in offas cõuolutũ, aſpalathi odore, ex India aduectum. Defertur etiã à Petra oppido ſiccũ, reſinoſum, liueſcẽs, ſed facultate ſecundũ.

Adul-

Δύναμιν δὲ ἔχει θερμαντικὴν, μαλακτικὴν, πεπτικήν· ποιῶν πρὸς βῆχας καὶ καταῤῥόους, κορύζας, βράγχους, ἀποκοπὴν φωνῆς· ἁρμόζει καὶ πρὸς τὰς ἐν ὑστέρᾳ μύσεις καὶ σκληρείας· ἔμμηνά τε ἄγει πινόμενος καὶ προστιθέμενος, κοιλίαν τε κούφως μαλάττει καταπινόμενος ὀλίγος μετὰ ῥητίνης τερεβινθίνης. μίγνυται δὲ καὶ μαλάγμασι διαφορητικοῖς καὶ ἀκόποις χρησίμως. καίεται δὲ καὶ ὀπτᾶται καὶ φώγνυται καὶ * θαλοῦται ὡς λίβανος· ἁρμόζει τε ἡ αἰθάλη πρὸς ἃ καὶ ἡ τοῦ λιβάνου. τὸ δὲ ἐξ αὐτοῦ σκευαζόμενον χρῖσμα ἐν τῇ Συρίᾳ στυράκινον, θερμαίνει καὶ μαλάττει ἰσχυρῶς· κεφαλαλγὲς μέντοι καὶ βαρὺ καὶ καρωτικὸν καθέστηκεν.

Περὶ βδελλίου. Κεφ. πά.

Βδέλλιον οἱ δὲ μάδελκον, οἱ δὲ βολχὸν καλοῦσι· δάκρυον ἐστὶ δένδρου σαρακηνικοῦ. δόκιμον δέ ἐστιν αὐτοῦ τὸ τῇ γεύσει πικρὸν, διαυγὲς, ταυροκολλῶδες, λιπαρὸν διὰ βάθους καὶ εὐμάλακτον, ἀμιγὲς ξύλων, καὶ ῥυπαρίας, εὐῶδες ἐν τῇ θυμιάσει, ἐοικὸς ὄνυχι. ἔστι δὲ καὶ * ἕτερον ῥυπαρὸν καὶ μέλαν, ἁδρόβωλον, παλαθῶδες, κομιζόμενον ἀπὸ τῆς ἰνδικῆς. φέρεται δὲ ἀπὸ τῆς πέτρας, ξηρὸν, ῥητινῶδες, ὑπόπελιον, δευτερεῦον τῇ δυνάμει.

δολοῦ

δολοῦται δὲ μιγνύμενον κόμμι· τὸ δὲ τοιοῦτον οὐχ ὁμοίως πικραίνει τὴν γεῦσιν, ἔν τε τῇ ὑποθυμιάσει, οὐχ οὕτως εὐώδες ἐστί. Δύναμιν δὲ ἔχει θερμαντικὴν, μαλακτικὴν, διαμυκτικὴν. βρογχοκηλῶν καὶ σκληρίων καὶ ὑδροκηλῶν, ἐνεθὲν πτυέλῳ ἀσίτου· αἰδοστομοῖ καὶ τὴν μήτραν προστεθέμενον καὶ ὑποθυμιώμενον, ἐφέλκεται δὲ καὶ τὰ ἔμβρυα καὶ πᾶσαν ὑγρασίαν, θρύπτει δὲ καὶ λίθους πινόμενον, καὶ οὖρα ἄγει, βηχικοῖς τε καὶ θηριοδήκτοις, ὠφελίμως δίδοται· ἀγαθὸν δὲ καὶ πρὸς ῥήγματα, σπάσματα, καὶ πλευρᾶς πόνον καὶ διαδρομὰς πνευμάτων· μίσγεται δὲ καὶ μαλάγμασι τοῖς ἁρμόζουσι πρὸς τὰς σκληρίας καὶ δέσεις τῶν νεύρων· κατεργάζεται δὲ κοπτόμενον, παραχεομένου οἴνου ἢ ὕδατος θερμοῦ.

Adulteratur gummi, ſed ita vitiatum non perinde guſtui amaritudinem repæſentat, nec vſque adeò ſuffitionibus odoratum. Calfacit & emollit duritias, & turgentia guttura, humidáſque hernias diſcutit, cum ieiuna ſaliua dilutum: vuluæ ſpiracula laxat appoſitu & ſuffitu, & partus humiditatéſque omneis extrahit, calculos potu comminuit, vrinam mouet tuſsientibus & à ſerpente percuſsis, vtiliſsimè datur: valet ad rupta, vulſa, laterum dolores, & diſcurſantes ſpiritus: malagmatis inſeritur, quæ contra duritias & neruorum nodos proſunt: contuſum reſoluitur affuſo vino aut aqua calida.

Περὶ λιβάνου. Κεφ. πβ΄.

Thus. Cap. LXXXII.

Λίβανος γεννᾶται μὲν ἐν ἀραβίᾳ τῇ λιβανοφόρῳ καλουμένῃ. πρωτεύει δὲ ὁ ἄῤῥην καλούμενος σταγονίας, στρογγύλος φυσικῶς. ἔστι δὲ ὁ τοιοῦτος ἄτομος λευκός τε καὶ θλαθεὶς ἔνδοθεν λιπαρὸς, ἐπιθυμιαθεὶς τε ταχέως ἐκκαιόμενος. ὁ δὲ ἰνδικὸς ὑπόκιῤῥός τε ἐστὶ, καὶ πελιὸς τὴν χρόαν, γίνεται δὲ καὶ κατὰ τὴν ἐπιτήδευσιν στρογγύλος· τέμνοντες γὰρ αὐτὸν εἰς τετράγωνα σχήματα καὶ βάλλοντες εἰς κεράμεια, κυλίουσιν

ἕως

Thus in ea gignitur Arabia, quæ thurifera cognominatur. Primatū tenet ī eo genere maſculū, ſtagonias appellatū, ſuapte natura rotundū: tale autē indiuiduum eſt, candidū, cùm frangitur, intus pingue, in ſuffitu ſtatim ardens. Indicum verò fulueſcit, & colore liuet, ſed rotundum induſtria factitant: nam in quadrangulares formas diſſectū fictilibus verſant,

 donec

donec rotunditatẽ contrahat: verùm huiuſmodi thus tẽpore flaueſcit, quod atomũ aut ſyagrũ appellãt. Secundũ locũ habet Arabicũ, & ĩ Smilo naſcẽs, quod aliq copiſcũ vocãt, min⁹ multò & fuluius. Eſt & genus aliud, cui amωmitæ cognomen eſt, alioqui cãdidum: quod dũ mollitur, maſtiches more digitis cedit. Adulteratur in itinere, pini reſina & gũmi, quod facile deprehẽdi poteſt: ſiquidẽ ſuffitũ gũmi flammã nõ eiaculatur, & reſina in fumũ euaneſcit, thus verò ſtatim ardet: idẽ maleficiũ odor prodit. Ad calfaciendũ & aſtringẽdũ pollet, oculorũ caliginẽ diſcutit, caua vlcera cõplet & ad cicatricem perducit cruenta vulnera glutinat, infrenatq; cũctas ſanguinis eruptiones, etiamſi cerebri membranis effluat: vlcera quæ cacoëthe vocantur, & ſedis & reliquarum partiũ permulcet tritũ cũ eo & lacte linamentũ: formicantes verrucas inter initia, impetiginẽſq;, ex aceto & pice illitũ, tollit: ambuſta igni pnionẽſq; cũ ſuillo adipe aut anſerino, & vlcera ĩ capite manãtia cũ nitro, ſi infricetur, ſanat: paronychiis cũ melle auribus fractis cum pice, medetur:

ad

ἕως ἂν ἀπολάβοι τὸ στρογγύλον σχῆμα· χρόνῳ δὲ ὁ τοιοῦτος ξανθοῦται, ἄτομος ἢ σύαγρος καλούμενος. δευτερεύει δὲ ὁ ἀραβίας καὶ ὁ ἐν σμίλῳ, ὃν ἔνιοι κοπίσκον καλοῦσι, μικρότερον καὶ κιῤῥότερον ὄντα. λέγεται δέ τις καὶ ἀμωμίτης, ἄλλως μὲν λευκός· ἐν δὲ τῷ μαλάσσεσθαι ἐνδιδοὺς ὡς μαστίχη. δολοῦται δὲ πᾶς λίβανος τῇ πιτυίνῃ ῥητίνῃ μεθοδευόμενος, καὶ κόμμι. εὐχερὴς δέ ἐστιν ἡ διάγνωσις. τὸ μὲν γὰρ κόμμι οὐκ ἐκφλογοῦται θυμιώμενον, ἡ δὲ ῥητίνη εἰς καπνὸν ἐκτυφοῦται· ὁ δὲ λιβανωτὸς ἐξάπτεται. δηλοῖ δὲ καὶ ἡ ὀσμὴ τὸ τοιοῦτον. Δύναται δὲ θερμαίνειν, στύφειν, ἀποκαθαίρειν τὰ ἐπισκοτοῦντα ταῖς κόραις, καὶ τὰ κοῖλα τῶν ἑλκῶν πληροῦν καὶ ἀπουλοῦν, κολλᾶν τε ἔναιμα τραύματα, αἱμοῤῥαγίαν τε πᾶσαν, καὶ τὴν ἐκ μηνίγγων ἐπέχειν· παρηγορεῖ καὶ τὰ περὶ δακτύλιον καὶ τὰ λοιπὰ μέρη κακοήθη ἕλκη, μοτὸς λεῖος, σὺν γάλακτι, καὶ τὰς ἐν ἀρχῇ μυρμηκίας καὶ λειχῆνας, σὺν ὄξει καὶ πίσσῃ καταχριόμενος αἴρει, καὶ τὰ πυρίκαυτα δὲ ἕλκη καὶ χίμετλα ἰᾶται σὺν στέατι χοιρείῳ ἢ χηνείῳ· ἀχῶρας δὲ σὺν νίτρῳ σμώμενος ἰᾶται. παρωνυχίας τε σὺν μέλιτι, ὤτων θλάσεις σὺν πίσσῃ·

πρὸς

πρὸς δὲ τὰ λοιπὰ ἀλγήματα τῶν ὤτων, σὺν οἴνῳ γλυκεῖ ἐγχεόμενος, μαστούς τε τοὺς ἀπὸ τοκετῶν φλεγμαίνοντας σὺν κιμωλίᾳ καὶ ῥοδίνῳ καταχριόμενος ὠφελεῖ· μίγνυται δὲ καὶ τοῖς πρὸς ἀρτηρίαν ὠφελίμως, καὶ τοῖς σπλαγχνικοῖς φαρμάκοις, αἱμοπτοϊκούς τε ὠφελεῖ πινόμενος· μανιώδης δέ ἐστι πινόμενος ὑπὸ τῶν ὑγιαινόντων, πλείων δὲ μετ᾽ οἴνου ποθεὶς καὶ κτείνει. καίεται δὲ λίβανος ἐπ᾽ ὀστράκου καθαροῦ τεθεὶς, ὑφαπτόμενος τῷ χόνδρῳ ἀναφθέντι ἀπὸ λύχνου, ἄχρις ἂν ἐκκαῇ· δεῖ δὲ μετὰ τὴν τελείαν καῦσιν πωμάζειν τινὶ ἄχρις ἂν σβεσθῇ· οὕτω γὰρ οὐκ ἐκτεφροῦται. ἔνιοι δὲ περιτιθέασι τῷ λοπαδίῳ ἀγγεῖον χαλκοῦν, κοῖλον κατὰ μέσον τετρημμένον, πρὸς ἔκληψιν τῆς λιγνύος, ὡς ὑποδείξομεν ἐν τῷ περὶ αἰθάλης λιβάνου λόγῳ. οἱ δὲ, εἰς ὠμὴν χύτραν βάλλοντες καὶ περιπλάσσοντες πηλῷ, καίουσιν ἐν καμίνῳ. φώγνυται δὲ ἐπ᾽ ὀστράκου καινοῦ καὶ ἀνθράκων διαπύρων, ἕως ἂν μηκέτι πομφολυγίζῃ, μηδὲ λιπαρίαν τινὰ ἢ ἀτμίδα ἀνίῃ. θρύπτεται δὲ εὐχερῶς μὴ κατακεκαυμένος.

Περὶ Φλοιοῦ Λιβάνου. Κεφ. πγ´.

Φλοιὸς δὲ λιβάνου διαφέρει ὁ παχὺς καὶ λιπαρὸς καὶ εὐώδης, πρόσφατος, λεῖος καὶ μὴ λεπρώδης ἢ ὑμενώδης. δολοῦται δὲ μιγνυμένου

ad reliquos auriũ dolores cum dulci vino iufunditur, inflammatæ à partu mammę cum cimolia & roſaceo magna vtilitate perungũtur, additur ad arteriæ viſcerúmq; medicamenta, prodeſt ſanguinis excreationi potum: ſed in ſecunda valetudine hauſtum inſaniá mouet, & largius cum vino potum interficit. In fictili mundo thus crematur, flagrante glebula ſuccenſum à lucerna, donec exuratur: poſt perfectam vſtionem operire oportet, vſque dum reſtinguatur: ſic enim in cineres non redigitur. Aliqui ollulam æneo vaſe cauo circa medium perforato cingunt ad excipiendam fuliginem, vt in eius mentione mox oſtendemus. Alij crudo fictili luto oblito, & in fornacem indito, cremant. Fictili etiam nouo viuacibus prunis torretur, dum non amplius bullet, aut pinguitudinem vaporémve emittat. facile enim comminuitur quod peruſtum non eſt.

Thuris cortex. Ca. LXXXIII.

Præfertur thuris cortex craſſus, pinguis, odoratus, recens, leuis, minimè ſcaber, ſine membranis. Adulteratur ad-

miſto pini aut nucis eius cortice,ſed horũ index ignis eſt:ſiquidem reliqui cortices ſuffiti nequaquã incenduntur,ſed ſine odore fumum eructant:thuris verò cortex ardet, & cũ odoris fragrantia vaporem eiaculatur.Thuris modo vritur,& vis eadem quæ thuri, ſed validior aſtringẽtiórq;.Quare potu cruẽtis excreationibus, vuluis fluxione laborantibus in peſſo confert, ad cicatrices oculorũ,& caua ſordéſque efficax eſt. toſtus ſcabris lippitudinibus auxiliatur.

Mãna thuris. Ca. LXXXIIII.

Manna thuris probatur candore, micarum frequentia, & puritate. Vim habet eandem quam & thus,ſed inualidiuſculam. Sunt qui cribrata pini reſina,ac polline,aut cortice thuris contuſi adulterant: ſed hæc igne deprehenduntur. Neque enim æquè ſuffitu aërium vaporem, ſed fuliginoſum & impurũ expuit, & permiſtum ſuaueolentiæ halitus virus habet.

Thuris fuligo. Ca. LXXXV.

Fuliginem thuris ſic facito: Forcipicula, lucernis accenſas ſingulatim thuris glebas, in nouam fictilem ollam cõcauam impo-

γινομένου αὐτῷ φλοιοῦ στροβιλίνου ἢ πιτυίνου, ἔλεγχος δὲ καὶ τούτων τὸ πῦρ· οἱ μὲν γὰρ λοιποὶ θυμιαθέντες οὐκ ἀνάπτονται, καπνιζόμενοι δὲ δίχα εὐωδίας ἐκτύφονται· ὁ μέντοι τοῦ λιβάνου φλοιὸς ἅπτεται καὶ μεθ᾽ εὐωδίας ἐκθυμιᾶται· καίεται δὲ καὶ οὗτος ὡς λίβανος. Δύναμιν δὲ ἔχει τὴν καὶ ὁ λίβανος ἐνεργέστερος ὢν καὶ στυπτικώτερος. ὅθεν ποθεὶς, αἱμοπτυϊκοῖς μᾶλλον καὶ ῥοϊκοῖς ἁρμόζει ἐν προσθέτῳ· ποιεῖ καὶ πρὸς οὐλὰς ἐν ὀφθαλμοῖς, καὶ κοιλώματα καὶ ῥυπαρείας· φωχθεὶς δὲ καὶ πρὸς ψωροφθαλμίας ποιεῖ.

Περὶ Μάννης Λιβάνου. Κεφ. πδʹ.

Μάννα δὲ λιβάνου δόκιμός ἐστιν ἡ λευκὴ καὶ καθαρὰ, ἔγχονδρος. Δύναμιν δὲ ἔχει τὴν καὶ ὁ λιβανωτὸς, ὑπανειμένως δὲ μᾶλλον. μίσγουσι δὲ ἔνιοι δολίζοντες ῥητίνην πιτυίνην σεσησμένην καὶ γῦριν, ἢ φλοιὸν λιβανωτοῦ κεκομμένου· ἐλέγχει δὲ καὶ ταῦτα τὸ πῦρ. οὔτε γὰρ καὶ ἴσον καὶ ἰσοτόνως θυμιαθήσεται ἀερίζοντι τῷ ἀτμῷ, ἀσβολώδει δὲ καὶ οὐ καθαρῷ, ἥ τε εὐωδία μικτὴν ἔχει τὴν ἀποφοράν.

Περὶ Αἰθάλης Λιβανωτοῦ. Κεφ. πεʹ.

Αἰθάλην δὲ λιβανωτοῦ ποίει οὕτω· λαβιδίῳ καθ᾽ ἕνα χόνδρον τοῦ λιβάνου ἅπτων πρὸς λύχνον, ἐπιτίθει εἰς κοῖλον λοπάδιον ὀστράκινον καινόν·

κεινὸν· εἶτα περικάλυψον χάλκωμα ἔγκοιλον, τετρημμένον κατὰ μέσον καὶ ἐσμηγμένον ἐπιμελῶς, *ἐπιτίθει τε κατὰ τὸ ἕτερον αὐτοῦ* μέρος ἢ ἀμφότερα λιθάρια ὕψει τετραδακτυλιαῖα πρὸς τὸ διαφαίνειν εἰ καίεται· καὶ ἵνα χώρα ᾖ ὑποτιθέναι* ἑτέρους χόνδρους* ἀεί. πρὸ τοῦ τὸν πρότερον χόνδρον ἀποσβεσθῆναι παντελῶς,* καὶ τοῦτο ποίει, ἕως ἂν αὐτάρκη λιγνὺν δόξῃς συναγηοχέναι. συνεχῶς μέντοι σπόγγῳ ἐξ ὕδατος ψυχροῦ περίμασσε τὰ ἐκτὸς μέρη τοῦ χαλκώματος· οὕτω γὰρ προσκαθίζει πᾶσα λιγνὺς, μὴ ἄγαν αὐτοῦ πυρουμένου· ἐπεὶ ἀποπίπτουσα διὰ τὴν κουφότητα, μίγνυται τῇ τοῦ λιβάνου σποδῷ. ἀποψήσας οὖν τὴν πρώτην λιγνὺν, ποίει τὸ αὐτὸ ἐφ' ὅσον ἂν δοκῇ, ἀναιροῦ δὲ καὶ τὴν ἐκ τοῦ καέντος λιβάνου σποδὸν ἰδίᾳ. Δύναμιν δὲ ἔχει πραϋντικὴν τῶν ἐν ὀφθαλμοῖς φλεγμονῶν, σταλτικὴν ῥευμάτων, ἀνακαθαρτικὴν ἑλκῶν, πληρωτικὴν κοιλωμάτων, σταλτικὴν καρκινωμάτων.

Περὶ λιγνύος σκευασίας. Κεφ. πϛ'.

Τὸν αὐτὸν δὲ τρόπον σκευάζεται καὶ ἐκ τῆς σμύρνης καὶ ἐκ τῆς ῥητίνης, καὶ ἐκ τοῦ στύρακος λιγνὺς ἁρμόζουσα δὲ πρὸς τὰ αὐτά, καὶ ἐκ τῶν λοιπῶν δὲ δακρύων ὁμοίως τὴν λιγνὺν λάμβανε.

Περὶ

imponito: & æreo vaſe in medio perforato, deterſa diligenter ſorde, obtegito: alteram admoueto, ex altera eius parte aut vtraque, ſubiectis quaternum digitorum altitudine lapillis, quò facilius perſpici queat, ſi vrantur: & qua locus capax fuerit, glebulas alias ſupponito, & anteà quàm prorſus prior gleba reſtinguatur, aliam imponito: donec ſufficiẽtem fuliginem videaris coëgiſſe. Continuò tamen externæ æramenti partes ſpongia, aqua frigida madefacta, abſterguntur: ita enim tẽperato æris feruore, fuligo omnis inhærebit: quæ alioqui per leuitatem decidua, thuris cinerib⁹ admiſcetur. Deraſa itaque fuligine, cinis cremati thuris ſeorſum ſubſtrahẽdus eſt. Idem opus, quod ſatisfactum tibi videtur, obeũdum. Oculorum inflammationes mitigat, fluxiones ſuſpendit, vlcera purgat, caua explet, carcinomata ſiſtit.

Fuliginis compoſitio. Cap. LXXXVI.

Simili modo è myrrha, reſina, ſtyrace, reliquíſque lachrymis, fuligo excipitur, ad eadem conueniens.

Picea

Picea & Pinꝰ. Ca.LXXXVII.

Pinus & Picea generi eidem aſcribuntur, ſed quandam flagitãt ſpecierum diſtinctionẽ, arbores vulgò cognitæ: quarũ cortex aſtringit, prodeſt tritus & illitus intertrigini, vlceribus ſummũ corpus occupantibus, ambuſtisq; cum ſpuma argenti & manna. Vlcera delicatulorum acrimoniam recuſantium, cerato myrtino exceptꝰ, ad cicatricem perducit: tritus cum ſutorio atramento ſerpẽtia cohibet. ſuffitu partus & ſecundas eijcit, potus aluum ſiſtit, vrinam mouet. Folia eorum trita & illita inflammationes leniunt, vulnera ab inflammatione vindicant, trita autem & decocta in aceto, feruenti collutione, dentium dolores mulcent: hepaticis vtilia ſunt, drachmæ pondere in aqua aut mulſa pota. Pineæ nucis cortex & folia potu idem præſtant. Teda earum particulatim ſecta ſi in aceto coquatur, & decocto dens colluatur, dolores leuat. Ex his etiam fit ſpatha acoporum peſſorumq; compoſitionibus idonea. Quinetiam earum crematarum fuligo ad librarij atramenti cõfectionem excipitur:

Περὶ Πίτυος. Κεφ. πζ΄.

Πίτυς γνώριμον δένδρον ἐστί· τῆς δὲ αὐτῆς γένους καὶ ἡ λεγομένη πεύκη, εἴδει διαφέρουσα· ἀμφοτέρων δὲ ὁ φλοιὸς στυπτικὸς, ἁρμόζων πρός τε παρατρίμματα λεῖος καταπλασσόμενος, καὶ πρὸς τὰ ἐπιπόλαια τῶν ἑλκῶν καὶ κεκαυμένα σὺν λιθαργύρῳ καὶ μάννῃ· ἀναληφθεὶς δὲ κηρωτῇ μυρσίνῃ, ἀπουλοῖ τὰ ἐπὶ τῶν τρυφεροχρώτων ἕλκη· καὶ τὰ ἑρπυστικὰ ἐπέχει μετὰ χαλκάνθης λεῖος, ἔμβρυά τε καὶ δεύτερα ὑστέρα θυμιαθεὶς ἐκβάλλει, κοιλίαν τε ποθεὶς ἐφίστησι, καὶ οὖρα κινεῖ, καὶ τὰ φύλλα δὲ αὐτῶν καταπλασθέντα λεῖα, φλεγμονὰς παρηγορεῖ, καὶ τραύματα ἀφλέγμαντα διατηρεῖ, λειανθέντα δὲ καὶ ἑψηθέντα ἐν ὄξει, ὀδονταλγίας πραΰνει διακλυζόμενα θερμά· ἁρμόζει δὲ καὶ ἡπατικοῖς τῶν φύλλων ὁλκὴ μία σὺν ὕδατι ἢ μελικράτῳ ποθεῖσα. ποιεῖ δὲ τὰ αὐτὰ καὶ ὁ τῆς στροβίλου φλοιὸς καὶ τὰ φύλλα ποθέντα. καὶ τὸ ἐξ αὐτῶν δὲ δᾳδίον σχισθὲν εἰς λεπτὰ καὶ ἑψηθὲν σὺν ὄξει, ὀδονταλγίας* πραΰνει, κρατουμένου τοῦ ἀφεψήματος κατὰ τοῦ πεπονθότος ὀδόντος. καὶ σπάθη δὲ ἐξ αὐτῶν γίνεται εἰς ἀκόπων σκευασίας καὶ πεσσῶν ἐπιτήδειος· ἡ δὲ ἐξ αὐτῶν λιγνὺς καιομένων, ἐκλαμβάνεται πρὸς μέλανος γραφικοῦ κατασκευὴν

ποιοῦσι· καὶ πρὸς καλλιβλέφαρα καὶ κανθοὺς βεβρωμένους, πρός τε πτίλα βλέφαρα καὶ ὀφθαλμοὺς δακρύοντας.

Περὶ Πιτυΐδων. Κεφ. πη'.

Πιτυΐδες δὲ καλοῦνται ὁ καρπὸς τῶν πιτύων καὶ τῆς πεύκης, ὁ εὑρισκόμενος ἐν τοῖς κώνοις. Δύναμιν δὲ ἔχουσι, στυπτικὴν, θερμαίνουσαν ποσῶς. βοηθοῦσι δὲ βηξὶ καὶ τοῖς περὶ θώρακα πάθεσι, καθ᾽ ἑαυτὰς καὶ μετὰ μέλιτος λαμβανόμεναι.

Περὶ Στροβίλων. Κεφ. πθ'.

Στρόβιλοι δὲ καὶ καθαροὶ ἐσθιόμενοι, ἢ μετὰ γλυκέος καὶ σικύου σπέρματος πινόμενοι, οὐρητικοὶ, ἀμβλυντικοὶ τῶν περὶ κύστιν καὶ νεφροὺς δριμυτήτων, παρηγοροῦσι δὲ καὶ στομάχων δηγμοὺς, μετὰ ἀνδράχνης, χυλοῦ λαμβανόμενοι ἐξ*ερείδουσι τε ἀτονίαν σώματος, καὶ τὰς τῶν ὑγρῶν διαφθορὰς ἐξαμβλύνουσιν. ὅλοι δὲ οἱ στρόβιλοι ἀπὸ δένδρων πρόσφατοι θλασθέντες ἐν γλυκεῖ καὶ ἑψηθέντες, ἁρμόζουσι παλαιαῖς βηξὶ καὶ φθίσεσι, καὶ τοῦ ἐξ αὐτοῦ ὑγροῦ καθ᾽ ἑκάστην ἡμέραν λαμβανομένου κυάθων τὸ πλῆθος τριῶν.

Περὶ Σχίνου. Κεφ. ς'.

Σχῖνος δένδρον γνώριμον στυπτικὸν ὅλον· καὶ γὰρ ὁ καρπὸς αὐτῆς καὶ τὸ φύλλον καὶ ὁ φλοιὸς τῶν κλάδων καὶ τῆς ῥίζης ἰσοδυναμοῦσι. γίνεται

ea circũlitionibꝰ efficaciſsimè imponit̃,quibus palpebras ornãt,coloréq; mẽtiunt̃,callibrephara Græci vocãt:arroſis oculorũ angulis, calloſis glabriſq; genis,& collachrymationibus opitulat̃.

Pityides. Cap. 88.

Pityides appellantur pinorum piceæq; fructus,qui in conis inueniuntur. Vim aſtrictoriam habent, & aliquãtum excalfacientem: tuſsi & pectoris vitiis auxiliantur,per ſe,aut ex melle ſumpti.

Strobili. Cap. LXXXIX.

Nuces pineæ cũ Strobili repurgatæ mãdũtur,aut cũ paſſo aut cucumeris ſemine bibuntur,vrinam ciẽt:acrimonias in renibus & veſica hebetãt,ſtomachi roſiones leniunt: datæ cum portulacæ ſucco, virium infirmitatem roborant,corruptorum quoq; humorũ labem obtundunt. Pineæ nuces integræ recenter arboribus decerptę in paſſo frãguntur,& decoctæ,vetuſtæ tuſsi ac tabitudini conferunt,ſi quotidie ex eo liquore terni cyathi bibantur.

Lentiſcus. Cap. XC.

Lentiſcus nota arbor eſt,cui toti vis ineſt aſtringendi: ſemini enim,folio,ramo,cortici, radicibúſq; cognatæ inſũt vires.

Liqua-

Liquamentum auté ita fieri ſolet: Folia, cortex & radix in aqua coquuntur, & vbi abundè cocta refrigeratáque ſunt, folia abiiciuntur: aqua denuo coquitur, donec mellis habeat craſsitudinem. Lentiſcus ſua ſua aſtringendi dote, valet aduerſus ſanguinis reiectiones, alui profluuia, & dyſenterias in potu. Item contra eruptionem ſanguinis è vulua, & eiuſdem aut ſedis procidentia. In totum acaciæ & hypociſtidis vicem repræſentat. Idem facit ſuccus è tritis foliis. Decoctum fotu caua explet, & fracta oſſa ferruminat, vuluæ fluxiones ſiſtit, nomas arcet, vrinam pellit, motus dentium collutione ſtabilit. Virentes ſurculi calamulorum vice dentibus repurgandis affricantur. Fit è ſemine oleum, quod prodeſt cùm quid adſtringi opus eſt.

Lentiſcus. Cap. XC.

Lentiſcus reſinam gignit, quæ lentiſcina cognominatur, & ab aliquibus, maſtiche. Pota vtilis eſt ſanguinem reiicientibus, & tuſsi veteri: ſtomacho auxiliatur, ſed ructum mouet. Additur in dentifricia,

&

γίνεται δὲ καὶ χύλισμα ἐκ τοῦ φλοιοῦ, καὶ τῆς ῥίζης καὶ τῶν φύλλων ἑψημένων σὺν ὕδατι ἐφ' ἱκανόν· εἶτα μετὰ τὸ ἑψηθῆναι τῶν φύλλων ῥιπτομένων, τοῦ ὕδατος δὲ πάλιν ἑψομένου μέχρι μελιτώδους συστάσεως. ποιεῖ δὲ στύφων πρὸς αἵματος ἀναγωγὰς καὶ ῥύσεις κοιλίας καὶ δυσεντερίας πινόμενος, καὶ πρὸς τὰς ἐκ μήτρας αἱμοῤῥοΐδας, καὶ προπτώσεις ὑστέρας καὶ δακτυλίου· καὶ καθόλου ἀντὶ ἀκακίας καὶ ὑποκυστίδος ἔνεστιν αὐτῷ χρῆσθαι. καὶ ὁ χυλὸς δὲ τῶν φύλλων ἐκθλιβέντων τὰ αὐτὰ ποιεῖ. καὶ τὸ ἀφέψημα δὲ αὐτῶν καταντλούμενον, τὰ ἀσυμπλήρωτα πληροῖ, καὶ τὰ ἀπώρωτα πωρεῖ ὀστέα, καὶ τὰς ἐκ μήτρας *ῥεύσεις στέλλει, καὶ τῶν νομῶν ἀποτρεπτικὸν καὶ οὐρητικόν ἐστιν, ἵστησι δὲ καὶ σειομένους ὀδόντας διακλυζόμενον. τὰ δὲ ξυλάρια χλωρὰ ἀντὶ καλαμίδων παρατριβόμενα τοῖς ὀδοῦσι, σμήχει τούτους. γίνεται δὲ καὶ ἐκ τοῦ καρποῦ αὐτοῦ ἔλαιον στυπτικὸν, ἁρμόζον πρὸς τὰ στύψεως δεόμενα.

Περὶ Ῥητίνης σχινίνης. Κεφ. ϟά.

Γεννᾶται δὲ καὶ ῥητίνη ἐξ αὐτῆς σχινίνη καλουμένη, ὑπ' ἐνίων δὲ μαστίχη. χρησιμεύουσα πρὸς αἵματος ἀναγωγὰς, καὶ πρὸς παλαιὰν βῆχα πινομένη· ἔστι δὲ εὐστόμαχος ἐρευκτική. μίγνυται δὲ καὶ σμήγμασιν ὀδόντων.

καὶ

καὶ ἐπιχρίσμασι προσώπου στιλβοποιοῦσι. ἀνακολλᾷ δὲ καὶ τρίχας ἐν ὀφθαλμοῖς, στόματός τε εὐωδίαν ποιεῖ διαμασωμένη, καὶ οὔλων ἐστὶ σταλτική. γίνεται δὲ καὶ καλλίστη καὶ πλείστη ἐν χίῳ τῇ νήσῳ. διαφέρει δὲ αὐτῆς ἡ λαμπυρίζουσα, καὶ τυῤῥηνικῷ κηρῷ ὁμοία τῇ λευκότητι, ἀδρὰ καὶ καπυρὰ καὶ εὔθρυβης καὶ εὐώδης. ἡ δὲ χλωρὰ ἥττων. δολοῦται δὲ λιβάνου καὶ ῥητίνης στροβιλίνης μιγνυμένων αὐτῇ.

Περὶ Τερμίνθου. Κεφ. ϛβ'.

Τέρμινθος γνώριμον δένδρον, ἧς τὰ φύλλα καὶ ὁ καρπὸς καὶ ὁ φλοιὸς στυπτικὰ ὄντα ἁρμόζει πρὸς ἃ καὶ ἡ σχῖνος, σκευαζόμενα ὁμοίως καὶ λαμβανόμενα. ὁ δὲ καρπὸς αὐτῆς ἐστὶν ἐδώδιμος, κακοστόμαχος, οὐρητικὸς, θερμαντικὸς· ἔστι δὲ ἄριστος πρὸς ἀφροδίσια, σὺν οἴνῳ δὲ ποθεὶς, πρὸς φαλαγγίων δήγματα ἁρμόζει. *ἡ δὲ ἐξ αὐτοῦ ῥητίνη κομίζεται μὲν ἐξ ἀραβίας τῆς ἐν πέτρᾳ. γίνεται δὲ καὶ ἐν ἰουδαίᾳ καὶ συρίᾳ καὶ ἐν κύπρῳ καὶ ἐν λιβύῃ, καὶ ἐν ταῖς κυκλάσι νήσοις· ἡ δὴ καὶ διαφέρει διαυγεστέρα οὖσα, λευκὴ, ὑαλίζουσα τῷ χρώματι καὶ κυανίζουσα, εὐώδης τερμίνθου πνέουσα. προάγει δὲ πασῶν τῶν ῥητινῶν ἡ τερμινθίνη· καὶ μετὰ ταύτην ἡ σχινίνη, εἶτα ἡ πιτυΐνη καὶ ἡ ἐλατίνη·

μθ'

& illitiones faciei, ad nitorem cuti conciliandum. Palpebras oculis incõmodas replicat, mãducata halitũ oris commẽdat, gingiuas contrahit. Optima & copioſiſsima in inſula Chio ꝓuenit. Præfertur (nitedulę modo) reſplendeſcẽs, & candore Tyrrhenicæ ceræ ſimilis, adulta, retorrida, friabilis, odorata, ſtridorẽ ædens. Viridis autẽ inferior eſt. Adulteraĩ thuris, reſinæq; pineæ nucis miſtura.

Terebinthus. Cap. XCII.

Terebinthus cognita arbor eſt, cuius folia, & ſemen, & cortex adſtringunt, & ad eadem ad quæ lentiſcus conueniunt, ſimili parata modo ſumptáque. Fructus eſui aptus eſt, ſed ſtomacho aduerſatur: excalfacit, vrinam mouet, venerem excitat, contra phalangiorum morſus conuenienter in vino bibitur. Reſina eius ex Arabia petræa defertur. Prouenit etiam in Iudæa, Syria, Cypro, Africa & Cycladibus inſulis: ſed præualet candida, perlucida, vitreo colore & in cæruleum vergente, odorata, terebinthum olens. Terebinthus reſinas omneis antecedit: proxima lentiſcina, & è pinu, & abiete:

has

has ſequitur è picea & pineis nucibus reſina. Natura omnibus calfacere, mollire diſcutere, expurgare. tuſsi ac tabi cõueniũt per ſe, aut in eclegmate ex melle, vitia pectoris expurgant, vrinam cient, cruda concoquunt, ventrem emolliunt, palpebras commodiſsimè replicant, lepras tollunt, cum ærugine ac ſutorio atramento, nitróque: auribus ſaniem emanantibus cum melle & oleo, item in pruritu genitalium vtiles malagmatis, acopíſque admiſcentur. La terũ doloribus per ſe, illitu & appoſitu auxilio ſunt.

Reſinæ aliæ.
Cap. XCIII.

Liquida reſina è pinu & picea, à Gallia & Hetruria conuehi ſolet, atque olim á Colophone petebatur: hinc Colophoniæ ſibi cognomentum vendicauit. A Gallia quoque ſubalpina: quã vernaculo nomine laricem appellant incolæ. Ea in linctu, & per ſe, magnopere prodeſt tuſsi veteri. Colore inter ſe diſtant: ſiquidem alia candida eſt, alia oleoſa, alia mellei liquoris ſimilitudine, vt laringa. Cupreſſus etiam liquidã fundit reſinam,

quæ

μεθ' ἃς ἀριθμοῦνται ἥ τε πευκίνη καὶ ἡ στροβιλίνη. ἔστι δὲ πᾶσα ῥητίνη, μαλακτική, θερμαντική, διαφορητική, ἀνακαθαρτική· βηξὶν ἁρμόζουσα καὶ φθίσεσιν, ἐν ἐκλικτοῖς καθ' ἑαυτὴν ἢ μετὰ μέλιτος, ἀνακαθαίρουσα καὶ τὰ ἐν θώρακος· ἔστι δὲ καὶ οὐρητικὴ καὶ πεπτική, κοιλίαν τε μαλάσσει ἔν τε ἀνακολλήσει τριχῶν ἁρμόζει τῶν ἐν βλεφάροις, καὶ πρὸς λέπρας σὺν ἰῷ χαλκοῦ καὶ χαλκάνθῳ καὶ νίτρῳ, πρός τε τὰ ἰχωρροοῦντα ὦτα σὺν μέλιτι καὶ ἐλαίῳ, καὶ πρὸς κνησμὸν αἰδοίου. μίγνυται δὲ καὶ ἐμπλάστροις, καὶ μαλάγμασι καὶ ἀκόποις, καὶ πλευρᾶς ἀλγήμασι βοηθεῖ καθ' ἑαυτὴν ἐπιχριθεῖσα καὶ ἐπιτιθεμένη.

Περὶ Πιτίνης ὑγρᾶς Πιτυΐνης καὶ Πευκίνης. Κεφ. ϟγ´.

Γίνεται δὲ ῥητίνη ὑγρὰ πιτυΐνη καὶ πευκίνη, κομιζόμεναι ἀπὸ γαλλίας καὶ τυρρηνίας, καὶ ἀπὸ κολοφῶνος πάλαι ποτὲ ἐκομίζετο. ἔνθεν καὶ τὴν ἐπωνυμίαν ἔσχε κολοφωνία κληθεῖσα. καὶ ἀπὸ γαλατίας τῆς πρὸς ταῖς ἄλπεσιν, ἣν ἐπιχωρίως οἱ τῇδε ἔποικοι λάρικα ὀνομάζουσιν. ἐξόχως ποιοῦσα πρὸς τὰς χρονίους βῆχας ἐν ἐκλικτῷ καὶ καθ' ἑαυτήν. διάφοροι δέ εἰσι τῷ χρώματι καὶ αὐταί· ἡ μὲν γάρ τίς ἐστι λευκή, ἡ δὲ ἐλαιώδης, ἡ δὲ μέλιτι ἔοικεν ὥσπερ ἡ λάριξ*. γίνεται δὲ καὶ κυπαρισσίνη ῥητίνη ὑγρά.

ἥ τις

ἥ τις ποιεῖ πρὸς τὰ αὐτά. τῆς μέντοι ξηρᾶς, ἡ μέν ἐστι στροβιλίνη καὶ ἐλατίνη, ἡ δὲ πευκίνη, ἡ δὲ πιτυΐνη. ἐκλέγου δὲ πασῶν τὴν εὐωδεστάτην καὶ διαυγῆ καὶ μὴ καπυρὰν μὴ δὲ κάθυγρον, κηρώδη δὲ καὶ εὔθρυπτον. διαφέρει δὲ αὐτῶν ἡ πιτυΐνη καὶ ἐλατίνη· εὐώδεις γάρ εἰσι καὶ λιβανίζουσαι. κομίζονται δὲ διάφοροι ἐκ πιτυούσης τῆς νήσου, ἥ τις κεῖται κατὰ τὴν ἱσπανίαν. ἡ δὲ πευκίνη καὶ στροβιλίνη, καὶ κυπαρισσίνη, ἐνδεέστεραι εἰσί, καὶ οὐχ ὁμοίως κέχρηνται ταῖς δυνάμεσιν ὡς ἐκεῖναι. παραλαμβάνονται δὲ πρὸς ὅσα καὶ ἐκεῖναι. ἡ μέντοι σχινίνη, ἀναλογεῖ τῇ τερμινθίνῃ.

*Περὶ λιγνύος ῥητίνης. Κε. ϟδ΄.

Καίεται δὲ πᾶσα ῥητίνη ὑγρὰ ἐν τετραπλασίονι ἀγγείῳ κατὰ τὸ τοῦ ἐγχεομένου ὑγροῦ πλῆθος. δεῖ γὰρ χοῦν μὲν τῆς ῥητίνης, δύο δὲ χόας ὀμβρίου ὕδατος βαλόντας εἰς ἀγγεῖον, ἕψειν ἐπ' ἀνθράκων πράως, διηνεκῶς κινοῦντας ἄχρις οὗ ἄνοσμος γένηται καὶ εὔθρυπτος καὶ καπυρά. καὶ ὡς τοῖς δακτύλοις εἴκειν. λοιπὸν δεῖ ψύξαντας εἰς κεραμεοῦν ἀγγεῖον ἀκόνιτον, *τουτέστιν ἀπίσσωτον, ἀποτίθεσθαι. γίνεται δὲ ἐξόχως λευκή, δεῖ μέντοι προδιυλίζειν πᾶσαν ῥητίνην τήκοντας, ἵνα χωρισθῇ τὸ ῥυπῶδες αὐτῆς.

καίονται

quę ad eadé pollet. Quæ verò aridarũ generi aſcribunt̃,quædã ex pineis nucib⁹, aliæ abiete,aliæ picea & pinu exierunt. Eligi debet lõgè omniũ odoratiſsima,trãslucés, nó retorrida,neq; diluta, quãdã ceræ faciem præbés,& friabilis. E picea & abiete reſinæ cæteras antecedũt:odoratæ enim ſunt, atq; thus odore imitãtur. Præſtantiores à Pityuſa inſula deferunt̃,quæ ſecũdũ Hiſpaniã ſita eſt.Sed q̃ è picea,nucib⁹ pineis & cupreſſo manarũt, nihil ad illas,nec tãtis viribus potiũtur. Veruntamen eorundem gratia quorũ & illæ ſumi ſolét.Lentiſcina terebinthinæ reſpõdet.

Fuligo reſinæ. Cap.XCIIII.

Vritur reſina omnis liquida in vaſe quadruplæ capacitatis ad humoré,qui infunditur:itaque reſinæ congius,in duobus aquæ pluuiæ coquit̃,ſubiectis leuibus prunis, reſina aſsiduè mouet̃,donec omnis odor aboleatur, & friabilis & retorrida reddat̃,ac digitis cedat.Cęterũ vbi rifrixit, in fictile non picatũ,quod aconitũ vocãt,id eſt non illitum, recõditur. Fiet etiam eximij cãdoris, ſi reſina omnis eliquata præcolet̃, quó fœculenta ſordes excernatur.

Vruntur

Vruntur quoque ſine aqua, primum lento igne: & vbi coire cœperũt. maior carbonũ ſtrues ſupponitur, & triduo citra intermiſsionem diſcoquuntur, vſque dum antedictas naturæ ſuæ notas exuerint: mox, vt dictum eſt, reponuntur. Aridas vnius diei ſpatio decoxiſſe ſatis eſt. Vſtæ odoratis malagmatibus, & acopis, & vnguentorum colorationibus magnopere vtiles ſunt. E reſina perinde atq; thure fuligo excipitur, ad circumlitiones idonea: quibus palpebras fucant, & colorem mentiuntur. Prodeſt glabris genis, collachrymationibus, eroſiſq; oculorum angulis, ex ea fit atramentum ſcriptorium.

Pix liquida. Cap. XCV.

Pix liquida, quam alij conum vocant, è pinguiſsimis pini piceæque lignis congregatur. Optima eſt ſplendens, ſyncera, læuis. Contra venena, phthiſin, purulentam excreationem, tuſſes, ſuſpiria, & pectoris humores, qui difficile extuſsiuntur, efficax eſt, eclegmate cyathi mẽſura cũ melle dato. Tonſillarum & vuę inflammationes, anginæq; vtiliter perunguntur: purulẽtis auribus infunditur cum roſaceo,

&

καίονται δὲ καὶ δίχα ὕδατος ἐπ' ἀνθράκων κούφως τὸ πρῶτον· ὅταν δὲ μέλλωσι* συστρέφειν ἀθρόως καὶ πολλοὺς ὑποθετέον τοὺς ἄνθρακας, καὶ ἑψητέον ἀδιαλείπτως ἐφ' ἡμέρας καὶ νύκτας τρεῖς, ἄχρις ἂν τὸ προειρημένον ἰδίωμα ἀπολίπωσιν, ἀποτίθεσθαι δὲ ὡς εἴρηται. τὰς μέν τοι ξηρὰς ἀρκέσει δι' ὅλης ἡμέρας ἑψήσαντας ἀποτίθεσθαι. εὐχρηστοῦσι δὲ καὶ αἱ κεκαυμέναι, εἴς τε τὰ εὐώδη τῶν μαλαγμάτων καὶ ἄκοπα, καὶ εἰς χρωματισμοὺς μύρων. ἐκλαμβάνεται δὲ καὶ λιγνὺς ῥητίνης ὥσπερ ἐπὶ τοῦ λιβάνου. ἥτις χρησιμεύει πρός τε καλλιβλέφαρα, καὶ περιβεβρωμένους κανθοὺς καὶ μαδῶντα βλέφαρα, καὶ δακρύοντας ὀφθαλμούς. γίνεται δὲ ἐξ αὐτοῦ καὶ μέλαν ᾧ γράφομεν.

Περὶ Πίσσης ὑγρᾶς. Κεφ. ϛέ.

Πίσσα ἡ μὲν ὑγρὰ ἣν ἔνιοι κῶνον καλοῦσι, συνάγεται μὲν ἐκ τῶν λιπαρωτάτων ξύλων, πεύκης καὶ πίτυος. ἔστι δὲ καλὴ ἡ στίλβουσα καὶ λεία καὶ καθαρά. ποιεῖ δὲ πρὸς θανάσιμα φάρμακα, φθισικοὺς, ἐμπυϊκοὺς, βῆχας, ἄσθματα δυσανάγωγα τῶν ἐν θώρακι ὑγρῶν, ἐκλειχομένη κυάθου πλῆθος μετὰ μέλιτος. ποιεῖ δὲ καὶ πρὸς τὰς τῶν παρισθμίων καὶ σταφυλῆς φλεγμονὰς καὶ συνάγχας διαχριομένη· καὶ πρὸς τὰ πυορροοῦντα ὦτα σὺν ῥοδίνῳ.

καὶ

καὶ πρὸς ἑρπετῶν δήγματα σὺν ἁλσὶ λείοις καταπλασσομένη, κηρῷ δὲ ἴσῳ μιγεῖσα, λεπροὺς ὄνυχας ἀφίστησι, φύματά τε ὑστέρας καὶ σκληρίας δακτυλίου διαφορεῖ· σὺν κριθίνῳ δὲ ἑψηθεῖσα ἀλεύρῳ καὶ παιδὸς οὔρῳ, χοιράδας περιρρήσσει· μετὰ δὲ θείου ἢ πίτυος φλοιοῦ ἢ πιτύρων, ἕρπητας ἐπέχει καταχριομένη· μάννῃ δὲ καὶ κηρωτῇ μιγεῖσα, τὰς ὑποφορὰς παρακολλᾷ, πρός τε τὰς ἐν ποσὶ καὶ δακτυλίῳ ῥαγάδας ἁρμόζει καταχριομένη, πληροῖ τε τὰ ἕλκη, καὶ ἀποκαθαίρει σὺν μέλιτι, σὺν σταφίδι δὲ καὶ μέλιτι, ἄνθρακας καὶ σηπεδόνας περιχαράσσει· μίγνυται δὲ καὶ σήπτοις χρησίμως.

Περὶ Πισσελαίου. Κεφ. ϟϛ'.

Γίνεται δὲ καὶ πισσέλαιον ἐκ τῆς πίσσης, χωριζομένου τοῦ ὑδατώδους αὐτῆς· ἐφίσταται δὲ τοῦτο καθάπερ ὀρρὸς γάλακτι, καὶ ἐκλαμβάνεται δὲ ἐν τῇ ἑψήσει τῆς πίσσης, ὑπεραιωρουμένου ἐρίου καθαροῦ, ὅπερ ὅταν ἐκ τῆς ἀναφερομένης ἀτμίδος γένηται διάβροχον, ἐκθλίβεται εἰς ἀγγεῖον, καὶ τοῦτο γίνεται ἐφ' ὅσον ἂν χρόνον ἡ πίσσα ἕψηται. ποιεῖ δὲ πρὸς ὅσα καὶ ἡ ὑγρὰ πίσσα. δασύνει δὲ καὶ ἀλωπεκίας καταπλασσόμενον μετὰ κριθίνου ἀλεύρου· θεραπεύει δὲ τοῦτο καὶ ἡ ὑγρὰ πίσσα, καὶ τὰ ἐπὶ τῶν κτηνῶν ἕλκη καὶ ψώρας ἐπιχριομένη.

Περὶ

& illinit cũ trito ſale ſerpentiũ morſib⁹:adiectaverò pari cera ſcabros vngues extricat,impetiginesq; emẽdat:vuluæ duritias ac ſedis tubercula diſcutit: cũ farináq; hordeacea et pueri ĩpubis vrina decocta, ſtrumas rũpit: cohibet vlcera q̃ ſerpũt, cũ pineo cortice,aut ſulphure, aut furfuribus illita.Cæterũ cũ thuris mãna & cerato ꝓfũdos vlcerũ ſin⁹ cõglutinat,rimis ſedis & pedũ,magno auxilio illinit:vlcera replet,& cum melle purgat:quin & cũ vua paſſa,et melle carbunculos, & putrida vlcera emarginat,diſrumpitq́;: erodẽtibus medicamẽtis, quas ſeptas vocãt,ꝓbè immiſcetur.

Picinũ oleũ. Cap. XCVI.

E pice fit quod piſſelæon appellãt, ſeparato liquore aquoſo, qui ſupernatat pici,ſicut ſerum lacti. Nam expanſa,quãdiu pix coquitur, ſupra cortinam vellera pura madeſcunt, acceptóque halitu eius exprimuntur in vas. Quas pix liquida, præbet vtilitates. alopecias capillo replet cum farina hordeacea illitum, quibus & liquida pix medetur iumẽtorum vlcera ſcabiémque emẽdat.

Fuligo liquidæ picis.
Cap. XCVII.

Fit hoc modo è liquida pice fuligo: In lucerna noua q̃ ellychnium habeat, nonnihil picis incendito, lucernãq; fictili vaſe in clibani ſpeciem cõformato, ſuperius in anguſtum fornicato, inferius perforato, vt clibani eſſe ſolent, operito, & adoleri ſinito: conſumptoq; liquore nouũ infundito, quo ad ſufficientem vſui fuliginem collegeris. Vis ei adſtringẽs, acriſq;. Vſui eſt ad pigmẽta quibꝰ palpebras linunt & venuſtant, & ad circũlitiones. Item vbi glabris genis pilos reſtitui oportet, ad imbecilles lachrymoſósq; oculos, inſuper ad eorũdem vlcera non inutilis eſt.

Pix arida.
Cap. XCVIII

Liquida pix decocta in ſpiſſam coit, quã vocant aliqui palimpiſſam: quo in genere quędam viſci modo lenteſcit, boſcas cognominata: altera ſicca eſt. Probat̃ pura, pinguis, odorata, ſubrufa, reſinoſa. Talis Brutia & Lycia, picis reſinæq́ue ſimul naturam habentes. Calfactoriam vim habet: dura emollit, pus mouet, tubercula pannóſque diſcutit,

vlcera

Περὶ λιγνύος τῆς ἐξ ὑγρᾶς πίσσης. Κεφ. ϛζʹ.

Γίνεται δὲ καὶ λιγνὺς τῆς ὑγρᾶς πίσσης οὕτως· εἰς λύχνον καινὸν ἐλλυχνιασμένον δοὺς τι τῆς πίσσης, ἅψον καὶ πωμάσας τὸν λύχνον καινῷ ἀγγείῳ κεραμέῳ κλιβανοειδεῖ, ἄνωθεν μὲν περιφερεῖ καὶ στενῷ, κάτωθεν δὲ τρῆμα ἔχοντι καθάπερ οἱ κλίβανοι, ἔα καίεσθαι, ὅταν δὲ ἀναλωθῇ τὸ πρότερον ὑγρὸν, ἄλλο ἐπίχεε, ἕως ἂν αἰθαλώσῃς λιγνὺν αὐτάρκη, καὶ χρῶ. Δύναμιν δὲ ἔχει δριμεῖαν καὶ στυπτικήν. χρηστέον δὲ αὐτῇ, εἰς τὰ καλλιβλέφαρα καὶ περιχριστά, καὶ ὅπου μεμυδηκότα βλέφαρα τριχοφυῆσαι δεῖ, καὶ πρὸς ἀσθενέστερα καὶ δακρυρροοῦντα· ἔτι δὲ εἰς ἑλκώδη ὄμματα χρήσιμος.

Περὶ ξηρᾶς πίσσης.
Κεφ. ϛηʹ.

Ἡ δὲ ξηρὰ πίσσα, ἑψομένης τῆς ὑγρᾶς γίνεται· καλεῖται δὲ αὐτὴ ὑπ' ἐνίων παλίμπισσα. γίνεται δὲ αὐτῆς, ἡ μέν τις ἰξώδης, βοσκὰς καλουμένη, ἡ δὲ, ξηρά. ἔστι δὲ καλὴ ἡ καθαρὰ, καὶ λιπαρὰ, εὐώδης τε καὶ ὑπόκιρρος καὶ ῥητινώδης. τοιαύτη δέ ἐστιν ἡ λυκιακὴ καὶ βρυτία δύο φύσεων ἐχόμεναι πίσσης ἅμα καὶ ῥητίνης. Δύναμιν δὲ ἔχει θερμαντικὴν, μαλακτικὴν, πυοποιὸν, διαφορητικὴν φυμάτων καὶ φυγέθλων,

καὶ

καὶ πληρωτικὴν ἑλκῶν, μίγνυται δὲ καὶ τραυματικοῖς χρησίμως.

Περὶ Ζωπίσσης. Κεφ. ϟθʹ.

Ζώπισσαν δὲ οἱ μὲν, εἶπον τὴν ἐκ τῶν πλοίων ξυομένην ῥητίνην μετὰ τοῦ κηροῦ, καλουμένην ὑπ᾽ ἐνίων ἀπόχυμα, οὖσαν διαχυτικὴν διὰ τὸ ἐν τῇ θαλάσσῃ βρέχεσθαι· οἱ δὲ, τὴν πιτυΐνην ῥητίνην οὕτως ὠνόμασαν.

Περὶ Ἀσφάλτου. Κεφ. ρʹ.

Ἄσφαλτος διαφέρει ἡ ἰουδαϊκὴ τῆς λοιπῆς· ἔστι δὲ καλὴ ἡ πορφυροειδῶς στίλβουσα, εὔτονος τῇ ὀσμῇ καὶ βαρεῖα· ἡ δὲ μέλαινα καὶ ῥυπώδης φαύλη. δολοῦται γὰρ πίσσης μιγνυμένης. γίνεται καὶ ἐν φοινίκῃ, καὶ ἐν σιδόνι, καὶ ἐν βαβυλῶνι. καὶ ἐν ζακύνθῳ. γίνεται δὲ καὶ κατὰ τὴν ἀκραγαντίνων χώραν τῆς σικελίας, ὑγρὸν ἐπινηχόμενον ταῖς κρήναις, ᾧ χρῶνται εἰς τοὺς λύχνους ἀντὶ ἐλαίου, καλοῦντες αὐτὸ σικελὸν ἔλαιον, πλανώμενοι· ἔστι γὰρ ἀσφάλτου ὑγρᾶς εἶδος.

Περὶ Πιττασφάλτου. Κεφ. ραʹ.

Καλεῖται δέ τις καὶ πιττάσφαλτος γινομένη ἐν ἀπολλωνίᾳ τῇ πρὸς ἐπιδαύρῳ, ἥ τις ἐκ τῶν κεραυνίων ὀρῶν συγκαταφέρεται, τῇ τοῦ ποταμοῦ ῥύμῃ, καὶ ἐκβράσσεται κατὰ τὰς ἠϊόνας, βωλοειδῶς συμπεπηγυῖα, ὄζουσα πίσσης μεμιγμένης ἀσφάλτῳ.

Περὶ

vlcera replet, vulnerariis medicaminibus cōmodè permiſcet.

Zopiſſa. Cap. XCIX.

Zopiſſam aliqui aiunt deraſam nauibus reſinam cum cera, quam alij apochyma appellant. Ea diſsipandi naturam habet: quoniam marino ſale macerata ſit. Alij pineam reſinam hoc nomine vocauerunt.

Bitumen. Cap. C.

Bitumē Iudaicū cæteris anteponitur. Cuius probatio eſt, vt purpuræ modo ſplendeat, ſitq; pōderoſum, ac validū odorem vibret. Nigrū autē & ſordidū, vitioſum eſt. Adulteratur pice. Gignitur in Phœnice, Babylone, Zacyntho, & Sydone. Liquidum inuenitur in Agragantino Siciliæ fontibus innatans: quo vtuntur ad lucernarum lumina, olei vice. Hallucinantur, qui id Sicilicū oleū nominant: nanq; liquidi bituminis genus eſſe conſtat.

Piſſaſphaltum. Cap. CI.

Naſcitur in Apolloniatarum agro circa Epidaurum, quæ piſſaſphaltos appellatur. Ea Cerauniis mōtibus deuoluta, impetu fluminis rapitur, æſtúque in littus expuitur, illic coacta in glebas, miſtam bitumini picem redolet.

Naphtha. Cap. CII.

Naphtham vocant Babylonij, bituminis colamen, colore cãdidum: inuenitur etiam nigrum. Vis ei ignium rapax, ita vt ex ſpatio protinus in eam tranſiliant. Ad ſuffuſiones oculorum, & albugines vtilis. Bitumen omne diſcutit, glutinat, emollit, ab inflammatione tuetur: vuluarum procidentia, ſtrangulationéſque olfactu, ſuffitu, impoſitu, emẽdat: comitiales morbos ſuffitum deprehendit, gagatæ lapidis more: purgationes mulierum cum vino, & caſtorio potum elicit, tuſsim veterem & anhelitum adiuuat, ſerpentium morſibus, coxendicum laterúmque doloribus auxiliatur, datur cœliacis in catapotio deuorandum, cum aceto potum diſcutit ſanguinem cõcretum, dyſentericis cum ptiſana liquatum infunditur, diſtillationibus ſuffitione medetur, mitigat dentiũ dolores oblitum, cæterùm pilos incõmodos ſiccũ replicat, ſpecillo impoſitum: cõcalfactum autem, & cum farina hordeacea, nitro & cera illitũ, podagris, articulorum doloribus, lethargicíſque prodeſt. Piſſaſphaltos eadem,

Περὶ Νάφθας. Κεφ. ρβ'.

Καλεῖται δέ τις καὶ νάφθα, ὅ ἐστι τὸ βαβυλωνίου ἀσφάλτου περιήθημα, τῷ χρώματι λευκόν· εὑρίσκεται δὲ καὶ μέλαν. Δύναμιν ἔχον ἁρπακτικὴν τοῦ πυρός, ὥστε καὶ ἐκ διαστήματος ἁρπάζειν αὐτό, ὅπερ πρὸς ὑποχύσεις χρησιμεύει καὶ λευκώματα. Δύναμιν δὲ ἔχει πᾶσα ἄσφαλτος ἀφλέγμαντον, κολλητικήν, διαφορητικήν, μαλακτικήν, ποιοῦσα πρὸς πνίγας ὑστερικὰς καὶ προπτώσεις· προστιθεμένη καὶ ὀσφραινομένη καὶ ὑποθυμιωμένη· ἐλέγχει δὲ καὶ ἐπιληπτικοὺς ὑποθυμιαθεῖσα καθὰ καὶ ὁ γαγάτης λίθος· πινομένη δὲ μετ' οἴνου καὶ καστορίου ἔμμηνα κινεῖ καὶ βηξὶ χρονίαις καὶ ἀσθματικοῖς καὶ δυσπνοίαις βοηθεῖ, καὶ ἑρπετῶν δήγμασι, καὶ ἰσχίων πόνοις καὶ πλευρᾶς· δίδοται δὲ καὶ κοιλιακοῖς καταπότιον, καὶ θρόμβους αἵματος διαλύει σὺν ὄξει ποθεῖσα· ἐγκλύζεται καὶ ἐπὶ δυσεντερικῶν σὺν πτισάνῃ τακεῖσα, καὶ καταῤῥόους ὑποθυμιωμένη θεραπεύει, καὶ ὀδόντων ἀλγήματα περιπλασθεῖσα πραΰνει, ἀνακολλᾷ δὲ καὶ τρίχας ἡ ξηρὰ διὰ μηλωτίδος· θερμανθεῖσα δὲ ἀρήγει τι, καὶ ποδαγρικοῖς, καὶ ἀρθριτικοῖς καὶ ληθαργικοῖς σὺν ὠμῇ λύσει καὶ κηρῷ καὶ νίτρῳ καταπλασθεῖσα· ἡ δὲ πισσάσφαλτος δύναται

δύναται ὅσα πίσσα καὶ ἄσφαλτος μιγνύντα.

Περὶ Κυπαρίσσου. Κεφ. ργ΄.

Κυπάρισσος στύφει, ψύχει· ἧς τὰ φύλλα ποθέντα μετὰ γλυκέος καὶ σμύρνης ὀλίγης, κύστει ῥευματιζομένῃ καὶ δυσουρίαις βοηθεῖ. τὰ δὲ σφαιρία κοπέντα καὶ σὺν οἴνῳ πινόμενα, ἁρμόζει πρὸς αἵματος ἀναγωγὴν καὶ δυσεντερίαν, καὶ κοιλίας ῥευματισμὸν, ὀρθόπνοιαν, βῆχα· καὶ τὸ ἀφέψημα αὐτῶν τὸ αὐτὸ ποιεῖ· μαλάττει δὲ καὶ σκληρίας κοπέντα μετὰ σύκου, καὶ πολύποδας τοὺς ἐν μυκτῆρσιν ἰᾶται, ἐκβάλλει δὲ καὶ λεπριῶντας ὄνυχας, σὺν ὄξει καθεψηθέντα καὶ λειανθέντα μετὰ θέρμων, στέλλει δὲ καὶ ἐντεροκήλας καταπλασθέντα. καὶ τὰ φύλλα δὲ αὐτὰ ποιεῖ. δοκεῖ δὲ καὶ κώνωπας διώκειν τὰ σφαιρία μετὰ τῆς κόμης θυμιαθέντα. τὰ δὲ φύλλα λεῖα καταπλαττόμενα, τραύματα κολλᾷ· ἔστι δὲ καὶ ἴσχαιμα, σὺν ὄξει δὲ λειωθέντα, τρίχας βάπτει, καταπλάσσεται δὲ καθ᾽ αὐτὰ καὶ σὺν ἀλφίτῳ πρὸς ἐρυσιπέλατα καὶ ἕρπητας, ἄνθρακας, καὶ πρὸς ὀφθαλμῶν φλεγμονάς, κηρωτῇ δὲ μιγνύντα, στόμαχον κρατύνει ἐπιτιθέμενα.

Περὶ ἀρκευθίδος. Κεφ. ρδ΄.

Ἔστιν ἀρκευθὶς ἡ μὲν μικρὰ, ἡ δὲ μεγάλη· δριμεῖαι δὲ ἀμφότεραι, διουρητι-

eadem, quæ pix & bitumen, ſi miſceantur, poteſt.

Cupreſſus. Cap. CIII.

Cupreſſus refrigerat, & aſtringit. Cuius folia ex paſſo, & exiguo myrrhæ pota, veſicæ rheumatiſmis, & vrinæ difficultati auxiliantur. Pilulæ autem ex vino tuſæ in dyſenteria, alui fluxione, tuſsi, & orthopnœa, aut ſi reiiciatur ſanguis, conuenientiſsimè bibuntur: earum decoctum eoſdem præbet effectus: tuſæ cum fico duritias emolliũt, nariúmque polypo medentur: in aceto coctæ, & cum lupinis detritæ ſcabros vngues eiiciunt: hernias inteſtinorum prolapſu erumpentes illitu reprimunt. Folia eadem præſtant. Pilulæ cum arboris coma ſuffitæ, culices abigere exiſtimantur. Folia trita & ĩpoſita, vulnera cõglutinant: ſanguinem ſupprimunt, capillum ex aceto tingunt, illinuntur per ſe, aut cum pollenta ignibus ſacris, vlceribus quæ ſerpunt, carbunculis & oculorum inflammationibus, admota cũ cerato ſtomachum corroborant.

Iuniperus. Cap. CIIII.

Iuniperi gña duo: altera maior altera minor, vtraque acris eſt.

Excalfacit,& vrinã mouet,accenſa ſerpẽtes fugat.Baccarum nõnullæ nucis iuglãdis magnitudine nõnũquã grandeſcere, aliæ nucẽ Põticã æquare inueniunt:rotũdæ,odoratæ,in mãdendo dulces,ſubamaræ,q̃ arceuthides etiã,id eſt baccæ iuniperi,nominant.Modicè calfaciũt:& aſtringũt,ſtomacho vtiles,cõtra pectoris vitia,tuſsim, inflatiões, tormina,& ſerpẽtiũ ictus efficaciſsimè bibunt: vrinã ciẽt,vnde ruptis,cõuulſis,& vuluæ ſtrãgulatui ſubueniunt.

Herba Sabina. Cap. CV.

SABINA duorum generum eſt. Vna foliis cupreſſo ſimilis, ſpinis horridior, grauiter olens, acris & feruens: arbor eſt coactæ breuitatis, quæ ſeſe magis in latitudinem fundit: huius foliis nonnulli pro ſuffitu vtuntur. Altera tamarici folio ſimilis eſt. Vtriuſque folia nomas ſiſtunt, collectiones illitu mitigãt, & cum melle nigritias ſordéſque repurgant, carbunculos cum vino, pota rumpunt, ſanguinem per vrinam eliciunt, partus appoſita extrahunt, & ſuffitu idem præſtant, vnguentis calfacientibus immiſcentur, & priuatim

διουρητικαὶ καὶ θερμαντικαὶ, θυμιώμεναί τε θηρία διώκουσιν. ὁ δὲ καρπὸς αὐτῶν ὁ μέν τις καρύου μέγεθος εὑρίσκεται· ὁ δὲ* καρύου ποντικοῦ ἴσος· στρογγύλος τε καὶ εὐώδης καὶ γλυκὺς ἐν τῷ διαμασᾶσθαι, καὶ ὑπόπικρος, ἀρκευθὶς καλούμενος, θερμαντικὸς μετρίως καὶ στυπτικὸς, εὐστόμαχος· ποιῶν πρὸς τὰ ἐν θώρακι καὶ βῆχας καὶ πνευματώσεις καὶ στρόφους καὶ θηρία πινόμενος· ἔστι δὲ καὶ οὐρητικὸς, ὅθεν καὶ σπάσμασι καὶ ῥήγμασι καὶ ὑστερικαῖς πνιγομέναις ἁρμόζει.

Περὶ Βράθυος. Κεφ. ρέ.

Βράθυς, ἔνιοι βάραθρον καλοῦσι· ἔστι δὲ τούτου εἴδη δύο. τὸ μὲν γὰρ αὐτοῦ ἐστὶ τοῖς φύλλοις ὅμοιον κυπαρίσσῳ, ἀκανθωδέστερον δὲ καὶ βαρύοσμον, δριμὺ, πυρωτικόν· κολοβὸν δὲ τὸ δένδρον καὶ εἰς πλάτος μᾶλλον χεόμενον. χρῶνται δέ τινες τοῖς φύλλοις ἀντὶ θυμιάματος. Τὸ δὲ ἕτερον μυρίκῃ τοῖς φύλλοις ὅμοιον. ἀμφοτέρων δὲ τὰ φύλλα ἵστησι νομὰς, καὶ φλεγμονὰς καταπλαττόμενα πραΰνει, ἀποκαθαίρει τε μελανίας σὺν μέλιτι καταπλασσόμενα, καὶ τὰς ῥυπαρίας καὶ ἄνθρακας περιῤῥήσσει σὺν οἴνῳ ποθέντα, καὶ αἷμα δι' οὔρων ἄγει, ἔμβρυα τε* ἐκτινάσσει, προστεθέντα δὲ καὶ ὑποθυμιαθέντα, τὸ αὐτὸ ποιεῖ· μίγνυται δὲ καὶ τοῖς θερμαντικοῖς χρίσμασιν,

σιν, ἰδίως δὲ τῷ γλευκίνῳ.

Περὶ Κέδρου. Κεφ. ρϛʹ.

Κέδρος δένδρον ἐστὶ μέγα, ἐξ οὗ ἡ λεγομένη κεδρία συνάγεται· καρπὸν δὲ ἔχει ὡς ἡ ἄρκευθος, *φέρουσα μέγεθος μύρτου περιφερῆ. Τῆς δὲ κεδρίας ἀρίστη ἡ παχεῖα καὶ διαυγὴς, βαρεῖα τῇ ὀσμῇ· ἀποχεομένη δὲ κατὰ σταλαγμοὺς ἐπιδιαμένουσα καὶ μὴ διαχεομένη. Δύναμιν δ' ἔχει σηπτικὴν μὲν τῶν ἐμψύχων, φυλακτικὴν δὲ τῶν νεκρῶν σωμάτων· ὅθεν καὶ νεκροῦ ζωήν τινες αὐτὴν ἐκάλεσαν. καὶ ἱμάτια δὲ καὶ δέρματα φθείρει διὰ τὸ θερμαίνειν ἐπιτεταμένως καὶ ξηραίνειν· εὐθετεῖ δ' εἰς τε ὀφθαλμικὰ, ὀξυδερκὴς οὖσα ἐγχριομένη, καὶ λευκώματα, καὶ οὐλὰς σμήχει, σὺν ὄξει διακλυζομένη, σκώληκας τοὺς ἐν ὠσὶ κτείνει, ἤχους τε καὶ συριγμοὺς παύει σὺν ὑσσώπου ἀφεψήματι ἐγχεομένη, εἰς τε ἐμβρώματα ὀδόντων ἐνσταλαγεῖσα, θραύει μὲν τὸν ὀδόντα, παύει δὲ τὴν ἀλγηδόνα, σὺν ὄξει δὲ διακλυζομένη τὸ αὐτὸ ποιεῖ, περιχρισθεῖσα δὲ αἰδοίῳ πρὸ τῆς συνουσίας, ἀτόκιόν ἐστι, συναγχικῶν τε περίχριστός ἐστι καὶ παρισθμίων φλεγμοναῖς βοηθεῖ, φθεῖράς τε καὶ κόνιδας φθείρει περιχρισθεῖσα, κεράστου δὲ δήγμασι σὺν ἁλσὶ καταπλασσομένη ἀρήγει, πρὸς τὴν λαγωοῦ θαλασσίου πόσιν, σὺν γλυκεῖ λαμβανομένη βοηθεῖ,

ὠφελεῖ

priuatim gleucino.

Cedrus. Cap. CVI.

Cedrus arbor magna eſt, ex qua picē colligunt, quæ cedria vocatur: iuniperi modo baccas parit, baccarum myrti magnitudine, rotundas. Cedria optima eſt craſſa, perlucida, grauis odoris: quæ dū effunditur, guttatim nō diſsipata coit. Cui ea vis ineſt vt defuncta corpora conſeruet, & viuentia corrumpat, qua ex cauſa mortuorum vitam aliqui appellauere. Veſtimenta quoque, & pelles eximia calfaciendi, & ſiccandi dote, corrumpit: magni ad ocularia medicaméta vſus, quippe illita oculis claritatem affert, albugines cicatricésq; detergit, inſtillata autem cum aceto vermes aurium necat, cū hyſſopi decocto infuſa ſonitus ſibilósque ſedat, cauis dentium indita eos frangit, & dolores leuat, idem facit cùm ex aceto colluitur: perunćto ante coitū genitali abortiuum fieri conſtat, anginæ ea perungunt, tonſillarum inflammationibus auxilio eſt, lendes pediculósq; illitu enecat, ceraſtæ morſibus cum ſale impoſita ſubuenit, cō tra hauſta leporis marini venena, in paſſo ſumpta auxiliatur:

in elephantia, aut linctu, aut perunctione proficit: pulmonum vlcera purgat, & ſi cyathus eius ſorbeatur, perſanat: vermes & tineas ſubter indita necat, & partus extrahit. Fit & oleum, à cedria ſeparatũ, dum coquitur, velleribus ſupra halitum eius expanſis, vt in pice. Eiuſdem ad omnia vſus: priuatim vehemẽter perunctum ſcabiem quadrupedum, canũ, boúmque perſanat: inhærentes ricinos enecat, vlcera quæ ex tonſura acceperunt, ad cicatrices perducit. Cedrides cedri fructus vocantur. Calfactoriam vim habẽt, ſtomacho aduerſantur, auxilio ſunt tuſsi, conuulſis, ruptis, ſtranguriæ: menſes ciunt, ex polline piperis poti: contra hauſtum leporem marinum in vino ſumuntur, ſerpentes fugantur, perũcto ex adipe ceruino aut medulla, corpore: in antidota adduntur. Fuliginem, quomodo ex pice, congeri oportet, quæ eandẽ, quam picea fuligo vim præbet.

Laurus. Cap. CVII.

Laurus quædam tenui folio conſtat, altera latiore. Vtraque excalfactoriã naturam habet, & emolliẽtem. Vnde decoctũ earum

ὠφελεῖ καὶ ἐλεφαντιῶντας ἐκλειχομένη, καθαίρει καὶ τὰ ἐν πνεύμονι ἕλκη καὶ ἰᾶται ὅσον κύαθος ῥοφουμένη. σκώληκάς τε καὶ ἀσκαρίδας ἐγκλυζομένη φθείρει καὶ ἔμβρυα κατασπᾷ. γίνεται δὲ καὶ ἔλαιον ἐξ αὐτῆς χωριζόμενον ἀπὸ τῆς κεδρίας δι' ἐρίων ὑπεραιωρουμένων ἐν τῇ ἑψήσει ὡς ἐπὶ τῆς πίσσης. ποιοῦν πρὸς ὅσα καὶ ἡ κεδρία. θεραπεύει δὲ τὸ ἔλαιον ἰδίως καὶ τὰς ἐπὶ τῶν τετραπόδων ψώρας καὶ κυνῶν καὶ βοῶν ἀνδρικῶς καταχριόμενον, καὶ τοὺς ἐπ' αὐτῷ κρότωνας φθείρει, * καὶ τοὺς ἐπὶ τῇ κουρᾷ γινομένας ἑλκώσεις αὐτῶν ἐπουλοῖ *. τὴν δὲ λιγνὺν συνακτέον αὐτῆς ὡς περὶ τὴν τῆς πίσσης δύναμιν ἔχουσαν τῇ αὐτῇ ἐκείνῃ. *κεδρίδες δὲ καλοῦνται οἱ ἐξ αὐτῆς καρποί. Δύναμιν δὲ ἔχουσι θερμαντικὴν, κακοστόμαχον, βοηθοῦσι δὲ βηξὶ, σπάσμασι, ῥήγμασι· στραγγουρίας, καὶ ἔμμηνα ἄγουσι μετὰ πεπέρεως λείου πινόμεναι, καὶ πρὸς λαγωοῦ θαλασσίου πόσιν σὺν οἴνῳ λαμβάνονται. διώκουσι καὶ θηρία χριομένου τοῦ σώματος σὺν ἐλαφείῳ στέατι ἢ μυελῷ, μίγνυνται δὲ καὶ ἀντιδότοις.

Περὶ Δάφνης. Κεφ. ρζʹ.

Δάφνη, ἡ μέν τις ἐστὶ λεπτόφυλλος, ἡ δὲ, πλατυτέρα. θερμαντικαὶ δὲ ἀμφότεραι καὶ μαλακτικαί. ὅθεν τὸ ἀφέψημα αὐτῶν

αὐτῶν εἰς ἐγκαθίσματα τὰ περὶ μήτραν καὶ κύστιν ἁρμόζει. τὰ δὲ χλωρὰ τῶν φύλλων, ἠρέμα ὑποστύφει· ὠφελεῖ δὲ λεῖα καταπλασθέντα, σφηκῶν καὶ μελιττῶν πληγάς. Δύναται δὲ καὶ πᾶσαν φλεγμονὴν πραΰνειν σὺν ἀλφίτῳ καὶ ἄρτῳ καταπλασθέντα, ποθέντα δὲ πραΰνει τὸν στόμαχον, καὶ ἐμέτους κινεῖ. Αἱ δὲ δαφνίδες θερμαντικώτεραι τῶν φύλλων εἰσί· ποιοῦσιν οὖν ἐκλειχόμεναι λεῖαι σὺν μέλιτι ἢ γλυκεῖ, πρὸς φθίσιν καὶ ὀρθόπνοιαν καὶ τοὺς περὶ θώρακα ῥευματισμούς· πίνονται δὲ σὺν οἴνῳ πρὸς σκορπιοπλήκτους, καὶ ἀλφοὺς δὲ σμήχουσι. τὸ δὲ πίεσμα αὐτῶν, ὠταλγίαις καὶ δυσηκοΐαις βοηθεῖ, σὺν οἴνῳ παλαιῷ καὶ ῥοδίνῳ ἐγχεόμενον. μίγνυται καὶ ἀκόποις καὶ συγχρίσμασι θερμαντικοῖς καὶ διαφορητικοῖς. ὁ δὲ φλοιὸς τῆς ῥίζης αὐτῶν, λίθους θρύπτει καὶ ἔμβρυα κτείνει καὶ ἡπατικοῖς ὠφελεῖ, τριωβόλου πλῆθος σὺν οἴνῳ εὐώδει πινόμενος.

Περὶ Πλατάνου. Κεφ. ρή.

*Πλατάνου τὰ τρυφερὰ τῶν φύλλων ἑψηθέντα ἐν οἴνῳ καὶ καταπλασθέντα, στέλλει ῥεύματα ὀφθαλμῶν, κουφίζει δὲ καὶ τὰ οἰδήματα καὶ φλεγμονάς. ὁ δὲ φλοιὸς ἑψηθεὶς ἐν ὄξει, ὀδονταλγίας ἐστὶ διάκλυσμα. τὰ δὲ σφαιρία χλωρὰ σὺν οἴνῳ ποθέντα, ἑρπετοδήκτοις βοηθεῖ· ἀνα-

earũ in muliebres inſeſſus additũ, vuluæ & veſicæ vitiis conuenit. Virẽtia folia ſenſim ſubſtringũt: illita quoq; ac trita veſparũ apiũmq; ictibꝰ opitulãtur, eadẽ cum polenta, & pane illita inflammationẽ omnẽ mitigãt, ſed pota ſtomachũ effundunt, & vomitiones mouent. Lauri baccę magis, q̃ folia calfaciũt: ergo in eclegmate tritæ cũ melle vel paſſo proſunt tabi, orthopnœæ, & omnibꝰ thoracis rheumatiſmis: cõtra ſcorpionũ ictus ex vino bibuntur, vitiligines emaculãt. Succꝰ baccarũ vtiliſsimè auriũ dolori, & grauitati inſtillatur, cũ vino vetere, & roſaceo. In medicamẽta aũt adiiciũtur, quæ neruorũ laſsitudines reficiũt, acopa vocant: & ad vnguẽta, quæ calfaciũt, & diſcutiũt. Cortex radicis calculos rumpit, partus necat, hepaticis prodeſt, tribus obulis in vino odorato potus.

Platanus. Cap. CVIII.

Tenerrima platani folia in vino decocta, mox illita, oculorum fluxiones ſiſtunt, tumores & inflammationes leuant. Decoctus cortex in aceto, dentes in dolore colluit. Virides pilulæ in vino potæ, ſerpẽtium morſibus auxiliantur: exce-

exceptæ autem adipe, igni ambuſta ſanant. inſidẽs foliorum pilularúmque lanugo, oculos & aures offendit.

Fraxinus. Cap. CIX.

Fraxinus arbor nota eſt, cuius foliorũ ſuccus, & ipſa peruncta, aut ex vino pota, viperarum ictibus auxiliatur. Corticis cinis ex aqua illitus lepras eximit. Ligni ramenta, ſcobémq; potu perniciem afferre tradunt.

Populus. Cap. CX.

Potus albę populi cortex vnciæ vnius pondere, iſchiadicis ac vrinę ſtillicidio prodeſt. Abortiuum fieri tradunt, ſi cũ mulino rene bibatur. Folia quoq; cũ vino poſt purgationes pota, idem præſtare produntur. Tepens foliorum ſuccus vtiliter aurium dolori inſtillatur. Pilulæ, quæ primo foliorum partu exiliunt, illitæ cum melle, oculorum hebetudini medentur. Memoriæ prodiderũt, corticem albæ populi, & nigrę particulatim cæſum, & ſulcis ſtercoratis mandatum, omni tempore anni edules fungos proferre.

Macer. Cap. CXI.

Macer ex Barbaria aduehitur, cortex flaueſcens, craſſus, guſtu

ἀναμιχθέντα δὲ στέατι, πυρίκαυστα θεραπεύει. ὁ δὲ χνοῦς τῶν φύλλων καὶ τῶν σφαιρίων, ἀκοὴν καὶ ὄψιν ἐμπεσὼν, λυμαίνεται.

Περὶ Μελίας. Κεφ. ρθ'.

Μελία δένδρον ἐστὶ γνώριμον, οὗ τῶν φύλλων ὁ χυλὸς καὶ αὐτὰ σὺν οἴνῳ πινόμενα, καὶ καταπλασσόμενα ἐχιοδήκτοις βοηθεῖ. ὁ δὲ φλοιὸς καεὶς καὶ καταχρισθεὶς μεθ' ὕδατος, λέπρας ἀφίστησι. τὰ δὲ τορνεύματα τοῦ ξύλου ποθέντα, φασὶν ἀναιρετικὰ εἶναι.

Περὶ Λεύκης. Κεφ. ρι'.

Λεύκης τοῦ δένδρου ὁ φλοιὸς ποθεὶς ὅσον οὐγγία μία πλῆθος, ἰσχιάδας ὠφελεῖ καὶ στραγγουρίας. ἱστορεῖται δὲ καὶ ἀτόκιος εἶναι, ποθεὶς μετὰ ἡμιόνου νεφροῦ. καὶ τὰ φύλλα δὲ πινόμενα μετὰ κάθαρσιν σὺν οἴνῳ, τὸ αὐτὸ δρᾶν λέγεται. ὠφελεῖ καὶ ὠταλγίας ὁ χυλὸς τῶν φύλλων χλιαρὸς ἐνσταζόμενος. τὰ δὲ κατὰ τὴν ἐκβλάστησιν τῶν φύλλων σφαιρία λεῖα μετὰ μέλιτος ἐγχριόμενα, ἀμβλυωπίας θεραπεύει. ἔνιοι δὲ ἱστοροῦσι τὸν φλοιὸν τῆς λεύκης καὶ τῆς αἰγείρου τμηθέντα εἰς λεπτὰ μεγέθη καὶ σπαρέντα πρασιαῖς κεκοπρισμέναις, ἐν παντὶ καιρῷ μύκητας ἐδωδίμους φύειν.

Περὶ Μάκερος. Κεφ. ρια'.

Μάκερ, φλοιός ἐστι κομιζόμενος ἐκ τῆς βαρβαρίας, ὑπόξανθος, παχύς,

στύφων

στύφων ἱκανῶς κατὰ τὴν γεῦσιν· πίνεται δὲ πρὸς αἵματος πτύσιν καὶ δυσεντερίας καὶ κοιλίας ῥευματισμόν.

*Περὶ Πτελέας. Κεφ. ριβ΄.

Πτελέας τὰ φύλλα καὶ οἱ ἀκρέμονες καὶ ὁ φλοιὸς στυπτικά. ποιεῖ δὲ τὰ φύλλα πρὸς λέπρας λεῖα σὺν ὄξει ἐπιπλαττόμενα, καὶ τραύματα κολλᾷ, μᾶλλον δὲ ὁ φλοιὸς ἀντὶ ἐπιδέσμου περιειλούμενος· ἔστι γὰρ ἱμαντώδης. ὁ δὲ παχύτερος φλοιὸς σὺν οἴνῳ ἢ ὕδατι* ποθεὶς οὐγγίας α. πλῆθος, ἄγει φλέγμα. καὶ τὸ ἀφέψημα δὲ τῶν φύλλων ἢ τοῦ φλοιοῦ τῶν ῥιζῶν καταντλούμενον, κάταγμα πωρεῖ τάχιον. τὸ δὲ ἐν ταῖς φύσαις κατὰ τὴν πρώτην ἐκβλάστησιν εὑρισκόμενον ὑγρὸν, στίλβει πρόσωπον ἐπιχριόμενον. ξηραινόμενον δὲ τὸ ὑγρὸν τοῦτο, ἀναλύεται εἰς θηρία κωνωποειδῆ. λαχανεύεται δὲ τὰ πρόσφατα τῶν φύλλων ἑψόμενα εἰς προσοψήματα.

Περὶ Σαπρότητος ξύλων. Κεφ. ριγ΄.

Η δὲ ἀπὸ τῶν παλαιῶν ξύλων καὶ πρέμνων σαπρεία συνισταμένη ὡς ἄλευρον καταπλασσομένη, ἀνακαθαίρει καὶ ἀπουλοῖ ἕλκη· τὰ δὲ ἑρπυστικὰ ἐπέχει, σὺν ἴσῳ ἀνίσῳ φυραθεῖσα καὶ οἴνῳ, ἐν ὀθόναις τε

καθεῖσα

guſtu perquàm aſtringens: qui contra cruentas excreatones, dyſenterias, & alui fluxiones bibitur.

Vlmus. Cap. CXII.

Vlmi & folia & cortex & rami, vim habent ſpiſſandi. Folia trita ex aceto ad lepras efficaciter illinuntur, vulnera glutinant, ſed multò magis corticis tilia, ſi faſciæ loco intorqueatur: nam in lori morem flecti poteſt. Craſsior cortex in vino aut aqua frigida vnciatim potus, pituitas trahit: fracta oſſa celerius ſolideſcunt, ſi decocto foliorum corticis aut radicis foueantur. Humor in folliculis enaſcẽs prima germinis eruptione, cuti illitus nitorem inducit, faciémq; ſplendidiorem præſtat. Qui dum ſiccatur, in animalia abit, quæ culicum formam gerunt. Folia cum tenereſcunt cocta, olerum more ad obſonia vſurpantur.

Lignorum marcor.
Cap. CXIII.

Ex caudicibus ligníſque veteribus caries congeritur, quæ farinæ modo illita, vlcera purgat, & ad cicatricem perducit: ſerpentia cohibet, ſi cum pari aniſo & vino ſubacta, linteíſq; impo-

impoſita illinatur.

Populus nigra. CXIIII.

Populi nigræ folia cum aceto illita, magna vtilitate podagricis doloribus illinũtur. Reſinã populus fundit, quæ in malagmata additur. Semen potũ ex aceto comitialibus vtile eſt. Lachrymã populorum cõmemorãt, quæ in Padum amnem defluat, durari, ac coire in ſuccinum, quod electrum vocant, alij chryſophorum. Id attritu iucundum odorem ſpirat, & aurum colore imitatur: tritum potúmque ſtomachi ventríſq; fluxiones ſiſtit.

Harundo. Cap. CXV.

In harundinũ genere quędã naſtos id eſt farctior, vocat̃, ex qua ſagittæ factitari ſolẽt. Alia fœmina, qua tibiarũ ligulas efficiũt. Alia ꝙ fiſtulis addicta ſit, ſyringias: cui multũ ĩeſt carnis, crebris cĩcta geniculis, ad librorũ cõſcriptionẽ accõmodata. Alia craſſa, cõcaua, apđ amnes naſcẽs, q̃ à qbuſdã cypria, ab aliis donax appellat̃. Alia phragmites ſeu vallatoria, gracilis, cãdicãs, vulgo cognita: cuiꝰ trita radix ꝑ ſe, aut cũ bulbis ſuisillita, ſpicula aculeóſq; corpe extrahit: luxata lũborũq; dolores cũ aceto mulcet. Virentia folia tuſa &

καθεῖσα καὶ λεῖα καταπλασσομένη.

Περὶ Αἰγείρου. Κεφ. ριδ΄.

Αἴγειρος· τούτου τὰ φύλλα μετ' ὄξους καταπλασσόμενα, ποδαγρικὰς ὀδύνας ὠφελεῖ. ἡ δὲ ἐξ αὐτῆς ῥητίνη μίγνυται μαλάγμασιν. ὁ καρπὸς δὲ μετὰ ὄξους πινόμενος, ἐπιληπτικοὺς ὠφελεῖ. ἱστορεῖται δὲ ὅτι τὸ ἐξ αὐτῶν δάκρυον κατὰ τὸν ἠριδανὸν ποταμὸν καταχεόμενον, πήγνυται καὶ γίνεται τὸ καλούμενον ἤλεκτρον, ὑπ' ἐνίων δὲ χρυσοφόρον· εὐῶδες ἐν τῇ παρατρίψει καὶ χρυσοειδὲς τῷ χρώματι, ὅπερ πινόμενον λεῖον, στομάχου καὶ κοιλίας ῥεῦμα ἵστησι.

Περὶ Καλάμου. Κεφ. ριε΄.

Καλάμων δὲ ὁ μέν τις καλεῖται ναστὸς, ἐξ οὗ τὰ βέλη γίνεται. ὁ δέ τις θῆλυς, ἐξ οὗ αἱ γλῶτται τοῖς αὐλοῖς κατασκευάζονται. ἄλλος δὲ συριγγίας πολύσαρκος, πυκνογόνατος, εἰς βιβλιογραφίαν ἐπιτήδειος. ὁ δέ τις παχὺς καὶ κοῖλος παρὰ ποταμοῖς φυόμενος, ὃς καὶ δόναξ καλεῖται, ὑπό τινων δὲ κύπριος. καὶ ἕτερος φραγμίτης, *λεπτὸς ὑπόλευκος, πᾶσι γνώριμος, οὗ ἡ ῥίζα καταπλασθεῖσα λεία, καὶ καθ' ἑαυτὴν καὶ σὺν βολβοῖς, ἐπισπᾶται σκόλοπας καὶ ἀκίδας· σὺν ὄξει δὲ στρέμματα καὶ ὀσφύος ἀλγήματα παρηγορεῖ. τὰ δὲ φύλλα χλωρὰ κοπέντα καὶ

καὶ ἐπιτεθέντα ἐρυσιπέλατά τε καὶ τὰς ἄλλας φλεγμονὰς ἰᾶται. ὁ δὲ φλοιὸς ἀλωπεκίας θεραπεύει καεὶς καὶ μετ᾽ ὄξους καταπλασθείς. ἡ δὲ ἀνθήλη τῶν καλάμων ἐμπεσοῦσα εἰς τὰς ἀκοὰς, κώφωσιν ἐργάζεται. δύναται δὲ τὰ αὐτὰ καὶ ὁ κύπριος λεγόμενος κάλαμος ποιεῖν.

Περὶ Παπύρου. Κεφ. ρις΄.

Πάπυρος γνώριμός ἐστι πᾶσι, ἀφ᾽ ἧς ὁ χάρτης κατασκευάζεται, εὐχρηστεῖ δὲ πρὸς τὴν ἐν ἰατρικῇ χρῆσιν· πρὸς ἀναστόμωσιν συρίγγων σκευασθεῖσα* διάβροχος, περιελκυσμένου λίνου ἄχρι ξηρασίας. στενουμένη γὰρ καὶ καθιεμένη, ἐμπίπλαται ὑγρασίας, καὶ ἐξοιδοῦσα διανοίγει τὰς σύριγγας. ἔχει δέ τι ἡ ῥίζα αὐτῆς καὶ τρόφιμον· διαμασώμενοι γοῦν αὐτὴν οἱ ἐν αἰγύπτῳ, ἀποχυλίζουσιν ἐκπτύοντες τὸ διαμάσημα. χρῶνται δὲ καὶ αὐτὶ ξύλων αὐταῖς. ἡ δὲ κεκαυμένη πάπυρος ἄχρι τεφρώσεως δύναται νομὰς ἐπέχειν τὰς ἐν στόματι καὶ παντὶ μέρει· βέλτιον δὲ ὁ χάρτης καεὶς δρᾷ τὸ τοιοῦτον.

Περὶ Μυρίκης. Κεφ. ριζ΄.

Μυρίκη δένδρον ἐστὶ γνώριμον παρὰ λίμναις καὶ τοῖς στασίμοις ὕδασι φυόμενον, καρπὸν ὥσπερ ἄνθος φέρουσα βρυώδες κατὰ τὴν σύστασιν. Γεννᾶται δέ τις ἐν αἰγύπτῳ καὶ συρίᾳ ἥμερος κατὰ τὰ ἄλλα, ὁμοία τῇ ἀγρίᾳ.

καρπὸν

tuſa & impoſita ignibus ſacris medentur, & cæteris inflãmationibus. Corticis cinere perunctæ cum aceto alopeciæ ſanantur, paniculæ lanugo ſi aures intrauerit, exſurdat. Eundẽ effectum implet harundo quæ cypria dicitur.

Papyrus. Cap. CXVI.

Papyrus qua chartę fiũt, nullis non cognata, præcipuæ in medicina vtilitatis, ad laxandas fiſtulas: madefacta lino inuoluitur, vſque dum inaruerit. cõſtricta enim atque immiſſa in hiatũ, humore cõpletur, & intumeſcendo fiſtulas aperit. Habet neſcio quid alimẽti radix: itaq; Ægyptij eã mandunt, ſuccum tantũ deuorantes, & manſam expuunt. Ipſis radicibus pro ligno vtuntur. Crematæ papyri cinis depaſcentia vlcera cum omnium partium, tum oris maximè, cohibet: verum melius id combuſta charta præſtat.

Myrica. Cap. CXVII.

Myrica ſeu tamarix arbor vulgo cognita eſt, cũ apud pigras, & ſtagnantes aquas enaſcatur, fructũ quaſi florẽ ferens compage muſcoſum. Ægyptus Syriáque alteram gignunt mitiorẽ, ſylueſtri cætera ſimilem.

Fructum

Fructum parit gallæ proximũ, inæqualiter aſtringenté guſtu: quo conueniéter vtimur vice gallæ in medicaminibus oculorũ oriſq;. Datur cruétæ excreationi in potu, & cœliacis, & cõtra profluuia fœminarũ, regium morbũ, & phalangiorũ morſus: illitus tumores inhibet. Cortex in eoſdẽ vſus adhibetur. Decoctum foliorũ cum vino potum, lienem abſumit: ad dolorem dentium in collutionibus ſalutare, & muleribus fluxioni vuluæ opportunis in deſeſsionibus, phthiriaſi lendibuſque circunfuſum prodeſt, abundantiam fœminarũ ſiſtit impoſitus arboris cinis, potorios calices è caudice lienoſis moliuntur, quò datus in his potus proficiat.

Erica. Cap. CXVIII.

Erica fruticoſa arbor, myricæ ſimilis, longè minor: cuius flore apes reprobum mel efficiunt, tam flos quàm coma ſerpentium ictibus illitu medetur.

Acacalis. Cap. CXIX.

Acacalis fructus eſt naſcentis in Ægypto fruticis ſeminis myricæ quadamtenus ſimilis: cuius aqua in qua maduerit, ad

καρπὸν φέρουσα ἐμφερῆ κηκῖδι, ἀνωμάλως σύφοντα κατὰ τὴν γεῦσιν· ἁρμόζοντά τε ἀντὶ κηκῖδος εἰς τὰ στοματικὰ καὶ ὀφθαλμικά, καὶ πρὸς αἵματος πτύσεις ἐν ποτῷ, καὶ κοιλιακαῖς καὶ ῥοϊκαῖς γυναιξὶν, ἰκτέρῳ τε καὶ φαλαγγιοδήκτοις· οἰδήματά τε στέλλει καταπλασθείς. καὶ ὁ φλοιὸς δὲ τὰ αὐτὰ ποιεῖ τῷ καρπῷ. τῶν δὲ φύλλων τὸ ἀφέψημα σὺν οἴνῳ ποθὲν, σπλῆνα τήκει· καὶ ὀδονταλγίαις βοηθεῖ διακλυζόμενον, ἐγκάθισμά τε ῥοϊκαῖς, καὶ πρόσχρισμα τοῖς φθεῖρας καὶ κόνιδας ἔχουσιν ἐπιτήδειον, καὶ ἡ ἀπὸ τῶν ξύλων τέφρα προστεθεῖσα, ῥεῦσιν ἐκ μήτρας στέλλει. κατασκευάζουσι δὲ ἔνιοι καὶ κύλικας ἐκ τοῦ πρέμνου, αἷς ἐπὶ τῶν σπληνικῶν χρῶνται ἀντὶ ποτηρίων. ὡς τοῦ δι' αὐτῶν πόματος ὠφελοῦντος.

Περὶ Ἐρείκης. Κεφ. ριή.

Ἐρείκη, δένδρον ἐστὶ θαμνῶδες ὅμοιον μυρίκῃ, μικρότερον δὲ πολλῷ, οὗ τῷ ἄνθει μέλιτται χρώμεναι, μέλι ἐργάζονται οὐ σπουδαῖον· ταύτης ἡ κόμη καὶ τὸ ἄνθος καταπλασσόμενα, ἑρπετῶν δήγματα ἰᾶται.

Περὶ Ἀκακαλίδος. Κεφ. ριθ'.

Ἀκακαλὶς θάμνου καρπός ἐστι γεννωμένου ἐν Αἰγύπτῳ, ἐοικὼς κατά τι τῷ μυρίκης καρπῷ· οὗ τὸ ἀπόβρεγμα μίγνυ-

ται

τοῖς κολλυρίοις τοῖς πρὸς ὀξυδορκίαν ἁρμόζουσιν.

Περὶ Ῥάμνου. Κεφ. ρκ΄.

Ῥάμνος θάμνος ἐστὶ περὶ φραγμοὺς φυόμενος, ῥάβδοις ἔχων ὀρθὰς καὶ ὀξείας ἀκάνθας ὥσπερ ἡ ὀξυάκανθα, φύλλα μικρὰ,* ὑπομήκη, ὑπολίπαρα, μαλακά. ἔστι δὲ καὶ ἑτέρα * λευκοτέρα. καὶ τρίτη μελαντέρα ἔχουσα τὰ φύλλα, καὶ πλατύτερα σὺν τῷ ἠρέμα ἐρυθραίνεσθαι, ῥάβδους μακρὰς πηχῶν ὡς πέντε, μᾶλλον ἀκανθώδεις, ἧττον δὲ στερεὰς καὶ ἐπάκμοις ἔχει τὰς ἀκάνθας. καρπὸς δὲ πλατὺς, λευκὸς, λεπτὸς ὡς θυλακώδης, ἐοικὼς* ἀσφοδέλῳ. ποιεῖ δὲ πασῶν τὰ φύλλα πρὸς ἐρυσιπέλατα καὶ ἕρπητας καταπλασσόμενα. λέγεται δὲ καὶ κλῶνας αὐτῆς, θύραις ἢ θυρίσι προστεθέντας,* ἀποκρούειν τὰς τῶν φαρμάκων κακουργίας.

Περὶ Ἁλίμου. Κεφ. ρκα΄.

Ἅλιμος θάμνος ἐστὶ φραγμίτης, ὅμοιος ῥάμνῳ οὐκ ἔχων ἀκάνθας· φύλλα δὲ ἐλαίᾳ παραπλήσια, πλατύτερα μέντοι· φύεται ἐν παραθαλασσίοις καὶ φραγμοῖς· λαχανεύεται δὲ αὐτῆς τὰ φύλλα ἑψόμενα εἰς βρῶσιν. τῆς δὲ ῥίζης < α. ὁλκὴ ποθεῖσα σὺν μελικράτῳ, σπάσματα, ῥήγματα καὶ στρόφους πραΰνει καὶ γάλα κατασπᾷ.

Περὶ

ad collyria additur, quę ad excitādā oculorū aciē cōueniūt.

Rhamnus. Cap. CXX.

Rhamnus fruticat in ſepibus ramos ferēs rectos & aculeos in acutæ ſpinæ modum, foliis paruis, oblongis, ſuppinguibus, teneris. Alterum ei genus candidius. Tertium nigrioribus latioribúſque foliis conſtat, & quadamtenus rubentibus: cuius rami quinûm ferè cubitorū longitudinem implent, ſpinoſiores quidē ſed infirmioribus minúſq; rigentibus aculeis. Fructum ædit latum, candidū, tenuem, follicularij ſpecie, verticillo ſimilem. Omnium folia igni ſacro, & ſerpentibus vlceribus, efficaciter illinuntur. Fama eſt ramos huius valuis feneſtríſve impoſitos, veneficia depellere.

Halimus. Cap. CXXI.

Halimus frutex eſt ſepimentis idoneus, ſimilis rhamno, ſine ſpinis, foliis oleæ, ſed latioribus: naſcitur in ſepibus & maritimis. Folia decoquuntur ciborū gratia. Radix, conuulſa, rupta, tormináque mitigat, drachmę pōdere in aqua mulſa pota: eadem lactis vbertatem facit.

Paliurus.

Paliurus. Cap. CXXII.

Paliurus frutex cognoſcitur aculeatus, durꝰ, cuius ſemẽ pingue & fuliginoſum inuenitur: quod potũ tuſsi opitulatur, veſicæ calculos cõminuit, ſerpentiũ ictibus aduerſatur. Folia & radix aſtrictoriam vim habẽt: quorum decoctũ potu aluum ſiſtit, vrinã trahit, contra venena & ſerpentium morſus auxiliatur. Radix recentia tubercula, tumoréſque omneis diſcutit, trita & impoſita.

Acuta ſpina. Ca. CXXIII.

Acuta ſpina, quam pyrinam aut pityanthen aliqui vocant: arbor eſt pyraſtro ſimilis, ſpinoſa valde & minor, baccas profert myrti, plenas, rubras, fragiles, & intus nucleum: radicem multifidam, altè deſcendentem. Huius baccæ potu aut cibo, alui profluuium, & abundantiam fœminarum ſiſtunt. Radix illita aculeos & ſpicula extrahit, abortum fieri tradunt, ſi ter radice venter, aut ſenſim feriatur, aut perungatur.

Rubus canis Ca. CXXIIII.

FRVTEX eſt arboris inſtar, rubo longè maior: folia fert multò latiora myrto, robuſtis

Περὶ Παλιούρου. Κεφ. ρκβʹ.

Παλίουρος γνώριμός ἐστι θάμνος, ἀκανθώδης, στερεὸς, οὗ τὸ σπέρμα λιπαρὸν καὶ λιγνυῶδες εὑρίσκεται· ὅπερ πινόμενον βηξὶν ἀρήγει, καὶ τοὺς ἐν κύστει λίθους θρύπτει, καὶ πρὸς ἑρπετῶν δήγματα ποιεῖ. τὰ δὲ φύλλα καὶ ἡ ῥίζα στυπτικά, ὧν τὸ ἀφέψημα ποθὲν, κοιλίαν ἵστησιν, οὖρά τε ἄγει καὶ θανασίμοις καὶ θηριοδήκτοις βοηθεῖ, διαφορεῖ δὲ πάντα τὰ πρόσφατα φύματα καὶ οἰδήματα ἡ ῥίζα, λεία ἐπιπλασθεῖσα.

Περὶ Ὀξυακάνθης. Κεφ. ρκγʹ.

Ὀξυάκανθα· οἱ δὲ πυρεῖναν· οἱ δὲ πιτυάνθην καλοῦσι, δένδρόν ἐστι παραπλήσιον ἀχράδι, μικρότερον δὲ καὶ ἀκανθῶδες ἄγαν· καρπὸν δὲ φέρει μύρτῳ ἐμφερῆ ἁδρὸν, ἐρυθρὸν, εὔθρυπτον, ἔνδοθεν πυρῆνα ἔχοντα, ῥίζαν πολυσχιδῆ καὶ βαθεῖαν. τούτου ὁ καρπὸς διάῤῥοιαν ἵστησι, καὶ ῥοῦν γυναικεῖον πινόμενος καὶ ἐσθιόμενος. ἡ δὲ ῥίζα καταπλασθεῖσα λεία, σκόλοπας καὶ ἀκίδας ἐπισπᾶται. ἱστορεῖται δὲ δύνασθαι τὴν ῥίζαν, καὶ ἐκβρωσμοὺς ἐργάζεσθαι τῆς κοιλίας ἡσυχῇ τρὶς πληχθείσης ἢ χρισθείσης.

Περὶ Κυνοσβάτου. Κεφ. ρκδʹ.

Κυνόσβατον οἱ δὲ ὀξυάκανθαν καλοῦσι· θάμνος ἐστὶ βάτου πολλῷ μείζων, δενδρώδης· φύλλα φέρει πολλῷ πλατύτερα μυρσίνης, ἀκαν-

ἀκάνθας δὲ περὶ ταῖς ῥάβδοις ἰσχυρὰς, ἄνθος λευκὸν, καρπὸν ἐπιμήκη, πυρῆνι ἐλαίας ἐοικότα, ἐν τῷ πεπαίνεσθαι πυῤῥὸν, τὰ δὲ ἐντὸς ἐριώδη. ἵστησι δὲ κοιλίαν ὁ καρπὸς ξηρὸς· δίχα τοῦ ἐν αὐτῷ ἐριώδους· κακωτικὸν γὰρ τῆς ἀρτηρίας τοῦτο ἀποζεννύμενον ἐν οἴνῳ καὶ πινόμενον.

Περὶ Κύπρου. Κεφ. ρκέ.

Κύπρος δένδρον ἐστὶ περὶ ταῖς ῥάβδοις φύλλα ἔχον ἐλαίᾳ παραπλήσια, πλατύτερα δὲ καὶ μαλακώτερα καὶ χλωρότερα· ἄνθη λευκὰ βρυώδη, εὐώδη· σπέρμα μέλαν ὅμοιον τῷ τῆς ἀκτῆς. γεννᾶται δὲ ἀρίστη ἐν τῇ ἀσκάλωνι καὶ κανώπῃ. Δύναμιν δὲ ἔχει τὰ φύλλα στυπτικήν· ὅθεν διαμασηθέντα ἄφθας ἰᾶται, καὶ τὰς ἄλλας πυρώδεις φλεγμονὰς καταπλασθέντα ὠφελεῖ, καὶ ἄνθρακας· τὸ δὲ ἀφέψημα αὐτῶν, πυρικαύτων καταύτλημα, ξανθίζει δὲ καὶ τρίχας στρουθίου χυλῷ τὰ φύλλα λεῖα βραχέντα καὶ ἐγχρισθέντα. τὸ δὲ ἄνθος ἐπιπλασθὲν τῷ μετώπῳ λεῖον μετ᾽ ὄξους, κεφαλαλγίας παύει· τὸ δὲ σκευαζόμενον ἐξ αὐτοῦ χρίσμα κύπρινον θερμαντικὸν γίνεται καὶ μαλακτικὸν νεύρων.*

Περὶ Φιλλυρέας. Κεφ. ρκς´.

Φιλλυρέα δένδρον ἐστὶν ὅμοιον κύπρῳ κατὰ μέγεθος, φύλλα δὲ ἐλαίας ὅμοια,

robuſtis circa ramos ſpinis, flore candido, fructu oblongo, nucleo oliuæ ſimili: qui per maturitatem fulueſcit, & floccos intus continet. Fructus exemptis interioribus floccis arefactus, aluum ſiſtit: ferueſacti enim ij in vino, mox poti, arteriam infeſtant.

Liguſtrum. Cap. CXXV.

Liguſtrum arbor eſt oleæ foliis circum ramos ſimilibus, latioribus, mollioribus, & colore viridioribus: flore candido, muſcoſo, odorato: ſemine ſambuci, nigro. Optimum naſcitur in Canope & Aſcalone. Folia aſtrictoriam vim habent: quare commanducata vlceribus oris medentur, illita feruidis inflammationibus, carbunculíſque proſunt, decocto eorundem igni ambuſta fouentur capillum rufant trita folia, quæ in radiculæ ſucco maduerint. Flos ex aceto fronti illitus, capitis dolorem ſedat. Cyprinum oleum quod ex eo fit odoratum, excalfacit, emollítque neruos: ſi quę feruẽti natura prędita ſint, aſſumat.

Tilia. Cap. CXXVI.

TILIA arbor eſt liguſtri magnitudine, foliis oleæ, nigrio-

nigrioribus & latioribus, fructu lentiſci, nigro, ſubdulci, racematim cohærẽte, aſperis naſcitur. Huius folia aſtringunt: ad eadem vtilia ad quæ oleaſter, cum aſtrictione eſt opus: maximè ad oris vlcera, commanducata, aut ſi decocto colluantur: pota vrinam ac menſes cient.

Ciſtus Cap. CXXVII.

Ciſtus, quẽ aliqui citharon, aut ciſſaron vocant. ramoſus frutex eſt, ſed improcerus, folioſus, ſaxoſis locis naſcens, foliis rotundis, acerbis, hirſutis. flos maſculo vt mali punicæ, fœminæ albet. Vis aſtringens: vnde flores in vino auſtero bis in die poti, proſunt dyſentericis, & nomas per ſe illiti cohibent, vetuſtati vlcerum, & igni ambuſtis cum cerato medentur.

Hypociſtis. Cap. CXXVIII.

Hypociſtis, orobethron, aut cytinus à nonnullis cognominata, iuxta ciſti radices naſcitur, floris punici ſimilitudine. Quædam rufa, altera herbacea, tertia candida. Liquatur acaciæ modo. Aliqui tamen exiccant, fractamque macerant, & incoquunt, reliquáque vt in Lycio proſequũtur. Vires

ας ὅμοια, πλατύτερα δὲ καὶ μελαίτερα, καρπὸν δὲ ἔχει σχίνῳ ἐμφερῆ, μέλανα, ὑπόγλυκυν, ὡς ἐν βότρυσι κείμενον, ἐν τραχέσι δὲ τόποις γίνεται. ταύτης τὰ φύλλα, στύφει ὡς ἀγριελαία ποιοῦντα πρὸς τὰ στύψεως δεόμενα, μάλιστα τοῖς ἐν στομίοις ἕλκεσι διαμάσημα καὶ διάκλυσμα τὸ ἀφέψημα, καὶ πινόμενον δὲ οὖρα καὶ ἔμμηνα ἄγει.

Περὶ Κίστου. Κεφ. ρκζ.

Κίστος, ὃν ἔνιοι κίθαρον ἢ κίσσαρον καλοῦσι. θάμνος ἐστὶν ἐν πετρώδεσι τόποις φυόμενος, πολύκλαδος, φυλλώδης, οὐχ ὑψηλὸς, φύλλα ἔχων περιφερῆ, στρυφνὰ, δασέα. ἄνθη ὡς τῆς ῥοιᾶς, ἐπὶ δὲ τοῦ θήλεος λευκά. Δύναμιν δὲ ἔχει στυπτικήν· ὅθεν τὰ ἄνθη* λεῖα πινόμενα δὶς τῆς ἡμέρας ἐν οἴνῳ αὐστηρῷ, δυσεντερίαις ἁρμόζει, καθ' αὑτὰ δὲ καταπλασθέντα, νομὰς ἐφίστησι, σὺν κηρωτῇ δὲ πυρίκαυτα καὶ παλαιὰ ἕλκη ἰᾶται.

Περὶ Ὑποκιστίδος. Κεφ. ρκη.

Φύεται δὲ παρὰ τὰς ῥίζας τοῦ κίστου ἡ λεγομένη ὑποκιστίς. ὑπ' ἐνίων δὲ ῥόβηθρον, ἢ κύτινος καλουμένη, ὅμοιόν τι κυτίνῳ ῥοιᾶς, καὶ τὸ μὲν αὐτοῦ κιρρόν· τὸ δὲ χλωρὸν, τὸ δὲ λευκόν· ὀπίζεται ὡς περ ἡ ἀκακία. ἔνιοι δὲ ξηράναντες αὐτὴν, καὶ θλάσαντες, βρέχουσί τε καὶ ἕψουσι, καὶ τὰ ἄλλα ποιοῦσιν, ὡς ἐπὶ τοῦ λυκίου.

Δύνα-

Δύναμιν δὲ ἔχει τὴν αὐτὴν τῇ ἀκακίᾳ, στυπτικωτέραν δὲ καὶ ξηραντικωτέραν, ποιοῦσαν πρὸς κοιλιακοὺς, δυσεντερικοὺς, αἱμοπτοϊκοὺς, ῥοῦν γυναικεῖον πινομένη καὶ ἐνιεμένη.

Περὶ Λαδάνου. Κεφ. ρκθ.

Ἔστι δὲ καὶ ἕτερον εἶδος κίστου, καλούμενον ὑπ' ἐνίων λῆδον, θάμνος κατὰ τὰ αὐτὰ φυόμενος τῷ κίστῳ, μακρότερα δὲ τὰ φύλλα ἔχει καὶ μελάντερα, λιπαρείας τινὰς κατὰ τὸ ἔαρ ἐπισπώμενα, * οὗ φύλλων ἡ δύναμις στυπτικὴ καθέστηκε ποιοῦσα πρὸς ὅσα καὶ ὁ κίστος. γίνεται δὲ ἐξ αὐτοῦ τὸ λεγόμενον λάδανον· τὰ φύλλα γὰρ αὐτοῦ νεμόμεναι αἱ αἶγες καὶ οἱ τράγοι τὴν λιπαρείαν ἀναλαμβάνουσι τῷ πώγωνι γνωρίμως, καὶ τοῖς μηροῖς προσπλαττομένην διὰ τὸ τυγχάνειν ἰξώδη, ἣν ἀφαιροῦντες ὑλίζουσι, καὶ ἀποτίθενται ἀναπλάσσοντες μαγίδας. ἔνιοι δὲ καὶ σχοινία ἐπισύρουσι τοῖς θάμνοις καὶ τὸ προσπλασθὲν αὐτοῖς λίπος ἀποξύσαντες ἀναπλάσσουσι. κράτιστον δέ ἐστιν αὐτοῦ εὐῶδες, ὑπόχλωρον, εὐμάλακτον, λιπαρὸν, ἀμέτοχον* ψάμμου ἢ ψαφαρείας, ῥητινῶδες· τοιοῦτον δέ ἐστι τὸ ἐν κύπρῳ γινόμενον· τὸ μέν τοι ἀραβικὸν καὶ λιβυκὸν εὐτελέστερον. Δύναμιν δὲ ἔχει στυπτικὴν, θερμαντικὴν, μαλα-

Vires acaciæ habet, verùm aliquanto magis ſiccat, & aſtringit. Prodeſt dyſentericis, cæliacis, ſanguiné excreantibus: fœminarum profluuio & pota & indita.

Ladanum. Cap. CXXIX.

Eſt & alterum ciſti genus, ledon à nonnullis appellatum, frutex ſimili modo naſcens, longioribus foliis & nigrioribus: quæ verno tempore quiddam contrahunt pingue. Foliorum vis aſtringens, ac eoſdem quos ciſtus effectus præbens. Fit ex eo quod ladanum dicitur. Siquidem cum ciſti frondes paſcuntur capræ, hircique, pinguitudinem conſpicuè barba carpunt, & ſuo lentore villoſis cruribus adhæreſcentem reportant: quam depectentes incolæ, colantéſque cogunt in offas, & ita recondunt. Alij verò attractis funiculis, inſidentem fruticibus lentorem abſtergunt, conglomerántque in ladanum. Maximè probatur odoratum, ſubuiride, facilè molleſcens, pingue, quod arenas non collegit nec ſqualore obſitũ eſt, reſinoſum, quale in Cypro gignitur. Arabicum verò Libicúmq; vilius. Natura ei ſpiſſandi, calfaciẽdi, mol-

molliendi: ora venarum patefacit, capillum fluentem continet: addito vino, myrrha, & myrteo oleo: cicatricibus decorem reddit, cum vino illitum: medetur auriũ doloribus, cum hydromelite aut roſaceo infuſum: ſuffitu ſecundas eiicit, peſsis immiſtum vuluæ duritiem ſanat, in medicamenta quæ dolorem tuſsímque finiunt, & malagmata vtiliter inſeritur: aluum ſiſtit cum vino vetere potũ, & vrinam ciet.

Ebenus. Cap. CXXX.

Ebenus optima habetur æthiopica & nigra, nullos habẽs venarũ diſcurſus, factitii cornus læuore: cùm frangitur denſa apparet, mordens guſtu, atque leniter aſtringens. Suffitur iucundo odore ſupra carbones: ſine fumi tædio. Recẽs autem ad ignẽ prolata, ob pinguitudinẽ accenditur, & trita ad cotẽ rufeſcit. Altera eſt indica, internatis ſegmẽtis cãdicãtibus, & modicè fuluis, item frequẽtibus maculis: cæterum prior, bonitate antecedit. Apud quoſdam ſeſamina, aut ſpinea ligna conſimilia pro ebeno væneunt: quod diſcernitur ex eo, quod fungoſa ſunt, & in purpureas aſſulas reſoluuntur, nihil

μαλακτικὴν, ἀνασομωτικήν· ἵστησι δὲ τὰς ῥεούσας τρίχας, μιγεῖσα οἴνῳ καὶ σμύρνῃ καὶ μυρσίνῳ ἐλαίῳ, οὐλάς τε εὐπρεπεστέρας ποιεῖ μετ' οἴνου καταχριόμενον, καὶ ὠταλγίας μεθ' ὑδρομέλιτος, ἢ ῥοδίνου ἐγχεόμενον θεραπεύει· ὑποθυμιαθὲν δὲ καὶ πρὸς δευτέρων ἐκβολὰς, καὶ σκληρείας θεραπεύει, τὰς ἐν μήτρᾳ ἐν πεσσῷ μιγὲν, καὶ ταῖς ἀνωδύνοις καὶ βηχικαῖς καὶ μαλάγμασι χρησίμως μίγνυται· κοιλίαν τε ἵστησι σὺν οἴνῳ παλαιῷ ποθέν· ἔστι δὲ καὶ οὐρητικόν.

Περὶ ἐβένου. Κεφ. ρλ.

Ἐβένος κρατίστη ἡ αἰθιοπικὴ, καὶ μέλαινα, καὶ μὴ ἔχουσα κτηδόνας, ἐμφερὴς, κέρατι εἰργασμένῳ τῇ λειότητι, θλασθεῖσα δὲ πυκνὴ, δηκτικὴ ἐν τῇ γεύσει καὶ ὑποστύφουσα· τεθεῖσα τε ἐπ' ἀνθράκων μετ' εὐωδίας καὶ δίχα καπνοῦ ἐκθυμιωμένη. ἡ δὲ πρόσφατος διὰ τὴν λιπαρείαν, ἀνάπτεται πυρὶ προσενεχθεῖσα, τριφθεῖσα δὲ ἐπ' ἀκόνης, ὑπόκιρρος γίνεται. Ἔστι δέ τις καὶ ἰνδικὴ, ἔχουσα διαφύσεις λευκὰς, καὶ κιῤῥὰς, καὶ σπίλοις ὁμοίως πυκνοῖς· πλὴν βελτίων ἡ προτέρα. ἔνιοι δὲ τὰ σησάμινα ἢ ἀκάνθινα ξύλα ἐμφερῆ ὄντα, ἀντὶ ἐβένου πωλοῦσι· διαγινώσκεται δὲ ἐκ τοῦ χαῦνα τε εἶναι, καὶ κατὰ σχίδακας μικρὰς ἀπολύεσθαι ἐμπορφύρους τῷ χρώματι, μηδὲν

μηδὲν δὲ δηκτικὸν *ἐχούσας ἐν τῇ γεύσει, ἢ ἐν τῇ θυμιάσει εὐῶδες. Δύναμιν δὲ ἔχει, σμηκτικὴν τῶν ἐπισκοτούντων ταῖς κόραις, *ποιεῖ δὲ καὶ πρὸς τὰ παλαιὰ ῥεύματα καὶ φλυκτίδας· εἰ δέ τις ποιήσας ἐξ αὐτοῦ ἀκόνιον χρῷτο εἰς τὰ κολλύρια, βέλτιον ἐνεργήσει. κατεργάζεται δὲ εἰς τὰ ὀφθαλμικὰ τῶν τορευμάτων ἢ ῥινημάτων, βρεχομένων ἐν οἴνῳ χίῳ ἡμέραν καὶ νύκτα· εἶτ' ἀλοιουμένων ἐπιμελῶς καὶ εἰς κολλύρια ἀναπλασσομένων. ἔνιοι δὲ προτρίψαντες λειοῦσιν αὐτά, εἶθ' οὕτω τὰ λοιπὰ ποιοῦσι. τινὲς δὲ ἀντὶ οἴνου ὕδατι χρῶνται. καίεται δὲ ἐν ὠμῇ χύτρᾳ ἕως ἂν ἀνθρακωθῇ. καὶ πλύνεται ὡς ὁ κεκαυμένος μόλιβδος, *ἁρμόζει δὲ τὸ τοιοῦτον πρὸς ξηροφθαλμίας.

nihil mordacitatis in guſtu, nec redolentiæ in ſuffitu præferentia. Caliginem oculorum abſterget, ad veteres deſtillationes puſtulaſque mirum in modum pollet: Si quiſpiã facta ex eo coticula collyriis vtatur, melius proficiet. Ad oculorum medicamenta efficax eſt, ſi ſcobes ramentáve vino Chio die noctúque macerata, in collyria digerantur. Nonnulli prætrita ipſa excolant, reliquáque eundem in modum peragunt. Alij pro vino aqua vtuntur. Vritur in fictili nouo, donec in carbones redigatur. Lauatur plumbi vſti modo, & ita ſiccis ſcabríſq; lippitudinibus conducit.

Περὶ Ῥόδων. Κεφ. ρλά.

Ῥόδον ψύχει καὶ στύφει, τὰ δὲ ξηρὰ μᾶλλον. χυλίζειν δὲ δεῖ τὰ ἁπαλὰ ἀποψαλλίσαντας τὸν ὄνυχα καλούμενον, ὅπερ ἐστὶ τὸ λευκὸν τὸ ἐν τῷ φύλλῳ, τὸ δὲ λοιπὸν ἐκθλίβειν καὶ τρίβειν ἐν σκιᾷ, ἐν θυίᾳ ἄχρις οὗ συστραφῇ, οὕτω τε ἀποτίθεσθαι εἰς τὰς ὀφθαλμικὰς περιχρίσεις. ξηραίνεται δὲ τὰ φύλλα ἐν σκιᾷ συνεχῶς στρεφόμενα ἵνα μὴ εὐρωτιάσῃ. ποιεῖ δὲ τῶν ξηρῶν ἑψηθέντων ἐν οἴνῳ τὸ ἀπόθλιμμα, πρὸς ἄλγημα κεφαλῆς, ὀφθαλ-

Roſa. Cap. CXXXI.

Roſa refrigerat & aſtringit, ſed ſicca multò magis. Succus recẽtibus foliis exprimitur, deſectis forfice vnguibus (ſic appellantur candidę foliorũ partes) reliquum in pila premi & teri debet in vmbra donec cogatur, & ita ad oculorum circumlitiones recundi. Siccãtur etiamnum folia roſarum, cõtinnuò verſata, ne muceãt, néve ſitus in iis inſideat. Aridis roſis & in vino decoctis expreſſus liquor, facit ad dolores capitis, aurium,

aurium, oculorum, gingiuarũ, ſedis, recti inteſtini ac vuluæ, penna illitus aut infuſus. Eadẽ ſine expreſsione tuſa, præcordiorum inflammationibus, humidis ſtomachi vitiis, igni ſacro illini prodeſt: ſiccis ac tritis femina aſperguntur. Miſceri ſolent vulnerariis antidotis, atque compoſitionibus quas antheras vocant. Folia vruntur in calliblephara. Flos qui in mediis roſis inuenitur, ſiccatus, gingiuarum fluxionibus efficaciter inſpergitur. Capita pota citam aluum, & cruentas reiectiones ſiſtunt.

Roſei paſtilli. Cap. CXXXII.

Paſtilli quos rhodides vocãt, hac ratione conficiuntur: Roſarũ viridiũ, quæ nullo antea humore madefactæ extabuerint, drachmæ quadraginta, Indicę nardi drachmę decẽ, myrrhæ drachmæ ſex, tritę digerũtur in paſtillos, q triũ obolorũ pondus ęquẽt: ſiccatiq; in vmbra, in fictili nõ picato, atq; obturato recõdũt. Alij adiiciũt coſti drachmas duas, iridis Illyricę totidẽ, & vinũ Chiũ cũ melle miſcẽt. Mulierib⁹ moniliũ vice collo circũdato vſui ſũt, ad retundendũ graue ſudoris virus. Tritis etiã vtuntur ad illitiones &

ὀφθαλμῶν, ὤτων, οὔλων, δακτύλων, ἀπευθυσμένου ἐντέρου, μήτρας, πτερῷ ἐγχριόμενον καὶ προσκλυζόμενον. αὐτὰ δὲ δίχα τοῦ ἐκθλιβῆναι, κοπέντα καὶ ἐπιπλασσόμενα, ποιεῖ πρὸς ὑποχονδρίων φλεγμονάς, καὶ στομάχου πλάδον καὶ ἐρυσιπέλατα· ξηρὰ δὲ λεῖα παρὰ μυρεψοῖς προσπάσσεται, καὶ ἀνθηραῖς καὶ τραυματικαῖς ἀντιδότοις μίγνυται. καίεται δὲ καὶ εἰς καλλιβλέφαρα. τὸ δὲ ἐν μέσοις τοῖς ῥόδοις εὑρισκόμενον ἄνθος πρὸς οὔλων ῥευματισμοὺς ξηρὸν προσπασθὲν ποιεῖ. αἱ κεφαλαὶ δὲ ποθεῖσαι, κοιλίαν ῥέουσαν καὶ αἵματος ἀναγωγὴν ἐπέχουσιν.

Περὶ Ῥοδίδων. Κεφ. ρλβ΄.

Καὶ αἱ λεγόμεναι δὲ ῥοδίδες, σκευάζονται τὸν τρόπον τοῦτον· ῥόδων χλωρῶν ἀβρόχων μεμαρασμένων < μ΄. νάρδου ἰνδικῆς < ι΄. σμύρνης < ς΄. λεῖα ἀναπλάσσεται εἰς τροχίσκους τριωβολιαίους, καὶ ἐν σκιᾷ ξηραίνεται, καὶ ἀποτίθεται εἰς κεραμεοῦν ἀγγεῖον ἀκώνιτον περιεσφηνωμένον. ἔνιοι δὲ προστιθέασι καὶ κόστου < β΄. ἴρεως ἰλλυρικῆς τὸ αὐτὸ μίσγοντες καὶ οἶνον χῖον μετὰ μέλιτος. χρῆσις δὲ αὐτῶν ἐστιν, ἐπὶ γυναικῶν περιτιθεμένων τῷ τραχήλῳ ἀντὶ ὁρμῶν, ἀμβλυνούσαις τὴν τῶν ἱδρώτων δυσωδίαν. χρῶνται δὲ καὶ λείοις ἐν διαπλάσμασι καὶ

καὶ συγχρίσμασι μετὰ τὸ λουτρὸν, καὶ μετὰ τὸ ξηρανθῆναι, ἀποκλούονται ψυχρῷ.

Περὶ Λυκίου.

Κεφ. ρλγ.

Λύκιον, ὃ ἔνιοι πυξάκανθαν καλοῦσι, δένδρον ἐστὶν ἀκανθῶδες, ῥάβδοις ἔχον τριπήχεις ἢ καὶ μείζονας· περὶ ἃς τὰ φύλλα πύξῳ ὅμοια πυκνά· καρπὸν δὲ ἔχει ὡς πέπερι μέλανα, πικρὸν, πυκνὸν, λεῖον· καὶ τὸν φλοιὸν δὲ ὠχρὸν, ὅμοιον τῷ διεθέντι λυκίῳ· ῥίζας δὲ πολλὰς, πλαγίας, ξυλώδεις. φύεται δὲ πλεῖστον ἐν καππαδοκίᾳ καὶ λυκίᾳ, καὶ ἐν ἄλλοις τόποις πολλοῖς. τραχέα δὲ φιλεῖ χωρία. χυλίζεται δὲ, τῶν φύλλων σὺν τοῖς θάμνοις θλασθέντων καὶ βραχέντων, ἐφ' ἱκανὰς ἡμέρας, εἶθ' ἑψηθέντων, καὶ τῶν μὲν ξύλων ῥιπτομένων, τοῦ δὲ ὑγροῦ πάλιν ἑψομένου μέχρι μελιτώδους συστάσεως. δολοῦται δὲ ἀμόργης τῇ ἑψήσει ἅμα μιγνυμένης, ἢ ἀψινθίου χυλίσματι ἢ βοείᾳ χολῇ. καὶ τὸ μὲν ἐπινηχόμενον ἀφρῶδες ἐν τῇ ἑψήσει ἀφρίζον, ἀπόθου εἰς τὰ ὀφθαλμικά· τῷ δὲ λοιπῷ εἰς τὰ ἄλλα χρῶ. γίνεται δὲ καὶ ἐκ τοῦ καρποῦ ὁμοίως χύλισμα ἐκπιεζομένου καὶ ἡλιαζομένου. ἔστι δὲ κάλλιστον τὸ καιόμενον λύκιον, καὶ κατὰ τὴν σβέσιν τὸν ἀφρὸν ἐνερευθῆ ἔχον, ἔξωθεν μέλαν, διαιρεθὲν δὲ κιῤῥὸν ἄβρω-

& diapaſmata, quę fiunt ad ſudores coërcendos, ita vt à balneis inareſcant corpora, dein frigida aqua abluantur.

Lycium. Cap. CXXXIII.

Lycium, quod aliqui pyxacanthan vocant, arbor eſt ſpinoſa, ramis trium cubitorum, aut longioribus: foliis buxi, denſis: fructu piperis, nigro, læui, amaro, denſoque: cortice pallido, non diſsimili lycio madefacto: radicibus multis, obliquis, lignoſis. Naſcitur plurimum in Cappadocia, Lytia, & pleriſque aliis locis. Aſpera loca amat. Succi extrahendi ratio hæc eſt: Rami cum radiculis tuſi & antè per multos dies macerati coquuntur, tum abiectis lignis itidem liquor, donec mellis craſsitudo fiat. Adulteratur id lycium adiecta decoctioni amurca, aut abſinthij ſucco, aut felle bubulo. Innatans ſpuma inter coquendum exempta, oculorum medicamentis additur: reliquo ad alia vtuntur. Simili modo fit lycium, ſemine expreſſo & inſolato. Optimum quod vri poteſt, reſtinctúmque rubentem ſpumam oſtendit, glebis extrinſecus nigris, intus, cum fregeris, rufis odo-

re minimè viroſo, cum amaritudine adſtringés, crocino colore (cuiuſmodi indicum eſt) cæteris præſtantius atque efficacius. Lycium adſtringit, caliginem oculorum diſcutit, genarum ſcabiem, pruritus, veteréſque fluxiones ſanat: facit ad purulentas aureis, exulceratas gingiuas, tonſillas, labiorum fiſſuras, ſedis rimas, attritúſque illitum: cœliacis, dyſentericis, potum inditúmque conuenit: datur ſanguinem excreātibus & tuſsi, ex aqua: contra rabioſi canis morſus in catapotio deuoratur, aut in aqua bibitur: flauos facit pilos: reduuiis: vlceribus quæ ſerpunt aut putrent, medetur: fœminarum profluuia appoſitum ſiſtit: rabioſorū ictibus ex melle potum, aut vice catapotij deuoratum, auxiliatur. Tradunt Indicum fieri lycium, ex frutice lōchitide appellato: ea ſpinarū generi aſcribitur, ramos rectos habés ternûm cubitorū longitudine, maioréſve, rubo craſsiores, à radice numeroſos. Fractus cortex rubeſcit, folia oleæ ſimilia. Herba ī aceto decocta proditur lienis inflāmationib⁹ & regio morbo mederi, & fœminarum purgationes elicere.

Aſſeue-

ἄβρωμον, σύφον μετὰ πικρίας, χρώματι κροκῶδες, οἷόν ἐστι τὸ ἰνδικὸν, διαφέρον τῶν λοιπῶν καὶ δυναμικώτερον. Δύναμιν δὲ ἔχει συπτικὴν, καὶ τὰ ἐπισκοτοῦντα ταῖς κόραις καθαίρει, ψωριάσεις δὲ τὰς ἐπὶ τῶν βλεφάρων, καὶ κνησμοὺς καὶ παλαιὰ ῥεύματα θεραπεύει· ποιεῖ δὲ καὶ πρὸς ὦτα πυορροοῦντα, παρίσθμια, οὖλα ἑλκούμενα, καὶ * διερρωγότα χείλη, ῥαγάδας ἐν δακτυλίοις, καὶ παρατρίμματα ἐπιχριόμενον· ἁρμόζει καὶ κοιλιακοῖς καὶ δυσεντερικοῖς, πινόμενον καὶ ἐγκλυζόμενον. δίδοται δὲ καὶ αἱμοπτοϊκοῖς, καὶ βήττουσι σὺν ὕδατι καὶ τοῖς ὑπὸ λυσσῶντος κυνὸς δηχθεῖσιν, ἐν καταποτίῳ ἢ σὺν ὕδατι ποτόν· ξανθίζει τε καὶ τρίχας· παρωνυχίας τε καὶ ἕρπητας, καὶ σηπεδόνας ἰᾶται· ἵστησι καὶ ῥοῦν γυναικεῖον προστιθέμενον· βοηθεῖ δὲ καὶ λυσσοδήκτοις ποθὲν μετὰ γάλακτος, ἢ ἀντὶ καταποτίου λαμβανόμενον. Λέγεται δὲ τὸ ἰνδικὸν λύκιον γίνεσθαι ἐκ θάμνου, τῆς λεγομένης λογχίτιδος. ἔστι δὲ εἶδος ἀκάνθης, ῥάβδους ἔχουσα ὀρθὰς τριπήχεις ἢ καὶ μείζους πολλὰς ἀπὸ τοῦ πυθμένος, παχυτέρας βάτου· φλοιὸς ῥαγεὶς ἐνερευθής. τὰ δὲ φύλλα ὅμοια ἐλαίᾳ, ἧς ἡ πόα ἐν ὄξει ἑψηθεῖσα καὶ ποτιζομένη. ἱστορεῖται φλεγμονὰς σπληνὸς. καὶ ἴκτερον ἰᾶσθαι, καὶ καθάρσεις γυναικείας ἄγειν

καὶ

καὶ ὠμὴ δὲ λεία ποθεῖσα, τὰ αὐτὰ ποιεῖν παραδίδοται· τοῦ δὲ σπέρματος μύστρα δύο ποθέντα, ὑδατώδη καθαίρει, καὶ θανασίμοις βοηθεῖ.

Περὶ Ἀκακίας. Κεφ. ρλδʹ.

Ἀκακία φύεται ἐν Αἰγύπτῳ ἄκανθα δέ ἐστι δενδρώδης, θαμνοειδὴς, οὐκ ὀρθοφυὴς, ἄνθος ἔχουσα λευκὸν, τὸν δὲ καρπὸν ὥσπερ θέρμον ἐν λοβοῖς κείμενον, ἐξ οὗ καὶ ἐκθλίβεται τὸ ἐγχύλισμα ξηραινόμενον* ἐν σκιᾷ, μέλαν μὲν ἐκ τοῦ πεπείρου καρποῦ, ὑπόκιρρον δὲ ἐκ τοῦ ὠμοῦ. ἐκλέγου δὲ τὸ ἠρέμα ἔγκιρρον, εὐώδες, ὡς ἐν ἀκακίᾳ. χυλίζουσι δέ τινες τὰ φύλλα σὺν τῷ καρπῷ. καὶ κόμμι δὲ ἐκ τῆς ἀκάνθης γίνεται. Δύναμιν δὲ ἔχει στυπτικὴν, ψυκτικὴν, ἁρμόζει δὲ ὁ χυλὸς πρὸς τὰ ὀφθαλμικὰ καὶ ἐρυσιπέλατα, ἕρπητας, χίμεθλα, πτερύγια, τὰ ἐν τῷ στόματι ἕλκη, καὶ προπτώσεις δὲ ὀφθαλμῶν καθίστησιν, ἐπέχει δὲ καὶ ῥοῦν γυναικεῖον, καὶ τὰς προπτώσεις δὲ τῆς ὑστέρας στέλλει, κοιλίαν τε ῥέουσαν ἐπέχει πινόμενος, καὶ ἐγκλυζόμενος· μελαίνει δὲ καὶ τρίχας. πλύνεται δὲ καὶ εἰς τὰ ὀφθαλμικὰ, τριβομένου μεθ' ὕδατος ἀποχεομένου τοῦ ἐπιπάγου ἄχρις ἂν καθαρὸν ἐφίστηται τὸ ὕδωρ, καὶ οὕτως ἀναλαμβάνεται εἰς τροχίσκους. καίεται δὲ ἐν ὠμῇ

χύτρᾳ

Aſſeuerant etiam crudam in potu, eoſdem effectus præſtare. Semen cyatho dimidio potum, pituitam expurgare, venenis quoque auxilio eſſe.

Acacia. Cap. CXXXIIII.

Acacia in Ægypto naſcitur ſpina inſtar arboris, fruticoſa, non ſe in rectum attollens. Florem habet candidum, & ſemen lupino ſimile in folliculis, ex quo ſuccus expreſſus ſiccatur in vmbra, niger ex maturo ſemine, ſubrufus ex viridi. Eligatur modicè rufus & odoratus, vt in hac arbore eſſe poteſt. Aliqui exprimunt ex foliis, & ſemine ſuccum. Manat & gummi ex ea ſpina. Vis ei ad ſpiſſandum, refrigerandúmque efficax. Succus oculorum medicamentis vtilis: valet ad ignem ſacrum, vlcera quæ ſerpunt, perniones, pterygia, & oris vlcera: procidentes oculos reprimit, menſium abundãtiam ſiſtit, prociduam vuluam cohibet: citam ſupprimit, aut potus aut ſubter indutus: capillos denigrat. Lauatur oculorum medicamentis, trito in aqua, mox effuſo quod concreuerat, donec pura extet aqua: & ita cogitur in paſtillos. Vritur etiam in cruda

fidelia,

fidelia, donec fictile fornacibus percoquatur: torretúrque in carbonum halitu perflata. Spinæ decoctum ſolutos artus fotu committit. Præfertur eius ſpinæ gummi, quod in vermiculorum ſpeciem cōtrahatur, & vitri modo perluceat, ligni expers: proximum eſt candidum: ſordidum verò ac reſinoſum inutile. Cutis meatus obſtruit, & medicamentorũ quibus admiſcetur, acrimoniã hebetat, ambuſtis ex ouo illitum, puſtulas non patitur erũpere. Alterum acaciæ genus in Cappadocia Pontoq; prouenit. Ægyptiæ ſpinæ ſimilitudine, lõgè minꝰ, tenerius, humile: aculeorum vallo munitur, folia habẽs rutæ. Semẽ lẽticula minus fert autumno, in loculis connexis, ternûm quaternûmúe capacibus. Succus eius adſtringit, viribꝰ inferior, & ocularibꝰ medicamentis inutilis.

χύτρα μετὰ κεράμου ἐν καμίνῳ· ὀπτᾶται δὲ ἐπ' ἀνθράκων ἐκφυσωμένη, τὸ δὲ τῆς ἀκάνθης ἀφέψημα καταντλούμενον, ἄρθρα λελυμένα ἵστησι. Τὸ δὲ κόμμι τῆς ἀκάνθης διαφέρει τὸ σκωληκοειδὲς, ὑαλίζον, διαυγὲς, ἄξυλον, εἶτα τὸ λευκόν· τὸ δὲ ῥυπῶδες καὶ ῥυπαρὸν, ἄχρηστον. Δύναμιν δὲ ἔχει παρεμπλαστικὴν, ἀμβλυντικὴν δριμέων φαρμάκων οἷς μίγνυται. πυρίκαυστά τε οὐκ ἐᾷ φλυκταινοῦσθαι καταχριόμενον μετ' ᾠοῦ. Φύεται δὲ καὶ ἑτέρα ἀκακία ἐν καππαδοκίᾳ καὶ πόντῳ, παρεμφέρουσα τῇ αἰγυπτίᾳ. ἐλάττων μέντοι πολλῷ καὶ χαμαίζηλος, καὶ τρυφερωτέρα* περιπλέξεως δὲ ἀκάνθης σκολοποειδοῦς, φύλλα ἔχουσα πηγάνῳ ὅμοια.* τὸ δὲ σπέρμα ἐν θηλάκοις συνεζευγμένοις, τριχώροις ἢ τετραχώροις, ἔλαττον φακοῦ. στύφει δὲ καὶ αὐτὴ χυλιζομένη σύμπασα, πλὴν ἥττων τῇ δυνάμει καθέστηκεν, εἰς τὰ ὀφθαλμικὰ ἀνεπιτήδειος οὖσα.

Amurca. Cap. CXXXV.

Armuca (expreſſæ oliuæ recremẽtum) decocta in cupreo vaſe ad craſsitudinẽ mellis adſtringit, cæteros præbens lycij effectus. Inſuper dentium dolori & vulneribus, cũ aceto vino aut mulſo commodè illinit: addit in medicamẽta ocularia, &

Περὶ Ἀμόργης. Κεφ. ρλέ.

Ἀμόργη ὑποστάθμη ἐστὶν ἐλαίας τῆς ἐκθλιβομένης, ἥτις ἑψηθεῖσα ἐν χαλκῷ κυπρίῳ μέχρι μελιτώδους συστάσεως, στύφει, ποιοῦσα πρὸς ἃ καὶ τὸ λύκιον, ἐκ περισσοῦ δὲ καὶ πρὸς ὀδονταλγίας καὶ τραύματα, ἐπιχριομένη μετὰ ὄξους ἢ οἴνου ἢ οἰνομέλιτος· μίγνυται δὲ καὶ ὀφθαλμικαῖς

καῖς

καῖς δυνάμεσι καὶ ἐμπλαστικαῖς· παλαιουμένη τε βελτίων γίνεται· ἔγκλυσμά τε ἕδρᾳ καὶ αἰδοίῳ καὶ μήτραις ἑλκουμέναις ἐστὶ χρήσιμος. ἐκβάλλει δὲ καὶ τοὺς ἐφθαρμένους ὀδόντας σὺν ὀμφακίνῳ ἑψηθεῖσα ἄχρι μελιτώδους συστάσεως, καὶ περιπλασθεῖσα· ψώρας τε κτηνῶν σὺν θέρμων ἀφεψήματι καὶ χαμαιλέοντος καταχριομένη θεραπεύει. ἡ δὲ ἀνέψητος καὶ πρόσφατος ποδαγρικοὺς καὶ ἀρθριτικοὺς ὠφελεῖ, θερμὴ καταντληθεῖσα· ἐγχριομένη δὲ εἰς κώδιον καὶ ἐπιτιθεμένη ἐπὶ τῶν ὑδρωπικῶν στέλλει τὸν ὄγκον.

Περὶ Ἄγνου. Κεφ. ρλϛ΄.

Ἄγνος ἢ λύγος θάμνος ἐστὶ δενδρώδης, παρὰ ποταμοῖς ῥαχέσι τε τόποις καὶ χαράδραις φυόμενος, ῥάβδους ἔχων δυσθραύστους, μακράς· φύλλα δὲ ὡς τὰ τῆς ἐλαίας, ἁπαλώτερα δέ. τὸ δ᾽ ἄνθος ἡ μέν τις λευκὸν σὺν ὑποπορφυρίζοντι· ἡ δὲ, πορφυροῦν φέρει. σπέρμα δὲ ὡς πέπερι. Δύναμιν δὲ ἔχει θερμαντικήν, στυπτικήν. ὁ δὲ καρπὸς αὐτοῦ πινόμενος, βοηθεῖ θηριοδήκτοις, σπληνικοῖς, ὑδρωπικοῖς· κατασπᾷ δὲ καὶ γάλα, καὶ ἔμμηνα ἄγει πινόμενος ὅσον < α. πλῆθος σὺν οἴνῳ· ἐκλύει δὲ καὶ γονήν. ἅπτεται δὲ καὶ κεφαλῆς κάρον ἐπιφέρων. τὸ δὲ ἀφέψημα τῆς πόας καὶ τοῦ σπέρματος, εἰς ἐγκαθίσματα ταῖς περὶ ὑστέραν διαθέσεσι, καὶ

& meatus inductu ſuō obſtruentia. Vetuſtate meliorem fieri conſtat. Vtiliter infunditur ſedis, genitalium, ac vuluæ exulcerationi. Si verò cum omphacino recoquatur ad mellis craſsitudinem, carioſos dentes extrahit: iumentorum ſcabiem cum decocto lupini, & chamęleōte illitu ſanat. Cruda & recenti amurca podagras articularióſque dolores foueri, vtiliſſimum: peruncta in villoſa pelle, & hydropicis impoſita, tumoris molem reprimit.

Vitex. Cap. CXXXVI.

Vitex ſiue lygos frutex eſt in arborem aſſurgens, naſcitur in fluminum ripis, aſperiſq; locis, ac torrentium alueis: ramos gerit lōgos, fractu peruicaces: folia oliuæ ſed molliora. Duo genera eius, vna harum albū florem mittit cum purpureo: altera tantū purpureum, & ſemen, vt piper. Excalfactorias vires habet, & adſtrictorias. Semen eius potum venenatis ictibus, aquæ quæ cutem ſubiit, lienoſiſque auxiliatur: lac euocat, menſes ciet, drachmæ pōdere in vino potum: geniturā exoluit, caput tentat, & ſoporē affert. Decoctū herbę & ſeminis in deſeſsione, mulierib⁹ vuluæ malo

malo opportunis opitulat̃, itē inflãmationibus: purgationes mouet ſemē cũ pulegio potũ, etiã ſuffitu vel appoſitu: capitis dolorem diſſoluit illitũ, inſtillatur cũ aceto & oleo capiti in lethargo & phrenitide. Folia ſuffitu aut ſubſtratu fugant venenata: illita quoq; ſerpētium morſibus auxiliantur: teſtiũ duritias cum butyro & foliis vitium emolliunt: rimas ſedis ſemen cum aqua illitũ mitigat, & cum foliis medetur luxatis, vulneribusq;. Virgã qui manu teneat dum iter facit, negat̃ intertriginē ſentire. Agnũ, quaſi dicas caſtũ, vocãt Græci, quoniam matronæ in theſmophoriis Atheniēſium caſtitatē cuſtodientes, foliis huius cubitus ſibi ſternũt, & lygon quaſi vimen, propter inuictam ferè ramorum flexilitatem.

Salix. Cap. CXXXVII.

Salix vulgò nota eſt: cuius ſemen, folia, cortex & ſuccus ſpiſſandi vim habent. Trita folia cum exiguo pipere & vino pota, ileoſis ſubueniũt: ſumpta per ſe & cum aqua præſtant mulieribus ne concipiant. Salignum ſemen in potu ſanguinem expuētibus prodeſt: cortex eoſdem præbet effectus.

Corticis

καὶ φλεγμοναῖς ἀρήγει· ποθὲν δὲ μετὰ γλήχωνος καὶ ὑποθυμιαθὲν τὸ σπέρμα καὶ προστεθὲν, κάθαρσιν κινεῖ· λύει δὲ καὶ κεφαλαλγίας καταπλασσόμενον, καὶ ἐπὶ ληθαργικῶν τε καὶ φρενιτικῶν ἐμβρέχεται σὺν ὄξει καὶ ἐλαίῳ. καὶ τὰ φύλλα ὑποθυμιώμενά τε καὶ ὑποστρωννύμενα, θηρία διώκει, καὶ καταπλασσόμενα ἐπὶ τῶν θηριοδήκτων βοηθεῖ, σκληρείας τε διδύμων μετὰ βουτύρου καὶ φύλλων ἀμπέλου μαλάττει, ῥαγάδας τε τὰς ἐν δακτυλίῳ σὺν ὕδατι ἐπιπλασθὲν τὸ σπέρμα πραΰνει· σὺν δὲ τοῖς φύλλοις, στρέμματα, τραύματα ἰᾶται. δοκεῖ δὲ καὶ κωλυτήριον εἶναι ἐν ὁδοιπορείαις παρατριμμάτων. εἴ τις ῥάβδον αὐτῆς παρὰ χεῖρα κρατοίη. ὠνόμασται δὲ ἄγνος, διὰ τὰς ἐν τοῖς θεσμοφορίοις ἁγνευούσας γυναῖκας, εἰς ὑπόστρωμα χρῆσθαι αὐτῇ, λύγος δὲ διὰ τὸ περὶ τὰς ῥάβδους αὐτῆς εὔτονον.

Περὶ Ἰτέας. Κεφ. ρλζ΄.

Ἰτέα δένδρον ἐστὶ πᾶσι γνώριμον, οὗ ὁ καρπὸς καὶ τὰ φύλλα καὶ ὁ φλοιὸς καὶ ὁ χυλὸς, στυπτικὴν ἔχει δύναμιν. ἁρμόζει δὲ τὰ φύλλα λεῖα μετὰ ὀλίγου πεπέρεως καὶ οἴνου ποθέντα εἰλεώδεσι, καθ' ἑαυτὰ δὲ σὺν ὕδατι ληφθέντα, ἀσυλληψίαν κατεργάζεται. ὁ δὲ καρπὸς ποθεὶς, αἱμοπτοϊκοὺς ὠφελεῖ. καὶ ὁ φλοιὸς δὲ τὰ αὐτὰ δρᾷ.

καὶ εἰς

καεὶς δὲ καὶ φυραθεὶς ὄξει, τύλους καὶ ἥλους αἴρει καταπλασθείς. ὁ δὲ ἐκ τῶν φύλλων καὶ τοῦ φλοιοῦ χυλὸς, ἐν κελύφῳ ῥόας θερμανθεὶς μετὰ ῥοδίνου, ὠταλγίας ἀρήγει. καὶ τὸ ἀφέψημα δὲ αὐτῶν, κατάντλημα ποδάγρας ἄριστον· σμήχει δὲ καὶ πίτυρα. λαμβάνεται δὲ καὶ ὀπὸς ἐξ αὐτῆς ἐντεμνομένου τοῦ φλοιοῦ κατὰ τὴν ἄνθησιν, ἔσω γὰρ εὑρίσκεται συνεστώς. Δύναμιν δ' ἔχει σμηκτικὴν τῶν ἐπισκοτούντων ταῖς κόραις.

Περὶ Ἀγριελαίας. Κεφ. ρλή.

Ἀγριελαία ἣν ἔνιοι κότινον καλοῦσιν, οἱ δὲ, αἰθιοπικὴν ἐλαίαν. ἔχει φύλλα στυπτικά, λεῖα δὴ καταπλασθέντα, ἐφεκτικά ἐστιν ἐρυσιπελάτων, ἑρπήτων, ἐπινυκτίδων, ἀνθράκων, νομῶν, παρωνυχιῶν, περιχαρακτικὰ ἐσχαρῶν, σὺν μέλιτι καταπλασσόμενα, ἀνακαθαίρει δὲ καὶ τὰ ῥυπαρὰ ἕλκη, διαφορεῖ καὶ φύγεθλα καὶ φλεγμονὰς, σὺν μέλιτι καταπλασθέντα, καὶ δέρμα κεφαλῆς ἀποσπασθὲν, παρακολλᾷ· ἰᾶται δὲ καὶ τὰ ἐν στόματι ἕλκη καὶ ἄφθας διαμασηθέντα, καὶ ὁ χυλὸς δ' αὐτῶν καὶ τὸ ἀφέψημα, τὸ αὐτὸ ποιεῖ· ἐπέχει δὲ καὶ αἱμορραγίαν, καὶ ῥοῦν γυναικεῖον προστιθέμενος ὁ χυλὸς καὶ τὰ ἐν ὀφθαλμοῖς σταφυλώματα, καὶ φλυκταίνας. ἔτι δ' ἕλκη καὶ παλαιὰ ῥεύματα στέλλει.

διὸ

Corticis cinis admiſto aceto maceratus, illitu clauos & callos tollit. Ex foliis & cortice ſuccus cum roſaceo in calyce punici calfactus, auriũ doloribus auxiliatur. Decocto eorũ podagras foueri vtiliſsimum: furfures purgat in corpore. Excipitur ſuccus qui manat ex ea cũ floret, exciſo cortice: in plaga enim cõcretus humor inuenitur, qui ad purgãda, quæ obſtant oculis, ſuã vim præbet.

Syueſtris olea. Ca. CXXXVIII.

Sylueſtris oleæ, quam Latini oleaſtrũ appellant, alij Æthiopicam oliuam, folia aſtringũt: trita autem & impoſita ignem ſacrum, vlcera quæ ſerpunt: epinyctidas, carbunculos, reduuias nomáſque cohibent: cruſtas emarginant cum melle illita. Quinetiam ſordida vlcera repurgant: inflammationes panóſque cum melle impoſita diſcutiunt: cutem à capite vulſam conglutinãt: oris vlceribus, & priuatim infantium, cõmanducata medentur. Succus & decoctum eoſdem habét effectꝰ: ſanguinis eruptiones, ac muliebre profluuium, admotꝰ ſuccus inhibet: vuæ oculorũ puſtuliſq; prodeſt, vlcera & veteres defluxiones ſiſtit,

quapro-

(quapropter in collyria additur.) ad genarũ eroſiones perquàm vtilis. Exprimitur ſuccus tuſis folijs, affuſo vino aut aqua, ſiccatúſque ſole in paſtillos digeritur: ſed longè validior ad recondẽdum ſuccus habetur, qui cum vino quàm cũ aqua expreſſus eſt. Auribus ſubuenit, ſiue vlcerentur, ſiue pus effluat. Folia conueniẽter cœliacis cum farina hordeacea illinuntur: vruntur cũ floribus folia, vt ſpodij vicẽ cinis pręſtet, in cruda olla, oblito ore luto, vſque dum figlinũ percoquatur: reſtinctáque vino & rurſus ſubacta, eodem modo vruntur, poſtremo ceruſæ modo elota coguntur in paſtillos. Huiuſcemodi cinerẽ in medicamentis oculorũ conſtat ſpodio non cedere, ſed eiſdẽ viribus præditũ eſſe putandũ eſt.

Olea. Cap. CXXXIX.

Foliorum ſatiuæ oleæ eadẽ vis intelligitur, ſed aliquãto inferior: vnde ocularibus medicamentis ob ſuam mitiorem vim conuenientior eſt. Sudor ligno virenti accenſo manans, illitu ſanat lichenas, furfures et & ſcabiem. Oleaginum ſemen illitũ medetur furfuribus, & vlceribus quæ depaſcũt vorãtq́;: quod

διὸ καὶ μιγνύμενα κολλυρίοις πρὸς τὰς τῶν βλεφάρων διαθέσεις ἐνθετεῖ, χυλίζοντας δὲ δεῖ κόπτειν τὰ φύλλα, καὶ περιχέοντας οἶνον ἢ ὕδωρ ἐκθλίβειν, καὶ ξηράναντας ἐν ἡλίῳ ἀναπλάσσειν. ἔστι δὲ εὐτονώτερος, ὁ διὰ τοῦ οἴνου ἐκθλιβόμενος, καὶ εἰς ἀπόθεσιν μᾶλλον τοῦ δι' ὕδατος ἁρμόζει. ποιεῖ δὲ καὶ πρὸς ὦτα πυοῤῥοοῦντα καὶ εἱλκωμένα. τὰ δὲ φύλλα καὶ ἐπὶ κοιλιακοῖς εὐθετεῖ καταπλασσόμενα σὺν ὠμηλύσει· καίεται δὲ τὰ φύλλα μετὰ τῶν ἀνθῶν, καὶ ἀντὶ σποδίου λαμβάνεται ἐν χύτρᾳ ὠμῇ περιπλασσομένη πηλῷ τὸ στόμα μέχρις ὀπτήσεως τοῦ κεράμου. ἔπειτα κατασβέννυται οἴνῳ, καὶ φυραθέντα πάλιν οἴνῳ, ὁμοίως καίεται· εἶτα πλύνεται ὡς τὸ ψιμμύθιον καὶ ἀναπλάσσεται. δοκεῖ δὲ ἡ τοιαύτη καῦσις, μὴ λείπεσθαι τοῦ σποδίου εἰς τὰ ὀφθαλμικά· ὅθεν καὶ τὴν δύναμιν ὁμοίως ἡγητέον.

Περὶ Ἐλαίας. Κεφ. ρλθʹ.

Δύναται δὲ τὰ αὐτὰ καὶ τὰ τῆς ἡμέρου ἐλαίας φύλλα, λείπεται δὲ τῇ δυνάμει· ὅθεν πρὸς τὰ ὀφθαλμικὰ μᾶλλον ἁρμόζει διὰ τὸ ἐπιεικέστερον. τὸ δὲ ἐκ χλωροῦ τοῦ ξύλου καιομένου ἐκκρινόμενον ὑγρὸν, πίτυρα καὶ ψώρας καὶ λειχῆνας καταχριόμενον ἰᾶται καὶ ὁ καρπὸς δὲ αὐτῶν καταπλασθεὶς, πίτυρα καὶ νομὰς θεραπεύει.

τὸ δὲ

τὸ δὲ ἐντὸς τοῦ πυρῆνος μετὰ στέατος καὶ ἀλεύρου, λεπροὺς ὄνυχας ἐκτινάσσει.

Περὶ Κολυμβάδων ἐλαιῶν. Κεφ. ρμ´.

Ἐλαῖαι κολυμβάδες λεῖαι καταπλασθεῖσαι, πυρίκαυτα οὐκ ἐῶσι φλυκταινοῦσθαι, καὶ ῥυπαρὰ δὲ ἕλκη καθαίρουσιν. ὁ δὲ ἐκ τῆς ἅλμης χυλὸς αὐτῶν διακλυζόμενος, οὖλα στέλλει, καὶ ὀδόντας σειομένους κρατύνει. ἔστι δὲ ἡ μὲν ὑπόκιῤῥος καὶ πρόσφατος ἐλαία, δυσκοίλιος, εὐστόμαχος· ἡ δὲ μέλαινα καὶ πέπειρος, εὐδιάφθορος καὶ κακοστόμαχος, ὀφθαλμοῖς τε ἀνεπιτήδειος καὶ κεφαλαλγής, φρυγεῖσα δὲ καὶ καταπλασθεῖσα, νομὰς ἵστησι, καὶ ἄνθρακας περιῤῥήττει.

Περὶ Ἐλαίου ἀγρίας ἐλαίας. Κεφ. ρμα´.

Τὸ δὲ ἐκ τῆς ἀγρίας ἐλαίας ἔλαιον, διάκλυσμα οὔλοις μυδῶσι. καὶ σταλτικὸν ὑποσάλων ὀδόντων ἐστί, πυρία τε δι᾽ αὐτοῦ θερμαινομένου καὶ διακλυζομένου ἐπιτήδειος οὔλοις ῥευματιζομένοις. δεῖ δὲ ἔριον μηλωτῇ περιτεθέντας ἀποβάπτειν εἰς τὸ ἔλαιον, καὶ προσάπτεσθαι τοῖς οὔλοις ἄχρις ἂν λευκὰ φανῇ.

Περὶ Δακρύου ἐλαίας αἰθιοπικῆς. Κεφ. ρμβ´.

Τὸ δὲ δάκρυον τῆς αἰθιοπικῆς ἐλαίας, ἔοικέ πως σκαμμωνίᾳ. ἔγκιῤῥον, ἐκ μικρῶν σταγόνων συγκεί-

quod auté intra nucleum eſt, ex adipe & farina ſcabros vngues excutit.

Colymbades oleæ. Cap. CXL.

Colymbades tritæ & ambuſtis illitæ puſtulas gigni prohibent, ſordida vlcera purgăt, muriæ ſuccus collutas gingiuas contrahit, & motus dentium firmat. Oliua flaua & recens ſtomacho vtilior eſt, ventri difficilis: nigra autem & matura corruptioni opportuna eſt, ſtomacho aduerſatur, oculis non conuenit, capitis dolorem mouet, arefacta illitu depaſcentia vlcera ſiſtit, & carbunculos emarginat.

Oleum ſylueſtris oliuæ. Cap. CXLI.

Oleum ſylueſtris oliuæ gingiuis putri vligine laborantibus colluitur, détium mobilitates ſtabilit, calfacti fotus gingiuis fluxione laborătibus vtilis eſt: lanam enim ſpecillo circumligatam oleo madefacere oportet, & gingiuis admouere, donec albæ ſpectentur.

Lachryma æthiopicæ oleæ. Cap. CXLII.

Lachryma quă æthiopica olea ſtillat, ſcămonio ſimilis quadăten⁹ eſt, fulua ſtillis exilibus cōſtăs,

conſtās,mordax:quæ autē ammoniaci aut gūmi ſimilitudinē refert,colore nigricās,nec guſtu mordēs,ſuperuacua eſt.Noſtrates oleæ,oleaſtriq́;,ſimilem lachrymā ſudāt, quæ cōmodè ad oculorū hebetudines illinitur: cicatrices albugineſq́; illitu emēdat, vrinā & mēſes ciet, cauis dentiū impreſſa ad dolores efficax eſt:inter venena ſcribit:partus pellit,lepras & impetigines ſanat . Appellatur autē æthiopica & agreſtis olea.

συγκείμενον, δηκτικόν· τὸ δὲ ὅμοιον κόμμι καὶ ἀμμωνιακῷ, μελανίζον καὶ οὐ δηκτικόν, ἀχρεῖον. φέρει δὲ τὸ τοιοῦτον καὶ ἡ παρ' ἡμῖν ἐλαία, καὶ ἡ ἀγριελαία· ποιεῖ δὲ πρὸς ἀμβλυωπίαν καὶ οὐλὰς καὶ λευκώματα ἐγχριόμενον σμήχει, οὖρά τε καὶ ἔμμηνα κινεῖ, καὶ πρὸς ὀδόντων πόνους ἐνεργεῖ, ἐντιθέμενον εἰς τὸ βρῶμα· ἀναγράφεται δὲ καὶ ἐν τοῖς φθαρτικοῖς· ἄγει δὲ καὶ ἔμβρυα καὶ λειχῆνας θεραπεύει καὶ λέπραν. καλεῖται δὲ αἰθιοπικὴ ἐλαία καὶ ἀγριελαία.

Quercus. Cap. CXLIII.

Quercus omnis adſtrictoriam vim habet, præſertim liber qui cortici & ligno intercedit: quinetiam tunica putamini glandis ſubiecta. Decoctum ex iis datur dyſentericis, cœliacis, ſanguinem excreantibus. Trita in peſſo,fœminis fluxione vuluę laborantibus ſubiicitur.

Περὶ Δρυός. Κεφ. ρμγ'.

Δρῦς πᾶσα στυπτικὴν ἔχει δύναμιν, μάλιστα δὲ αὐτῆς στύφει τὸ μεταξὺ τοῦ φλοιοῦ καὶ τοῦ πρέμνου ὑμενοειδές· ὁμοίως καὶ τὸ περὶ τῇ βαλάνῳ ὑπὸ τὸ κέλυφος. δίδοται δὲ τὸ ἀφέψημα αὐτῶν, κοιλιακοῖς καὶ δυσεντερικοῖς, καὶ αἱμοπτοϊκοῖς· καὶ ἐν πεσσοῖς λεῖον προστίθεται ῥοϊκαῖς γυναιξίν.

Glandes. Cap. CXLIIII.

Glandes eoſdem effectus exhibent: vrinam ciunt, capitis dolorem & flatus in cibum ſumptæ pariunt, reſiſtunt eſitatæ venenatorum ictib⁹.Decoctum earū & corticis cum lacte vaccino potum, prodeſt contra toxica: intritæ crudæ, inflammationes illitu leniunt: ad duritias

Περὶ Βαλάνων. Κεφ. ρμδ'.

Καὶ αἱ βάλανοι δὲ τὰ αὐτὰ ποιοῦσιν· εἰσὶ δὲ καὶ οὐρητικαί, καὶ κεφαλαλγεῖς, βιβρωσκόμεναι, καὶ πνευματοῦσαι· ἁρμόζουσι δὲ πρὸς τὰ ἰοβόλα ἐσθιόμεναι, καὶ τὸ ἀφέψημα δὲ αὐτῶν καὶ τοῦ φλοιοῦ, βοηθεῖ τοξικῷ μετὰ γάλακτος βοείου πινόμενον, ὠμαὶ δὲ καταπλασθεῖσαι λεῖαι, φλεγμονὰς παρηγοροῦσι, σὺν

σὺν στέατι δὲ χοιρείῳ ταριχηρῷ, πρὸς κακοήθεις σκληρίας, καὶ πρὸς πονηρευόμενα ἕλκη ἁρμόζουσιν. ἰσχυρότεραι δὲ τῶν δρυΐνων αἱ πρίνιναι τῇ δυνάμει εἰσίν.

Περὶ Φηγοῦ καὶ πρίνου.

Κεφ. ρμέ.

*Καὶ ἡ φηγὸς καὶ ἡ πρῖνος εἴδη ὄντα δρυὸς, ἐοικότα ἐνεργεῖ. τῆς ῥίζης δὲ τοῦ πρίνου ὁ φλοιὸς ἑψηθεὶς σὺν ὕδατι ἄχρις οὗ τακηρὸς γένηται, καὶ ἐπιπλασθεὶς νύκτα ὅλην, τρίχας μελαίνει προαποσμηχθείσας κιμωλίᾳ γῇ. ἁρμόζει δὲ τὰ φύλλα πάντων, κοπέντα λεῖα οἰδήμασι, καὶ τὰ ἄτονα δὲ μέρη κρατύνει.

Περὶ Καστάνων. Κεφ. ρμς´.

Αἱ δὲ σαρδιαναὶ βάλανοι, ἃς τινὲς λόπιμα ἢ κάστανα καλοῦσιν, ἢ μότα ἢ διὸς βαλάνους, στύφουσι καὶ αὗται, τῶν ὁμοίων εἰσὶ δραστικαὶ, καὶ μάλιστα οἱ μεταξὺ τῆς σαρκὸς καὶ τοῦ λέπους φλοιοί. ἡ δὲ σὰρξ καὶ τοῖς ἐφήμερον πεπωκόσιν ἁρμόζει.

Περὶ Κηκίδων. Κεφ. ρμζ´.

Κηκὶς καρπός ἐστι δρυός. ἡ μέν τις ὀμφακῖτις καλεῖται μικρὰ καὶ κονδυλώδης, στιβαρὰ, ἀτρύπητος· ἡ δέ τις λεία, καὶ κούφη καὶ τετρημμένη. ἐκλέγεσθαι δὲ δεῖ τὴν ὀμφακῖτιν, ἐνεργεστέραν οὖσαν. ἀμφότεραι δὲ στύφουσιν ἱκανῶς,

καὶ

ad duritias quas coëthe vocant, & malefica vlcera cum ſalſa axungia conueniunt. Iligneæ glandes viribus quernas antecellunt.

Fagus & ilex.

Cap. CXLV.

Fagus & ilex quercus generi aſsignantur, & cõſimile munus obeũt. Ilgneæ radicis cortex cum aqua coctus, dũ mollitus intabeſcat, & tota nocte illitus, denigrat capillos, prius cimolia terra purgatos. Folia omnium tuſa & trita tumoribus proſunt, & imbecillas mẽbrorum partes corroborant.

Caſtaneæ. Cap. CXLVI.

Sardianæ glãdes, quas aliqui caſtaneas, aut lopima, aut glãdes Iouis appellant, adſtringunt, ſimileſque effectus præbẽt: præſertim tunica quæ carnem & corticem media intercurſat. Caro his qui ephemerũ biberunt, conueniens eſt.

Galla. Cap. CXLVII.

GALLA fructus eſt quercus. Aliqua omphacitis appellatur, parua quidem ſed tuberoſa, ſolida, nullo foramine peruia. Altera plana, leuis, perforata. Eligi debet omphacitis, quæ efficacior eſt. Vtriuſque vis vehemẽter aſtringere.

h Tritæ

Tritæ excreſcentia in carne, fluxiones gingiuarum & vuæ, atque oris vlcerationem cohibent. Nucleus dentium cauernis inditus dolorem ſedat. Crematæ carbonibus donec igne flagrent, & vino aut aceto aut acida muria extinctæ, ſanguinem ſupprimunt. Decoctum quibus inſidere expedit, efficax eſt, & contra vuluas procidentes, fluxionéſque. Capillos denigrant, aceto aut aqua maceratę: dyſentericis cœliacíſque cum vino aut aqua tritæ conuenienter illinuntur, aut bibuntur: obſoniis addi debent, aut integræ in aqua præcoqui, in qua nonnihil excoquendum eſt, quod his aſfectibus conferat. In ſumma, his vtendum ad adſtringenda, aut ſiccanda quæ opus ſunt.

καὶ στέλλουσι λεῖαι τὰς ὑπερσαρκώσεις, ῥευματισμούς τε οὔλων καὶ κιονίδος, καὶ τὰς ἐν στόματι ἄφθας. τὸ δὲ μέσον αὐτῶν, βρώματι ὀδόντων ἐντεθὲν, παύει τὰς ὀδύνας. γίνονταί τε καὶ ἴσχαιμοι καεῖσαι ἐπ' ἀνθράκων μέχρι πυρώσεως, καὶ κατασβεσθεῖσαι ἢ οἴνῳ ἢ ὄξει ἢ ὀξάλμῃ. τὸ δέ ἀπόζεμα αὐτῶν ποιεῖ καὶ πρὸς ἐγκαθίσματα, προπτώσεις ὑστέρας, τῆς ῥευματισμούς. μελαίνουσι δὲ καὶ τρίχας, ἀποβραχεῖσαι ὄξει ἢ ὕδατι. ἁρμόζουσι δὲ καὶ κοιλιακοῖς καὶ δυσεντερικοῖς ἐπιπλαττόμεναι οἴνῳ ἢ ὕδατι λεῖαι καὶ πινόμεναι· τοῖς τε προσοψήμασι μιγνύμεναι ἢ προαφεψόμεναι ὅλαι ἐν τῷ ὕδατι, εἰς ὃ μέλλει τι ἕψεσθαι τῶν ἁρμοζόντων πρὸς αὐτούς· καὶ καθόλου ὅπου δεῖ στύψαι ἢ στῆσαι ἢ ἀναξηρᾶναι, παραλαμβάνεσθαι δεῖ τὴν χρῆσιν αὐτῶν.

Rhus. Cap. CXLVIII.

Περὶ Ῥοός. Κεφ. ρμή.

RHus quæ obſoniis aſpergitur, ab aliquibus erithros appellata, ſemen eſt coriarij fruticis, ſic vocati, quoniam coriorum infectores eo vtunt̃, ad inſpiſſãdas pelles. Arbuſcula in petris naſcens, binûm ferè cubitorũ altitudine foliis oblõgis, ſubrubẽtibꝰ, ĩ ambitu ſerratis, acino vuarũ graciliũ dẽſo, magnitudine

Ῥοῦς ἐπὶ τὰ ὄψα, ὃν ἔνιοι ἐρυθρὸν καλοῦσι, καρπός ἐστι τῆς καλουμένης βυρσοδεψικῆς ῥοὸς, ἢ τις ὠνομάσθη ἐκ τοῦ τοὺς βυρσοδέψας αὐτῇ χρῆσθαι, εἰς τὴν στύψιν τῶν δερμάτων. ἔστι δὲ δενδρύφιον * φυόμενον ἐν πέτραις ὡς δίπηχυ· ἐφ' οὗ φύλλα ἐπιμήκη, ὑπέρυθρα, τὴν περιφέρειαν ἐντετμημένα πριονοειδῶς. καρπὸς δὲ βοτρυδίοις ἐοικὼς, πυκνὸς,

κτ

κατὰ τὸ μέγεθος τερεβίνθου, ὑπόπλατυς, οὗ τὸ περικείμενον φλοιῶδες, ἐστὶν εὔχρηστον. Δύναμιν δὲ ἔχει τὰ φύλλα, στυπτικὴν, ποιοῦσαν πρὸς ἃ καὶ ἡ ἀκακία· μελαίνει δὲ τρίχας τὸ ἀφέψημα, δυσεντερίας τε ἐστὶν ἔγκλυσμα, καὶ πόμα, καὶ ἐγκάθισμα, καὶ ὤτων πυορροούντων ἔγκλυσμα, πτερύγια τε καὶ γαγγραίνας ἐπέχει καταπλασσόμενα τὰ φύλλα, μετ' ὄξους ἢ μέλιτος· καὶ τὸ χύλισμα δὲ τῶν φύλλων ξηρῶν ἑψομένων σὺν ὕδατι ὥσπερ τὸ λύκιον ἄχρι συστάσεως μελιτώδους, ἁρμόζει πρὸς ὅσα καὶ τὸ λύκιον· καὶ ὁ καρπὸς δὲ τὰ αὐτὰ ποιεῖ, ἁρμόζων ἐν προσοψήμασι κοιλιακοῖς, δυσεντερικοῖς, ἀφλέγμαντά τε τηρεῖ, σὺν ὕδατι καταπλασθεὶς, θλάσματα, ἀποσύρματα, πελιώματα· γλώσσης τε τραχύτητας σμήχει σὺν μέλιτι καὶ λευκὸν ῥοῦν ἵστησιν, αἱμορροΐδας τε θεραπεύει μετὰ δρυΐνου ἄνθρακος λείου ἐπιτιθέμενος· καὶ τούτου δὲ τὸ ἀπόβρεγμα ἑψόμενον συνίσταται, βέλτιόν πως τοῦ καρποῦ ποιοῦν. φέρει δὲ καὶ κόμμι ὅπερ ἐντίθεται τοῖς βρώμασι τῶν ὀδόντων πρὸς ἀπονίαν.

Περὶ Φοίνικος. Κεφ. ρμθʹ.

Φοῖνιξ ἐν Αἰγύπτῳ γίνεται. τρυγᾶται δὲ μεσοπορούσης τῆς κατὰ τὴν ὀπώραν ἀκμῆς, παρεμφέρων τῇ ἀραβικῇ μυροβαλάνῳ, πῶμα

magnitudine terebinthi, quadámtenus lato: cuius corticoſa tunica perquàm vtilis eſt. Folia vim habent adſtringẽdi, & acacię effectus præbent. Decoctũ capillos denigrat, dyſentericis infunditur, & in potus eorum inſeſſúſq; adiicitur, inſtillatur auribus purulentis. Gangręnas & pterygia cohibent folia ex aceto aut melle illita. Liquamentum fit ex aridis foliis, ad craſsitudinem mellis in aqua decoctis, ad eadem, vt lycium, conueniens. Semen eoſdem effectus exhibet: cœliacorum, dyſentericorúmq; obſonij inſpergitur: fracta, deſquammata, liuidáque, illitum ex aqua; ab inflammatione vindicat: linguæ aſperitates cum melle abſtergit, cãdida, fœminarũ profluuia ſiſtit, hæmorrhoidas ſanat, cum querno carbone intrito admotũ. Aqua in quo ſemen maduit decocta, cogitur, coitq; efficacior ipſo ſemine. Gummi defert, quod dentium cauis imprimitur ad dolores finiendos.

Palma. Cap. CXLIX.

Palma in Ægypto gignitur. Ea medio maturitatis vigore, autumno decerpi ſolet, Arabici myrobalani ſimilis, pomatis

pomatis cognomine, colore viridi, & odore mali cotonei: quòd ſi ad maturitatem peruenire ſinatur, phœnicobalanus fiet. Palma acerba eſt & adſtringens: contra alui fœminarúmque profluuia, in vino auſtero bibitur: hæmorrhoidas ſiſtit, vulnera glutinat illitu. Phœnicobalani recentes plus ſiccis adſtringunt, capitis dolorem afferunt, copioſiores in cibo inebriant, ſicciores ſanguinem excreantibus, ſtomachicis, & dyſentericis vtiles in cibo: illinuntur cum cotoneo et cerato œnanthino veſicæ vitiis. Cariotæ, præſertim eſu, faucium aſperitati medentur.

Palmæ Thebaicæ.
Cap. CL.

Thebaicarum decoctum potu æſtuationem ſedat, vires recreat cum hydromelite veteri ſumptum: cibo idem faciunt. Fit ex eis vinum ad eadem conueniens. Decoctum per ſe potu & gargarizatione magnopere adſtringit, & cohibet. Nuclei palmarum, cæterorum more, cremati in crudo fictili, & vino reſtincti, cinere loto, ſpodij vicem efficiunt: miſcentúrque in calliblephara.

πῶμα δὲ λέγεται, χλωρὸς τὸ χρῶμα, ἐμφερὴς κυδωνίῳ κατὰ τὴν ὀσμήν· εἰ δὲ ἀφεψηθῇ πεπαινόμενος, γίνεται φοινικοβάλανος. ἔστι δὲ στρυφνὸς, στυπτικὸς, πινόμενος σὺν οἴνῳ αὐστηρῷ πρὸς διάρροιαν καὶ ῥοῦν γυναικεῖον· ἵστησι δὲ καὶ αἱμορροΐδας, καὶ τραύματα κολλᾷ καταπλασθείς. αἱ δὲ φοινικοβάλανοι, στυπτικώτεραι τυγχάνουσι τῶν ξηρῶν, κεφαλαλγεῖς δέ εἰσι καὶ πλείονες βρωθεῖσαι μεθύσκουσιν· αἱ δὲ ξηραὶ ὠφελοῦσι βιβρωσκόμεναι αἱμοπτοϊκοὺς, στομαχικοὺς, δυσεντερικοὺς, καὶ τὰ περὶ κύστιν, καταπλασσόμεναι λεῖαι μετὰ κυδωνίου καὶ κηρωτῆς οἰνανθίνης. μάλιστα δὲ αἱ καρυωτίδες ἐσθιόμεναι, ἀρτηριῶν τραχύτητας ἰῶνται.

Περὶ Φοινίκων θηβαϊκῶν. Κεφ. ρν´.

Τῶν δὲ θηβαϊκῶν τὸ ἀφέψημα ποθὲν, παύει καύσωνα, καὶ τὰς δυνάμεις ἀνακτᾶται, μετὰ ὑδρομέλιτος παλαιοῦ λαμβανόμενον· καὶ αὗται βρωθεῖσαι, τὸ αὐτὸ ποιοῦσι, γίνεται δὲ καὶ οἶνος ἐξ αὐτῶν τὸ αὐτὸ δυνάμενος τῷ καρπῷ. καὶ καθ᾽ ἑαυτὸ ποθὲν τὸ ἀφέψημα αὐτῶν καὶ ἀναγαργαριζόμενον ἱκανῶς στύφει καὶ στέλλει. Οἱ δὲ πυρῆνες τῶν φοινίκων, καίονται ἐν ὠμῇ χύτρᾳ, καθάπερ καὶ τὰ ἄλλα πάντα, εἶτα σβεσθέντες οἴνῳ πλύνονται, καὶ ὡς ἀντίσποδα εἰς τὰ καλλιβλέ-

λι βλέφαρα χρησιμεύουσι· κἂν μὴ αὐτάρκως καῶσι, πάλιν τὸ αὐτὸ γίνεται. Δύναμιν δὲ ἔχουσι συπτικὴν, παρεμπλαστικὴν, ποιοῦσιν πρὸς τὰς ἐν ὀφθαλμοῖς φλυκτίδας, σταφυλώματα, μίλφας σὺν νάρδῳ· σὺν οἴνῳ δὲ στέλλουσι καὶ ὑπερσαρκώματα, καὶ ἀπουλοῦσιν ἕλκη. εὐθετοῦσι δὲ μάλιστα οἱ ἀπ' αἰγύπτου, οἱ ἐκ τῶν χαμαιζήλων φοινίκων.

Περὶ Φοίνικος ἐλάτης. Κεφ. ρνά.

Φοίνιξ ἣν ἔνιοι ἐλάτην ἢ σπάθην καλοῦσι, περικάλυμμά ἐστι τοῦ καρποῦ τῶν φοινίκων ἀκμὴν ἀνθούντων. χρῶνται δὲ αὐτῷ οἱ μυρεψοὶ εἰς τὰς τῶν μύρων στύψεις. ἔστι δὲ αὐτῆς κρατίστη ἡ εὐώδης, στύφουσα, βαρεῖα, μεμυκυῖα, λιπαρὸν ἔχουσα τὸ ἐντός. Δύναμιν δὲ ἔχει συπτικήν· ἐφιστᾶσι τὰ νεμόμενα τῶν ἑλκῶν, χαλασμοὺς τῶν ἄρθρων συνάγει, λεῖα μαλάγμασι μιγεῖσα καὶ καταπλάσμασιν· ὠφελεῖ δὲ καὶ ὑποχόνδρια καὶ στόμαχον ἀτονοῦντα, καὶ ἡπατικὰς διαθέσεις, μιγνυμένη τοῖς ἁρμόζουσι τῶν καταπλασμάτων· μελαίνει δὲ καὶ τρίχας τὸ ἀφέψημα αὐτῆς, σμηχόμενον συνεχῶς· πινόμενον δὲ νεφριτικοῖς καὶ τοῖς περὶ κύστιν καὶ σπλάγχνα ἁρμόζει, κοιλίαν τε καὶ ὑστέραν ῥευματιζομένην ἵστησιν, ἁπαλὴ δὲ σὺν ῥητίνῃ καὶ κηρῷ ἐπιτεθεῖσα, καὶ ἐαθεῖσα ἡμέρας εἴκοσι, ψώρας ἰᾶται.

καὶ

blephara. Quòd ſi nõ iuſtã vſtionẽ acceperit, denuo cremãdi. Vim adſtringendi habẽt, & ſpiracula cutis obductu ſuo claudũt: cõtra oculorũ vuã & puſtulas, palpebrarũ defluuia, cũ nardo effectũ prębẽt: corporis excreſcẽtias cũ vino reprimũt, vlcera ad cicatricẽ perducũt. Sed inter primas vtiles ex palmis humilibus Ægyptiæ.

Palma elate. Cap. CLI.

PALMA, quam aliqui elaten aut ſpathan appellant, fructus palmarum adhuc florentium, inuolucrum eſt calyxque, quo in ſpiſſamẽta vnguentarij vtuntur. Optima habetur odorata, adſtringens, ponderoſa, præcluſa, intus pinguis. Vis ei adſtrictoria: ſiſtit vlcera quæ depaſcunt, laxatos artus committit, trita miſcetur cataplaſmatis & malagmatis: prodeſt præcordiis, imbecilli ſtomacho, & iocineri affecto, miſta conferentibus cataplaſmatis. Eius decoctum ſubinde deterſum, capillos denigrat: datur bibendum congruè, renum, veſicæ, & viſcerum vitiis: vuluæ ac ventris fluxiones ſiſtit: ſcabiem cum reſina, & cera ſanat, ſi viginti diebus recens apponatur.

Inuolutúſque in ea elate fructus, quem ſuo amplexu fouet, elate etiam vocari ſolet, & ab aliquibus boraſſus. Adſtringit, & ſpathę effectus pręſtat, non ſic vnguentis expetitꝰ. Alba medulla caudicis recens in cibo, aut decocta eadē facit, quæ boraſſus.

Malū punicū. Cap. CLII.

Malum punicū omne boni ſucci eſt, ſtomacho vtile, perexiguum ſufficiens alimētum. Dulcia ſtomacho vtiliora habētur, ſed aliquantulū in eo calorem gignunt, inflationes pariūt, vnde in febri abdicantur. Acida adſtringūt, æſtuanti ſtomacho auxiliant̄, & multò magis contrahunt, ac vrinā cient. Ora gingiuáſq; lædūt. Vinoſa verò mediā ſortiuntur naturā. Nuclei acinorū acidi punici ĩ ſole ſiccati, & obſoniis ĩſparſi, cōcoctíue, fluentē aluū ſtomachūq; ſiſtūt. Cœleſti aqua madeſcūt, bibūturq; cōmodè ſanguinē excreātibus: ad deſeſſus dyſentericorū, fœminarūq; fluxione vuluæ laborantiū vtiles ſunt. Expreſſus nucleorū ſuccꝰ coquit̄ cū melle, ad oris, virilitatis, et ſedis vlcera, nomas, reduuias, & ea q̄ ĩ corpore extuberāt, auriū dolores, & nariū vitia:

tia:

καὶ ὁ περιεχόμενος δὲ ὑπ' αὐτῆς καρπὸς, ἐλάτη καλεῖται, ὑπ' ἐνίων δὲ βόρασσος· καὶ αὐτὸς στυπτικὸς ὢν τὰ αὐτὰ δρᾷ τῇ σπάθῃ, χωρὶς τῆς ἐν τοῖς μύροις ἐγχρήσιας, καὶ τὸ ἐγκάρδιον δὲ τοῦ πρέμνου λευκὸν καὶ αὐτὸ προσφάτως βιβρωσκόμενον καὶ ἀφεψόμενον, ποιεῖ πρὸς ὅσα καὶ ὁ βόρασσος.

Περὶ Ῥοᾶς. Κεφ. ρνβ'

Ῥόα πᾶσα εὔχυμος, εὐστόμαχος, ἄτροφος· τούτων μέν τοι ἡ γλυκεῖα εὐστομαχωτέρα, θερμασίαν ποσὴν γεννῶσα περὶ στόμαχον, καὶ πνευματῶσα, ὅθεν ἐπὶ μὲν τῶν πυρεσσόντων ἐστὶν ἄθετος· ἡ δὲ ὀξεῖα καυσουμένῳ στομάχῳ βοηθεῖ καὶ ἔστι σταλτικωτέρα καὶ οὐρητικωτέρα· ἄστομος δὲ, καὶ στυπτική. ἡ δὲ οἰνώδης μέσην ἔχει δύναμιν· τῆς δὲ ὀξείας ὁ πυρὴν ξηρανθεὶς ἐν ἡλίῳ καὶ ἐπιπασσόμενος προσοψήμασι καὶ συνεψόμενος, κοιλίαν καὶ στομάχου ῥεῦμα ἵστησιν· ἀποβραχεὶς δὲ ἐν ὀμβρίῳ ὕδατι, αἱμοπτοϊκοὺς ὠφελεῖ πινόμενος, καὶ εἰς ἐγκαθίσματα δυσεντερικῶν καὶ ῥοϊκῶν ἁρμόζει. εὔχρηστον δὲ τὸ ἀπόθλιμμα τῶν πυρήνων ἑψηθὲν καὶ μιγὲν μέλιτι. πρός τε τὰ ἐν στόματι καὶ αἰδοίῳ καὶ ἕδρᾳ ἕλκη, καὶ πτερύγια τὰ ἐν δακτύλοις, νομάς τε καὶ ὑποχὰς καὶ ὠταλγίας καὶ τὰ ἐν μυκτῆρσι,

καὶ

καὶ μάλιστα τῆς ὀξείας.

Περὶ Κυτίνων. Κεφ. ρνγ'.

Τὰ δὲ ἄνθη αὐτῆς ἃ καὶ κύτινοι καλοῦνται, καὶ αὐτὰ στυπτικὰ καὶ ξηραντικὰ καὶ κατασταλτικά εἰσι, καὶ ἐναίμων κολλητικὰ, ἁρμόζοντα πρὸς ἃ καὶ ἡ ῥοά. τὸ δὲ ἀφέψημα αὐτῶν οὔλων πλαδόντων καὶ ὀδόντων σειομένων διάκλυσμα, ἀνακόλλημά τε ἐντεροκηλικοῖς ἐν καταπλάσμασιν· ἱστοροῦσι δέ τινες, μὴ ὀφθαλμιᾶν παρ' ὅλον τὸ ἔτος τοὺς καταπιόντας τρεῖς κυτίνους, ὡς ὅτι ἐλαχίστους· χυλίζονται δὲ ὡς ἡ ὑποκιστίς.

Περὶ Σιδίων. Κεφ. ρνδ'.

Καὶ τὰ λέπη δὲ τῆς ῥόας ἅ τινες σίδια καλοῦσι στυπτικὴν ἔχοντα καὶ αὐτὰ δύναμιν, πρὸς ὅσα καὶ οἱ κύτινοι ἁρμόζουσι. τὸ δὲ ἀφέψημα τῶν ῥιζῶν, ἕλμινθας πλατείας ποθὲν, ἐκτινάσσει καὶ ἀποκτείνει.

Περὶ Βαλαυστίων. Κεφ. ρνε'.

Βαλαύστιον ἐστὶν ἄνθος ἀγρίας ῥοιᾶς, εἴδη δέ ἐστιν αὐτοῦ πλείονα· εὑρίσκεται γὰρ καὶ λευκὸν καὶ πυῤῥὸν καὶ ῥοδόχροον·* ἔοικε δὲ κυτίνῳ ῥοιᾶς, χυλίζεται δὲ ὡς ἡ ὑποκιστίς. Δύναμιν δὲ ἔχει στυπτικὴν, ποιοῦσαν πρὸς ἃ καὶ ἡ ὑποκιστὶς καὶ ὁ κύτινος.

Περὶ Μυρσίνης. Κεφ. ρνς'.

Μυρσίνη ἡ ἥμερος, πρὸς μὲν τὴν ἰατρικὴν χρῆσιν, ἡ μέλαινα τῆς λευκῆς ἁρμοδιωτέρα, καὶ ταύτης μᾶλλον

tia: præſertim acidorum.

Cytinus. Cap. CLIII.

Huius flores cytini vocantur: qui adſtringunt, ſiccant, cohibent: ſanguinolenta glutinãt, quas punicum, præſtãt vtilitates: humida gingiuarum vitia mobileſq; dentes decocto colluũtur, herniam prolapſu inteſtini erumpentem cataplaſmate repellunt: memoriæ tradũt, qui tres, quã minimos cytinos deuorauerit, nullã eo anno lippitudinem paſſurum: eliquatur hypociſtidis exemplo.

Malicoriũ. Cap. CLIIII.

Malicoriũ, aſperũ eſt mali punici putamẽ, qđ aliqui ſidiõ appellãt. Id ſpiſſãdi vim habet, & quos cytini, præbet vſus. Decoctũ radicis potu latas vẽtris tineas pellit, & eaſdẽ euocat.

Balauſtiũ. Cap. CLV.

Balauſtium ſylueſtris punici flos eſt, cytino ſimilis, cuiꝰ cõplura genera reperiuntur: cãdidũ, fuluum, colore roſaceo. Succus ex eo exprimit̃, hypociſtidis modo, cui adſtrictoria vis ineſt, eadem faciẽs, quę hypociſtis, & cytinus.

Myrtus. Cap. CLVI.

MYRTVS ſatiua nigra vtilior eſt medicinæ quàm candida, & in hoc genere

multò magis mõtana:ſemẽ tamen imbecillius parit . Vis & myrti & ſeminis adſtringit.Semen viride aut aridum in cibo datur ſanguinẽ excreãtibus,& veſicæ eroſionib⁹.Succus virẽtibus baccis expreſſus eoſdẽ effectus exhibet:ſtomacho vtilis, vrinã cit: ꝓdeſt cõtra phalãgij morſum,& ſcorpionis ictus in mero:ſeminis decoctũ capillũ tingit,ius decocti in vino vlcera in extremis mẽbris nata ſanat,oculorũ inflãmationes illitum cum polline polẽtæ lenit, cõtra ægilopas illinitur,crapulam arcet preſumptum vinum, quod feruefacto aliquantũ ei⁹ ſemine exprimatur: aliâs enim acorem cõtraheret.Præſtat idẽ ſeminis effectus.Vtile procidẽtiæ vuluarum in deſeſsionibus, ſedis vitiis, & fœminis fluxione vuluæ laborantibus:purgat furfures,vlcera capitis manantia, atq; eruptiones papularũ: fluentes capillos continet. Additur quoque in medicaméta, quas liparas vocant,vti oleum quod ex folijs eius factum eſt. Decoctum foliorum ad deſeſſiones balnearũ cõuenit,& cõtra laxatos artus,& malè ſolide ſcẽtes. Eo fracta ferruminationi repugnãtia vtiliſsimè fouẽt, vitili-

μᾶλλον ἢ ὀρεινή, τὸν μέντοι καρπὸν ἀτονώτερον ἔχει. δύναμις δὲ αὐτῆς καὶ τοῦ καρποῦ στυπτική. δίδοται δὲ ὁ καρπὸς χλωρός τε καὶ ξηρὸς ἐσθιόμενος αἱμοπτοϊκοῖς καὶ τοῖς δακνομένοις τὴν κύστιν. καὶ ὁ ἐκ τῶν χλωρῶν δὲ μύρτων ἐκθλιβέντων χυλὸς, τὰ αὐτὰ ποιεῖ, εὐστόμαχος ὢν καὶ οὐρητικοῖς ἁρμόζων, φαλαγγιοδήκτοις καὶ σκορπιοπλήκτοις σὺν οἴνῳ. καὶ τὸ ἀφέψημα δὲ τοῦ καρποῦ βάπτει τρίχας· ἑψηθεὶς δὲ σὺν οἴνῳ, καὶ καταπλασθεὶς, τὰ ἐν ἀκρωτηρίοις ἕλκη θεραπεύει· μετὰ πάλης δὲ ἀλφίτου καταπλασθεὶς, φλεγμονὰς τὰς ἐν ὀφθαλμοῖς παρηγορεῖ, καὶ πρὸς αἰγίλωπα δὲ ἐπιπλάττεται, καὶ ὁ ἐξ αὐτῆς δὲ γινόμενος οἶνος ἐκθλιβέντος τοῦ καρποῦ, καὶ ἐπὶ ποσὸν ἀφεψηθέντος, ὀξίζει γὰρ ὁ μὴ οὕτω σκευασθεὶς, ἀκραίπαλός ἐστι προπινόμενος, ποιῶν πρὸς ὅσα καὶ ὁ καρπὸς, ἐγκαθίσματά τε, μήτρας, προπτώσεις, καὶ δακτυλίῳ, καὶ ῥοικαῖς ἁρμόζει, σμήχει δὲ καὶ πίτυρα. καὶ ἀχῶρας, καὶ ἐξανθήματα, τρίχας τε ῥεούσας ἐπέχει· μίγνυται δὲ καὶ λιπαραῖς, ὥσπερ καὶ τὸ ἐκ τῶν φύλλων αὐτῆς σκευαζόμενον ἔλαιον. καὶ τὸ τῶν φύλλων δὲ ἀφέψημα, εἴς τε τὰ ἐγκαθίσματα ἁρμόζει, καὶ πρὸς τὰ χαλαρὰ, καὶ ἀσυμπώρωτα ἄρθρα καὶ πρὸς ἀσυμπώρωτα κατεαγότα, ὠφελίμως

ὠφελίμως καταντλεῖται, σμήχει δὲ καὶ ἀλφοὺς, καὶ πρὸς ὦτα πυορροοῦντα ἐγχυματίζεται, καὶ μελασμοῖς τριχῶν, καὶ ὁ ἐξ αὐτῶν δὲ χυλὸς τὰ αὐτὰ ποιεῖ· αὐτὰ δὲ τὰ φύλλα λεῖα καταπλασσόμενα ἐν ὕδατι, ἁρμόζει τοῖς καθύγροις τῶν ἑλκῶν, καὶ ῥευματιζομένοις τόποις πᾶσι καὶ κοιλιακοῖς· σὺν ἐλαίου ὀμφακίνου γὰρ ἢ ῥοδίνου ὀλίγου καὶ οἴνου μεμιγμένου, καὶ ἕρπησι, καὶ ἐρυσιπέλασι, διδύμων τε φλεγμοναῖς καὶ ἐπινυκτίσι καὶ κονδυλώμασι· ξηρὰ δὲ λεῖα παρωνυχίαις καὶ πτερυγίοις, χρησίμως καταπλάττεται, καὶ καθύγροις μασχάλαις καὶ μηροῖς, καὶ ἐπὶ καρδιακῶν στέλλει τοὺς ἱδρῶτας· κεκαυμένα δὲ καὶ ὠμὰ μετὰ κηρωτῆς, πυρίκαυτα καὶ πτερύγια καὶ παρωνυχίας ἰᾶται. χυλίζεται δὲ τὰ φύλλα παραχεομένου οἴνου παλαιοῦ, ἢ ὕδατος ὀμβρείου, καὶ ἐκθλίβεται. ἡ δὲ χρῆσις αὐτοῦ προσφάτου ὄντος, ξηρανθεὶς γὰρ εὐρωτιᾷ καὶ ἀδυνατεῖ.

vitiliginem emendat, purulentis auribus infunditur, & capillos denigrat. Succus eadem efficit. Trita folia, & ex aqua illita humidis vlceribus, & partibus omnibus fluxione laborantibus, cœliaciſque proſunt: & admiſto omphacino oleo, aut exiguo roſaceo cum vino, ad vlcera ſerpentia, ignem ſacrum, teſtium inflammationes, epinyctidas, & condylomata. Arentium foliorum farina vtiliter inſpargitur paronychiis, pterygiis, & contra alarum feminúmque perfuſiones: cardiacorum ſudores cohibet. Folia cruda ſeu cremata cum cerato, ambuſtis, paronychiis, pterygiiſque medentur. Exprimitur foliis ſuccus adfuſo vetere vino aut aqua cæleſti, cuius recentis vſus eſt: nam exiccatus planè cariem ſentit, & vires amittit.

Περὶ Μυρτιδάνου. Κεφ. ρνζ΄.

Τὸ δὲ μυρτίδανον λεγόμενον ἐπίφυσίς ἐστιν ἀνώμαλος καὶ ὀχθώδης καὶ ὁμόχροος· οἱονεὶ χεῖρες περὶ τὸ τῆς μυρσίνης πρέμνον· στύφει δὲ μᾶλλον τῆς μυρσίνης. ἀποτίθεται δὲ κοπὲν καὶ μιγὲν οἴνῳ αὐστηρῷ ἀναπλασθέν τε εἰς τροχίσκους, ἐν σκιᾷ ξηραίνεται, δραστικώτερον δέ ἐστι τε καρποῦ καὶ τοῦ φύλλου, μιγνύ-

Myrtidanum. Cap. CLVII.

Myrtidanũ dicitur, adnatum inæquabile verrucoſum intumeſcensq;, & concolor: quod perinde quaſi manꝰ myrti caudicé amplectitur. Magis q̃ myrtus adſtringit: tuſum addito auſtero vino reponit, coactũq; in paſtillos ſiccatur in vmbra: multò efficaciꝰ, & folio & ſemine, cera-

cerato,peſsis,inſeſsionibus,cataplaſmatis admiſtum, vbi adſtringendum aliquid eſt.

Ceraſia. Cap. CLVIII.

Ceraſia aluo vtilia ſunt,ſi viridia ſumantur:eadem ſiccata, illã ſiſtunt.Gummi quod ceraſi reſudarunt, cum vino diluto tuſsi vetuſtę medetur:colorem cõmendat,viſum exacuit, appetentiã inuitat: idem ex vino potum calculoſis auxilio eſt.

Siliquæ. Cap. CLIX.

Siliquæ recentes ſtomacho aduerſantur, aluum ſoluunt: eædem ſiccatæ ſiſtunt, ſtomachóq; vtiliores fiunt. Vrinam ciunt, ſed præcipuè,quæ vinaceis condiuntur.

Mala. Cap. CLX.

Folia, flores, & germina cũ omnis mali, tum maximè cotoneæ adſtringunt. Pomis acerbis adſtringendi vis ineſt: maturis verò longè ſecus. Ex iis verna bilem gignunt, neruos omneis lædunt, inflationes pariunt.

Cotonea mala.
Cap. CLXI.

Cotonea ſtomacho vtilia,vrinã cient: verùm toſta mitiora habẽtur.Proſunt cœliacis, dyſentericis,purulenta extuſsiẽtib⁹,cholericis,præſertim cruda.

Macę-

μιγνύμενον κηρωτῇ καὶ πεσσοῖς, ἐγκαθίσμασί τε καὶ καταπλάσμασι τοῖς στύψεως δεομένοις.

Περὶ Κερασίων. Κεφ. ρνη΄.

Κεράσια καὶ αὐτὰ μὲν χλωρὰ λαμβανόμενα, εὐκοίλια τυγχάνει. ξηρὰ δὲ ἵστησι κοιλίαν. τὸ δὲ κόμμι τῶν κερασίων, βῆχα χρονίαν ἰᾶται λαμβανόμενον μετὰ κράματος, εὔχροιάν τε καὶ ὀξυδορκίαν καὶ ὄρεξιν ποιεῖ· ὠφελεῖ δὲ καὶ λιθιῶντας μετ᾽ οἴνου πινόμενον.

Περὶ Κερατίων. Κεφ. ρνθ΄.

Κεράτια χλωρὰ μὲν λαμβανόμενα, κακοστόμαχα τυγχάνει, καὶ κοιλίας λυτικά, ξηρανθέντα δὲ ἵστησι κοιλίαν, εὐστομαχώτερα ὄντα καὶ διουρητικά· μάλιστα δὲ τὰ ἐκ τῶν στεμφύλλων συντεθέμενα.

Περὶ Μηλέας. Κεφ. ρξ΄.

Μηλέας πάσης τὰ φύλλα καὶ τὰ ἄνθη καὶ οἱ βλαστοί, στύφουσι. μάλιστα δὲ τῆς κυδωνίας, καὶ ὁ καρπὸς ἔνωμος μὲν στυπτικὸς καθέστηκε· πεπανθεὶς δὲ οὐχ ὁμοίως. τὰ δὲ τοῦ ἔαρος ἀκμάζοντα μῆλα χολοποιά, ἄθετα τῷ νευρώδει παντὶ ἐμπνευματοῦντα.

Περὶ Κυδωνίων μήλων.
Κεφ. ρξα΄.

Τὰ δὲ κυδώνια, εὐστόμαχα, οὐρητικά, ὀπτηθέντα δὲ προσηνέστερα γίνεται, χρήσιμα κοιλιακοῖς καὶ τοῖς δυσεντερικοῖς καὶ ἐμπυικοῖς καὶ χολερικοῖς μάλιστα ὠμά.

καὶ τὰ

καὶ τὸ ἀπόβρεγμα δὲ αὐτῶν ἁρμόζει τοῖς στόμαχον ἢ κοιλίαν ῥευματιζομένοις ἐν ποτῷ. ὁ δὲ χυλὸς ὠμῶν αὐτῶν λαμβανόμενος, ὀρθοπνοικοῖς ὠφελεῖ. τὸ δὲ ἀφέψημα, πρόσκλυσμα δακτυλίου, καὶ ὑστέρας προπτώσει. τὰ δὲ ἐκ τοῦ μέλιτος, καὶ αὐτὰ μὲν οὐρητικά. τὸ δὲ μέλι τὴν αὐτῶν ἀναλαμβάνεται δύναμιν· στεγνωτικὸν γὰρ καὶ στυπτικὸν γίνεται. τὰ δὲ σὺν τῷ μέλιτι ἑψόμενα, εὐστόμαχα μὲν καὶ εὔστομα, ἧττον δὲ στεγνωτικά. τὰ δὲ ὠμὰ καταπλάσμασι μίγνυται πρὸς στέγνωσιν κοιλίας, στομάχου ἀνατροπὴν, καὶ πύρωσιν, μαστοὺς φλεγμαίνοντας, σπλῆνας ἐσκιρρωμένους, κονδυλώματα. Γίνεται δὲ καὶ οἶνος ἐξ αὐτῶν κοπτομένων καὶ ἐκθλιβομένων, πρὸς διαμονὴν μιγνυμένου τοῖς ις'. ξέσταις τοῦ χυλοῦ μέλιτος ξέστου ἑνὸς ἐπεὶ ὀξίζει· ἁρμόζει δὲ πρὸς τὰ εἰρημένα πάντα, καὶ* χρῖσμα δὲ ἐξ αὐτῶν σκευάζεται τὸ καλούμενον μήλινον, ᾧ χρώμεθα ὁπόταν στυπτικοῦ ἐλαίου δεηθῶμεν. ἐκλέγεσθαι δὲ δεῖ τὰ ἀληθινὰ, μικρὰ δέ ἐστι καὶ περιφερῆ καὶ εὐώδη ταῦτα. τὰ δὲ λεγόμενα στρουθία καὶ μεγάλα ἧττόν ἐστι εὔχρηστα. τὰ δὲ ἄνθη αὐτῶν ξηρά τε καὶ χλωρὰ καταπλάσμασιν εὔθετα, πρὸς τὰ στύψεως χρείαν ἔχοντα,

καὶ

Maceratorũ liquor commodè in ſtomachi aut ventris fluxionibus,potui datur.Succus crudorum aſſumptus orthopnoicis ſalutaris eſt. Decocto fouentur vuluæ,& ſedes ſi procidant.Cotonea quę melle condiuntur, vrinam mouent: mel autem ſibi conſtringentem illorum vim,& inſpiſſantem adſciſcit.Quæ cũ melle coquuntur, ſtomacho atque ori gratiora ſunt,ſed minus inſpiſſant. Cruda cataplaſmatis adiiciuntur, ad cohibendam aluum, aut ſi ſtomachus æſtuet, aut in vomitiones effundatur, ad mammarum inflammationes, præduros lienes, & condylomata.Fit vinũ ex ipſis tuſis expreſsiſque: ſed quò perduret, quindecim ſextariis ſucci vnus mellis adiungitur, alioquin in acorem degenerat.Prodeſt ad omnia,quę dicta ſunt.Fit & oleum ex iis, quod melinum vocauimus, quo vtimur quoties adſtringẽti oleo eſt opus.Eligi oportet vera,quæ ſanè ſunt rotunda, parua & odorata: quæ verò Struthia dicuntur,magna quidẽ ſunt,ſed mins vtilia. Flos & viridis & ſiccus cataplaſmatis imponitnr: iis cõueniẽs, quę adſtrictionem deſiderant,

inflam-

inflammationibus oculorum, reiectionibúſq; ſanguinis. Cõtra citam aluum, & menſium impetus, in vino bibitur.

Melimela. Cap. CLXII.

Melimela ventrẽ molliunt, & ab eo animalia expellũt, ſtomacho negotiũ exhibẽt, Æſtuoſa. Ea multis dulcia mala vocãtur.

Epirotica mala. Cap. CLXIII.

Epirotica mala, quæ Latinè orbiculata dicũtur, ſtomacho vtilia: ſiſtunt aluum, vrinas euocant, malis tamen cotoneis inualidiora.

Sylueſtria mala. Cap. CLXIIII.

Sylueſtria mala ſimilia ſunt vernis, & adſtringunt. Sanè in hunc vſum immatura omnia opus ſunt.

Perſica mala. Cap. CLXV.

Perſica poma matura tam ſtomacho, quàm ventri vtilia ſunt. Acerba aluum cohibent, ſed ſicca vehementius. Decoctum è ſiccis alui ſtomachíq; fluxiones ſiſtit.

Armeniaca. Cap. CLXVI.

Armeniaca, quæ à Latinis præcocia dicuntur, minora ſunt ſupradictis, & ſtomacho vtiliora.

καὶ πρὸς ὀφθαλμῶν φλεγμονάς, καὶ πρὸς αἵματος ἀναγωγάς, κοιλίας τε ῥεῦσιν καὶ ἐμμηνίων φορὰν ἁρμόζει μετ᾽ οἴνου πινόμενα.

Περὶ Μελιμήλων. Κεφ. ρξβ´.

Τὰ δὲ μελίμηλα κοιλίαν μαλάσσει, καὶ θηρία ἐκτινάσσει, κακοστόμαχα, καύσου ποιητικά. καλεῖται δὲ ὑπό τινων γλυκύμηλα.

Περὶ Ἠπειρωτικῶν μήλων. Κεφ. ρξγ´.

Τὰ δὲ ἠπειρωτικὰ λεγόμενα, ῥωμαϊστὶ δὲ ὀρβικουλάτα, εὐστόμαχα, κοιλίας σταλτικά, οὔρων προκλητικά, ἀτονώτερα μέντοι τῶν κυδωνίων ἐστίν.

Περὶ ἀγριομήλων. Κεφ. ρξδ´.

Τὰ δὲ ἄγρια ἔοικε τοῖς ἐαρινοῖς στύφοντα· δεῖ δὲ πρὸς τὰ στύψεως χρήζοντα, ἀωροτέροις ἅπασι χρῆσθαι.

Περὶ Περσικῶν μήλων. Κεφ. ρξε´.

Τὰ δὲ περσικὰ μῆλα εὐστόμαχα, εὐκοίλια τὰ πέπειρα. τὰ δὲ ἔνωμα, στεγνωτικὰ κοιλίας, ξηρανθέντα δὲ, καὶ στεγνωτικώτερα γίνονται. καὶ τὸ ἀφέψημα δὲ αὐτῶν ξηρῶν λαμβανόμενον, στόμαχον καὶ κοιλίαν ῥευματιζομένην ἵστησιν.

Περὶ Ἀρμενιακῶν. Κεφ. ρξς´.

Τὰ δὲ μικρότερα καλούμενα δὲ ἀρμενιακά, ῥωμαϊστὶ δὲ πραικόκια, εὐστομαχώτερα τῶν προειρημένων εἰσίν.

Medica

Περὶ Μη-

Περὶ Μηδικῶν. Κεφ. ρξζ΄.

Τὰ δὲ μηδικὰ λεγόμενα ἢ περσικὰ ἢ κεδρόμηλα, ῥωμαϊστὶ δὲ κίτρια, πᾶσι γνώριμα· φυτὸν γάρ ἐστι καρποφορεῖον δι' ὅλου τοῦ ἔτους ἐπαλλήλως. αὐτὸ δὲ τὸ μῆλον ἐπίμηκες, ἐρρυτιδωμένον, χρυσίζον τῇ χρόᾳ, εὐῶδες μετὰ βάρους, σπέρμα ἔχον ἀπίῳ ἐοικός. Δύναμιν δὲ ἔχει ποθὲν ἐν οἴνῳ, ἀντιπράττειν θανασίμοις, κοιλίαν τε ὑπάγειν, διάκλυσμά τέ ἐστι πρὸς εὐωδίαν στόματος τὸ ἀφέψημα καὶ ὁ χυλὸς αὐτοῦ· βιβρώσκεται δὲ μάλιστα ὑπὸ γυναικῶν πρὸς τὴν κίσσαν· φυλάττειν δὲ καὶ ἱμάτια δοκεῖ, ἄβρωτα ἐντιθέμενα κιβωτίοις.

Περὶ ἀπίου. Κεφ. ρξη΄.

Ἀπίου δὲ πολλὰ εἴδη, πᾶσαι δὲ στύφουσιν· ὅθεν εἰς τὰ ἀποκρουστικὰ καταπλάσματα ἁρμόζουσι. τὸ δὲ ἀφέψημα αὐτῶν ξηρανθεισῶν, καὶ αὐταὶ λαμβανόμεναι ὠμαὶ, κοιλίαν ἱστᾶσι· βλάπτουσι δὲ ἐσθιόμεναι τοὺς νήστεις.

Περὶ Ἀχράδος. Κεφ. ρξθ΄.

Ἡ δὲ ἀχρὰς εἶδός ἐστιν ἀγρίου ἀπίου, βραδέως πεπαινομένη. Δύναμιν δὲ ἔχει, στυπτικωτέραν ἀπίου· ὅθεν πρὸς τὰ αὐτὰ ἁρμόζει. στύφει δὲ καὶ τὰ φύλλα αὐτῆς. ἡ δὲ ἐκ τοῦ ξύλου αὐτῶν τέφρα, βοηθεῖ ἐναργῶς τοῖς ὑπὸ μυκήτων πνιγομένοις.

φασὶ

Medica mala. Ca. CLXVII.

Medica mala Perſicáue aut cedromela, quæ Latini citria vocant, nemini non cognita. Arbor ipſa omnibus anni temporibus pomifera, aliis deciduis, aliis ſubnaſcentibus. Malum oblongum eſt, rugoſum, colore aurum imitans, cum grauitate odoratum, ſemen habet pyri. Id in vino potum venenis reſiſtit, aluum mouet, oris ſuauitatem commẽdat, decocto eius colluto, aut ſucco: eſtur in malacia mulieribus: veſtiariis impoſitum ab eroſionis vitio veſtes vindicare exiſtimatur.

Pyra. Cap. CLXVIII.

Pyrorum multa genera, quæ tamẽ omnia adſtringunt: proinde adduntur conuenienter in repellẽtia cataplaſmata. Decoctum è ſiccis & cruda ipſa aluum ſiſtunt: ieiunos eſitata lædunt.

Achras. Cap. CLXIX.

ACHRAS pyraſtri genus eſt, quod tardiſsimè ematureſcit. Vim pyro adſtringentiorem habet, & ad eadem conuenit: ſtringunt etiam eius folia. Ligni pyrorum cinis efficaciter his auxiliatur, quos fungi ſtrangulant.

Aiunt

Aiunt fungos, ſi ſylueſtria pyra cum eis coquantur, innoxios fieri.

Meſpilus. Cap. CLXX.

Meſpilus, quæ à nonnullis aronia vocatur, ſpinoſa arbor eſt, folio pyxacanthæ: fert pomum ſuaue, exiguo malo non diſsimile, tribus intus oſsiculis: qua ex cauſa id nonnulli tricoccon appellauere. Tarde matureſcit, eſu adſtringit, ſtomacho gratum eſt, aluumque ſupprimit.

Altera meſpilus. Cap. CLXXI.

Alterũ meſpili genus in Italia naſcitur, quod aliqui ſetanium, alij epimelida vocant. Arbor foliis mali, ſed minoribus: pomum fert rotundum eſui aptum, vmbilico latiore: quod adſtringit, ſeróque matureſcit.

Lotus arbor. Cap. CLXXII.

Lotus arbor eſt vaſtę magnitudinis, ferẽs baccã pipere maiorẽ, dulcẽ, cibis gratã, ſtomacho facilẽ. Aluũ ſiſtit baccis. Ramẽtorũ ligni decoctũ ſiue potu, ſiue infuſione dyſentericis ac fœminis fluxione vuluæ laborãtibus, auxilio eſt: rufat capillos, citam aluum cohibet.

Cornus.

φασὶ δέ τινες ὅτι κἂν συνεψήσῃ τις ἀχράδας μύκησιν, ἀβλαβεῖς αὐτοὺς γίνεσθαι.

Περὶ Μεσπίλων. Κεφ. ρό.

Μέσπιλον τὸ δένδρον, ὃ παρ' ἐνίοις ἀρωνία καλεῖται, ἀκανθῶδες ἐστὶν, ὅμοιον τοῖς φύλλοις πυξακάνθῃ, καρπὸν φέρον μικρῷ μήλῳ ὅμοιον ἡδὺν, ἔχοντα τρία ὀστάρια ἔνδοθεν, ἀφ' ὧν καὶ τρίκοκκον τινὲς αὐτὸ ὀνομάζουσι. βραδέως πεπαινόμενον, στύφει δὲ βιβρωσκόμενον, εὐστόμαχόν τε ἐστὶ καὶ κοιλίας στεγνωτικόν.

Περὶ ἑτέρου μεσπίλου. Κεφ. ροά.

Μεσπίλου δὲ καὶ ἕτερόν ἐστιν εἶδος ἐν Ἰταλίᾳ γινόμενον. ὃ ἔνιοι ἐπιμηλίδα καλοῦσιν. οἱ δὲ, σητάνιον ὀνομάζουσι. δένδρον ἐστὶ μήλῳ ἐμφερὲς τοῖς φύλλοις ὅτι μικρότερον. ἔχει δὲ καρπὸν καὶ τοῦτο στρογγύλον, βρώσιμον, πλατὺν ἔχοντα τὸν πυθμένα, ὑπόστυφοντα, πεπαινόμενον βραδέως.

Περὶ Λωτοῦ. Κεφ. ροβ.

Λωτὸς τὸ δένδρον, φυτόν ἐστιν εὐμέγεθες, καρπὸν δὲ φέρει μείζονα πεπέρεως γλυκὺν, βρώσιμον * εὐστόμαχον, κοιλίας στεγνωτικόν. τῶν δὲ ῥινισμάτων τοῦ ξύλου τὸ ἀφέψημα πινόμενον καὶ ἐγκλυζόμενον, βοηθεῖ δυσεντερικοῖς καὶ γυναιξὶ ῥοϊκαῖς. ξανθίζει δὲ καὶ τρίχας, καὶ ἐπέχει γαστέρα ῥέουσαν.

Περὶ

Περὶ κρανίας. Κεφ. ρογʹ.

Κρανία δένδρον ἐστὶν ἁδρὸν, καρπὸν φέρον ὡς ἐλαίας, ἐπιμήκη, χλωρὸν τὸ πρῶτον, πεπαινόμενον δὲ ξανθὸν, ἢ κηροειδῆ, ἐδώδιμον, στύφοντα, ἁρμόζοντα πρὸς κοιλίας ῥύσιν καὶ δυσεντερείας, συντιθέμενον καὶ εἰς ἕψημα, καὶ εἰς βρῶσιν, καὶ ἁλμεύεται ὡς ἐλαία. ὁ δὲ τῶν χλωρῶν φύλλων ἰχὼρ καιόμενον, ἁρμόζει πρὸς λειχῆνας καταχριόμενος.

Περὶ Οὔων. Κεφ. ροδʹ.

Οὖα τὰ μηλίζοντα καὶ μήπω πέπειρα τμηθέντα καὶ ξηρανθέντα ἐν ἡλίῳ, σταλτικὰ γίνεται κοιλίας ἐσθιόμενα, καὶ τὸ ἐξ αὐτῶν δὲ ἄλευρον ἀλεσθέντων ἀντὶ ἀλφίτων λαμβανόμενον, καὶ τὸ ἀφέψημα δὲ αὐτῶν πινόμενον, τὸ αὐτὸ ποιεῖ.

Περὶ Κοκκυμηλέας. Κεφ. ροέ.

Κοκκυμηλέα δένδρον ἐστὶ γνώριμον, οὗ ὁ καρπὸς ἐδώδιμος, κακοστόμαχος, κοιλίας μαλακτικός. τῶν δὲ συριακῶν καὶ μάλιστα τῶν ἐν Δαμασκῷ γινομένων ὁ καρπὸς ξηρανθεὶς, εὐστόμαχος καὶ κοιλίας σταλτικός. τὸ δὲ ἀφέψημα τῶν φύλλων ἐν οἴνῳ σκευαζόμενον καὶ ἀναγαργαριζόμενον, κιονίδα καὶ οὖλα καὶ παρίσθμια ῥευματιζόμενα στέλλει. τὰ αὐτὰ δὲ παρέχει καὶ ὁ τῶν ἀγριοκοκκυμήλων καρ-

Cornus. Cap. CLXXIII.

Cornus dura arbor eſt, baccas ferẽs oliuæ modo oblongas, quę primũ virent, dein per maturitatẽ rubeſcunt, aut cerę colorem repræſentant. In cibo adſtringũt, profluuio alui atq; dyſenteriæ ſalutares, ſiue in edulio, ſiue in defruto exhibeãtur. Muria, vt oliuæ, condiũtur. Sanies, quam virẽtia folia torrendo reſudarunt, impetigini conuenienter illinitur.

Sorba. CAp. CLXXIIII.

Sorba colorem luteum referentia prius, quàm matureſcant, diſſecta & ſole ſiccata manduntur, aut aluum ſiſtant. Eadem eſt functio molitorum farinæ, ſi polentæ loco ſumatur: quod & decoctum eorum in potu præſtat.

Prunus. Cap. CLXXV.

Prunus arbor eſt nota, cuius pomum eſtur: ſed ſtomachum male habet, aluum mollit. Syriaca pruna, & præcipuè, quæ Damaſci gignuntur, exiccata ſtomacho vtilia ſunt, aluum adſtringunt. Folia pruni in vino decocta collutione, & gargarizatu vuam, gingiuas, & tonſillas fluxione laboranteis reprimunt. Prętant idem ſylueſtriũ pruno

prunorum baccæ, poſt maturitatem exiccatæ: cum ſapa verò decoctę, ſtomacho vtiliores redduntur, aluúmq; magis adſtringunt. Gummi prunorũ agglutinat, potũ in vino calculos cõminuit: ex aceto quoq; illitum, lichenas infantiũ ſanat.

καρπὸς, πέπειρος ξηρανθεὶς· ἑψηθεὶς δὲ μετὰ ἑψήματος, εὐστομαχώτερος καὶ σταλτικώτερος κοιλίας γίνεται. τὸ δὲ κόμμι τῆς κοκκυμηλέας, ἐστὶ κολλητικὸν, λίθων θρυπτικὸν πινόμενον σὺν οἴνῳ· σὺν ὄξει δὲ ἐπιχριόμενον, λειχῆνας τὰς ἐπὶ παιδίων θεραπεύει.

Arbutus. Cap. CLXXVI.

Arbutꝰ ſiue vnedo arbor eſt cotoneæ malo non diſsimilis, tenui folio: cuius fructus pruni manitudinem implet, nullo intus nucleo: huic menæcylo cognomẽ eſt: maturus aut flauet, aut rubeſcit, in eſu aceroſus, ſtomacho aduerſatur, capitíſq; dolorem mouet.

Περὶ Κομάρου. Κεφ. ρος΄.

Κόμαρος δένδρον ἐστὶ, παρόμοιον κυδωνίᾳ, λεπτόφυλλον, καρπὸν ἔχον ὡς κοκκυμήλου μέγεθος, ἀπύρηνον· μιμαίκυλα καλούμενον· πεπανθέντα δὲ ὑπόκιρρον ἢ ἐρυθρὸν, ἐσθιόμενον ἀχυρῶδες, κακοστόμαχον δὲ καὶ κεφαλαλγές.

Amygdalæ. Ca. CLXXVII.

Amyhdalæ amaræ radicum tritarum decoctum vitia cutis in facie corrigit: illitę nuces idẽ munus præſtant, menſes admotæ ciunt, capitis dolori auxiliãtur, illitæ fronti aut temporibus cum aceto vel roſaceo: epinyctidas ſanant ex vino, itẽ putreſcentia vlcera, & quæ ſerpunt, & morſus canum cum melle: earum autem eſu dolores finiuntur, aluum emolliunt, ſomnum faciunt, vrinam ciẽt, cõtra ſanguinis reiectiones cũ amylo aſſumuntur, renũ vitiis, & pulmonũ inflãmationibus

ex

Περὶ Αμυγδαλῆς. Κεφ. ροζ΄.

Αμυγδαλέας πικρᾶς ἡ ῥίζα ἀφεψηθεῖσα λεία, ἐφήλεις τὰς ἐν προσώπῳ ἀποκαθαίρει· καὶ αὐτὰ δὲ τὰ ἀμύγδαλα καταπλασθέντα, τὰ αὐτὰ ποιεῖ, προστιθέμενα δὲ ἄγει καταμήνια, καὶ κεφαλαλγίαις βοηθεῖ καταπλασθέντα μετώπῳ ἢ κροτάφοις μετ' ὄξους καὶ ῥοδίνου, καὶ πρὸς ἐπινυκτίδας σὺν οἴνῳ· πρὸς δὲ σηπεδόνας καὶ ἕρπητας καὶ κυνόδηκτα, σὺν μέλιτι· ἐσθιόμενα δὲ ἐστιν ἀνώδυνα, κοιλίας μαλακτικὰ, ὑπνωτικὰ, οὐρητικὰ, καὶ πρὸς αἵματος ἀναγωγὴν μετὰ ἀμύλου* λαμβανόμενα· πρὸς δὲ νεφριτικοῖς καὶ περιπνευμονικοῖς,

σὺν

σὺν ὕδατι πινόμενα ἢ ἐκλειχόμενα σὺν ῥητίνῃ τερεβινθίνῃ· δυσουροῦσι δὲ καὶ λιθιῶσι, σὺν γλυκεῖ βοηθεῖ, καὶ ἡπατικοῖς καὶ βηξὶ καὶ κώλου ἐμπνευματώσεσι, σὺν μέλιτι καὶ γάλακτι ἐκλειχόμενα, καρύου ποντικοῦ τὸ μέγεθος. ἔστι δὲ καὶ ἀμέθυστα προσλαμβανόμενα ὅσον ε. ἢ ζ. κτείνει δὲ καὶ ἀλώπεκας βρωθέντα σύν τινι. τὸ δὲ κόμμι αὐτῆς στύφει καὶ θερμαίνει, καὶ βοηθεῖ πρὸς αἵματος ἀναγωγὴν πινόμενον· σὺν ὄξει δὲ ἐπιχριόμενα, λειχῆνας ἐπιπολαίους αἴρει· ἰᾶται καὶ βῆχα χρόνιον μετὰ κράματος ποθὲν, λιθιῶντας δὲ ὠφελεῖ σὺν γλυκεῖ πινόμενον. ἡ δὲ γλυκεῖα καὶ ἐδώδιμος ἀμυγδαλὴ, κατὰ πολὺ ἥσσων ἐστὶν ὡς πρὸς ἐνέργειαν τῆς πικρᾶς. καὶ αὐτὴ δὲ λεπτυντικὴ, οὐρητικὴ, βρωθέντα δὲ σὺν τῷ λέπει τὰ ἀμύγδαλα χλωρὰ, στομάχου πλάδον ἀποκαθίστησι.

Περὶ Πιστακίων. Κεφ. ροη.

Πιστάκια τὰ μὲν γινόμενα ἐν Συρίᾳ, ὅμοια στροβίλοις, εὐστόμαχα, ἐσθιόμενα δὲ καὶ πινόμενα ἐν οἴνῳ λεῖα, ἑρπετοδήκτοις βοηθεῖ.

Περὶ Καρύων βασιλικῶν. Κεφ. ροθʹ.

Κάρυα βασιλικὰ, ἃ ἔνιοι περσικὰ καλοῦσιν, ἐσθιόμενα, δύσπεπτα, κακοστόμαχα, χολοποιὰ, κεφαλαλγῆ, βήσσουσιν ἐναντία.

χρή-

ex aqua in potu aut eclegmate cũ reſina terebinthina dantur: calculoſis difficiliq; vrinæ in paſſo auxiliantur, & illinctu cum melle, & lacte hepaticis, tuſsi, & inflationibus coli, nucis auellanæ magnitudine: quinis ſepteníſve pręſumptis ebrietaté non ſentiunt potores: vulpes ſi cum quadam eſca eas vorauerint, emoriuntur. Gummi eius calfacit, & adſtringit: reiicientibus ſanguiné, potum auxilio eſt: impetigines quæ ſummű corpus occuparunt illitum cũ aceto tollit: tuſsi vetuſtæ cũ diluto vino potű medetur: calculoſis cũ paſſo bibere prodeſt. E nucibꝰ gręcis, dulces cibo idoneæ, ſed multò minus valét in remediis, q̃ amarę: attamé extenuant, vriná ciunt, recetiű cum ſuo putamine, humida ſtomachi vitia emédant.

Piſtacia. Cap. CLXXVIII.

Piſtacia, quę cõſtat in Syria gigni, pineis nucibus ſimilia ſunt, & ſtomacho amica: trita cũ vino cõtra ſerpẽtium ictus proſunt, ſiue edantur, ſiue bibãtur.

Nux iuglans. Ca. CLXXIX.

Nuces iuglãdes, quas nõnulli Perſicas vocant, ſunt difficiles cõcoctu, ſtomacho inutiles, bilioſæ, capitis doloré inferétes,

tuſsientibus inimicæ, & vomituris ieiunis in cibo aptę. Cum ruta verò & ficis præſumptæ, & à ſummo cibo, venenis reſiſtunt: nec minus ſi à veneni hauſtu comedantur: largius eſitatæ tineas latas pellunt, illinuntur mammarum inflammationi, abſceſsibus, luxatíſque, cum mellis exiguo, & ruta: cum cepa autem, ſale & melle, canis hominíſque morſui proficiunt: tormina, cum calyce ſuo peruſtæ, & vmbilico admotæ, ſedant. Putamen combuſtum tritúmque in oleo, & vino, infantium capite perunćto, nutrit capillum, alopecias replet. Siſtunt méſes nuclei vſti, ſi triti ex vino admoueantur: iidem è veteribus, illiti carbunculis, gangrænis, & ægilopiis medentur: alopeciis commanducati, & impoſiti præſenti ſunt remedio. Nucibus tuſis oleum exprimitur. Recentes ſtomacho innocentiores ſunt, vtpote ſuauiores: itaque allio miſtæ eximunt acrimoniam. Liuores in corpore illitu tollunt.

Nuces auellanæ.

Cap. CLXXX.

Nuces auellanæ, quas & leptocarya vocant, ſtomacho infe-

ſtæ

χρήσιμα δὲ βιβρωσκόμενα πρὸς ἐμέτους νῆστι· καὶ θανασίμων φαρμάκων ἐστὶν ἀντιφάρμακα, *προβρωθέντα καὶ ἐπιβρωθέντα, σὺν ἰσχάσι καὶ πηγάνῳ· πλείονα δὲ βρωθέντα, πλατεῖαν ἕλμινθα ἐκτινάσσει, ἐπιπλάσσεται δὲ καὶ μαστοῖς φλεγμαίνουσι, καὶ ἀποστήμασι καὶ στρέμμασι σὺν ὀλίγῳ μέλιτι καὶ πηγάνῳ· μετὰ δὲ κρομμύου καὶ ἁλὸς καὶ μέλιτος, πρὸς κυνόδηκτα καὶ ἀνθρωπόδηκτα ποιεῖ· πυρωθέντα δὲ σὺν τῷ κελύφει, καὶ ἐπιτεθέντα τῷ ὀμφαλῷ, στρόφους παύει. τὸ δὲ λέπυρον καὲν καὶ τριφθὲν ἐν οἴνῳ καὶ ἐλαίῳ, παιδίοις ἐπιχρισθὲν, καλλίτριχόν ἐστι, καὶ ἀλωπεκίας δασύνει. καὶ ἔμμηνα ἵστησι τὸ ἐντὸς αὐτοῦ λεῖον καὲν καὶ σὺν οἴνῳ προστιθέμενον· τῶν δὲ παλαιῶν καρύων τὰ ἐντὸς καταπλασθέντα, γαγγραίνας καὶ ἄνθρακας καὶ αἰγίλωπας καὶ ἀλωπεκίας μασσηθέντα καὶ ἐπιτεθέντα ἰᾶται συντόμως. *γίνεται δὲ καὶ ἔλαιον ἐξ αὐτῶν κοπτομένων, καὶ ἐκθλιβομένων. τὰ δὲ χλωρὰ, ἧττον κακοστόμαχα, γλυκύτερα ὄντα· διὸ καὶ τοῖς σκορόδοις μίγνυται πρὸς τὸ τὴν δριμύτητα περιαιρεῖν. αἴρει δὲ καὶ πελιώματα καταπλασθέντα.

Περὶ Καρύων ποντικῶν.

Κεφ. ρπ΄.

Τὰ δὲ ποντικὰ ἃ ἔνιοι λεπτοκάρυα καλοῦσιν, ἐστὶ κακοστόμα-

χα,

χα, καὶ αὐτὰ δὲ λεῖα σὺν μελικράτῳ πινόμενα, βῆχα παλαιὰν ἰᾶται· φρυκτὰ δὲ ἐσθιόμενα σὺν πεπέρει ὀλίγῳ κατάῤῥουν πεπαίνει· ὅλα δὲ καέντα λεῖα μετὰ ἀξουγγίου ἢ στέατος ἀρκείου, ἀλωπεκίας ἐπιχρισθέντα δασύνει. φασὶ δὲ ἔνιοι ὅτι μετὰ ἐλαίου τὰ κελύφη κεκαυμένα καὶ λειοτριβηθέντα, γλαυκοφθάλμων παιδίων μελαίνει τὰς κόρας ἐπιβρεχομένου τοῦ βρέγματος.

Περὶ Μορέας. Κεφ. ρπά.

Μορέα ἡ συκαμινέα, δένδρον ἐστὶ γνώριμον, ἧς ὁ καρπὸς λυτικὸς κοιλίας, εὔφθαρτος, κακοστόμαχος. καὶ ὁ ἐξ* αὐτῆς δὲ χυλὸς τὰ αὐτὰ δρᾷ· ἑψηθεὶς δὲ ἐν χαλκώματι ἢ ἡλιασθεὶς, στυπτικώτερος γίνεται. μιγέντος δὲ αὐτῷ ὀλίγου μέλιτος, ποιεῖ πρὸς ῥεύματα καὶ νομὰς καὶ παρίσθμια φλεγμαίνοντα. ἐπιτείνεται δὲ καὶ ἡ δύναμις αὐτοῦ παραμιγείσης στυπτηρίας σχιστῆς καὶ κηκίδος καὶ σμύρνης καὶ κρόκου· ἔτι δὲ καὶ μυρίκης καρποῦ καὶ ἴριδος, καὶ λιβανωτοῦ. τὰ δὲ ἄωρα μόρα ξηρὰ κοπέντα, ἀντὶ ῥοὸς τοῖς ὄψοις μίγνυται, καὶ κοιλιακοὺς ὀνίνησιν. ὁ τῆς ῥίζης δὲ φλοιὸς συνεψηθεὶς ὕδατι καὶ ποθεὶς κοιλίαν λύει, καὶ πλατεῖαν ἕλμινθα ἐκτινάσσει, καὶ τοῖς ἀκόνιτον πεπωκόσι βοηθεῖ. τὰ δὲ φύλλα λεῖα σὺν ἐλαίῳ καταπλασθέντα, πυρίκαυτα ἰᾶται,

ſtæ ſunt:ipſæ tamen tritæ, & in aqua mulſa potæ, tuſsi veteri medentur: toſtæ & cũ exiguo piperis potę deſtillationẽ concoquunt,crematarũ cinis cum axungia aut adipe vrſi perunctus alopeciis capillum reddit. Aiunt nonnulli vſta earũ putamina,& in cineris ſpeciem redacta,cum oleo, cæſiorũ oculorũ pupillas infantibus denigrare,perfuſo ſincipite.

Morus. Cap. CLXXXI.

Morus arbor nota eſt, cuius fructus aluũ ſoluit, ſtomacho inutilis eſt,& facile corruptionẽ ſentit. Hoc idẽ præſtat mori ſuccus : decoctus autẽ æreo vaſe atque inſolatus,adſtrigentior redditur. Facit ad fluxiones,nomas, & tonſillarum inflãmationes,addito mellis exiguo.Sed inoleſcit vis eius,adiecto ſciſsili alumine, galla, croco, & myrra: item myricæ ſemine, iri, & thure. Immatura mori poma ſiccãtur,tuſáq; acinorũ rhois vice obſoniis miſcẽtur,vt cœliacos iuuẽt. Radicis cortex decoctus in aqua & potus aluum reſoluit,latas ventris tineas excutit, his quoque auxiliatur qui aconitum hauſerunt. Folia trita ex aceto illita, ambuſtis igni medentur,

tinguntque capillũ, vitiũ & fici nigræ frõdibus ſimul coctis in aqua cœleſti. Succus foliorum cyathi mẽſura potus cõtra phalangiorum morſus auxilio eſt. Feruefacti corticis & foliorũ iure dentes aptiſsimè in dolore colluuntur. Radix circiter meſſem inciſa, facto in ambitu ſcrobe, ſuccum emittit, qui poſtridie cõcretus inueniri ſolet. Is in dolore dentium efficax eſt: tubercula diſcutit, & aluum purgat.

Sycomorus. Ca. CLXXXII.

Sycomorũ aliqui etiã ſycaminũ, id eſt, morũ vocãt, cuius fructꝰ ſycomorũ etiã propter inefficacem guſtũ appellatur. Arbor eſt magna, fico ſimilis, frõdoſa, multo lacte abũdãs: foliis mori, pomũ ter aut quater anno fert, nõ ramis vt ficus, ſed caudice ipſo, caprifico nõ diſſimile, dulcius groſsis, ſine granis interioribꝰ: quod nõ matureſcit, niſi vngue aut ferro ſcalpatur. Naſcitur plurimũ in Caria, Rhodo, locíſq; nõ multi tritici feracibus: vbi prouẽtu fœcundo reſtibiliq; iuuamentum adfert, cũ annonæ caritas premit. Pomum aluo vtile eſt, ſed per quàm exilem præbet alimoniã. Stomacho aduerſatur.

Succus

ἑψηθέντα δὲ ἐν ὀμβρίῳ ὕδατι, σὺν ἀμπέλου καὶ συκῆς μελαίνης φύλλοις, βάπτει τρίχας. ὁ δὲ χυλὸς τῶν φύλλων, φαλαγγιοδήκτοις ἀρήγει, ποθεὶς κυάθου πλῆθος. τοῦ φλοιοῦ δὲ καὶ τῶν φύλλων τὸ ἀπόζεμα, διάκλυσμα εὔθετόν ἐστιν ὀδονταλγίαις. ὀπίζεται δὲ περὶ τῶν πυραμιτῶν τῆς ῥίζης περιορυχθείσης καὶ ἐγκοπείσης, εὑρίσκεται γὰρ τῇ ὑστεραίᾳ ἐπιπαγός τις ὃς πρός τε ὀδονταλγίας ποιεῖ· καὶ φύματα διαφορεῖ καὶ κοιλίαν καθαίρει.

Περὶ Συκομόρου. Κεφ. ρπβ΄.

Συκόμορον, ἔνιοι δὲ καὶ τοῦτο συκάμινον λέγουσι, καλεῖται δὲ καὶ ὁ ἀπ' αὐτῆς καρπὸς συκόμορον, διὰ τὸ ἄτονον τῆς γεύσεως. δένδρον δέ ἐστι μέγα, ὅμοιον τῇ συκῇ, πολύκομον σφόδρα, τοῖς φύλλοις ἐοικὸς μορέᾳ, φέρει δὲ καρπὸν τρὶς καὶ τετράκις τοῦ ἔτους, οὐκ ἀπὸ τῶν ἀκρεμόνων ὡς ἐπὶ τῆς συκῆς, ἀπὸ δὲ τοῦ στελέχους ὅμοιον ἐρινεῷ. γλυκύτερον ὀλύνθων, οὐκ ἔχοντα δὲ κεγχραμίδας· μὴ δὲ πεπαινόμενον δίχα τοῦ ἐπικνησθῆναι ὄνυχι ἢ σιδήρῳ. φύεται δὲ πλεῖστον ἐν Καρίᾳ καὶ Ῥόδῳ, καὶ ἐν τοῖς οὐ πολυπύροις τόποις· βοηθεῖ δὲ ἐν ταῖς σιτοδείαις, διὰ τὸ διηνεκὲς τοῦ καρποῦ. ἔστι δὲ εὐκοίλιος ὁ καρπὸς, ἄτροφος, κακοστόμαχος.

ὀπό-

ὀπίζεται δὲ τὸ δένδρον πρὶν καρποφορήσει νεαρὸν, τοῦ φλοιοῦ ἐξεπιπολῆς λίθῳ θλωμένου· βαθύτερον γὰρ θλασθεὶς, οὐδὲν ἀνίησι. συλλέγεται δὲ σπόγγῳ ἢ ἐρίῳ τὸ δάκρυον, καὶ ξηρανθὲν καὶ ἀναπλασθὲν ἐν ἀγγείῳ ὀστρακίνῳ ἀποτίθεται. Δύναμιν δὲ ἔχει ὁ ὀπὸς μαλακτικὴν, κολλητικὴν τραυμάτων, διαφορητικὴν τῶν δυσσήπτων, πίνεται δὲ καὶ συγχρίεται πρὸς ἑρπετῶν δήγματα καὶ ἐσκιρρωμένοις σπλῆνας, στομάχου τε ἀλγήματα καὶ φρικίας. ταχέως δὲ τερηδονίζεται ὁ ὀπός.

Succus primo vere tenera arbore, anteq̃ fructũ ferat, eximitur, lapidis ictu ſummo cortice deſquammato: ſi enim altiore plaga violetur cortex, nihil effluet. Spógia aut vellere lachryma excipitur, quæ ſiccata & in paſtillos coacta fictili vaſe reponit̃. Vis ſucci emollit, vulnera cóglutinat, diſcutit collectiones coctioni repugnãtes, bibitur etiá aut illinitur cótra ſerpentiũ morſus, duratos lienes, ſtomachi dolores & ꝑfrictiones. Celerrimè terediné ſentit.

Περὶ Σύκου ἐν κύπρῳ. Κεφ. ρπγ.

Γίνεται δὲ καὶ ἐν κύπρῳ εἴδει διαφέρον, πτελέα γὰρ οὖσα, συκαμίνῳ τὰ φύλλα ἔοικε, τὸν δὲ καρπὸν κατὰ τὸ μέγεθος κοκκυμήλων, καὶ γλυκύτερον, τὰ δὲ ἄλλα πάντα ὅμοια τοῖς προειρημένοις.

Ficus Cyprea. Cap. CLXXXIII.

Gignitur & in Cypro arbor genere diſtans, quæ cum ſit vlmus, prædita tamẽ eſt foliis ſycomori, fructu pruni magnitudine, multo dulciore, ſupradictis cætera ſimilis.

Περὶ Σύκων. Κεφ. ρπδ'.

Σῦκα πέπειρα τὰ ἁπαλὰ, κακοστόμαχα, κοιλίας λυτικά· ῥᾳδίως δὲ ἐξ αὐτῶν ῥευματισμὸς ἵσταται. ἐξανθημάτων καὶ ἱδρώτων προκλητικὰ, ἄδιψα δὲ καὶ σβεστικὰ θερμασίας. τὰ δὲ ξηρὰ τρόφιμα, θερμαντικὰ, διψητικώτερα, εὐκοίλια, ἄθετα δὲ ῥευματισμοῖς στομάχου καὶ κοιλίας· βρόγχῳ δὲ καὶ ἀρτηρίᾳ καὶ κύστει καὶ νεφροῖς εὔθετα, καὶ τοῖς ἐκ μακρονοσίας κακοχρόοις

καὶ

Fici. Cap. CLXXXIIII.

Fici maturę recentes ſtomachum lædunt, aluũ ſoluunt: ſed facile cótracta ab eis fluxio, ſiſtitur. ſudoré euocant papulásque, ſitim ſedant, caloré reſtinguunt. Siccis natura excalfaciendi, vires alunt, ſed ſitim magis ſtimulant, aluo vtiles, rheumatiſmis ventris & ſtomachi contraria: gutturi autem, arteriæ, renibus, veſicæ, & iis quos

lóga valetudo decolorauit, anhelatoribus, hydropicis, comitialibus aptiſsimæ: ferueſactæ cũ hyſſopo & potæ, thoracem purgãt: tuſsi veteri, diuturníſq; pulmonũ vitiis conueniunt, aluum molliunt tuſæ cũ nitro & cnico, dein manducatæ. Decoctum arteriæ & tonſillarũ inflãmationib⁹ gargarizatu prodeſt. Cum hordeacea farina cataplaſmatis miſcẽtur, & in muliebres fotus cum fœnogræco & ptiſana. Cęterum cum ruta coctę torminibus infundũtur. Coctæ illitęque duritias diſcutiunt, parotidas & furunculos emolliunt, panos ad maturationem perducũt, maximè nitro, iri aut calce addita. Crudæ ſi cũ antedictis tundantur, eadem efficiunt: cum malicorio, pterygia purgant: cum atramento ſutorio, deploratis ferè tibiarum fluxionibus, & cacoëthicis vlceribus medentur: quin & cum vino decoctę addito abſinthio & hordeacea farina, vtiliſsimè hydropicis illinuntur. Crematæ cum cerato ſanant perniones, prurigines, ſonitusque ſi crudæ terantur, & ſinapi liquoréq; aliquo exceptæ auribus inſtillentur. Tã ſylueſtris, quàm ſatiuæ fici lacteus

καὶ ἀσθματικοῖς καὶ ἐπιληπτικοῖς καὶ ὑδρωπικοῖς· ἀνακαθαίρει δὲ καὶ τὰ ἐν θώρακι ἀποζεσθέντα σὺν ὑσσώπῳ καὶ ποθέντα· ἁρμόζει δὲ καὶ παλαιοῖς βηξὶ, καὶ τοῖς περὶ πνεύμονα χρονίοις πάθεσι, κοιλίαν τε μαλάσσει κοπέντα μετὰ νίτρου καὶ κρόκου ἐσθιόμενα. τὸ δὲ ἀφέψημα αὐτῶν, ταῖς περὶ ἀρτηρίαν καὶ παρίσθμια φλεγμοναῖς, ἁρμόζει εἰς ἀναγαργάρισμα, καὶ εἰς τὰς ὠμηλύσεις δὲ μίγνυται, καὶ εἰς γυναικείας πυρίας μετὰ τήλεως ἢ πτισάνης. σὺν πηγάνῳ δὲ ἀφεψημένα, στρόφων ἐστὶν ἔγκλυσμα. καταπλαττόμενα δὲ ἑφθὰ λεῖα, διαφορεῖ σκληρίας, παρωτίδας. δοθιῆνας μαλάσσει, φύγεθλα πεπαίνει, καὶ μᾶλλον σὺν ἴρει δὲ ἢ νίτρῳ ἢ ἀσβέστῳ. καὶ ὠμὰ δὲ κοπέντα σὺν οἷς εἴρηται, τὰ αὐτὰ δρᾷ· σὺν σιδίῳ δὲ ῥοιᾶς, πτερύγια ἀνακαθαίρει· μετὰ χαλκάνθου δὲ τὰ ἐν κνήμαις ῥευματικὰ, δυσαλθῆ καὶ κακοήθη ἰᾶται. ἑψηθέντα δὲ ἐν οἴνῳ καὶ μιχθέντα ἀψινθίῳ καὶ κριθίνῳ ἀλεύρῳ, ὑδρωπικοὺς ὠφελεῖ καταπλασθέντα· κεκαυμένα δὲ μιχθέντα κηρωτῇ, χιμέτλας ἰᾶται, λεῖα δὲ ὠμὰ σὺν νάπυϊ ὑγρῷ ἀναληφθέντα καὶ ἐντεθέντα ἐν ὠσὶν, ἤχους καὶ κνησμοὺς θεραπεύει. Ὁ δὲ ὀπὸς τῆς ἀγρίας καὶ τῆς ἡμέρου συκῆς,

πηκτι-

πηκτικός ἐστι γάλακτος ὥσπερ ἡ πιτύα, λύει δὲ καὶ τὸ πεπηγὸς ὥσπερ τὸ ὄξος· ἑλκτικός τε σωμάτων καὶ ἀναστομωτικός, κοιλίας τε λυτικός, καὶ ὑστέρας ἀναχαλαστικός, μετὰ ἀμυγδάλου λείου πινόμενος, καὶ ἐμμηνίων ἀγωγὸς προστεθεὶς σὺν ὠοῦ λεκύθῳ, ἢ κηρῷ τυρρηνικῷ· ποδαγρικοῖς τε καταπλάσμασι χρήσιμος μετὰ τηλίου ἀλεύρου καὶ ὄξους· σμήχει δὲ λέπρας καὶ λειχῆνας, ἐφήλεις, ἀλφούς, ψώρας, ἀχῶρας σὺν ἀλφίτῳ· καὶ σκορπιοπλήκτοις, κατὰ τῆς πληγῆς ἐπισταζόμενος, καὶ ἰοβόλοις, καὶ κυνοδήκτοις βοηθεῖ· καὶ ὀδονταλγίας ὠφελεῖ ἐρίῳ ἀναληφθεὶς, καὶ εἰς τὸ βρῶμα ἐντιθέμενος. καὶ μυρμηκίαν αἴρει, στέατι περιπλασθείσης τῆς ἐν κύκλῳ σαρκός.

Περὶ Ἀγρίας συκῆς. Κεφ. ρπέ.

Τὰ αὐτὰ δὲ καὶ ὁ χυλὸς ποιεῖ τῶν ἀπὸ τῆς ἀγρίας συκῆς ἁπαλῶν κλάδων, ἡνίκα αὖ ἔγγυοι ὦσι, μήπω τοῦ ὀφθαλμοῦ βεβλαστηκότος, κοπτόμενοι δὲ ἐκθλίβονται, καὶ ὁ χυλὸς ξηραινόμενος ἐν σκιᾷ ἀποτίθεται. λαμβάνεται δὲ καὶ εἰς ἑλκωτικὰς δυνάμεις ὅ, τε ὀπὸς καὶ ὁ χυλός. αἱ δὲ κράδαι βοείοις κρέασι καθεψόμεναι, εὐέψητα ταῦτα ποιοῦσι. καὶ τὸ γάλα δὲ λυτικώτερον ἐν τῇ ἑψήσει κινούμενον, αὐτὶ σπάθης αὐταῖς παρασκευάζουσιν.

Περὶ Ολυν-

lacteus ſuccus coaguli modo lac contrahit, cõcretúmq; diſſoluit, vt acetũ: exulcerat corpora, meatus aperit, ſoluit aluum, vuluã recludit cum detrita nuce gręca potus, menſtrua ciet cum luteo oui appoſitus, aut Tyrrhenica cera: podagricorũ cataplaſmatis cum farina fœnigræci & aceto vtilis: lepras, lichenas, vitiligines, vitia cutis in facie, pſoras, vlcera in capite manantia, cum polenta expurgat: inſtillatus plagę, percuſſis à ſcorpione, venenatorũ ictibus & rabioſi canis morſibus auxiliatur: prodeſt dẽtium dolori lana exceptus, & cauis eorũ additus: verrucarũ informicationes tollit cũ adipe, circumlita in ambitu carne.

Ficus ſylueſtris. Ca. CLXXXV.

Hoc idem præſtat ſuccus è teneris ramis ſylueſtris fici, qui lacte pręgnantes, ſilente adhuc oculo, tuſi exprimuntur, & ſiccatus in vmbra reponitur. Et lac & ſuccus imponuntur exulceratoriis medicamẽtis. Decocti cum bubulis carnibus ramuli ficulni, facilem afferunt decoctionem. Lac efficiunt quod magis ſoluat, ſi inter coquendum ficulneo ſurculo ſpathæ loco moueatur.

Groſsi. Cap. CLXXXVI.

Groſsi, quæ erinei nonnullis vocantur, coctæ illitæ ſtrumas nodósq; omneis emolliũt: crudæ formicas, verrucas & thymos, nitro farináq; additis, tollunt. Folia eadem poſſunt, illita cum ſale & aceto vlcera in capite manantia, epinyctidas, & furfures ſanãt: iis ficoſæ extuberationes, & genarum ſcabritiæ perfricantur. Nigræ ficus foliis caulicuIiſque candidæ vitiligines perunguntur, faciunt ad canum morſus, & vlcera quæ ceria, id eſt fauos, vocant. Groſsi cum ſylueſtris papaueris foliis oſſa extrahunt, furunculos cum cera diſcutiunt, cõtra muris aranei morſus, & ſcolopendræ venena, cum eruo & vino illitæ, auxiliantur.

Lixiuium ficus. Cap. CLXXXVII.

Fit ex cinere fic⁹ tã ſylueſtris q̃ ſatiuæ lixiuiũ, crematis ramorũ cauliculis: quod ſubinde macerari op⁹ eſt & inueteraſcere, ſiquidẽ inter cauſtica intelligit̃. Gãgrenis ꝓdeſt: nãq; expurgat & cõſumit, quę excreſcũt: eóq; ſic vtendũ eſt: Spongia aſsiduè hoc lixiuio imbuta ſuperponitur. Interdum dyeſentericis, &

Περὶ Ὀλύνθων. Κεφ. ρπϛʹ.

Οἱ δὲ ὄλυνθοι, ὑπὸ δέ τινων ἐρινεοὶ καλούμενοι, ἑφθοὶ καταπλασθέντες, πᾶσαν συστροφὴν καὶ χοιράδας ἐκμαλάσσουσιν, ὠμοὶ δὲ μυρμηκίας καὶ θύμους, σὺν νίτρῳ καταπλασθέντες καὶ ἀλεύρῳ αἴρουσι. καὶ τὰ φύλλα δὲ τὰ αὐτὰ δύναται, σὺν ὄξει δὲ καὶ ἁλσὶ καταπλασθέντες, ἀχῶρας, πίτυρα καὶ ἐπινυκτίδας ἰῶνται· παρατρίβεται δὲ αὐτοῖς καὶ τὰ συκώδη καὶ τραχέα τῶν βλεφάρων. καὶ λεῦκαι δὲ καταπλάσσονται τοῖς τῆς μελαίνης συκῆς φύλλοις ἢ τοῖς κλάδοις, ποιεῖ καὶ πρὸς τὰ κυνόδηκτα σὺν μέλιτι, καὶ πρὸς τὰ κηρία. ἀνάγουσι δὲ οἱ ὄλυνθοι καὶ ὀστᾶ, σὺν μήκωνος ἀγρίας φύλλοις, δοθιῆνάς τε σὺν κηρῷ διαλύουσι· σὺν ὀρόβῳ δὲ καὶ οἴνῳ καταπλασθέντες, πρὸς μυγαλῆς δήγματα καὶ σκολοπένδρας ἁρμόζουσι.

Περὶ Κονίας τῆς συκῆς. Κεφ. ρπζʹ.

Γίνεται δὲ καὶ κονία ἀγρίας συκῆς καὶ ἡμέρου καέντων τῶν κλάδων ἐκ τῆς τέφρας· πολύβροχον δὲ αὐτὴν δεῖ ποιεῖν καὶ παλαιοῦν· ἁρμόζει δὲ καὶ πρὸς τὰ καυστικά, καὶ γαγγραινώμενα· ἀνακαθαίρει γὰρ καὶ ἀναλίσκει τὰ περισσά· χρῆσθαι δὲ αὐτῇ δεῖ· σπόγγον βρέχοντας συνεχῶς καὶ ἐπιτιθέντας. ἐφ' ὧν δὲ καὶ ἐγκλύζονται ὡς ἐπὶ δυσεντερικῶν καὶ πα-

καὶ παλαιῶν ῥευμάτων, καὶ κόλπων ὑπονόμων καὶ μεγάλων· καθαίρει γὰρ καὶ κολλᾷ καὶ σαρκοῖ, καὶ συμφύει ἐοικότως τοῖς ἐναίμοις, καὶ ποτίζεται δὲ πρὸς αἵματος ἐκθρόμβωσιν καὶ πτώματα, ῥήγματα, σπάσματα, σὺν ὕδατος κυάθῳ προσφάτως διυλισμένη· καὶ ἐλαίου μιχθέντος ὀλίγου, κοιλιακοῖς τε καὶ δυσεντερικοῖς, καθ' ἑαυτὴν κυάθου πλῆθος βοηθεῖ διδομένη· καὶ τοῖς νευρικοῖς δὲ καὶ σπάσμασι, σύγχρισμα ἁρμόδιον σὺν ἐλαίῳ, ἱδρῶτας κινοῦσα. καὶ πρὸς γύψου πόσιν καὶ φαλαγγίων δήγματα πίνεται· παρέχουσι δὲ τὰ αὐτὰ καὶ αἱ λοιπαὶ κονίαι, μάλιστα δὲ ἡ δρυΐνη· στυπτικαὶ δέ εἰσι πᾶσαι.

Περὶ Περσέας. Κεφ. ρπη'.

Περσέα δένδρον ἐστὶν ἐν Αἰγύπτῳ, καρπὸν φέρον ἐδώδιμον, εὐστόμαχον· ἐφ' οὗ καὶ τὰ λεγόμενα κρανοκόλαπτα φαλάγγια εὑρίσκεται, μάλιστα δὲ ἐν Θηβαΐδι. Δύναμιν δὲ ἔχει τὰ φύλλα λεῖα ἐπιπλαττόμενα ξηρά, αἱμορραγίας ἱστᾶν. τοῦτο δὲ ἱστορήσαν τινες ἐν Περσίδι, ἀναιρετικὸν εἶναι, μετατεθὲν δὲ εἰς Αἴγυπτον, ἀλλοιωθῆναι καὶ ἐδώδιμον γενέσθαι.

Περὶ Ἰβηρίδος. Κεφ. ρπθ'.

*Ἰβηρὶς ἤτοι καρδαμαντικὴ ἔχει τὰ

& in fluxiones vetuſtas, & ſinꝰ cuniculatim exedẽtes, magnóſque, inſtillari cõueniet. Etenim purgat, cõglutinat, carne replet & oras cõmittit, nõ ſecus atq; emplaſtra q̃ cruẽtis vulneribus iniiciunt, ęnema vocãt. Bibitur ad diſcutiendũ ſanguinẽ cõcretũ, & cõtra præcipitationes, rupta, cõuulſa, cum cyatho aquę recenter colatum: addito olei exiguo, cœliacis dyſentericis ꝑ ſe cyathus datꝰ prodeſt: neruorũ vitiis, cõuulſionibus commodè illinitur ex oleo, vtpote quod ſudores moueat: aduerſus gypſi potum, & phalãgiorũ morſus bibit̃. Hæc eadẽ p̃ſtant reliqua lixiuia, præſertim quernum: omnia tamẽ adſtringunt.

Perſea. Cap. CLXXXVIII.

PErſea arbor eſt, in Ægypto, fructum ferens cibo idoneum, ſtomacho vtilẽ: in quo phalangia cranocolapta nomine inueniuntur, præſertim in Thebaide. Arida folia in farinam redacta, illitu ſanguinis eruptiones ſiſtunt. Arborem hanc prodiderũt aliqui in Perſide exitioſam eſſe, translatámque in Ægyptum, mutata natura in cibos receptam.

Iberis. Cap. CLXXXIX.

Iberis ſiue cardamantica, folia

folia habet naſturtij, vere virentiora: caulem cubitalem, aut minoré: in incultis naſcitur, æſtate lacteum floré promit, quo tempore efficacior eſt. Radices duas naſturtio ſimiles habet, calfaciétes & adurentes: ipſæ enim iſchiadicis cum ſalſa axungia emplaſtri modò vtiles, quaternis horis alligatæ, vt dein in balneas deſcédatur, & poſtea oleo cum lana locus perungatur.

τὰ φύλλα παρόμοια καρδάμῳ, ἐν ἔαρι εὐθαλέστερα, μῆκος δὲ ὅσον πηχυαῖον ἢ ἔλαττον· φύεται δὲ ἐν ἀγεωργήτοις τόποις, θέρους δὲ γαλακτικὸν ἄνθος προβάλλει, καὶ τότε ἐστὶ δραστικώτερον. ἔχει δὲ δύο ῥίζας παρομοίας καρδάμῳ θερμαντικὰς καὶ καυστικάς· αὗται γὰρ ἀγαθαὶ αἱ ῥίζαι πρὸς ἰσχιαδικούς, σὺν λίπους ὑείου τεταριχευμένου, ὡς ἐμπλαστρῶδες γενέσθαι κατάπλασμα μέχρις ὡρῶν τεττάρων, ἔπειτα ἐν βαλανείῳ ἐμβιβαζέσθω, καὶ ἐλαίῳ μετ᾽ ἐρίου τοῖς τόποις ἐπιχριέσθω.

PRIMI LIBRI FINIS.

ΤΕΛΟΣ ΤΟΥ ΒΙΒΛΙΟΥ ΠΡΩΤΟΥ.

ΠΕΔΑΚΙΟΥ ΔΙΟΣΚΟΡΙΔΟΥ ΑΝΑΖΑΡΒΕΩΣ ΠΕΡΙ ΥΛΗΣ ΙΑΤΡΙΚΗΣ ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ.

ΕΝ μὲν τῷ πρώτῳ βιβλίῳ φίλτατε Ἄρειε, ὄντι πρώτῳ τῶν περὶ ὕλης ἡμῖν συντεταγμένων, παραδεδώκαμεν τὸν περὶ ἀρωμάτων καὶ ἐλαίων καὶ μύρων καὶ δένδρων, καὶ τῶν γεννωμένων ἐξ αὐτῶν ὀπῶν τε καὶ δακρύων καὶ καρπῶν λόγον· ἐν δὲ τούτῳ δευτέρῳ ὄντι, ἐπελευσόμεθα, περί τε ζώων καὶ μέλιτος καὶ γάλακτος καὶ στέατος καὶ τῶν λεγομένων σιτηρείων, ἔτι δὲ λαχάνων ὑποτάξαντες αὐτοῖς ὅσα δριμέα τῶν βοτανικῶν κέκτηται δυνάμει διὰ τὸ συγγένειαν ἔχειν αὐτὰ ὥσπερ τὰ σκόροδα καὶ τὰ κρόμμυα, καὶ νάπυ· ἵνα μὴ διαζευχθῇ τῶν ὁμογενῶν ἡ δύναμις.

Περὶ Ἐχίνου θαλαττίου. Κεφ. α.

Ἐχῖνος θαλάττιος, εὐστόμαχος, εὐκοίλιος, οὐρητικός· οὗ τὸ ὄστρακον ὠμὸν, μίγνυται χρησίμως ὀπτηθὲν, τοῖς πρὸς τὰς ψώρας ἁρμόζουσι σμήγμασι· κεκαυμένον δὲ καθαίρει τὰ ῥυπαρὰ ἕλκη, καὶ καταστέλλει τὰ ὑπερσαρκοῦντα.

Περὶ

PEDANII DIOSCORIDIS Anazarbei de medicinali materia libri ſecūdi præfatio,

Io. Ruellio Sueßionēſi interprete.

IN primo chariſsime Aree libro quem de medicinali materia condidimus, de aromatibus, oleis, vnguētis, arboribus, & naſcētibꝰ ex eis ſuccis, lachrymis, ſeminibúſq; diſſeruimus. In hoc autem ſecundo de animantibus, melle, lacte, adipe, frugibus, atque oleribus explicabimus, ſubnexis herbaceis quæ acri prædita ſunt facultate, vtpote quæ cū ipſis cognatione iuncta ſint: qualia allium, cepa, ſinapi, intelliguntur. Idq; ideo, ne cognatorum vires diſiunxiſſe videamur.

Echinꝰ ſiue erinaceꝰ. Cap. I.

Marinus echinus ſtomacho ventriq; vtilis eſt: vrinā cit, huius teſta cruda inaſſata, cōmodè medicamentis admiſcetur, q̄ pſoras abſtergūt: crematę verò cinis ſordida vlcera expurgat, luxuriantē carnē reprimit.

Eſchinus

Echinus terreſtris. Cap. II.

Terreſtris erinacei corium combuſtum alopecijs cum pice liquida aptiſsimè illinitur, aſsiccatum corpꝰ, & cum aceto mulſo potum, renum vitiis auxilio eſt: item aquæ quæ cutem ſubiit, conuulſionibus, elephantiæ, & malè habitis, quos cachectos vocant: viſcerũ fluxiones exiccat. Eiuſdem iecur fictili ſolibus ex cocto arefactum, ad eoſdem vſus vtiliſsimè reconditur.

Hippocampus. Cap. III.

Hippocampus marinum animal eſt exiguum, cuius cremati cinis exceptus cum liquida pice, aut axungia ſeu amaracino vnguento illitus, alopecias replet.

Purpura. Cap. IIII.

Purpura vſta exiccat, dentes abſtergit, excreſcentias in carne cohibet, vlcera purgat, & ad cicatricem perducit.

Buccina. Cap. V.

Eadem præſtant concremata buccina, ſed vehementius vrunt: ſi quis ſalis plena fictili crudo adurat, dentifricio conueniunt: ambuſtis vtiliter.

Περὶ τοῦ χερσαίου ἐχίνου. Κεφ. β'.

Καὶ τοῦ χερσαίου δὲ ἐχίνου τὸ δέρμα καὲν, πρὸς ἀλωπεκίας μετὰ πίσσης ὑγρᾶς καταχριόμενον ἁρμόζει· ἡ δὲ σὰρξ σκελετευθεῖσα καὶ πινομένη μετ᾽ ὀξυμέλιτος, βοηθεῖ νεφριτικοῖς, καὶ τοῖς ὑπὸ σάρκα ὕδρωψι, καὶ σπασμώδεσιν ἐλεφαντιῶσι, καχέκτοις· ξηραίνει δὲ καὶ τοὺς περὶ τὰ σπλάγχνα ῥευματισμοὺς, καὶ τὸ ἧπαρ δὲ αὐτοῦ ξηρανθὲν ἐπ᾽ ὀστράκου ἡλιοκαοῦς, καὶ ἀποτεθὲν, πρὸς τὰ αὐτὰ ὁμοίως ἁρμόζει διδόμενον.

Περὶ Ἱπποκάμπου. Κεφ. γ'.

Ἱππόκαμπος, θαλάσσιόν ἐστι ζῶον μικρὸν, οὗ καέντος ἀναληφθεῖσα ἡ τέφρα πίσσῃ ὑγρᾷ ἢ ὀξυγγίῳ ἢ ἀμαρακίνῳ μύρῳ καὶ καταχρισθεῖσα, ἀλωπεκίας δασύνει.

Περὶ Πορφύρας. Κεφ. δ'.

Πορφύρα καεῖσα δύναμιν ἔχει ξηραντικὴν, σμηκτικὴν ὀδόντων, ὑπερσαρκωμάτων δὲ κατασταλτικὴν, ἀνακαθαρτικὴν ἑλκῶν, ἀπουλωτικήν.

Περὶ Κηρύκων. Κεφ. ε'.

Τὰ αὐτὰ δὲ ποιοῦσι καὶ οἱ κήρυκες καέντες· εἰσὶ δὲ μᾶλλον καυστικοί· ἐὰν δέ τις ἁλῶν αὐτοὺς πληρώσας ἐν ὠμῇ χύτρᾳ καύσῃ, ἁρμόζουσι πρὸς σμῆξιν ὀδόντων, καὶ κατακαύ-

ταγχύματα ἐπιπλασθέντες, ἐὰν δὲ δεῖ ἀποστρακοῦσθαι τὸ φάρμακον· μετὰ δὲ τὴν ἀπούλωσιν τοῦ καταγχύματος αὐτόματον ἀποπίπτει. γίνεται δὲ ἄσβεστος ἐξ αὐτῶν ὡς ὑποδείξομεν ἐν τῷ περὶ ἀσβέστου λόγῳ.

Περὶ Ἰονίων. Κεφ. ϛ΄.

Ἰόνια δὲ καλεῖται τὰ ἐπὶ τῶν κηρύκων καὶ πορφύρων μέσα, περὶ οἷς ἡ ἕλιξ ἐστὶ τοῦ ὀστράκου· καίεται δὲ ὁμοίως δύναμιν ἔχοντα καυστικωτέραν τῶν κηρύκων καὶ τῆς πορφύρας, διὰ τὸ πιέζειν αὐτῶν τὴν φύσιν. αἱ δὲ σάρκες τῶν κηρύκων, εὔστομοι καὶ εὐστόμαχοι· κοιλίαν δὲ οὐ μαλάσσουσι.

Περὶ Μυάκων. Κεφ. ζ΄.

Μύακες διαφέρουσιν οἱ ποντικοί. καέντες δὲ τὸ αὐτὸ δρῶσι τοῖς κήρυξιν. ἰδιαίτερον δὲ πλυθέντες ὡς μόλιβδος, χρησιμεύουσιν εἰς τὰ ὀφθαλμικὰ σὺν μέλιτι· ἐκτήκοντες παχύτητας βλεφάρων καὶ σμήχοντες λευκώματα, καὶ τὰ ἄλλως ἐπισκοτοῦντα ταῖς κόραις· ἡ δὲ σὰρξ αὐτῶν κυνοδήκτοις ἐπιτίθεται ὠφελίμως.

Περὶ Τελλίνων. Κεφ. η΄.

Τελλῖναι δὲ νεαραὶ εὐκοίλιαι· μάλιστα δὲ ὁ ἐξ αὐτῶν ζωμός· ταριχηραὶ δὲ καεῖσαι καὶ τριβεῖσαι λεῖαι καὶ μετὰ κεδρίας ἐπισταζόμεναι, τὰς ἐκπλησθείσας τῶν βλεφάρων τρίχας

ἐῶ

liter illinũtur: quibus ſolui medicamentum nõ oportet: nam poſtea quàm vulnus cicatricẽ duxerit, ipſum in teſtæ modum induratũ, ſpõte ſua decidet. Fit etiam calx è buccinis, vt in ei⁹ mentione demonſtrabimus.

Cionia. Cap. VI.

Cionia vocãtur purpurarum buccinorũq; mediæ partes, circa quas teſtæ volumẽ clauiculatim intorquetur. Cremata ſimili modo, maiorem purpuris buccinisq; facultatẽ vrẽdi cõſequunt̃, quoniã apprimẽdi naturã obtinẽt. Buccinorum carnes ori gratæ ſũt, & ſtomacho vtiles: ſed aluum nõ molliũt.

Mituli. Cap. VII.

Mituli laudatiſsimi in Põto. Cremati eundẽ buccinis effectum præbent. Priuatim plũbi more eloti, oculorũ medicamentis cum melle vtiles habẽtur: genarũ craſsitudines abſumunt, albugines purgãt, & cętera quæ oculis caliginem offundũt: carnes eorum ad canis morſus vtiliſsimè imponũtur.

Tellinæ. Cap. VIII.

Recẽtes tellinæ aluo vtiles, ſed maximè ius earũ: ſalitæ vrũtur, tritæq; in cinerẽ, & cum cedria inſtillatæ, auulſos pilos

renaſci

renaſci non patiuntur.

Chamæ. Cap. IX.

Chamarum conchularúmque in exigua aqua decoctarum ius,aluum ciet: id cum vino aſſumitur.

Vnguis odoratus. Cap. X.

Vnguis ſiue onyx cōchylij tegumentū eſt,ei ſimile quo purpura integitur: quod in Indiæ nardiferis lacubꝰ inuenit.ſuauē ideo ſpirās odorē,ꝙ conchylia inibi nardi pabulo veſcantur. Colligitur poſteaq̄ ſtagnantes aquę æſtiuis ſqualloribꝰ inaruerūt.Laudatiſsimus qui à rubro mari defertur,cādicās,pinguis. Babylonicus nigreſcit,atq; minor conſpicitur.Ambo odoris gratia ſuffiunt, ſed aliquátenus caſtoreum olent. Iidem ſuffitu excitant fœminas vuluę ſtrangulatu oppreſſas,comitialéſq;: poti vētrem molliunt. Crematum cōchylium eadem efficit, quæ purpura & buccinum.

Cochleæ. Cap. XI.

Terreſtres cochleæ ſtomacho vtiles ſunt, & non facilè corrumpuntur. Optimæ Sardonicæ, Aphricanæ, Aſtypaleicæ,& quę in Sicilia,ac Chio gignuntur, & quæ in Liguriæ alpibus, pomatiæ, id eſt operculares cognominatæ. Marina

ſtomacho

οὐκ ἐῶσιν αὖθις φυῆναι.

Περὶ Χημῶν. Κεφ. θʹ.

Καὶ ὁ ἐκ τῶν χημῶν δὲ καὶ τῶν ἄλλων κογχαρίων ζωμὸς, κοιλίαν κινεῖ ἑψόμενος μετ᾽ ὀλίγου ὕδατος· μετ᾽ οἴνου δὲ λαμβάνεται.

Περὶ Ονυχος. Κεφ. ιʹ.

Ονυξ ἐστὶ πῶμα κογχυλίου, ὅμοιον τῷ τῆς πορφύρας· εὑρισκόμενον ἐν τῇ ἰνδίᾳ, ἐν ταῖς ναρδοφόροις λίμναις. διὸ καὶ ἀρωματίζει νεμομένων τῶν κογχυλίων τὴν νάρδον· συλλέγεται δὲ, ἐπειδὰν ὑπὸ τῶν αὐχμῶν ἀναξηρανθῶσιν αἱ λίμναι· διαφέρει δὲ ὁ ἀπὸ τῆς ἐρυθρᾶς κομιζόμενος, ὑπόλευκος ὢν καὶ λιπαρός. μέλας δὲ ὁ βαβυλώνιος καὶ μικρότερος. ἀμφότεροι δὲ εὐώδεις, θυμιώμενοι, καστορίζοντες πως τῇ ὀσμῇ· ἐγείρουσι δὲ καὶ οὗτοι ὑποθυμιαθέντες τὰς ὑστερικῶς πνιγομένας, καὶ ἐπιληπτικούς· ποθέντες δὲ κοιλίαν μαλάσσουσιν· αὐτὸ δὲ τὸ κογχύλιον καὲν, ποιεῖ ὅσα καὶ ἡ πορφύρα καὶ ὁ κήρυξ.

Περὶ Κοχλίου χερσαίου. Κεφ. ιαʹ.

Κοχλίας χερσαῖος εὐστόμαχος, δύσφθαρτος· ἄριστος δὲ ὁ, τε ἐν σαρδῶνι, καὶ λιβύῃ, καὶ ἀστυπαλίᾳ, καὶ σικελίᾳ καὶ χίῳ γινόμενος, καὶ ὁ ἐν ταῖς κατὰ λιγυρίαν ἄλπεσι πωματίας καλούμενος. καὶ ὁ θαλάσσιος

ὁ

δὲ εὐστόμαχος καὶ εὐέκκριτος· ὁ δὲ ποτάμιος βρωμώδης. καὶ ὁ ταῖς ἀκάνθαις καὶ τοῖς θαμνίσκοις* προσκεκολλημένος ἄγριος, ὃν τινες σέσιλον καλοῦσι, ταρακτικὸς ἐπὶ κοιλίας καὶ στομάχου ἐμετοποιός. Δύναται δὲ πάντων τὰ ὄστρακα κεκαυμένα θερμαίνειν καὶ καίειν· σμήχειν λέπρας, ἀλφούς, ὀδόντας· οὐλὰς δὲ τὰς ἐν ὀφθαλμοῖς καὶ λευκώματα καὶ ἐφήλεις, καὶ ἀμβλυωπίας, μετὰ τῆς σαρκὸς ὅλοι καέντες καὶ λειανθέντες καὶ ἐγχριόμενοι σὺν μέλιτι ἀποκαθαίρουσιν. ὠμοὶ δὲ σὺν τοῖς κελύφοις καταπλασθέντες, ἐξικμάζουσι τὰ ὑδρωπικὰ οἰδήματα· καὶ οὐκ ἀφίστανται πρὶν πᾶν ἀνικμασθῆναι τὸ ὑγρόν· καὶ ποδαγρικὰς δὲ φλεγμονὰς πραΰνουσι. καὶ σκόλοπας ἕλκουσιν ὁμοίως καταπλασθέντες καὶ ἔμμηνα ἄγουσι λεῖοι προστεθέμενοι. αἱ δὲ σάρκες αὐτῶν λεῖαι σὺν σμύρνῃ καὶ λιβανωτῷ καταπλασθεῖσαι, τραύματα καὶ μάλιστα τὰ κατὰ τὰ νεῦρα κολλῶσι, καὶ τὰς ἐκ μυκτήρων αἱμορραγίας σὺν ὄξει λειανθέντες ἐπέχουσι· ζῶσα δὲ ἡ σὰρξ* καταποθεῖσα τοῦ λυβικοῦ μάλιστα, ἀλγηδόνας στομάχου παύει· μετὰ δὲ τοῦ ὀστράκου ὅλος τριβεὶς καὶ μετ' οἴνου καὶ σμύρνης ποθεὶς ὀλίγος, κωλικοὺς θεραπεύει καὶ κύστεως ἀλγήματα,

ἀνακολλᾷ

ſtomacho idonea, & facilè aluo excernitur: fluuiatilis uirus olet. Quæ verò vepribus frutetíſque glutinata cohæret, quam vocant nonnulli ſeſilon, ventrem & ſtomachum turbat, vomitiones excitat. Crematæ omnium teſte excalfaciendi & vrendi naturā ſortiuntur: purgant lepras, vitiligines, dentéſque: emendant oculorum cicatrices, & vitia cutis in facie, albugines, ac viſus hebetudines, ſi cum carne ſua vſtæ tritæque ex melle illinantur. Crudæ cum tegumentis impoſitæ, aquæ inter cutem tumores exugunt: ſed nō ante ſoluantur, quàm omnis hauriatur humor. podagricas inflammationes leniunt, impactos corpori aculeos illitæ euocant, menſes tritæ & admotæ ciunt. Carnes earum cū thure & myrrha illitę, cùm vulnera alia, tum maximè quæ nerui acceperunt, conglutinant: tritæ in aceto, ſanguinem naribus erumpentem infrenāt: viuæ corpus, & præſertim Africanæ cum aceto deuoratū, ſtomachi dolores mitigat: trita cum teſta, vino & myrrha, ſi exiguum inde bibatur, coli veſicęque cruciatus ſanat.

Terreſtris

Terreſtris pilos incommodos replicat, ſi quis abraſo acu lentore eius, pilum attingat.

Cancri. Cap. XII.

Cancrorum fluuiatiliũ exuſtorũ cinis qui duo cochlearia expleat, adiecto dimidio radicis gẽtianæ modo, triduo potus cũ vino, magnopere prodeſt canis rabioſi morſibus: rimas pedum ſedisq;, perniũculos, & carcinomata, cum decocto melle lenit: triti crudi, potiq; ex aſinino lacte, auxiliantur contra ſerpentium phalãgiorumq; morſus, atq; ſcorpionum ictus: decocti autẽ & cũ iure eſitati, iis proſunt, qui tabe conficiuntur, aut leporẽ marinum hauſerunt: necant ſcorpiones triti, & cum ocimo admoti. Poſſunt eadẽ marini, verùm inefficacius omnia pſtãt.

Terreſtris ſcorpio. Cap. XIII.

Terreſtris ſcorpio tritus & impoſitus, ſuæ plagæ remedium eſt: quin eſtur aſſatus, ad eadem.

Marinus ſcorpio. Cap. XIIII.

Marini ſcorpionis fel conuenit ad ſuffuſiones oculorũ, albugines, & hebetudines.

Draco.

ἀνακολλᾷ δὲ τρίχας ὁ χερσαῖος, ἐάν τις βελόνῃ κατὰ τῆς σαρκὸς αὐτοῦ φέρων τῷ περιϊσταμένῳ γλοιώδει προσάπτηται τῆς τριχός.

Περὶ Καρκίνων, Κεφ. ιβ'.

Καρκίνων ποταμίων καέντων, ἡ τέφρα κοχλιαρίων δυοῖν πλῆθος σὺν γεντιανῆς ῥίζης κοχλιαρίῳ ἑνὶ, καὶ οἴνῳ ποθεῖσα ἐπὶ ἡμέρας γ'. βοηθεῖ λυσσοδήκτοις ἐναργῶς· σὺν δὲ μέλιτι ἑφθῷ, ῥαγάδας τὰς ἐν ποσὶ καὶ τὰς ἐν δακτυλίῳ καὶ χιμέθλας, καὶ καρκινώματα παρηγορεῖ· λεῖοι δὲ ὠμοὶ σὺν γάλακτι ὀνείῳ ποθέντες, βοηθοῦσι δήγμασιν ἑρπετῶν, φαλαγγίων, σκορπίων πληγαῖς· ἑφθοὶ δὲ σὺν ζωμῷ ἐσθιόμενοι, φθισικοὺς ὠφελοῦσι, καὶ τοὺς λαγωὸν θαλάσσιον πεπωκότας· τριφθέντες δὲ μετ' ὠκίμου καὶ προστεθέντες, σκορπίους κτείνουσι. δύνανται δὲ τὰ αὐτὰ καὶ οἱ θαλάσσιοι, πλὴν ἧττον τούτων ἐνεργοῦσι.

Περὶ Σκορπίου χερσαίου. Κεφ. ιγ'.

Σκορπίος χερσαῖος ὠμὸς, λεῖος ἐπιτεθεὶς, βοήθημα τῆς ἰδίας πληγῆς γίνεται· ἐσθίεται δὲ καὶ ὀπτηθεὶς πρὸς τὸ αὐτό.

Περὶ Σκορπίου θαλασσίου. Κεφ. ιδ'.

Τοῦ δὲ θαλασσίου σκορπίου ἡ χολὴ ἁρμόζει πρὸς τὰς ἐν ὀφθαλμοῖς ὑποχύσεις καὶ λευκώματα καὶ ἀμβλυωπίας.

Περὶ

Περὶ Δράκοντος θαλασσίου. Κεφ. ιε΄.

Δράκων θαλάσσιος ἀναπτυχθεὶς καὶ ἐπιτεθεὶς, ἴαμά ἐστι πρὸς τὴν ἐκ τῆς ἀκάνθης αὐτοῦ πληγήν.

Περὶ Σκολοπένδρας. Κεφ. ις΄.

Σκολόπενδρα θαλασσία ἑψηθεῖσα ἐν ἐλαίῳ καὶ καταχρισθεῖσα, ψιλοῖ τρίχας· ψαυσθεῖσα δὲ κνησμοὺς ἐργάζεται.

Περὶ Νάρκης. Κεφ. ιζ΄.

Νάρκη θαλασσία ἐπιτεθεῖσα ἐπὶ χρονίων ἀλγημάτων τῶν περὶ κεφαλὴν, πραΰνει τὸ σφοδρὸν τοῦ ἀλγήματος· καὶ ἕδραν δὲ ἐκτρεπομένην ἢ προπίπτουσαν, στέλλει προστεθεῖσα.

Περὶ Σαρκὸς ἐχίδνης. Κεφ. ιη΄.

Ἐχίδνης σὰρξ ἑψηθεῖσα καὶ ἐσθιομένη, ὀξυδερκεῖς ποιεῖ τὰς ὄψεις, καὶ πρὸς τὰ νευρικὰ ἁρμόζει, καὶ τὰς αὐξομένας χοιράδας ἵστησι· δεῖ δὲ ἐκδείραντας αὐτὴν, ἀποκόπτειν κεφαλὴν καὶ τὴν οὐρὰν, διὰ τὸ ἐν αὐτοῖς ἄσαρκον. μυθώδης γὰρ ἡ πρὸς τὸ μέτρον ἀποκοπὴ τῶν ἄκρων. τὸ δὲ λοιπὸν πλύναντας καὶ τεμαχίσαντας, ἕψειν μετ᾽ ἐλαίου καὶ οἴνου καὶ ἁλῶν ὀλίγων καὶ ἀνήθου. φασὶ δὲ τοὺς προσφερομένους φθεῖρας γεννᾶν. ὅπερ ἐστὶ ψεῦδος· προσιστοροῦσι δὲ ἔνιοι καὶ μακρογήρως γίνεσθαι τοὺς ἐσθίοντας αὐτάς. κατασκευάζονται δὲ καὶ ἅλες ἐξ αὐτῶν πρὸς τὰ αὐτὰ, πλὴν οὐχ ὁμοίως ἐνεργοῦσι.

καθι-

Draco marinus. Cap. XV.

Draco marinus diſſectus & apertus impoſitusq; ictus ſpinæ ſuæ qua ferit, medela eſt.

Scolopendra. Cap. XVI.

SCOLOPENDRA in oleo decocta ſi illinatur, auellit capillos: ſed contactu pruritus facit.

Torpedo piſcis. Cap. XVII.

Marina torpedo diuturnis capitis doloribus admota, cruciatus vehementiam mulcet: eadem appoſita euerſam ſedem prociduámque coërcet.

Viperæ. Cap. XVIII.

Viperinæ carnes ſi coctæ edantur, claritatẽ oculis afferũt, neruorũ vitiis auxiliant̃, increſcẽtes ſtrumas reprimũt: detracta autẽ cute, caput caudaq; quoniã carne vacãt, amputari debẽt. quippe cõmẽtitiũ eſt q̃d præcipit, certã vtrinq; menſurã prȩcidi oportere. Reliquũ verò corpus exẽptis interaneis elotũ diſſectũq; diſcoquit̃ cum oleo, vino, ſalis exiguo, & anetho. Aiũt iis q viperas eſitẽt, pediculos procreari: quod planè à veritate abhorret. Adiiciunt aliqui longã ſenectutẽ agere, q eo cibo veſcũt. Sal ex eis ad eadẽ cõficit̃, ſed inefficacior eſt.

Viua aũt vipera in fictile nouũ dimittitur, adiiciũtur ſalis caricarũq; tritarũ, ſingulatim quĩq; ſextarij, mellis cyathi ſex, mox fictilis operculũ luto oblinit, & fornacib⁹ inaſſat, donec ſal in carbones redigat: qui poſtea trit⁹ in pulueris faciẽ, recondit. Plerũq;, vt ori gratior fiat, immiſcetur nardi ſpica, aut foliũ, aut malabathri momentum.

Senecta anguiũ. Ca. XIX.

Senectus anguium in vino decocta dolori aurium, infuſu: & dentium collutione, auxilio eſt. Addunt eam in medicamenta oculorum, ſed pręcipuè viperinam.

Lepus marinus. Cap. XX.

Lepus marinus loligini paruæ ſimilis eſt, qui per ſeſe trit⁹, aut cum vrtica marina illit⁹ capillos euellit.

Lepus terreſtris. Cap. XXI.

Terreſtris leporis inaſſatum cerebrũ mãditur, iuuandis tremoribus qui valetudine cõtracti ſunt: affrictu aut cibo facilẽ infantibus détitionem præſtat: exuſtũ caput & cũ adipe vrſino aut aceto illitũ, alopeciarũ inanitatib⁹ medetur. Leporinũ coagulũ poſt triduum à cõcubitu potũ, cõceptum adimere, partúsq;

καθίεται δὲ ἔχιδνα ζῶσα εἰς καινὴν χύτραν, καὶ μετ' αὐτῆς ἁλῶν ἰσχάδων τετριμμένων ἀνὰ ξέστας ά. μετὰ μέλιτος κυάθων ς'. περιχρίεται πηλῷ τὸ πῶμα τῆς χύτρας, καὶ ὀπτᾶται ἐν καμίνῳ, ἄχρις οὗ ἀνθρακωθῶσιν οἱ ἅλες· μετὰ δὲ τοῦτο λειοτριβηθέντες ἀποτίθενται. ἐνίοτε μιγνυμένου πρὸς εὐστομαχίαν αὐτοῖς ναρδοστάχυος ἢ φύλλου, ἢ μαλαβάθρου βραχέος.

Περὶ Ὄφεως γήρως. Κεφ. ιθ'.

Γῆρας ὄφεως ἑψηθὲν ἐν οἴνῳ, βοήθημά ἐστιν ὠταλγίας ἐγχεόμενον, καὶ ὀδονταλγίας διακλυζόμενον. μίσγουσι δὲ αὐτὸ καὶ εἰς ὀφθαλμικὰς δυνάμεις μάλιστα δὲ τὸ τῆς ἔχεως.

Περὶ Λαγωοῦ θαλαττίου. Κεφ. κ'.

Λαγωὸς θαλάσσιος ἔοικε μὲν μικρᾷ τευθίδι· δύναται δὲ λεῖος καταπλασθεὶς καθ' ἑαυτὸν καὶ μετὰ ἀκαλύφης τρίχας ψιλοῦν.

Περὶ Λαγωοῦ χερσαίου. Κεφ. κα'.

Τοῦ δὲ χερσαίου λαγωοῦ ὁ ἐγκέφαλος, ὀπτὸς βιβρωσκόμενος ὠφελεῖ τρόμοις τοῖς κατὰ πάθος γινομένοις · καὶ ὀδοντιάσεις ἐπὶ παίδων παρατριβόμενος καὶ ἐσθιόμενος· ἡ δὲ κεφαλὴ αὐτοῦ καεῖσα καὶ καταχρισθεῖσα μετὰ στέατος ἀρκείου ἢ ὄξους ἀλωπεκίας θεραπεύει. ἡ δὲ πιτύα ποθεῖσα μετὰ ἡμέρας τρεῖς, μετὰ τὴν ἀφροδισίην, ἀτόκιος

ἀτόκιος εἶναι ἱστορεῖται· ἐπέχει δὲ καὶ τὴν ἐκ μήτρας ῥεῦσιν, καὶ κοιλίας, ὠφελεῖ δὲ καὶ ἐπιληπτικούς, καὶ πρὸς τὰ θανάσιμα μετ' ὄξους πινομένη, μάλιστα δὲ πρὸς γάλακτος θρομβῶσιν καὶ ἐχιδνῶν δήγματα. τὸ δὲ αἷμα αὐτοῦ θερμὸν καταχριόμενον, ἐφήλιδας καὶ ἀλφοὺς καὶ φακοὺς θεραπεύει,

Περὶ Τρυγόνος θαλασσίας.

Κεφ· κβ'.

Τρυγόνος θαλασσίας τὸ κέντρον, ὃ δὴ ἀπὸ τῆς οὐρᾶς αὐτῆς πέφυκεν ἀνεστραμμένον ταῖς φολίσιν, ὀδόντα πονοῦντα πραΰνει· θρύπτει γὰρ καὶ ἀποβάλλει.

Περὶ Σηπίας. Κεφ. κγ'.

Σηπίας ἑψηθείσης τὸ μέλαν βιβρωσκόμενον δύσπεπτον, κοιλίας μαλακτικόν, τὸ δὲ ἀπ' αὐτῆς ὄστρακον σμηματῶδεν εἰς κολλύρια ἁρμόζει πρὸς παράτριψιν τραχέων βλεφάρων· καὲν δὲ ἐν τῷ ἰδίῳ ὀστράκῳ, ἄχρις οὗ τὸ πλακῶδες αὐτοῦ ἀποστῇ, σμήχει λεῖον ἀλφούς, πίτυρα, ὀδόντας, ἐφήλεις· μίγνυται δὲ καὶ εἰς τὰ ὀφθαλμικὰ πλυθέν· ποιεῖ δὲ καὶ πρὸς λευκώματα κτηνῶν ἐμφυσώμενον· καὶ πτερύγια τὰ ἐν ὀφθαλμοῖς τήκει, σὺν ἁλσὶ λεῖον προσταζόμενον.

Περὶ Τρίγλης. Κεφ. κδ'.

Τρίγλα συνεχῶς ἐσθιομένη ἀμβλυωπίας δοκεῖ καὶ κατασκευαστικὴ ὑπάρ-

χειν

partúsq; ſpem intercipere ꝑditur: vuluæ & alui fluorem ſiſtit, comitiales iuuat, contra venena ex aceto bibitur, præſertim aduerſus cócretum lac, & viperarum morſus. Sanguis eius ſi callidus illinat̃, vitia cutis in facie, vitiliginem, lentiginésque ſanat.

Paſtinaca.

Cap. XXII.

Marinæ paſtinacę radius, qui eiꝰ cauda enatꝰ aduerſis ſquãmis reflectitur, dentium dolorem mitigat: nam eos frãgit, & euocat.

Sepia. Cap. XXIII.

Sepiæ coctæ dum eſtur atramentum ægrè concoquitur, aluum mollit, collyriis è teſta factis conuenienter genarum ſcabritiæ perfricantur: vſtum in ſua teſta donec id q̃d cruſtoſum eſt abſcedat, poſtea tritũ, expurgat vitiligines, furfures, dentes, & vitia cutis in facie: elotum in medicamenta oculorum addi ſolet: cõtra albugines, oculis iumentorũ efficaciter inſpirat̃: pterygia oculorũ abſumit, cum ſale tritum & iniectum.

Mullus piſcis. Cap. XXIIII.

Mullorum aſſiduo cibo, aciem oculorũ hebetari cõſtat.

Is marini draconis, aranei, ac ſcorpionis morſibus medetur, ſi crudus atque diſſectus admoueatur.

Hippopotamus. Cap. XXV.

Hippopotami teſtes exiccati ac triti cõtra ſerpentiũ morſus bibuntur.

Fiber. Cap. XXVI.

FIBER ancipitis vitæ animal, plerunque cum piſcibus & cancris ex aqua victum capeſsit. Huius teſtes ſerpentium venenis aduerſantur: ſternutamenta mouent, & in vniuerſum varios obtinent vſus: ſiquidem menſes ac partus ciunt, duabus drachmis cum pulegio poti: partus ſecundáſque eiiciunt: contra inflationes, tormina, ſingultus, venena, ixiámque ex aceto bibuntur: lethargicos, & vtcunque veterno obdormiſcentes excitant infuſi: cum aceto autem & roſaceo, olfactu & odoris ſuffitu, idem faciunt: poti & illiti proſunt tremulis, conuulſionibus, & omnib⁹ neruorum vitiis. In ſumma, calfactoriam vim habent. Eligi debent teſtes, qui ex vno ortu connexi ſunt (fieri enim non poteſt,

vt

χεῖν ὠμὴ δὲ ἀναχθεῖσα καὶ ἐπιτεθεῖσα θαλασσίου δράκοντος καὶ σκορπίου καὶ ἀράχνης δήγματα ἰᾶται.

Περὶ ὄρχεως ἱπποποτάμου. Κεφ. κέ.

Ὄρχις ἱπποποτάμου ξηρανθεὶς καὶ λειανθεὶς, πίνεται μετ᾽ οἴνου πρὸς ἑρπετῶν δήγματα.

Περὶ τῶν τοῦ κάστορος ὄρχεων. Κεφ. κϛ΄.

Κάστορος ὄρχις· ζῶόν ἐστιν ἀμφίβιον, τὸ πλεῖστον ἐν ὕδασι, σὺν ἰχθύσι, καὶ καρκίνοις τρεφόμενον. ποιεῖ μὲν καὶ πρὸς ἑρπετά. ἔστι δὲ καὶ πταρμικὸς, καὶ καθόλου ποικίλην ἔχει τὴν χρῆσιν· ποθεὶς γὰρ μετὰ γλήχωνος < πλῆθος δυοῖν, ἔμμηνα κινεῖ καὶ ἔμβρυα, καὶ δεύτερα ἐκβάλλει. πίνεται δὲ σὺν ὄξει καὶ πρὸς ἐμπνευματώσεις, στρόφους, λυγμοὺς, θανάσιμα φάρμακα, ἰξίαν· ἀνακαλεῖται δὲ καὶ τοὺς ληθαργικοὺς, καὶ τοὺς ὅπως δή ποτε καταφερομένους, ἐμβρεχόμενος· σὺν ὄξει καὶ ῥοδίνῳ καὶ ὀσφραινόμενος, καὶ ὑποθυμιώμενος δὲ τὰ αὐτὰ ποιεῖ· ἁρμόζει δὲ καὶ τρόμοις καὶ σπασμοῖς, καὶ παντὶ τῷ νευρώδει πινόμενός τε καὶ συγχριόμενος. καὶ καθόλου θερμαντικὴν ἔχει τὴν δύναμιν. ἐκλέγου δὲ ἀεὶ τοὺς συνεζευγμένους ὄρχεις ἐκ μιᾶς ἀρχῆς· (ἀδύνατον γὰρ

δύο

δύο φύσας ἐζευγμένας ἐν ἑνὶ ὑμένι εὑρεῖν) καὶ τὸ ἐντὸς ἔχον κηρειδὲς βαρύοσμον, βρομῶδες, δριμὺ, δηκτικὸν, εὔθρυπτον, διαφραττόμενόν τε συνεχῶς φυσικοῖς ὑμέσι. δολοῦσι δέ τινες αὐτὸ, ἀμμωνιακὸν ἢ κόμμι συμπεφυρμένον αἵματι καὶ καστορίῳ, ἐγχέοντες εἰς φύσαν καὶ ξηραίνοντες. μάτην δὲ ἱστορεῖται ὅτι διωκόμενον τὸ ζῶον ἀποσπᾷ τοὺς διδύμους καὶ ῥίπτει· ἀδύνατον γάρ ἐστιν ἅψασθαι αὐτῶν περισφιγμένων ὄντων ὥσπερ ὑός. δεῖ δὲ διελόντας τὸ δέρμα κομίσασθαι σὺν τῷ περιέχοντι ὑμένι τὸ ὑγρὸν, ὂν μελιτῶδες, καὶ οὕτω ξηράναντας ποτίζειν.

Περὶ Γαλῆς κατοικιδίου.

Κεφ. κζ'.

Γαλῆ κατοικίδιος περιφλεχθεῖσα, καὶ δίχα τῶν ἐντὸς σκελετευθεῖσα δι' ἁλὸς καὶ ξηρανθεῖσα ἐν σκιᾷ παντὸς ἑρπετοῦ ἐνεργέστερόν ἐστι βοήθημα ποθεῖσα, μετ' οἴνου δραχμῶν β'. πλῆθος, καὶ τοξικοῦ ἀντιφάρμακον ὁμοίως ληφθεῖσα. ἡ δὲ κοιλία αὐτῆς κοριάννῳ πλησθεῖσα καὶ σκελετευθεῖσα, θηριοδήκτοις καὶ ἐπιληπτικοῖς βοηθεῖ πινομένη. ὅλη δὲ καεῖσα ἐν χύτρᾳ, ποδαγρικοὺς ὠφελεῖ, τῆς τέφρας καταχριομένης μετ' ὄξους. τὸ δὲ αἷμα αὐτῆς καταχριόμενον, χοιράσι βοηθεῖ· ὠφελεῖ δὲ καὶ ἐπιληπτικούς.

Περὶ

vt gemini folliculi in vna membrana cõiuncti reperiantur) liquore intꝰ veluti ceroſo, odore graui & virus redolẽte, guſtu acri, mordẽte, ac friabili, naturalibus, tunicis circũdato. Quẽ fraude aliqui corrũpũt, cõiiciẽtes in follem gũmi, aut ammoniacũ cũ ſanguine & caſtorio ſubactũ, & ita exiccãtes. Vanũ eſt quod traditur teſtes ab ipſis euelli, & à ſeſe abiici, quũ venatu vrgentur: ſiquidem tangi nequeunt, ita, vt in ſue, ſubſtricti. Operæ autem pretium eſt, diuiſa pelle melleum liquorem cum eueſtiẽte tunica aſſumere, & ſiccatum potui dare.

Muſtela vulgaris.

Cap. XXVII.

Muſtela quę in domibus noſtris oberrat, ambuſta exenteratur, & inueterata ſale, in vmbra ſiccatur. Ea binis drachmis cũ vino pota, aduerſus omnia ſerpentiũ venena pręſentaneo eſt remedio: toxico, ſimili ſumpta modo, reſiſtit. Eius vẽtriculus coriandro farctus inueteratusq;, percuſsis à ſerpẽte, & comitialibus potu auxiliatur. Cremata in fictili podagricis cõfert, cinere ex aceto illito. Sãguine perũctæ ſtrumæ, iuuantur: comitialibus etiã prodeſt.

Ranæ. Cap. XXVIII.

Contra omnium ſerpẽtium venena pro antidoto ſunt ranæ, ſi ex ſale & oleo decoctæ edantur, iúsq; earũ itidem ſorbeatur: cõtra inueteratos tendinũ rigores pollent. Illitꝰ eorum cinis, profluẽtis ſanguinis impetus ſiſtit: explẽdis alopeciarum inanitatibus ex liquida pice illinitur. Viridium ranarũ cruor auulſos genis pilos renaſci ꝓhibet, in veſtigia euulſorũ inſtillatꝰ: decoctæ in aceto & aqua dẽtiũ dolores collutione leniũt.

Silurus. Cap. XXIX.

Silurus recẽs in cibo nutrit, & facilẽ præbet aluũ: ſale verò conditus, minimũ ſuppeditat alimentũ. Arteriã expurgat, & vocẽ expedit. Illita ſaliti caro, aculeos et infixa corpori ſpicula extrahit. Muria eiꝰ ĩcipiẽtibꝰ dyſenteriis ꝓdeſt, ſi in deſidẽtiũ fotꝰ adiiciatur, fluxiones ſiquidem ad ſumma cutis elicit: iſchiadicis infuſa medetur.

Smarides. Cap. XXX.

Smaridis piſcis caput exuſtũ, excreſcentes vlcerum oras puluillósq; reprimit: nomas cohibet, thymos clauósq; abſumit. Caro non ſecus atq; ſalſamẽtum prodeſt á ſcorpione percuſsis, aut à cane demorſis.

Περὶ Βατράχων. Κεφ. κη´.

Βάτραχοι ἀντιφάρμακόν εἰσιν ἑρπετῶν πάντων, ζωμευθέντες * ἐν ἁλσὶ καὶ ἐλαίῳ, τοῦ ζωμοῦ λαμβανομένου ὁμοίως· καὶ πρὸς χρονίους τῶν τενόντων ἀποστάσεις· καέντες δὲ καὶ ἐπιπασθέντες, αἱμοῤῥαγίαν στέλλουσι. καὶ ἀλωπεκίας θεραπεύουσι σὺν πίσσῃ ὑγρᾷ καταχριόμενοι. τῶν δὲ χλωρῶν βατράχων τὸ αἷμα ἐπισταζόμενον, κωλύει τὰς ἐκτιλθείσας ἀπὸ τῶν βλεφάρων τρίχας φύεσθαι· ὠφελοῦσι καὶ ὀδονταλγίας συνεψόμενοι ὕδατι καὶ ὄξει καὶ διακλυζόμενοι.

Περὶ Αἰλούρου. Κεφ. κθ´.

Αἴλουρος νεαρὸς βιβρωσκόμενος, τρόφιμός ἐστι καὶ εὐκοίλιος· ταριχηρὸς δὲ ἄτροφος· ἀρτηρίας τε καθαίρει καὶ εὔηχας παρασκευάζει. καταπλασθεῖσα δὲ ἡ σὰρξ τοῦ ταριχηροῦ, σκόλοπας ἀνάγει. καὶ ἡ ἐξ αὐτοῦ τε ἅλμη ἁρμόζει ἐν ἀρχῇ δυσεντερικοῖς εἰς ἐγκάθισμα, κατάγουσα τοὺς ῥευματισμοὺς εἰς τὴν ἐπιφάνειαν, καὶ ἐγκλυζομένη δὲ ἰσχιαδικοὺς θεραπεύει.

Περὶ Σμαρίδος. Κεφ. λ´.

Σμαρίδος ταριχηρᾶς ἡ κεφαλὴ καεῖσα, ἕλκη στέλλει ὑπερσαρκοῦντα, καὶ νομὰς ἵστησι, καὶ ἥλους, καὶ θύμους ἀναλίσκει· σκορπιοπλήκτοις τε καὶ κυνοπλήκτοις ἡ σὰρξ ἁρμόζει καθάπερ πᾶς τάριχος.

Περὶ Μαινίδος. Κεφ. λα΄.

Καὶ τῆς μαινίδος ἡ κεφαλὴ καεῖσα λεία, τὰς ἐν δακτύλῳ τετυλωμένας ῥαγάδας καταπλασθεῖσα ἀφίστησι· τὸ δὲ γάρον αὐτῆς τὰς ἐν στόματι σηπεδόνας διακλυζόμενον παύει.

Περὶ κωβιοῦ. Κεφ. λβ΄.

Κωβιὸν πρόσφατον ἐὰν ἐμβαλὼν εἰς ὑείαν κοιλίαν καταῤῥάψῃς, καθεψήσῃς τε μεθ' ὕδατος ξεστῶν ιβ΄. ἄχρι δυοῖν ξεστῶν, καὶ διηθήσας καὶ ἐξαιθριάσας ποτίσῃς, κοιλίαν ἀταράχως κάτω ὑπάξεις. καταπλασθεὶς δὲ καὶ τοὺς ὑπὸ κυνῶν δηχθέντας ἢ ἑρπετῶν ὠφελεῖ.

Περὶ Ὠμοταρίχου. Κεφ. λγ΄.

Ὁ δὲ ὠμοτάριχος λεγόμενος, σάρξ ἐστι θύννου τεταριχευμένου. βοηθεῖ δὲ λαμβανόμενος τοῖς ὑπὸ ἐχίδνης, τῆς καλουμένης πρηστῆρος, δηχθεῖσι· δεῖ δὲ ὡς ὅτι πλεῖστον προσφέροντας οἶνον ἀναγκάζειν πίνειν πολὺν καὶ ἐμεῖν. εἰς τε τὰς δριμυφαγίας μάλιστα ἁρμόζει, καταπλάσσεται δὲ καὶ ἐπὶ κυνοδήκτων ὠφελίμως.

Περὶ Γάρου. Κεφ. λδ΄.

Γάρον δὲ πᾶν τὸ ἐκ ταριχηρῶν ἰχθύων καὶ κρεῶν καταπλαττόμενον, νομὰς ἐφίστᾳ καὶ κυνοδήκτους ἰᾶται· ἐνίοτε δὲ καὶ ἐπὶ δυσεντερικοῖς καὶ ἰσχιαδικοῖς· ἐφ' ὧν μὲν ἵνα τὰ ἡλκωμένα ἐπικαύσῃ, ἐφ' ὧν δὲ ἵνα τὰ ἀνέλκωτα ἐρεθίσῃ.

Περὶ

Mænæ. Cap. XXXI.

Mænarum ex capitibus cinis ſi illinatur, calloſas ſedis rimas abolet. Eius etiam garum oris putrilagines collutiõe ſedat.

Gobius. Cap. XXXII.

Gobius recens in ſuillũ vẽtrẽ coniectus, ſi cõſuta rima in duodecim aquæ ſextariis, donec duo ſuperſint, decoquat̃, excolatus & ſub diuo refrigeratꝰ potui det̃, aluus ſine moleſtia deiicit̃. Illitꝰ cõtra ſerpentiũ, canũq; morſus auxilio eſt.

Thunnus. Cap. XXXIII.

Conditanei thunni caro, quã omotarichon vocant, ſumpta iis auxiliatur, quos vipera nomine preſter momorderit: ſed oportet vinũ quamplurimum ſubinde cogantur haurire, ita vt vomitione reddatur. Contra acrimonias eſitatorum maximè valet, canum morſibus vtiliſsimè illinitur.

Garum. Cap. XXXIIII.

Garũ oẽ, qđ ex piſcibus carnibuſq; ſale maceratis liquamen eſt, ſi ex eo fotꝰ fiat, depaſcẽtia vlcera ſiſtit: morſis à cane medet̃, dyſẽtericis atq; iſchiadicis infunditur: nõnullis, vt exulcerata adurat: alijs autẽ ad laceſſenda, q̃ vlcera non ſenſerunt.

Ius piſcium. Cap. XXXV.

Recentiũ piſcium ius, modò per ſe, modò ex vino potum, aluũ ſubducit. Priuatim adhũc vſum cõficitur è phycidibus & ſcorpionib⁹, & iulide: è percis, & recẽtibus aliis ſaxatilib⁹, nec virus reſipientibus, ſimpliciter cum aqua, oleo, & anetho.

Cimices lectularij. Ca. XXXVI.

Cimices qui in cubilibus enaſcuntur, cauis fabarum incluſi, ſi ante febrium ſignificationes ſepteni deuorẽtur, quartanis auxilio ſunt: & citra fabas ſumpti, percuſſis ab aſpide ꝓſunt: vuluarum exanimationes olfactu reuocant: poti cum vino aut aceto adhærentes ſanguiſugas abigunt: triti & vrinariæ fiſtulæ impoſiti, vrinę anguſtias leuant.

Millepeda. Cap. XXXVII.

Millepedæ, quæ ſub aquario vaſe ſtabulantur, animalia ſunt multis pedibus nitẽtia, quæ cõtacta manu contrahunt in orbem: hæ ex vino potæ difficili vrinæ, & regio morbo auxiliantur. Millepedas illini anginis cum melle vtiliſſimũ. Tritę, & in cortice mali punici calfactæ, doloribus auriũ, addito roſaceo, cõuenienter inſtillãtur.

Blatta

Περὶ Ζωμοῦ τῶν νεαρῶν ἰχθύων. Κεφ. λε΄.

Ζωμὸς δὲ ὁ ἐκ τῶν νεαρῶν ἰχθύων κοιλίας ὑπαγωγός, ποτὲ μὲν καθ' ἑαυτὸν πινόμενος, ποτὲ δὲ μετ' οἴνου. ἰδίως δὲ σκευάζεται πρὸς ταῦτα ὁ ἀπὸ τῶν φωκίων καὶ σκορπίων καὶ ἰουλίδων καὶ περκίδων καὶ τῶν ἄλλων πετραίων ἁπαλῶν καὶ ἀβρώμων λιτῶς μεθ' ὕδατος καὶ ἐλαίου καὶ ἀνήθου.

Περὶ κόρεων. Κεφ. λϛ΄.

Κόρεις οἱ ἀπὸ κλήνης ἐντιθέμενοι βρώμασι μετὰ κυάμων τὸν ἀριθμὸν ζ΄. καὶ* καταπινόμενοι πρὸ τῆς ἐπισημασίας, ὠφελοῦσι τοὺς τεταρταΐζοντας, καὶ ἀσπιδοδήκτοις δὲ δίχα τῶν κυάμων καταποθέντες· ὑστερικῶς δὲ πνιγομένας ἀνακαλοῦνται ὀσφραινόμενοι· σὺν οἴνῳ δὲ ἢ ὄξει ποθέντες βδέλλας ἐξάγουσι· δυσουρίαν τε παύουσιν ἐντιθέμενοι τῷ οὐρητικῷ πόρῳ λεῖοι.

Περὶ κουβαρίδων. Κεφ. λζ΄.

Ονοι οἱ ὑπὸ τὰς ὑδείας, ζῷά εἰσι πολύποδα, σφαιρούμενοι κατὰ τὰς ἐπαφὰς τῶν χειρῶν· οὗτοι ποθέντες σὺν οἴνῳ βοηθοῦσι δυσουρίᾳ τε καὶ ἰκτέρῳ· διαχρισθέντες δὲ μετὰ μέλιτος συναγχικοὺς ὠφελοῦσι, καὶ πρὸς ὠταλγίαν δὲ λεῖοι σὺν ῥοδίνῳ θερμανθέντες ἐν κελύφῳ ῥοᾶς καὶ ἐνσταγέντες, ἁρμόζουσιν.

Περὶ

Περὶ Σίλφης. Κεφ. λη΄.

Σίλφης τῆς ἐν τοῖς ἀρτοκοπείοις εὑρισκομένης, τὰ ἐντὸς τριβόμενα σὺν ἐλαίῳ ἢ ἑψόμενα καὶ ἐνσταζόμενα ὠταλγίας παύει.

Περὶ πνεύμονος θαλασσίου. Κεφ. λθ΄.

Πνεύμων θαλάσσιος πρόσφατος λεανθεὶς ποδαγριῶντας καὶ χιμετλιῶντας, ὠφελεῖ καταπλασσόμενος.

Περὶ Χοιρείου πνεύμονος. Κεφ. μ΄.

Ὁ δὲ χοίρειος καὶ ἄρνειος καὶ ἄρκειος πνεύμων, τὰ ἐκ τῶν ὑποδημάτων παρατρίμματα ἐπιτιθέμενοι, ἀφλέγμαντα τηροῦσι.

Περὶ Πνεύμονος ἀλώπεκος. Κεφ. μα΄.

Καὶ ὁ τῆς ἀλώπεκος πνεύμων ξηρανθεὶς καὶ ποθεὶς, ἀσθματικοὺς ὀνίνησι. καὶ τὸ στέαρ δὲ αὐτῆς τακὲν καὶ ἐγχυθὲν, ὠτὸς πόνον παύει.

Περὶ Ἥπατος ὀνείου. Κεφ. μβ΄.

Ἧπαρ ὄνειον ἐσθιόμενον ὀπτὸν, ἐπιληπτικοὺς ὠφελεῖ, νήστεις δὲ λαμβανέτωσαν.

Περὶ Αἰδοίου ἄῤῥενος ἐλάφου. Κεφ. μγ΄.

Αἰδοῖον ἄῤῥενος ἐλάφου σὺν οἴνῳ ποθὲν λεῖον τοῖς ὑπὸ ἐχιδνῶν δηχθεῖσι βοηθεῖ.

Περὶ Ονύχων ὄνων. Κεφ. μδ΄.

Ονυχες ὄνων καέντες καὶ ποθέντες ἐπὶ ἡμέρας ἱκανὰς πλῆθος κοχλιαρίων δυοῖν, ἰσορρωῦται ἐπιληπτι-

Blatta piſtrinaria.
Cap. XXXVIII.

Blattæ eius quæ in piſtrinis inuenitur, interanea trita aut cum oleo decocta, aurium dolores inſtillatu mitigant.

Pulmo marinꝰ. Cap. XXXIX.

Podagras pernionéſq; emendat pulmo marinus recens, tritus & illitus.

Pulmo ſuillus.
Cap. XL.

Suillus & agninus vrſinúſq; pulmo impoſitu attritus à calceamentis contractos, ab inflammatione tuetur.

Pulmo vulpinus.
Cap. XLI.

Vulpinus verò ſi arefactus bibatur, ſuſpirioſos adiuuat. Adeps quoque liquefactus, infuſuſque, auris dolorem finit.

Hepar aſini. Cap. XLII.

Aſini iecur inaſſatũ eſu comitialibus prodeſt, veruntamẽ ieiunis edendum præcipitur.

Genitale cerui.
Cap. XLIII.

Genitale cerui tritum & vino potum, à vipera demorſis auxiliatur.

Vngula aſini. Cap. XLIIII.

Vngularum aſini cinis per dies multos binis cochlearibus potus proditur comitiales adiu-

adiuuare, eædem oleo ſubactæ ſtrumas diſcutiunt: & illitæ pernionibus medentur.

Lichenes equorum. Cap. XLV.

Lichenes ſunt in equorum genibus, & ſuper vngulas in flexu harum partium indurati calli: qui triti & in aceto poti, comitialibus mederi tradũtur.

Vnguli caprinarum. Cap. XLVI.

Caprinarum cinere perunctæ ex aceto alopeciæ ſanantur.

Iecur caprinum. Cap. XLVII.

Capræ verò inaſſati decidua ſanie, inungi luſcioſos prodeſt: & dum coquitur, apertos oculos halitu eius vaporari: prodeſt in cibo toſtum ad eadem. Tradunt hircini iocineris cibo comitiales deprehendi.

Iecur aprinum. Cap. XLVIII.

Aprinum recens ſi arefactũ teratur, ex vino potum contra ſerpentium volucrúmque morſus auxilio eſt.

Iecur canis rabidi. Cap. XLIX.

Iecur canis, qui rabie exagitatur, toſtũ & in cibo ab emorſis

ληπτικοῖς ὠφελεῖν, ἐλαίῳ δὲ φυραθέντες χοιράδας διαφορέουσιν· ἐπιπλασθέντες δὲ, χιμέτλας θεραπεύουσι.

Περὶ λειχήνων ἵππων. Κεφ. με.

Λειχῆνες ἵππων, εἰσὶ μὲν τύλοι κατ᾽ ἐπιφάνειαν ἐντετυλωμένοι παρὰ τοῖς γόνασι καὶ παρὰ ταῖς ὁπλαῖς· ποθέντες λεῖοι μετ᾽ ὄξους, ἐπιληψίας ἱστοροῦνται θεραπεύειν.

Περὶ Αἰγῶν ὀνύχων. Κεφ. μϛ΄.

Οἱ δὲ τῶν αἰγῶν ὄνυχες καέντες, ἀλωπεκίας καταχριόμενοι σὺν ὄξει θεραπεύουσι.

Περὶ Ἥπατος αἰγός. Κεφ. μζ΄.

Τοῦ δὲ ἥπατος τῆς αἰγὸς ὀπτωμένου, ὁ ἀπορρέων ἰχὼρ ἐγχριόμενος, νυκτάλωψιν ἁρμόζει· κἂν τῆς ἀτμίδος δέ τις ἑψομένου αὐτοῦ δέχηται ἀνεῳγόσι τοῖς ὀφθαλμοῖς ὠφελεῖται. ἁρμόζει δὲ καὶ ἐσθιόμενον ὀπτὸν πρὸς τὰ αὐτά. φασὶ δὲ καὶ ἐπιληπτικοὺς ἐλέγχεσθαι. φαγόντας μάλιστα τὸ τράγιον ἧπαρ.

Περὶ Ἥπατος κάπρου. Κεφ. μη.

Τὸ δὲ κάπρου ἧπαρ νεαρὸν καὶ ξηρὸν λεῖον σὺν οἴνῳ πινόμενον, ἑρπετῶν καὶ κτηνῶν δήγματα ὠφελεῖ.

Περὶ κυνὸς λυσσῶντος. Κεφ. μθ΄.

Κυνὸς λυσσῶντος ἧπαρ βιβρωσκόμενον ὀπτὸν ὑπὸ τῶν δηχθέντων

των ὑπ' αὐτοῦ, ἀπερίπτώτοις ὑδροφοβίας τηρεῖν πιστεύεται). χρῶνται δὲ εἰς προφυλακὴν καὶ τῷ κυνόδοντι τῆς δακόντος ἀποδοῦντες εἰς κυστίδα καὶ περιάπτοντες τῷ βραχίονι.

Περὶ Ηπατος αἰθύας.

Κεφ. ν΄.

Αἰθύας ἧπαρ ταριχευθὲν καὶ ποθὲν μεθ' ὑδρομέλιτος κοχλιαρίων δυοῖν πλῆθος, ἐκβάλλει δεύτερα.

Περὶ καττυμάτων.

Κεφ. να΄.

Τὰ δὲ ἀπὸ τῶν καττυμάτων παλαιὰ δέρματα, κεκαυμένα καὶ λεῖα καταπλασσόμενα, πυρίκαυστα καὶ παράτριμματα καὶ τὰ ἐξ ὑποδημάτων θλίμματα, θεραπεύει.

Περὶ Αλεκτορίδων. Κεφ. νβ΄.

Αλεκτορίδες ἀναρραγεῖσαι καὶ ἐπιτεθεῖσαι ἔνθερμοι, τοῖς ἑρπετῶν δήγμασι βοηθοῦσι· δεῖ δὲ συνεχῶς ἀλλάσσειν.

Περὶ Εγκεφάλου ἀλεκτορίδος. Κεφ. νγ΄.

Ο δὲ ἐγκέφαλος αὐτῶν ἐν πόματι θηριοδήκτοις σὺν οἴνῳ δίδοται, καὶ τὰς ἐκ μήνιγγος αἱμορραγίας ἐπέχει. * τοῦ δὲ ἄρρενος τὸ κατὰ τὰ ἐντὸς ὑποκείμενον τῇ κοιλίᾳ κερατοειδές· ἀποδερόμενον δὲ ἐν ταῖς ἑψήσεσι ξηρανθὲν, ἁρμόζει στομαχικοῖς, λεῖον μετ' οἴνῳ πινόμενον.

*ὁ δὲ

ſis ſumptū, ne tententur metu aquæ tueri creditur. Vtūtur autem ad arcendos aquæ pauores dente eo, qui caninus dicitur: hūc à cane, qui momordit exemptum, & folliculo inditū, ꝓ amuleto brachio adnectūt.

Iecur mergi. Cap. L.

Inueteratū autem ſale mergi iecur, ex hydromelite binis ligulis potum ſecundas pellit.

Coria veteramentaria.

Cap. LI.

Veteris corij cremati illitus cinis ambuſta igni, intertrigines, necnon calceamentorum attritus ſanat.

Gallinæ. Cap. LII.

Diſſectæ gallinæ, & adhuc calentes appoſitæ, ſerpentiū morſibus auxiliātur: ſed identidem alias ſufficere oportet.

Gallinarum cerebrum.

Cap. LIII.

Earū cerebellum in vino bibendū datur contra ſerpentiū morſus, ſanguinem à cerebri mēbrana profluentē ſiſtit. Quę īteriore vētriculi galli ſinu reſidet mēbrana, ſecti in laminas cornus ſpecie ſimilis (ea verò inter coquēdū abiici ſolet) ſiccat, tritáq; in vino cōueniētiſſimè ſtomachicis datur in potu.

Ius

Ius è vetere gallinaceo aluum deiicit. Abiectis itaque interaneis ſalem coniici oportet, & conſuto ventre decoqui in viginti ſextariis aquæ, donec ad treis heminas redigantur: totum id refrigeratum ſub diuo, datur. Aliqui incoquunt olus marinum, mercurialem, cnicum, aut filiculam. Crudos humores craſſoſque, atram bilem, & ſtrigmenta elicit: prodeſt longis febribus, ſuſpiriis, articulariis morbis & inflationibus ſtomachi.

Oui natura. Cap. LIIII.

Ouum molliculum plus alit ſorbili, & durum plus molli. Luteum oui, contra oculorum dolores vtile eſt: inaſſatum ſedis inflammationibus prodeſt, cum croco, & roſaceo: & condylomatis, cum meliloto: cum vua autem fruticis eius, quem rhoa dicũt, aut galla in patinis frigitur, vt cibo aluos ſiſtat: per ſe etiam offerri ſolet.

Candidum oui. Cap. LV.

Candidum oui crudum refrigerat, ſpiramenta cutis occludit, inflammationes oculorum infuſum lenit, ambuſta, ſi

ſta-

* ὁ δὲ ζωμὸς τοῦ νόσσακος μάλιστα δίδοται ἐπὶ κράσεως χάριν φαυλοτήτων καὶ ἐπὶ τὸν στόμαχον πυρουμένων λιτῶς σκευασθείς. Ὁ δὲ τῶν παλαιῶν ἀλεκτρυόνων, δίδοται πρὸς κάθαρσιν κοιλίας. ἐξελόντας δὲ τὰ ἐντὸς, δεῖ ἀντεμβάλλειν ἅλας, καὶ καταῤῥάψαντας ἕψειν μετὰ ὕδατος ξεστῶν κ΄. κατάγοντας εἰς κοτύλας γ΄. δίδοται δὲ πᾶν ἐξαιθριασθέν. ἔνιοι δὲ συνέψουσι κράμβην θαλασσίαν, ἢ λινόζωστιν, ἢ κνίκον. ἢ πολυπόδιον. ἄγει δὲ πάχος ὠμὸν, γλοιῶδες, μέλαν· ἁρμόζει δὲ πυρετοῖς χρονίοις, ἄσθμασιν, ἀρθριτικοῖς, ἐμπνευματουμένοις στομάχοις.

Περὶ Ὠοῦ. Κεφ. νδ΄.

Ὠον τὸ ἁπαλὸν τροφιμώτερον τοῦ ῥοφητοῦ, καὶ τοῦ ἁπαλοῦ τὸ σκληρόν. ἡ λέκυθος αὐτοῦ χρησίμη, πρὸς ὀφθαλμῶν περιωδυνίας· ὀπτηθεῖσα σὺν κρόκῳ καὶ ῥοδίνῳ· πρός τε τὰς περὶ δακτύλιον φλεγμονὰς καὶ κονδυλώματα, σὺν μελιλώτῳ· μετὰ ῥοὸς δὲ ἢ κηκίδος τηγανισθεῖσα, καὶ βρωθεῖσα ἵστησι κοιλίαν, καὶ καθ᾽ ἑαυτὴν δὲ προσενεχθεῖσα.

Περὶ Λευκοῦ τοῦ ὠοῦ. Κεφ. νε΄.

* Τὸ δὲ λευκὸν αὐτοῦ ὠμὸν ὂν ψύχει, ἐμπλάττει, παρηγορεῖ ἐγχυματισθὲν ἐπ᾽ ὀφθαλμῶν φλεγμαινόντων. κατακαύματά τε

ἐκ

ὐκ ἐᾷ φλυκταινοῦσθαι περίχρι-μα ἐπιχρισθὲν· πρόσωπά τε ἀνεπίκαυτα τηρεῖ, ἀνακόλλημα δὲ ἐστι ῥευματιζομένων σὺν λιβανωτῷ κατὰ τοῦ μετώπου* τιθέμενον· φλεγμονάς τε ὀφθαλμῶν πραΰνει ἐρίῳ ἀναληφθὲν μιχθέντος αὐτῷ ῥοδίνου καὶ οἴνου καὶ μέλιτος· ὠμὸν δὲ ῥοφηθὲν, αἱμορροΐδος δήγμασι βοηθεῖ. ἀκροχλιαρὸν δὲ πρὸς κύστεως δηγμοὺς καὶ ἑλκώσεις νεφρῶν, καὶ τραχυσμοὺς τραχείας ἀρτηρίας, καὶ αἵματος ἀναγωγὰς καὶ καταῤῥόοις καὶ θώρακος ῥευματισμοῖς ἁρμόζει.

Περὶ Τεττίγων. Κεφ. νϛ'.

Τέττιγες ὀπτοὶ ἐσθιόμενοι, τοῖς περὶ τὴν κύστιν ἀλγήμασι βοηθοῦσιν.

Περὶ Ἀκρίδων. Κεφ. νζ'.

Ἀκρίδες ὑποθυμιώμεναι, δυσουρίας μάλιστα τὰς ἐπὶ γυναικῶν ὠφελοῦσι.* ἡ δὲ λεγομένη ἀκρὶς* ἀσίρακος ἢ ὄνος, ἄπτερός ἐστι καὶ μεγαλόκωλος, πρόσφατος· ξηρανθεῖσα δὲ σφόδρα σκορπιοδήκτοις ὠφελεῖ πινομένη σὺν οἴνῳ. χρῶνται δὲ αὐτῇ κατακόρως οἱ κατὰ λέπτιν λίβυες.

Περὶ Φίνιδος. Κεφ. νη'.

Φίνις τὸ ὄρνεον ὃ ῥωμαῖοι καλοῦσιν* ὀσσίφραγον, τούτου ἡ κοιλία καὶ ὀλίγον ποτιζομένη, λίθους ἐξου-

ſtatim eo perungantur, puſtulas non ſentiunt: faciem à ſolis aduſtione tuetur, fronti impoſitum cum thure fluxiones arcet, auertítq;: inflammationes oculorum lana exceptum, addito roſaceo, melle & vino, mitigat: vtiliter cõtra hęmorrhoidis ſerpentis morſus crudum ſorbetur: ſummè tepidum prodeſt veſicæ roſionibus, renum exulcerationibus, gutturis ſcabritiæ, reiectionibus ſanguinis, deſtillationibus, & thoracis rheumatiſmis.

Cicadæ. Cap. LVI.

Cicadæ, quæ inaſſatæ manduntur, veſicæ doloribus proſunt.

Locuſtæ. Cap. LVII.

Locuſtæ odoris ſuffitu vrinæ difficultates adiuuant, præſertim quę fœminas malè habẽt: earũ carnes nullo ſunt in vſu. Eſt & quoddã genus locuſtæ, quæ aſiracos aut onos dicit, ſine pẽnis, prelõgis crurib9. Exiccata autẽ ſi ex vino bibatur, cõtra ſcorpionis morſus magnopere ꝓderit. Hac abũdè veſcũtur Aphri, qui Leptin incolunt.

Oſſifragus. Cap. LVIII.

VENTER eius auis, quam Latini oſſifragum appellant, particulatim potus, calculos

cum

cum lotio pellere proditur.

Galerita. Cap. LIX.

Galerita auicula eſt parua, apicem in vertice, pauonis modo, geſtans: quę aſſa, & in cibo ſumpta, cœliacos adiuuat.

Hirundines. Cap. LX.

Diſſectis creſcente luna pullis hirundinis, qui primo partu excluſi ſunt, in ventre eorum lapillos offendes: è quibus duos, vnum colore varium, alterum purum eximes: ij priuſquam terrã attigerint in iuuẽcæ corio, aut ceruina pelle brachio aut collo adalligati, comitialibus proderunt, & ſæpe prorſus eos recreabunt. Hirũdines, vti ficedulę, in cibo, aciei viſus medicamẽtum præbent. Tam pullorum, quàm matrum in fictili olla crematarum cinis cum melle oblitus, oculis claritatem adfert, anginæ eo commodè perunguntur: vuæ & tonſillarum inflammationibus hoc cinere ſuccurritur. Et ipſæ & pulli exiccati, ſi drachmæ pondere ex aqua bibantur, hos iuuãt, qui anginę morbo conflictantur.

Ebur. Cap. LXI.

Eboris ſcobe illito paronychia ſanantur. Vim adſtringendi ebur obtinet.

Suillus

ἐξουρεῖσθαι ποιεῖν ἱστορεῖται.

Περὶ Κορυδαλλοῦ. Κεφ. νθ'.

Κορυδαλλὸς ὀρνίθιόν ἐστι μικρὸν, ἔχον κατὰ τῆς κορυφῆς ὑπεροχὴν ὥσπερ ταῶνος. οὗτος βρωθεὶς ὀπτὸς, κοιλιακοῖς ὠφελεῖ.

Περὶ Χελιδόνος. Κεφ. ξ'.

Χελιδόνος νεοσσοὺς τοὺς ἐκ τῆς πρώτης νεοσσοποιΐας, αὐξομένης τῆς σελήνης ἀνατεμὼν, εὑρήσεις ἐν τῇ γαστρὶ λίθους, ἐξ ὧν δύο λαβὼν, ἕνα ποικίλον καὶ τὸν ἕτερον καθαρὸν, πρὸ τοῦ ἐπιψαῦσαι τῆς γῆς ἐνδήσας εἰς δέρμα δαμάλεως ἢ ἐλάφου, καὶ περιάψας βραχίονι ἢ τραχήλῳ, ἐπιληπτικοὺς ὠφελήσεις. πολλάκις δὲ καὶ παντελῶς ἀποκαταστήσεις. βιβρωσκόμεναι δὲ ὥσπερ αἱ συκαλίδες, ὀξυωπίας εἰσὶ φάρμακον. καὶ ἡ ἀπ' αὐτῶν δὲ τέφρα καὶ ἡ τῶν μητέρων καεισῶν ἐν χύτρᾳ μετὰ μέλιτος χρισθεῖσα, ὀξυδορκίαν ποιεῖ. ἁρμόζει δὲ καὶ συναγχικοῖς διαχριομένη, καὶ πρὸς σταφυλῆς καὶ παρισθμίων φλεγμονάς. σκελετευθεῖσαι δὲ αὗται καὶ οἱ νεοσσοὶ, συναγχικοὺς ὠφελοῦσι πινόμεναι μεθ' ὕδατος πλῆθος < α.

Περὶ Ἐλέφαντος. Κεφ. ξα'.

Ἐλέφαντος ὀδόντος ῥίνισμα, παρωνυχίας καταπλασθὲν θεραπεύει. Δύναμιν δὲ ἔχει στυπτικήν.

Περὶ Ἀστρα-

Περὶ Ἀστραγάλου ὑός. Κεφ. ξβ΄.

Ἀστράγαλος ὑὸς καεὶς μέχρις ἂν ἐκ μέλανος γένηται λευκὸς, καὶ λεῖος ποθεὶς, ἐμπνευματώσεις κώλου καὶ στρόφους χρονίους ἰᾶται.

Περὶ Ἐλάφου κέρατος.

Κεφ. ξγ΄.

Ἐλάφου κέρας κεκαυμένον καὶ πεπλυμένον, ἁρμόζει πινόμενον πλῆθος δυοῖν κοχλιαρίων αἱμοπτοϊκοῖς, δυσεντερικοῖς, κοιλιακοῖς, ἰκτερικοῖς, κύστεως ἀλγήμασι μετὰ τραγακάνθης, ῥοϊκαῖς δὲ γυναιξὶ μετ' ὑγροῦ τοῦ πρὸς τὸ πάθος ἁρμόζοντος. καίεται δὲ ἐν καμίνῳ καταβληθὲν καὶ κοπὲν εἰς ὠμὴν χύτραν περιπεπλασμένην πηλῷ, ἄχρις ἂν λευκὸν γένηται. πλύνεται δὲ ὡς καδμία· τὸ δὲ τοιοῦτον ἁρμόζει πρὸς τὰ ἐν ὀφθαλμοῖς ἕλκη καὶ ῥεύματα· καὶ ὀδόντας παρατριβόμενον σμήχει· ὠμὸν δὲ θυμιαθὲν, ἑρπετὰ διώκει· ἀποζεσθὲν δὲ μετ' ὄξους καὶ διακλυζόμενον, παρηγορεῖ γαμφιάσεις.

Περὶ Καμπῶν. ξδ΄.

Κάμπαι αἱ ἐπὶ τῶν λαχάνων γενόμεναι, περιχριόμεναι σὺν ἐλαίῳ ἀδήκτους ἀπὸ τῶν ἰοβόλων φυλάττειν λέγονται.

Περὶ Κανθαρίδων.

Κεφ. ξε΄.

Κανθαρίδες εἰς ἀπόθεσιν εὔθετοι αἱ ἀπὸ τοῦ σίτου, ἃς βαλὼν εἰς ἀκώ-

Suillus talus. Cap. LXII.

Suis talus comburitur, dum è nigro albeſcat: qui tritus & potus inflationibus coli, longiſque torminibus medetur.

Ceruinum cornu.

Cap. LXIII.

Cerui in cornu cinis elotus, binis ligulis epotus, prodeſt dyſentericis, excreantibus ſanguinem, cœliacis, regio morbo, & veſicæ doloribus cum tragacantha: fœminis fluxione vuluæ laborantibus, cum liquore huic rei accommodato. Cerui cornu contuſum, crudo fictili, luto circũlito, & in furnum indito, vritur donec albeſcat: id cadmiæ modo elotum, vlceribus oculorũ, & defluxionibus ſalutare eſt: infrictũ dentes expurgat. Crudi cornu ſuffiti nidore ſerpētes fugantur: feruefactum in aceto, ſi eo gingiuæ colluantur, maxillarum à dentitione dolorem adimit.

Eruca. Cap. LXIIII.

Erucis, quæ in oleribus gignuntur, cum oleo peruncti, à venenatis beſtiis feriri negantur.

Cantharides.

Cap. LXV.

E frumẽtis cõgeſtę cãtharides ad recõdẽdũ idoneæ ſunt, quæ fictili

fictili vaſe nõ picato conduntur, & raro linteo obligato ore, & deorſum cõuerſo ſuſpen dũtur ſuper aceti feruẽtis, q̃ acerrimi halitũ, donec ęſtu exanimẽtur: poſtea lino transfixæ reponuntur. Potentiſsimæ om nes variæ, luteis lineis, quas in pẽnis trãſuerſas habẽt, promiſſóq; corpore craſſæ ac blattarum modo perpingues: ſed inertes ac imbecillæ, quæ vnius ſunt coloris.

Bupreſtes, & pinorum erucæ. Ca. LXVI.

Simili modo reconduntur bupreſtes, genera quædã cantharidum, & pinorum erucæ: quæ ſupra cribrum ſuſpenſum feruenti cinere pauliſper introſtæ, reponuntur. Vis omnium communis erodere, vlcerare, calorem elicere, qua de cauſa admiſcentur medicamentis quæ lepras, ferãſque lichenas & carcinomata ſanant. Menſes ciunt peſsis emollientibus additæ, Aliqui cantharidas antidotis impoſitas, aquæ ſubter cutem auxiliari prodiderunt: argumento, quòd vrinam moueant. Alij pennas pedesque contra potarum veneficia, remedio eſſe tradiderunt.

Sala-

ἀκόνιτον ἀγγεῖον, καὶ τὸ στόμα περιδήσας ὀθονίῳ ἀραιῷ, καθαρῷ, περικατάστρεψον ἀτμῷ ζέοντος ὄξους δριμυτάτου, καὶ ἕως ἂν πνιγῶσι κράτει· εἶτα διαπείρας λίνῳ ἀποτίθεσο. ἐνεργέσταται δέ εἰσιν αἱ ποικίλαι, καὶ μηλίνας ἐπικαρσίοις ζώνας ἔχουσαι ἐν τοῖς πτεροῖς, ἐπιμήκεις τὸ σῶμα, ἁδραὶ, ἐμπίμελοι, ὡς αἱ σίλφαι· ἄτονοι δὲ εἰσιν αἱ μονόχρωμοι.

Περὶ Βουπρήστου. Κεφ. ξς'.

Ὡσαύτως δὲ ἀποτίθενται καὶ αἱ βουπρήστεις, εἶδος οὖσαι κανθαρίδων, καὶ αἱ πιτυοκάμπαι· καὶ αὗται δὲ ἐπὶ κοσκίνου ἐπαιωρουμένου, θερμοσποδιᾷ φωγνύμεναι, ἐπὶ βραχὺ ἀποτίθενται. δύναμις δὲ αὐτῶν κοινὴ, σηπτικὴ, ἑλκωτικὴ, θερμαντική· ὅθεν μίγνυνται φαρμάκοις τοῖς τὰ καρκινώδη καὶ λέπρας καὶ λειχῆνας ἀγρίους θεραπεύουσιν. ἄγουσι δὲ καὶ ἔμμηνα πεσσοῖς μαλακτικοῖς μιγεῖσαι. ἔνιοι δὲ ἱστόρησαν τὰς κανθαρίδας καὶ ὑδρωπικοῖς βοηθεῖν, μιγνυμένας ἀντιδότοις ὡς οὔρησιν κινούσας. οἱ δὲ, τὰ πτερὰ αὐτῶν καὶ τοὺς πόδας τοῖς πιοῦσιν αὐτὰς ἀντιφάρμακον ἀνέγραψαν.

Περὶ σα-

Περὶ Σαλαμάνδρας. Κεφ. ξζʹ.

Σαλαμάνδρα εἶδός ἐστι σαύρας· ἔστι δὲ νωχελὲς, ποικίλον, μάτην πιστευθὲν μὴ καίεσθαι. Δύναμιν δὲ ἔχει σηπτικὴν, ἑλκωτικὴν, θερμαντικήν. μίγνυται δὲ σηπταῖς καὶ λεπρικαῖς ὡς ἡ κανθαρὶς, καὶ ἀποτίθεται ὁμοίως. ψιλοῖ δὲ καὶ τρίχας τακεῖσα μετ᾽ ἐλαίου. φυλάσσεται δὲ καὶ ἐν μέλιτι ἐξεντερισθεῖσα, τῶν ποδῶν καὶ τῆς κεφαλῆς ἀφαιρεθέντων εἰς τὴν αὐτὴν χρῆσιν.

Περὶ Ἀράχνης. Κεφ. ξηʹ.

Ἀράχνη τὸ ζῶον, ὃ ὁλκὸν ἔνιοι ἢ λύκειον καλοῦσι, συμμαλαχθεῖσα σπληνίῳ, καὶ ἐμπλασθεῖσα εἰς * ὀθόνην, προστεθεῖσα μετώπῳ ἢ κροτάφοις, τριταϊκὰς περιόδους ὑγιάζει. τὸ δὲ ὕφος αὐτῆς ἐπιτιθέμενον αἷμα ἵστησι, καὶ ἀφλέγμαντα τηρεῖ τὰ ἐπιπόλαια τῶν ἑλκῶν. ἔστι δὲ καὶ ἕτερον εἶδος ἀράχνης, κατασκευάζον τὸν ὑμένα λευκὸν, λεπτὸν, καὶ πυκνόν· ὃ ἱστορεῖται ἐνδεόμενον εἰς κυτίδα, καὶ περιαπτόμενον βραχίονι, τεταρταϊκὰς περιόδους θεραπεύειν. συνεψηθὲν δὲ ῥοδίνῳ ὠταλγίαις βοηθεῖ ἐγχεόμενον.

Περὶ Σαύρας. Κεφ. ξθʹ.

Σαύρας ἡ κεφαλὴ λεία ἐπιτεθεῖσα, σκόλοπας ἐξάγει καὶ πάντα τὰ ἐμπεπηγότα.

αἴρει

Salamandra. Cap. LXVII.

Salamādra lacertę genus eſt, iners, varium: quod fruſtra creditum eſt, ignibus non vri. Vim habet erodentem, calfactoriā, exulcerantem. Additur, vt cantharis, in medicamenta, quorū vis eſt exeſſe, & lepras abolere: ſimiliſque modo reconditur. liquefacta in oleo pilos euellit. Exenterata, detractis pedibus & capite in melle ſeruatur ad eundem vſum.

Araneus. Cap. LXVIII.

Araneus quem holcum, alij lycon, id eſt lupū vocant, ſubactus cū ſplenio, & linteo illitus, prolatusque vtriſq; temporibus aut fronti, tertianos circuitus perſanat. Tela eius impoſita ſanguinem ſiſtit, vulnera quæ ſummam cutem occuparunt, ab inflammationis iniuria vindicat. Eſt & alterum aranei genus, qui candidam, tenuem, dēſamq; telam orditur: quem in aluta ligatū, & lacerto appenſum, quartanis circuitibus mederi narrāt. Decoctus ex roſaceo, & infuſus, aurium doloribus auxiliatur.

Lacerta. Cap. LXIX.

Lacertæ caput intritum, & appoſitum, aculeos, & omnia corpori infixa extrahit:

l varos,

varos, formicãtes verrucas, & penſiles, quas acrochordonas vocãt, tollit. Iecur exeſis dentibus cõiectũ dolores finit. Si diuulſa admoueatur, ictis à ſcorpione leuamentum præſtat.

Seps. Cap. LXX.

Seps, quam aliqui lacertam chalcidicam vocarunt, in vino pota morſus ſuos ſanat.

Scincus. Cap. LXXI.

Scincus aut Ægypti, aut Indiæ, aut rubri maris alumnus, quamuis inueniatur in Lydia Mauritaniæ. Eſt autem terreſtris crocodilus, ſui generis, ſale inueteratus cum naſturtio. Aiunt carnes, quæ renes amplectantur, id ſibi virium vendicaſſe, vt ſi drachmæ pondere bibantur, venerem accendant. Verum decocto lentis cum melle aut ſemine lactucæ cum aqua poto, veneris cupiditates inhibentur. Additur in antidota.

Terreni vermes. Cap. LXXII.

Terreni vermes impoſiti, præciſos neruos glutinant, tertianas diſcutiunt: decocti cũ anſerino adipe, & infuſi, affectis auribus medẽtur: cum oleo autẽ decocti, ſi in contrariã aurẽ inſtillentur, dentium doloribus præ-

αἴρει δὲ καὶ μυρμηκίας, καὶ ἀκροχορδόνας, καὶ ἥλους.* τὸ δὲ ἧπαρ αὐτῆς ἐντεθὲν τοῖς τῶν ὀδόντων βρώμασιν, ἀπονίαν ποιεῖ. ὅλη δὲ ἀναχιθεῖσα, καὶ ἐπιτεθεῖσα σκορπιοπλήκτοις κουφίζει.

Περὶ Σηπός. Κεφ. ο΄.

Σήψ, ἣν ἔνιοι σαύραν ἐκάλεσαν χαλκιδικὴν, ἐν οἴνῳ ποθεῖσα, τοὺς ὑπ᾽ αὐτῆς δηχθέντας ἰᾶται.

Περὶ Σκίγκου. Κεφ. οα΄.

Σκίγκος ὁ μέν τίς ἐστιν αἰγύπτιος, ὁ δὲ ἰνδικὸς, ἄλλος ἐν τῇ ἐρυθρᾷ γινόμενος· ἕτερος δὲ ἐν τῇ λυδίᾳ τῆς μαυρειτανίας εὑρίσκεται. ἔστι δὲ κροκόδειλος χερσαῖος, ἰδιογενὴς, ταριχευόμενος ἐν καρδάμῳ. φασὶ δὲ δύναμιν ἔχειν ποθὲν τὸ περὶ τοὺς νεφροὺς αὐτοῦ μέρος, ὅσον < πλῆθος μετ᾽ οἴνου, ὁρμητικὴν πρὸς τὰ ἀφροδίσια· ἀποπαύεσθαι δὲ τὴν ἐπίτασιν τῆς προθυμίας, φακοῦ ἀφεψήματι μετὰ μέλιτος πινομένῳ ἢ θρίδακος σπέρματι μεθ᾽ ὕδατος. μίγνυται δὲ καὶ ἀντιδότοις.

Περὶ τῶν τῆς γῆς ἐντέρων. Κεφ. οβ΄.

Γῆς ἔντερα λεῖα ἐπιτεθέντα, νεύρων ἀποκοπὰς κολλᾷ, λύει δὲ καὶ τριταίους· ἑψηθέντα δὲ σὺν χηνείῳ στέατι, διαθέσεις ὤτων ἐγχυματιζόμενα θεραπεύει· συνεψηθέντα δὲ ἐλαίῳ καὶ ἐγχεόμενα εἰς τὸ ἀντικείμενον οὖς ὀδονταλγίαις βοηθεῖ·

βοηθεῖ· ἄγει δὲ καὶ οὖρα λεῖα πινόμενα σὺν γλυκεῖ.

Περὶ Μυγάλης. Κεφ. ογʹ.

Μυγάλη ἀνασχισθεῖσα καὶ ἐπιτεθεῖσα, ἄκος ἐστὶ τοῦ ἰδίου δήγματος.

Περὶ Μυῶν. Κεφ. οδʹ.

Μύας τοὺς κατοικιδίους ἀνασχισθέντας, σκορπιοπλήκτοις ὠφελίμως ἐπιτίθεσθαι ὁμολογεῖται· βρωθέντας δὲ ὀπτοὺς ὑπὸ παίδων ἀναξηραίνειν τὸ ἐν τοῖς στόμασιν αὐτῶν σίελον.

Περὶ Γάλακτος. Κεφ. οέ.

Γάλα κοινῶς μὲν πᾶν, εὔχυμον, τρόφιμον, μαλακτικὸν κοιλίας, φυσητικὸν στομάχου καὶ ἐντέρων· ὑδαρέστερον μέντοι τὸ ἐαρινὸν τοῦ θερινοῦ, καὶ τὸ ἀπὸ χλωρᾶς νομῆς μᾶλλόν ἐστι μαλακτικὸν κοιλίας. ἔστι δὲ καλὸν γάλα, τὸ λευκὸν καὶ ὁμαλὸν τῇ παχύτητι, καὶ συστρεφόμενον ἐπειδὰν ἐπισταγῇ ὄνυχι. τὸ δὲ αἴγειον ἧττον κοιλίας ἅπτεται διὰ τὸ τὰς αἶγας τὸ πλέον στυφούσῃ νομῇ χρῆσθαι· δρυῒ καὶ σχίνῳ, καὶ θαλλίᾳ, καὶ τερμίνθῳ· ὅθεν καὶ εὐστόμαχον τυγχάνει. τὸ δὲ προβάτειόν ἐστι * παχύ τε καὶ γλυκὺ καὶ πάνυ λιπαρὸν, οὐχ οὕτω δὲ εὐστόμαχον. τὸ μέντοι βόειον καὶ ὄνειον καὶ ἵππειον, εὐκοιλιώτερα καὶ ταρακτικά. πᾶν δὲ γάλα κοιλίας καὶ στομάχου ἀναστατικόν,

ὅπου

præſtant auxilium: triti in potu ex paſſo vrinam ciunt.

Mus araneus. Cap. LXXIII.

Mus araneus diſſectus, & impoſitus, ſui morſus venefi-cia luit.

Mures. Cap. LXXIIII.

Mures, qui in domibus oberrant, conciſos ſcorpionum plagis vtiliſsimè imponi, in cõfeſſo eſt: ſi inaſſatos infantes ederint, oris ſaliuam exiccari promittunt.

Lac. Cap. LXXV.

Lac generatim omne boni ſucci eſt: corpus alit, aluum emollit, ſtomachum & inteſtina inflatione vexat: vernum tamen dilutius æſtiuo habetur, & è viridi pabulo aluum magis emollit. Probatur autẽ candidũ, equali craſsitudine, quod vngui inſtillatum cogitur. Aluum minus tentat caprinum: quoniã pecus hoc adſtringentibus pabulis, robore, lentiſco, & oleaginis frondibus, & terebintho magna ex parte veſcitur: inde ſtomacho accommodatiſsimũ reddi ſolet. Ouillum aũt dulce, craſſum, & præpingue, non vſque adeò vtile ſtomacho. Bubulum tamen, aſininum, & equinũ, ventri magis idonea: ſed ipſum turbant.

 Qui-

Quibus in locis pecora, ſcammoniam, veratrũ, clematidem, aut mercurialem paſcũtur, lac omne ventrem, & ſtomachum ſubuertit. quale in Iuſtinis mõtibus eſſe, à nobis proditũ eſt. Siquidem capræ, quibus candidũ veratrũ pabulo fuerit, primo foliorũ partu euomunt: & eorũ lac hauſtũ nauſeã creat, & ſtomachũ in vomitiones effundit. Ventrẽ adſtringit lac omne decoctũ, præcipuéq; candentibus calculis marinis exuſtũ: & in ſumma, omnibus auxiliatur internis exulcerationibus, præſertim faucium, pulmonis, interaneorũ, veſicæ, & renum: foris verò contra pruritũ cutis, eruptiones papularũ, & vitiatos corporis ſuccos, recẽs cum melle crudo, addito ſale, datur exigua aqua dilutũ. Minus inflat quodcũq; ſemel feruefactũ. Decoctũ cum calculis marinis ad dimidias, vlceroſas ventris fluxiones adiuuat.

Serum lactis. Cap. LXXVI.

Lac quodcunq; ſerum continet implicitũ, quod vbi diſceſſit à lacte, multò potentiſsimũ ad purgatiões redditur. Datur quibus ſine acrimonia volumꝰ deiectionem moliri, vt melancholicis, comitialibꝰ, lepris, elephantiis

ὅπου ἐστὶ νομὴ σκαμμωνία, ἢ ἐλλέβορος, ἢ λινόζωστις, ἢ κληματίς. ὡς καὶ ἐν τοῖς ἰουστίνοις ὄρεσιν ὑφ᾽ ἡμῶν ἱστόρηται· αἱ γὰρ αἶγες νεμόμεναι τοῦ λευκοῦ ἐλλεβόρου τὰ φύλλα, κατὰ τὴν πρώτην ἐκβλάστησιν αὐτῶν, αὗται ἐμοῦσι· καὶ τὸ γάλα ἀνατρεπτικὸν στομάχου καὶ ναυτίας* γίνεται. ἑψηθὲν δὲ πᾶν γάλα στεγνωτικὸν γίνεται κοιλίας καὶ μάλιστα τὸ διαπύροις κόχλαξιν ἐξικμασθὲν, κοινῶς δὲ καὶ ταῖς ἐντὸς ἑλκώσεσι βοηθεῖ, μάλιστα δὲ βρόγχου, πνεύμονος, ἐντέρων, νεφρῶν, κύστεως, καὶ πρὸς τοὺς τῆς ἐπιφανείας κνησμοὺς, ἐξανθήματα, καὶ κακοχυμίας, δίδοται νεαρὸν μετὰ μέλιτος ὠμοῦ καὶ ὕδατος συνανακερασθέντος ὀλίγου, μιγνυμένων καὶ ἁλῶν. ἀφυσότερον δὲ γίνεται ἀποζεσθὲν ἅπαξ. τὰ δὲ τῆς κοιλίας μεθ᾽ ἑλκώσεως ῥεύματα, ἄχρις ἡμίσεως τοῖς κόχλαξιν ἑψηθὲν ὠφελεῖ.

Περὶ Ὀῤῥοῦ γάλακτος.

Κεφ. οϛʹ.

Ἔχει δὲ πᾶν γάλα παρεμπεπλεγμένον τὸν ὀῤῥὸν, ὃς χωριζόμενος πρὸς κάθαρσιν εὐτονώτερος γίνεται. διδόμενος ἐφ᾽ ὧν δίχα δριμύτητος ἔκκρισιν βουλόμεθα ποιῆσαι, ὡς ἐπὶ μελαγχολικῶν, ἐπιληπτικῶν, λέπρας, ἐλεφαντιά-

πάσεως, καὶ ἐξανθημάτων τῶν περὶ ὅλον τὸ σῶμα.

Περὶ Σχιστοῦ γάλακτος.

Κεφ. οζ'.

Σχίζεται δὲ πᾶν γάλα ζεννύμενον ἐν καινῇ χύτρᾳ κεραμίᾳ καὶ κινούμενον κλάδῳ συκίνῳ νεοτμήτῳ, καὶ μετὰ τὸ ζέσαι δὶς ἢ τρὶς ἐπιρραίνεται ὀξυμέλιτος κύαθος, πρὸς ἑκάστην κοτύλην τοῦ γάλακτος· οὕτω γὰρ διορίζεται ὁ ὀῤῥὸς τοῦ τυρώδους. δεήσει δὲ πρὸς τὸ μὴ ὑπερζέσαι τὸ γάλα, ἐν τῇ ἑψήσει σπόγγῳ ἐκ ψυχροῦ συνεχῶς ἀποψᾶν τὸ χεῖλος τῆς χύτρας, καὶ ξέστην ἀργυροῦν πλήρη ὕδατος ψυχροῦ καθιέναι. ποτίζεται δὲ ὁ ὀῤῥὸς ἐκ διαστήματος κατὰ κοτύλην ἄχρι πέντε κοτυλῶν, ἐν δὲ τοῖς μεταξὺ διαστήμασι περιπατείτωσαν οἱ* πίνοντες. ποιεῖ δὲ τὸ πρόσφατον γάλα καὶ πρὸς τοὺς ἀπὸ τῶν θανασίμων φαρμάκων δηγμοὺς καὶ πυρώσεις, ὡς κανθαρίδος ἢ πιτυοκάμπης, ἢ σαλαμάνδρας, ἢ βουπρήστεως ἢ ὑοσκυάμου, ἢ δορυκνίου, ἢ ἀκονίτου, ἢ ἐφημέρου· πρὸς δὲ τοῦτο μάλιστα τὸ βόειον συμφέρει ἰδίως ἁρμόζον. διακλύζεται δὲ καὶ πρὸς ἑλκώσεις στομάτων καὶ παρισθμίων εἰς ἀναγαργάρισμα. ἰδίως δὲ τὸ ὄνειον διακλυζόμενον, οὖλα καὶ ὀδόντας κρατύνει· τοὺς δὲ τῆς κοιλίας μεθ' ἑλκώσεως ῥευματισμοὺς

καὶ

phantiis, & erumpentibus toto corpore papulis.

Schiſtum lactis.

Ca. LXXVII.

Ex omni lacte fit, quod ſchiſtũ, id eſt ſciſsile, appellant. Lac aũt fictili nouo feruet, ramóq; ficulneo recẽti mouetur, inſparſis, poſtquã bis aut ter efferbuerit, totidẽ aceti mulſi cyathis, quot ſunt heminæ lactis: ita enim ſereſcẽs liquidũ ab eo diuiditur, quod in caſeũ concreuit. Sed cũ feruet, ne ſuperfundatur, cõueniet ſpongia ex frigida continuò fictilis labrum detergere, ſextariũq; argẽteũ frigidæ aquæ plenũ demittere. Bibitur heminis per interualla ſingulis, vſque ad quinas, ita vt intercedentibus ſpatiis, potantes ambulent. Lac autẽ recens efficax eſt contra roſiones vſtionéſque, ab exitialibus medicamentis factas, vti à cantharidibus, aut ſalamandra, bupreſte, aut pinorum eruca, hyoſcyamo, dorycnio, aconito, aut ephemero: præſertim bubulum ad id eximiè cõfert. Gargarizatur autem exulceratis faucibus, tonſillisque. Aſininũ peculiariter collutos dentes gingiuaſque ſtabilit. Fluxiones alui, ſi vlcera ſentiãtur,

 te-

teneſmosq;, ouillum, bubulum aut caprinũ cũ marinis lapillis decoctũ, ſiſtit: per ſe autẽ & cũ hordeacea ptiſana aut halicaceo cremore infuſum magnopere inteſtinorũ roſiones mitigat: exulceratę vuluæ immittit.

Lac muliebre.
Cap. LXXVIII.

Humanum lac dulciſsimum eſt, & maximè alit: mammis autem exuctum, prodeſt tabi, & ſtomachi roſionibus: cõtra hauſtum leporem marinum præſidio eſt: oculis cruore ex ictu ſuffuſis, cum thuris polline inſtillatur: podagricis vtile eſt, cum meconio, & cerato illitum. Lac omne reſpuendum ſplenicis, hepaticis, comitialibus, vertiginoſis, & neruorum vitio laborantibus, febriculoſis, & capite dolentibus: niſi ſi quis interdum purgationis gratia, vt oſtendimus, ſchiſtum præbeat. Primiparæ canis lacte perunctos narrant glabreſcere: potum contra venena antidoti vicem obtinet, abortus mortuos expellit.

Caſeus recens:
Cap. LXXIX.

Caſeus recens ſine ſale ſumptus alit, ſtomacho vtilis eſt, &

καὶ τεινεσμοῖς. προβάτειον ἢ βόειον ἢ αἴγειον ἵστησιν ἑψηθὲν διὰ κοχλάκων· ἐγκλύζεται δὲ καὶ καθ' ἑαυτὸ καὶ μετὰ πτισάνης ἢ χόνδρου χυλοῦ, ἱκανῶς πραΰνων τὴν τῶν ἐντέρων δῆξιν· ἐγκλύζεται δὲ καὶ μήτρα ἑλκουμένη.

Περὶ Γυναικείου γάλακτος. Κεφ. οη.

Τὸ δὲ τῆς γυναικὸς γάλα γλυκύτατόν ἐστι καὶ τροφιμώτατον· ὠφελεῖ δὲ θηλαζόμενον, στομάχου δῆξιν καὶ φθίσιν· ἁρμόζει δὲ καὶ πρὸς λαγωοῦ θαλασσίου πόσιν· μιγὲν δὲ λιβανωτῷ λείῳ, ἐνστάζεται τοῖς ἐκ πληγῆς αἱμαχθεῖσιν ὀφθαλμοῖς· καὶ ποδαγρικοὺς ὠφελεῖ, σὺν μηκωνείῳ καὶ κηρωτῇ καταχριόμενον. ἄθετον δὲ πᾶν γάλα σπληνικοῖς, ἡπατικοῖς, σκοτωματικοῖς, ἐπιληπτικοῖς, τοῖς τὸ νευρῶδες πάσχουσι, πυρέσσουσι, κεφαλαλγοῦσιν· εἰ μή ποτε καθάρσεως ἕνεκά τις προσφέρει τὸ σχιστὸν ὡς ὑποδέδεικται. ἱστοροῦσι δέ τινες τὸ τῆς πρωτοτόκου κυνὸς γάλα ψιλοῦν τρίχας καταχρισθὲν, καὶ θανασίμων φαρμάκων ἀντιφάρμακον ποθὲν καὶ τεθνηκότων ἐμβρύων ἐκβόλιον.

Περὶ Τυροῦ νεαροῦ.
Κεφ. οθ'.

Τυρὸς νεαρὸς δίχα ἁλῶν ἐσθιόμενος τρόφιμος, εὐστόμαχος, εὐανά-

εὐανάδοτος· σαρκῶν ποιητικὸς, κοιλίας μετρίως μαλακτικός· διαφέρων αὐτοῦ αὐτὸς παρὰ τὴν τοῦ γάλακτος φύσιν, ἀφ' οὗ σκευάζεται. ἑψηθεὶς δὲ καὶ ἐκθλιβεὶς, εἶτα ὀπτηθεὶς, σταλτικὸς γίνεται κοιλίας· ὠφελεῖ δὲ καταπλαττόμενος ὀφθαλμῶν φλεγμονὰς καὶ ὑπώπια. ὁ δὲ νεαλὴς, εὐτροφώτερος ἐσθιόμενος· καὶ πρὸς καθαίρεσιν* σαρκὸς ἐπιτήδειος, κακοστόμαχος, λυπῶν κοιλίαν καὶ ἔντερα. ὁ δὲ παλαιότερος, κοιλίας σταλτικός. καὶ ὁ ἐξ αὐτοῦ ὀῤῥὸς, κυνῶν τροφιμώτατος.

Περὶ Ἱππάκης.

Κεφ. π'.

Η δὲ* καλουμένη ἱππάκη, τυρός ἐστιν ἵππιος, βρομώδης, καὶ πολύτροφος, ἀναλογῶν τῷ βοείῳ. ἔνιοι δὲ ἱππάκην ἐκάλεσαν τὴν ἵππειον πυτίαν.

Περὶ Βουτύρου καὶ τῆς ἐξ αὐτοῦ λιγνύος. Κεφ. πα'.

Βούτυρον σκευάζεται καλὸν ἐκ τοῦ λιπαρωτάτου γάλακτος, τοιοῦτον δέ ἐστι τὸ προβάτειον· γίνεται δὲ καὶ ἐκ τοῦ αἰγείου ἐν ἀγγείοις κινουμένου τοῦ γάλακτος, καὶ χωριζομένου τοῦ λίπους. ἔχει δὲ δυνάμεως μαλακτικῆς, ἢ ἐλαιώδους· ὅθεν κοιλίας τε ἐκλύει πλέον ποθέν· καὶ πρὸς τὰ θανάσιμα μὴ παρόντος ἐλαίου χρησιμεύει. μιχθὲν δὲ μέλιτι καὶ παρατριφθὲν, ὀδοντιάσεις ὠφελεῖ, καὶ τοὺς

& facilè in mēbra delegatur: corpus auget, aluum modicè emollit: alius tamen alio præſtātior, pro natura lactis à quo conficitur. Decoctus autem, & expreſſus, deinde inaſſatꝰ, aluū ſiſtit: illitus, oculorú inflammationibus, & ſugillatis prodeſt. Qui verò recens ſalitus eſt, minus alimenti præbet: corpus aptè minuit, ſtomacho aduerſatur, negotiū ventri interaneíſq; exhibet: vetuſtiore ſiſtitur aluus. Sero quod à caſeo manauit, quàm optimè canes alũtur.

Caſeus equinus. Ca. LXXX.

Quod hippacen vocant, caſeus eſt equinus: ea virus redolet, magnopere alit, bubulóq; proportione reſpondet. Nec deſunt, qui hippacen, equinum coagulum appellarint.

Butyrum, & eius fuligo.

Cap. LXXXI.

E lacte pinguiſsimo probatum fit butyrum, quale ouillum eſt: fit & ex caprino, agitato in vaſis lacte, donec pingue ſeparetur. Butyrum natura oleoſum eſt & emolliens: vnde largius epotum, ventrem reſoluit: prodeſt, vbi oleum non adfuerit, contra venena. Cum melle ſi infricetur, dentitiones adiuuat:

gingiuarũ pruritus, & oris vlcera infantibus emendat. Illitũ foris capaciora alimentorũ facit corpora, & ab albidis puſtulis per ſumma ſcatẽtibus aſſerit. Cõtra inflammationes & duritias vuluæ, quod nec virus reſipit, nec vetuſtatẽ ſentit, butyrũ efficax eſt: dyſentericis, & coli exulcerationibꝰ infundit: in medicamẽta addi ſolet, quæ pus mouẽt: vtile pręſertim cum nerui, aut cerebri mẽbranę, veſicæ ceruix, vulnera acceperit. Id autẽ purgat, replet, carnem creat, ab aſpide percuſſis vtiliſſimè imponitur. Recens obſoniis additũ olei vicem pẽſat, & adipis vice fũgitur in bellariis. Colligendæ ex eo fuliginis ratio hæc eſt: Butyrũ in lucernã nouam ingeſtũ accenditur, fictiliq; operculato quod ſupernè in ſiphunculi ſpeciem deſinat, & infima parte cuniculos clibani modo habeat, crematur & ſubinde aliud in abſumpti locum ſufficitur, dum coaceruetur fuliginis modus, quẽ facere inſtitueris: penna poſt deraditur ad vſus. Eius effectus eſt in medicamẽtis oculorum, exiccare & adſtringere: fluxiones cohibet, & vlcera celeriter ad cicatricem perducit.

Medi-

καὶ τοὺς τῶν οὔλων ὀδαξυσμοὺς ἐπὶ παίδων καὶ ἄφθας. ἔξωθεν δὲ καταπλασσόμενον, εὔτροφον καὶ ἀψυδρακίωτον τηρεῖ τὸ σῶμα. ποιεῖ δὲ καὶ πρὸς φλεγμονὰς καὶ σκληρίας ὑστέρας τὸ μὴ δυσῶδες μὴ δὲ παλαιόν· πρός τε δυσεντερίας καὶ πρὸς κώλου ἑλκώσιν ἐγκλυζόμενον· πυοποιοῖς τε μίγνυται χρησίμως· καὶ μάλιστα ἐπὶ τῶν κατὰ τὰ νεῦρα καὶ μήνιγγας καὶ κύστιν καὶ τράχηλον τραυμάτων. τὸ δ' αὐτὸ πληροῖ καὶ καθαίρει καὶ σαρκοῖ, καὶ τοὺς ὑπὸ ἀσπίδος δηχθέντας ἐπιτιθέμενον ὠφελεῖ. μίγνυται δὲ καὶ προσοψήμασιν ἀντὶ ἐλαίου τὸ νεαρὸν, καὶ ἐν τοῖς πέμμασιν ἀντὶ στέατος. Συνάγεται δὲ καὶ λιγνὺς ἐκ τοῦ βουτύρου τὸν τρόπον τοῦτον· εἰς λύχνον καινὸν ἐγχέας τὸ βούτυρον ἅψον, καὶ πωμάσας ἀγγείῳ κεραμεῷ σωληνοειδεῖ στενῷ κατὰ τὰ ἄνωθεν, τρήματα δὲ ἐκ τῶν ὑπὸ πόδας ἔχοντι ὥσπερ οἱ κλίβανοι, ἔα καίεσθαι· ὅταν δὲ ἀναλωθῇ τὸ πρότερον βούτυρον, ἄλλο ἐπίχει, καὶ ποίει τὸ αὐτὸ ἕως ἂν ὅσον πλῆθος βούλει αἰθαλώσῃς· εἶτα ἀπόσυρον πτερῷ καὶ χρῶ. Δύναμιν δὲ ἔχει εἰς τὰ ὀφθαλμικὰ ξηραίνειν καὶ ἀποστύφειν, ἐφίστησι δὲ τὰ ῥεύματα, καὶ τὰ ἕλκη ἀπουλοῖ ταχέως.

Περὶ Ἐρίων

Περὶ Ἐρίων. Κεφ. πβʹ.

Ἔρια οἰσυπηρὰ ἄριστα τὰ ἁπαλὰ, καὶ τὰ ἀπὸ τοῦ τραχήλου καὶ τῶν μηρῶν. ἁρμόζοντα ἐν ἀρχῇ πρὸς τραύματα, θλάσματα, ἀποσύρματα, πελιώματα, ὀστῶν κατάγματα, βρεχόμενα ὄξει καὶ ἐλαίῳ ἢ οἴνῳ· δεκτικὰ γάρ ἐστι τῶν ἐμβρεγμάτων καὶ μαλακτικὰ διὰ τὴν οἴσυπην· ποιεῖ καὶ πρὸς κεφαλαλγίαν καὶ στομάχου πόνους καὶ παντὸς ἄλλου τόπου, σὺν ὄξει καὶ ῥοδίνῳ ἐπιτιθέμενον.

Περὶ Ἐρίων κεκαυμένων. Κεφ. πγʹ.

Τὰ δὲ κεκαυμένα ἔρια, δύναμιν ἔχει ἐσχαρωτικὴν, ὑπερσαρκωμάτων σταλτικὴν, ἀπουλωτικὴν, ἑλκῶν. καίεται δὲ καθαρὰ διαξανθέντα ἐν ὠμῇ χύτρᾳ, ὥσπερ τὰ λοιπά. τὸν δ' αὐτὸν τρόπον καὶ κροκύδες καίονται θαλασσίας πορφύρας. τινὲς δὲ σὺν τῷ ῥύπῳ διαξάναντες τὰ ἔρια καὶ μέλιτι δεύσαντες, καίουσιν ὡσαύτως. ἄλλοι δὲ διαθέντες ὀβελίσκους ἐπὶ πλατυστόμου κεραμέου ἀγγείου διεστῶτας ἀπ' ἀλλήλων, καὶ ἐπιθέντες σχίδακας δαδίων ἰσχνάς, καὶ ἐπάνω θέντες τὰ ἔρια διεξασμένα καὶ βεβρεγμένα ἐλαίῳ οὕτως ὥστε μὴ ἀποστάζειν, καὶ πάλιν σχίδακας καὶ ἔρια ἐναλλὰξ ἐπιτιθέντες, ἐκ τῶν δαδίων κάτωθεν ὑφάπτουσι, κᾆτα δὲ αἴρουσι.

καὶ

Medicina lanarũ. Ca.LXXXII.

Succidæ lanæ molles, è collo feminibúsq; laudatiſsimæ habentur. Subueniũt inter initia vulnerib⁹, percuſsis, deſquamatis, liuidis, oſsib⁹ fractis, aceto, oleo aut vino imbutę: ſiquidem facilè ſuccos combibunt quibus immergũtur, & ob pecudum ſordem (ſic enim œſypum vocant) emolliũt: capitis, ſtomachi aliarũq; partium doloribus, cum aceto & roſaceo efficaciter imponuntur.

Crematarũ lanarũ cinis. Cap. LXXXIII.

Crematarum lanarum cinis cruſtas obducit, excreſcẽtias in carne cohibet, & vlcera ad cicatricem perducit. Mundę autem & carptæ, in fictili crudo cęterorum more vtuntur. Nec ſecus fimbriati marinarũ purpurarum flocculi cremari ſolent. aliqui cum ſordibus lanas carpunt, & melle irrigant, eodemq; modo vrunt. Alij in fictili oris patuli verucula inter ſe diſtãtia componũt, & concerptas carminatasq; lanas oleo ita ſuffuſas, vt ne ſtillare quidem poſsint, aſſulis tedæ ſubiectis, & eiſdem lanisque permutatim interſtratis, leuiter ſuccendunt, & vſtas tollunt:

quod

quod ſi è teda pix, pinguitudóve vlla profluxit, collecta reconditur. Lauatur ad oculorum medicamenta: cinerem in labellis, aqua addita, manibus confricant, & cõſidere patiunt: idq; ſæpius, mutãtes aquam donec linguam adſtringat, nec mordeat.

OEſypũ. Cap. LXXXIIII.

OEſypũ vocãt Græci, ſuccidarum lanarũ pinguedinẽ. Cuius parandi ratio hæc eſt. Succidæ molles, radicula nõ curatæ, calida aqua lauãtur, & quibuſcunq; ſordibus expreſsis, & in labellum oris ampli coniectis, aqua infunditur, magnóq; impetu ligula, vti reſpumet, agitatur, aut lignea rude validiuſculè conturbatur, quò largius ſordida ſpuma colligi poſsit, deinde marina reſpergitur: & conſidẽte pingui quod ſupernatabat, collectóque in altero fictili vaſe, denuo aqua in labellum fuſa agitatur: ſpuma iterũ mari perfunditur, & demum eximitur. Hoc tantiſper fieri ſolet, dum conſumpta pinguitudine nihil prorſus ſpumæ extet. Collectum œſypum manibus emollitur, & ſi qua inſedit ſpurcitia, confeſtim demit: excluſaq;

καὶ εἴ τι λίπος ἢ πίττα ἐκ τῶν δᾳδίων ἀπορρεῖ, συναναιρεῖται καὶ ἀποτίθεται. πλύνεται δὲ εἰς τὰ ὀφθαλμικά. ἐν κεραμέῳ κρατῆρι ὕδατος ἐπιχεομένου, καὶ καταρασσομένου εὐτόνως ταῖς χερσί, καὶ μετὰ τὸ ἀποκαταστῆναι ἀποχεομένου τοῦ ὑγροῦ, καὶ ἄλλου ἐπιχεομένου καὶ πάλιν ἀναταρασσομένου· καὶ τοῦτο γίνεται ἄχρις ἂν προσαγόμενον τῇ γλώττῃ μὴ δάκνῃ· ποσῶς δὲ στύφῃ.

Περὶ Οἰσύπου. Κεφ. πδʹ.

Οἴσυπος δὲ λέγεται τὸ ἐκ τῶν οἰσυπηρῶν ἐρίων λίπος. ὃ κατασκευάσεις οὕτως· λαβὼν ἔρια μαλακὰ οἰσυπηρὰ ἔκπλυνον, ἐστρουθισμένα θερμῷ ὕδατι, ἅμα ἐκθλίβων πᾶσαν τὴν ῥυπαρίαν, ἣν βαλὼν εἰς κρατῆρα πλατύστομον καὶ ἐπιχέας ὕδωρ ἀνάχει ἀρυτῆρι ταράσσων ῥαγδαίως, ἕως ἂν ἀφρίσῃ, ἢ ξύλῳ ἀνατάρασσε εὐτόνως, μέχρις ἂν ὁ πολὺς ἀφρὸς καὶ ῥυπαρὸς συλλεγῇ, εἶτα κατάρραινε θαλάσσῃ· καὶ ὅτε κατασταίη τὸ ἐπινηχόμενον λίπος, ἀναλάμβανε εἰς ἕτερον κεραμεοῦν ἀγγεῖον, ἐπιχέας τε ὕδωρ εἰς τὸν κρατῆρα, πάλιν τάρασσε καὶ κατάρραινε τῇ θαλάσσῃ τὸν ἀφρὸν, καὶ ἀναλάμβανε· καὶ τὸ αὐτὸ ποίει ἄχρις ἂν μηκέτι ἀφρὸς ἐφίστηται δαπανηθέντος τοῦ λίπους. τὸν μέντοι ἀνῃρημένον οἴσυπον τῇ χειρὶ μαλάξας, παραχρῆμα ἀναίρει εἴ τινα ἔχει ἀκαθαρσίαν, στραγγίζων

στραγγίζων τὸ πρότερον ὕδωρ καὶ ἄλλο ἐπιχέων, καὶ κινῶν τῇ χειρὶ, ἄχρις ἂν περιπταιόμενος τῇ γλώττῃ μὴ δάκνῃ ποσῶς δὲ στύφῃ, λιπαρὸς καὶ καθαρὸς καὶ λευκὸς φανῇ· οὕτω δὴ ἀποτίθεσο εἰς ἀγγεῖον κεραμεοῦν. ἐν ἡλίῳ δὲ θερμῷ γινέσθω πάντα. ἔνιοι δὲ διηθήσαντες τὸ λίπος πλύνουσιν ἐν ὕδατι* ψυχρῷ τὴν χερσὶν ἀνατρίβοντες, ὡς τὴν κηρωτὴν αἱ γυναῖκες· γίνεται δὲ ὁ τοιοῦτος λευκότερος. οἱ δὲ πλύναντες τὰ ἔρια καὶ ἐκθλίψαντες τὸν ῥύπον, ἕψουσι μεθ' ὕδατος ἐν λέβητι πυρὶ κούφῳ, καὶ τὸ ἐφιστάμενον λίπος ἀφαιροῦντες, πλύνουσιν ὕδατι ὥσπερ εἴρηται· καὶ διυλίσαντες εἰς λοπάδιον κεραμεοῦν ἔχον ὕδωρ θερμὸν, λινῷ τε ῥάκει περιπωμάσαντες, τιθέασιν ἐν ἡλίῳ, μέχρις ἂν αὐτάρκως παχὺς καὶ λευκὸς γένηται. ἔνιοι δὲ διὰ δύο ἡμερῶν ἀποχέοντες τὸ πρότερον ὕδωρ, ἄλλο ἐπιχέουσιν. ἔστι δὲ βελτίων ὁ ἀστρούθιστος καὶ λεῖος, ὄζων ἐρίων οἰσυπηρῶν, ἀνατριβόμενός τε μεθ' ὕδατος ψυχροῦ ἐν κόγχῃ καὶ λευκαινόμενος, καὶ οὐδὲν ἔχων ἐν ἑαυτῷ σκληρὸν ἢ συνεστηκός· ὥσπερ ὁ δολιζόμενος κηρωτῇ ἢ στέατι. Δύναμιν δὲ ἔχει θερμαντικὴν, πληρωτικὴν ἑλκῶν, μαλακτικήν· μάλιστα τῶν περὶ δακτύλιον καὶ ὑστέραν σὺν μελιλώτῳ καὶ βουτύρῳ καὶ ἔμβρυα καὶ ἔμμηνα ἐν ἐρίῳ προστιθέμενος ἄγει, πρός

excluſaque ſenſim omni aqua, recentique affuſa, manibus miſceatur, donec admotum linguæ œſypum adſtringat leuiter, nec mordeat, atq; pingue candidúmque ſpectetur: tum in fictili vaſe conditur. Verùm omnia feruido ſole fiant. Nónulli excolatum pingue frigida aqua eluunt, & manib⁹, nó ſecus atque ceratum mulieres, confricant: ita enim candidius redditur. Alij elotis lanis & ſordibus quibuſcúq; exemptis, ac léto igni in æneo vaſe ex aqua decoctis, pígue quod ſupernatat collectum, aqua, vt dixim⁹, lauant: colatúmq; in fictilé patellam, quę calidam aquã contineat, linteo operiunt, atq; ſoli mandant, donec candidum fiat, & ſatis craſſum. Alij bidui ſpatio aquã effundũt, nouámque adiiciunt. Melius eſt læue, radicula non curatũ, quod ſuccidarum virus oleat, & ſi manu in conca fricetur cum aqua frigida, albeſcat, nihil in ſe duri aut concreti habens: veluti quod cerato aut adipe adulteratur. OEſypum excalfacit, explet vlcera, & emollit: præſertim ſedis ac vuluæ, cũ melyloto & butyro: in vellere appoſitum, méſes & partus euocat,

vlcera

vlcera non auriũ modò ſanat, ſed et genitaliũ cũ āſerino adipe: cõtra eroſos angulos oculorũ, ſcabioſóſq;, genas q̃ occaluerunt, & ciliorũ defluuia, efficax eſt. In teſta noua torret̃, donec redactũ in cinerẽ pinguitudinem amittat. Ex eo etiã fuligo colligitur, vti demõſtrauimus: quæ in oculorũ medicamenta cõmodè addi ſolet.

Coagulum. Cap. LXXXV.

Leporis coagulũ tribus obolis ex vino, venenatorũ morſibus, cœliacis, dyſẽtericis, & fœminis fluxione vuluæ laborãtibus, ac reiectionib' à pectore, auxiliatur. Sanguinẽ in grumos concretum diſcutit. Poſt menſtruas purgationes appoſitum vuluæ cũ butyro, præſtat mulieribus vt concipiant: potũ verò partus enecat, & à puerperio pariendi ſpem adimit. Equi coagulum, quam hippacen aliqui vocãt, priuatim cœliacis dyſentericiſque conuenit. Hœdi, agni, hinnuli, capreæ laticornis, & dorci, apri, cerui, vituli, bubalique coagula ſimiles naturas ſortiũtur: cõtra aconiti potum vino, & concretum lac in aceto cõuenienter aſſumuntur. Hinnuli priuatim triduo à purgationibus admotũ,

partus

πρός τε τὰ ἐν ὠσὶ καὶ ἐν αἰδοίῳ σὺν χηνείῳ στέατι. ποιεῖ δὲ καὶ εἰς περιβεβρωμένους κανθοὺς, καὶ ψωρώδεις καὶ βλέφαρα τετυλωμένα καὶ τριχοῤῥοοῦντα. καίεται δὲ ἐπ' ὀστράκου καινοῦ, μέχρις ἂν τεφρωθὲν ἀποβάλῃ τὸ λίπος· συνάγεται δὲ καὶ λιγνὺς ἐξ αὐτοῦ ὡς ὑπεδείξαμεν ἁρμόζουσα πρὸς τὰ ὀφθαλμικά.

Περὶ πιτύας λαγωοῦ. Κεφ. πέ.

Πιτύα λαγωοῦ ἁρμόζει σὺν οἴνῳ ὁλκὴ τριωβόλου πρὸς θηριοδήκτους καὶ κοιλιακοὺς καὶ δυσεντερικοὺς, καὶ πρὸς ῥοϊκὰς γυναῖκας, πρός τε αἵματος θρόμβωσιν καὶ ἀναγωγὰς τὰς ἐκ θώρακος. προστιθεμένη τε μετὰ κάθαρσιν τῇ μήτρᾳ μετὰ βουτύρου σύλληψιν ποιεῖ· ποθεῖσα δὲ φθείρει ἔμβρυα, μετὰ δὲ τὴν ἄφεδρον ἀτόκιος ἐστιν. ἡ δὲ τοῦ ἵππου ὑπ' ἐνίων ἱππάκη καλουμένη, ἰδίως ἁρμόζει ἐπὶ κοιλιακῶν καὶ δυσεντερικῶν. ἐρίφου δὲ καὶ ἀρνὸς καὶ νεβροῦ καὶ δορκάδος καὶ πλατυκέρωτος καὶ δόρκου καὶ ἐλάφου καὶ μόσχου καὶ βουβάλου, ὁμοίαν ἔχουσι δύναμιν· ἁρμόζουσι πρὸς ἀκονίτου πόσιν σὺν οἴνῳ λαμβανόμεναι, καὶ πρὸς γάλακτος θρόμβωσιν μετ' ὄξους. ἡ δὲ τοῦ νεβροῦ ἰδίως μετὰ τὰς καθάρσεις προστεθεῖσα ἐπὶ τρεῖς ἡμέρας,

ἀτόκιον

ἀτόκιόν ἐστιν. ἡ δὲ τῆς φώκης ἔοικε κατὰ τὴν δύναμιν καστορίῳ· δοκεῖ δὲ ἁρμόζειν μάλιστα ἐπιληπτικοῖς καὶ ὑστερικαῖς πνιξὶ πνιγομένῃ. δοκιμάζεται δὲ εἰ ἔστι φώκης, τὸν τρόπον τοῦτον· λαβὼν πιτύαν ζώου τινὸς, μάλιστα δὲ ἀρνὸς, καὶ ἐπιχέας ὕδωρ, ἔασον βραχὺν χρόνον, καὶ μετὰ ταῦτα ἐπίχει τὸ ἀπόβρεγμα κατὰ τῆς πιτύας τῆς φώκης· ἡ γὰρ ἀληθινὴ ἐξυδατοῦται ταχέως· ἡ δὲ μὴ τοιαύτη, διαμένει ὁμοία. λαμβάνεται δὲ ἐκ τῆς φώκης πιτύα μήπω δυναμένων συννήχεσθαι τῶν σκύμνων. κοινῶς δὲ πᾶσα πιτύα πήσσει μὲν τὰ διαλελυμένα· λύει δὲ τὰ συνεστῶτα.

Περὶ Στέατος. Κεφ. πϛʹ.

Στέαρ πρὸς μὲν τὰ περὶ μήτραν ἁρμόζει τὸ νεαρὸν, χήνειον ἢ ὀρνίθειον· καὶ δίχα ἁλῶν τεταριχευμένον, πολέμιον δὲ ὑστέρᾳ τὸ ἡλισμένον καὶ τὸ τῷ χρόνῳ μεταβεβληκὸς εἰς δριμύτητα, πρόσφατον δὲ λαβώντι τούτων καὶ ἐξυμενίσας, ἔμβαλε εἰς λοπάδα καινὴν κεραμέαν, δὶς τοσοῦτον χωροῦσαν ἢ ὅσον ἐστὶ τὸ μέλλον θεραπεύεσθαι, εἶτα θεὶς εἰς ὀξύτατον ἥλιον τὸ ἀγγεῖον κεκαλυμμένον ἐπιμελῶς, τὸ ἀποτηκόμενον ἀπόθει εἰς ἕτερον ἀγγεῖον ὀστράκινον, ἕως ἂν πᾶν δαπανήσῃ, τοῦτο δὲ εἰς κατάψυχρον ἀποτίθεσο τόπον καὶ χρῶ.

τινὲς

partus ſpem intercipit. Vituli marini, caſtorei vires repræſentat: comitialibus, ſtrangulatis vuluis, potu conferre exiſtimatur. Sed ſi ſit vituli marini, hoc experimentum eſt: aqua inſpergitur, qua pauliſper cum alterius animátis, tum præcipuè agni coagulum, maduerit: nam ſi erit ſyncerum, ſtatim liqueſcit in aquam: ſin minus, conſimile permanet. Excipitur autem catulis, qui nondum natare poſſunt. In ſumma, coagulum omne diſſipata cogit, & coacta diſſoluit.

Adeps. Cap. LXXXVI.

Adeps anſerinꝰ aut gallinaceus recens, & ſine ſale conditus, ad vuluæ vitia proficit: ſale inueteratus, & qui temporis ſpatio acrimoniam concepit, vuluæ inimicus eſt. Recens exemptis membranis in fictilem ollam demiſſus, quæ altero tãtopere capacior ſit, quantus ſit modus adipis, quem curare inſtitueris, obſtructo diligẽter vaſe, flagrantiſsimo ſoli exponitur: eliqueſcens inde humor in fictile alterum excolatur, donec adeps omnis abſumatur, mox loco vehementer frigido reconditur, & ad vſus digerit.

Alij

Alij fictile fulciunt ſuper aquā calidam, aut tenuem & elanguidam prunam, quæ ſolis vicem penſet. Eſt & alia curandi ratio: Exemptis membranis teritur, coniectúſque in ollā eliquatur, adiecto minuti ſalis momento: mox lineo colo transfuſus reponitur. Vtiliter in medicamenta additur, quæ laſsitudines & fatigationes leuant.

Suillus adeps & vrſinus.
Cap. LXXXVII.

Suillus adeps & vrſinus hoc curantur modo: Recens, præpinguis, renibus potiſsimū detractus, in largiore aqua cœleſti & quā frigidiſsima, exēptis tunicis, diligentiſsimè manibus confricatur, & exprimédo fermè ſiccatur, ſubindeq; noua aqua abluitur: cæterū fictili capacitatis duplæ inditus, in aquā demergitur, & ſubditis leuibus prunis ſpatha mouetur: eliquatúſq;, colo transfunditur in aquam: vbi verò refrixit, & guttatim aquam omné excluſit, in prælotum fictile demittitur, & infuſa aqua leniter eliquari debet, & manu deprimi, quo facilius fæculentum virus peſſum eat: poſtea in pilā ſpongia madefactam trāſfunditur.

Vbi

τινὲς δὲ ἀντὶ ἡλίου ὑπὲρ ὕδατος θερμοῦ ἐπερείδονται τὴν λοπάδα, ἢ ἐπὶ λεπτῆς καὶ μαλακῆς ἀνθρακιᾶς. ἔστι δὲ καὶ ἄλλος τρόπος θεραπείας τοιοῦτος· μετὰ τὸ ἐξυμενισθῆναι τὸ στέαρ λεαίνεται, καὶ εἰς λοπάδα ἐμβληθὲν τήκεται, ἁλὸς ὀλίγου καὶ λεπτοῦ προσεμπλασθέντος· εἶτα διὰ ῥάκους λινοῦ διϋλισθὲν ἀποτίθεται. ἁρμόζει δὲ τὸ τοιοῦτον εἰς τὰ ἄκοπα.

Περὶ Στέατος ὑείου καὶ
ἀρνείου. Κεφ. πζ΄.

*Ὕειον δὲ καὶ ἄρνειον θεραπεύεται οὕτως· λαβὼν τὸ πρόσφατον καὶ κατάπιμελον, οἷόν ἐστι τὸ νεφριαῖον, εἰς ὕδωρ δαψιλὲς ὄμβριον ὡς ὅτι ψυχρότατον ἐξυμένισον, καὶ τρίβε ταῖς χερσὶν ἐπιμελῶς ἀνατρίβων αὐτὸ καὶ οἱονεὶ *ἀναψύχων· εἶτα ἑτέρῳ ὕδατι πολλάκις ἀποκλύσας, δὸς εἰς χύτραν κεραμέαν τὸ διπλάσιον χωροῦσαν· ἐπιχέας τε ὕδωρ ὡς ὑπερέχειν τοῦ στέατος, θὲς ἐπὶ κούφης ἀνθρακίας καὶ κίνει σπάθῃ. ὅταν δὲ τακῇ διηθήσας αὐτὸ δι' ἠθμοῦ εἰς ὕδωρ καὶ ἐάσας ψυγῆναι, πάλιν ἐστραγγισμένον ἐπιμελῶς, ἀπόδος εἰς τὴν χύτραν προπεπλυμένην, ἐπιχέας τε ὕδωρ τῆξον πράως. καὶ καθελὼν, μικρόν τε ἐάσας τὴν τρύγα ὑποστῆναι, κατάχεε εἰς θυΐαν γενοτισμένην σπόγγῳ.

ὅταν

ὅταν δὲ παγῇ, ἀνελόμενος καὶ τὸ ἐν τῷ πυθμένι πρὸς ἀκαθαρσίαν ἀφελών. τῆξον ἐκ τρίτου χωρὶς ὕδατος, καὶ κατεράσας εἰς θυΐαν, καθαρείσας τε ἔμβαλε εἰς κεραμεοῦν ἀγγεῖον καὶ πωμάσας ἀπόθου, εἰς κατάψυχρον τόπον.

Περὶ Στέατος τραγείου καὶ προβατείου καὶ ἐλαφείου. Κεφ. πη΄.

*Τράγειον δὲ καὶ προβάτειον, ἔτι δὲ καὶ ἐλάφειον, θεραπευτέον οὕτω· λαβὼν οἷον προείρηται στέαρ οἱοντινοσοῦν αὐτῶν καὶ πλύνας, ἐξυμενίσας τε ὡς προείρηται ἐπὶ τοῦ ὑείου, δὸς εἰς θυΐαν μαλάττειν, καὶ τρίβε κατ᾽ ὀλίγον ὕδωρ ἐπιχέων, ἄχρις ἂν μήτε αἱμάλωψ ἐκκρίνηται, μήτε λίπος ἐπιπλέῃ, λαμπρόν τε γένηται. λοιπὸν ἐμβαλὼν αὐτὸ εἰς κεραμέαν χύτραν, καὶ προσεπιδοὺς ὕδωρ ὥς τε ὑπερέχειν, θὲς ἐπὶ κούφης ἀνθρακιᾶς καὶ κίνει. ὅταν δὲ τακῇ ἅπαν, κατεράσας αὐτὸ εἰς ὕδωρ δὲ ψύξας, πλύνας τε τὴν χύτραν ἐκ δευτέρου τῆκε, καὶ τὰ αὐτὰ τοῖς προειρημένοις ποίει. τὸ δὲ τρίτον χωρὶς ὕδατος τήξας, εἰς νενοτισμένην θυΐαν ἀπήθησον, καὶ ψυγὲν ἀποτίθεσο ὡς ἐλέγετο, ἐπὶ τοῦ ὑείου.

Περὶ Στέατος βοείου. Κεφ. πθ΄.

*Καὶ τοῦ βοείου δὲ στέατος ἐξυμενιστέον τὸ νεφριαῖον καὶ θαλάττῃ πελαγίᾳ πλυτέον· εἶτα εἰς ὅλμον ἐμβλητέον καὶ κοπτέον ἐπιμελῶς,

Vbi coire cœpit, reſidens in imo ſordes eximitur. Tertio citra aquam eliquatur, repurgatúſque, fictili benè operculato, perquàm frigidis locis reponitur.

Hircinū ſeuū, ouilū, & ceruinū. Cap. LXXXVIII.

Hircinū ſeuum, ouilū, ceruinumq; ita curato: Elotū ex his quodcunq;, tunicis, (vt in ſuilli mentione dictū eſt) exēptis pilæ emolliendū tradito, ac manibus fricato, affuſa paulatim aqua, donec ne amplius quidē cruentū virus excernatur, aut pingue aliquod innatet, ſed nitida ſpectetur. Deinde in ollā fictilē coniicito, & adiecta aqua vt ſupereminneat, leui pruna liquefacito, & moueto, atq; in aquā colato: cūq; refrixerit, iterū in loto fictili eliquato, & quę antè dixim⁹ facito. Tertiò ſine aqua liquefactū, in perfuſam liquore pilam colato, refrigeratúmq;, vt in ſuilli ratione diximus, recondito.

Seuū Bubulū. Ca. LXXXIX.

Bubulum autem ſeuum, renibus maximè detractum, exemptis membranis, aqua marina ex alto petita eluendum eſt: mox in pila tundendum diligēter,

diligenter, affuſa maris aqua. Cùm verò diſſolutum fuerit, in fictilem ollam coniiciendum, & marina aqua, quæ nõ minus dodrante ſupereminet, proluendum, decoquendum donec omnis aboleatur odor, additis ad ſingulas ſeui Atticas minas, quaternis Tyrrhenicæ ceræ drachmis: excolatúmque, detractis quæ peſſum ierant ſordibus, in nouo fictili reponendum: opertúmque ſoli interdiu credẽdum, vt ad candorem reducatur, & odoris virus euaneſcat.

Pinguia taurorum, pardorum & leonum.

Cap. XC.

Priuatim taurorũ pingue ſic curari debet: Renibꝰ euulſum pingue profluente annis aqua abluito, detractiſque tunicis, fictili nouo, poſtquam exiguũ ſalem inſperſeris, liquefacito: dein in nitentem aquam excolato, & vbi cõcreſcere cœpit, manibus iterum confricando vehemẽter lauato, aqua ſæpiꝰ infuſa refuſáque, donec quam optimè elotum videatur: rurſus in olla cum pari modo vini odorati decoquito, & cũ iterum efferbuerit, dẽpto ab igni vaſe, ibidẽ ſinito pernoctare: poſtridie

ἐπιμελῶς, ἐπιῤῥαινομένης τῆς θαλάττης. ὅταν δὲ διαλυθῇ ἅπαν, ἐμβλητέον αὐτὸ εἰς χύτραν κεραμέαν, καὶ θάλασσαν ἐπιχυτέον ὅσον ὑπερέχειν μὴ ἧττον σπιθαμῆς, ἑψητέον τὲ ἄχρις ἂν τὴν ἰδίαν ὀσμὴν ἀποβάλῃ. εἶτα πρὸς μίαν μνᾶν ἀττικὴν τοῦ στέατος, κηροῦ τυῤῥηνικοῦ ὁλκὰς τέτταρας ἐμβλητέον καὶ διηθητέον· ἀφαιρετέον δὲ τὴν προσκαθημένην ἐν τῷ πυθμένι ἀκαθαρσίαν, καὶ εἰς λοπάδα καινὴν ἀποθετέον. εἶτα εἰς ἥλιον καθ' ἡμέραν κομιστέον περιεσκεπασμένον, ὅπως ἀπολευκανθῇ, καὶ δυσωδίαν ἀποβάλῃ.

Περὶ Στέατος ταυρείου, παρδαλείου, καὶ λεοντείου.

Κεφ. ϛ'.

*Τὸ δὲ ταύρειον θεραπευτέον οὕτω. λαβὼν καὶ τόδε τὸ πρόσφατον καὶ νεφρειαῖον ἔκπλυνον ποταμίῳ ῥεύματι. ἐξυμενίσας τὲ δὶς εἰς χύτραν κεραμέαν καινὴν, ἅλας ὀλίγον προσεμπάσας, καὶ τῆκε· εἶτα εἰς ὕδωρ διαυγὲς ἀπηθήσας, ὅταν ἀρχὴν λαμβάνῃ πήξεως, ταῖς χερσὶ πάλιν ἐκτρίβων σφοδρῶς πλῦνον, τοῦ μὲν ἀποχεομένου ὕδατος, τοῦ δὲ ἐπιχεομένου, ἄχρις ἂν πλυθῇ καλῶς· καὶ πάλιν εἰς χύτραν ἐμβάλλων ἕψε μετ' οἴνου ἴσου εὐώδους, ὡς δ' ἂν ζέσῃ δὶς, ἄρας ἀπὸ τοῦ πυρὸς τὴν χύτραν, ἔα σὺν νυκτερεῦσαι τὸ στέαρ ἐνθάδε·

τῇ δ'

τῇ δὲ ἐχομένῃ ἐάν τι τῆς δυσωδίας ὑπολίπηται, ἀνελόμενος τὸ προεξηρημένον εἰς ἑτέραν χύτραν καινὴν, προσεπίχεε οἶνον εὐώδη· καὶ τὰ αὐτὰ τοῖς προεξηρημένοις ποίει, ἕως ἂν ἅπασαν τὴν δυσωδίαν ἀποβάλῃ. τήκεται δὲ καὶ χωρὶς ἁλῶν ἐπ' ἐνίαις διαθέσεσιν ἐν αἷς οὗτοι ἐναντιοῦνται· γίνεται μέντοι τὸ οὕτω σκευασθὲν οὐκ ἄγαν λευκόν. ὡσαύτως δὲ καὶ παρδάλειον σκευαστέον καὶ λεόντειον, *συάγρειον τε καὶ καμήλιον καὶ ἵππειον καὶ τὰ ὅμοια.

Πῶς τὸ στέαρ ἀρωματιστέον. Κεφ. ϛά.

Ἀρωματιστέον δὲ στέαρ μόσχειον καὶ ταύρειον, ἔτι δὲ ἐλάφειον, καὶ μυελὸν τοῦδε τοῦ ζώου τὸν τρόπον τοῦτον· ἐξυμενίσας τὸ μέλλον εὐωδιάζεσθαι καὶ πλύνας ὡς προείπομεν καὶ ζέσας οἴνῳ ἀθαλάσσῳ τε καὶ εὐώδει, εἶτα ἀνελόμενος καὶ ἐννυκτερεῦσαι ἀφεὶς· ἕτερον οἶνον ἐκ τοῦ αὐτοῦ γένους ἐπιχέων, τοσοῦτον τῷ πλήθει ὅσος ἦν ὁ ἔμπροσθεν δοθεὶς, καὶ τήξας ἀφυλίσας τε ἐπιμελῶς πρὸς κοτύλας ἐννέα τοῦ στέατος ἔμβαλε σχίνου ἀραβικῆς ὁλκὰς ζ΄. ἐὰν δὲ εὐωδέστερον ποιῆσαι ἐθέλῃς, τοῦ ἄνθους ὁλκὰς μ΄. προσυπόδος δὲ καὶ φοίνικος καὶ κασσίας καὶ καλάμου τὰς ἴσας ὁλκάς· ἀσπαλάθου τε καὶ ξυλοβαλσάμου ἀνὰ ὁλκὴν μίαν· μίξον δὲ καὶ κιννα-

poſtridie, ſi grauiter adhuc oleat, noua olla repetitum, vino odorato perfundatur: eadem quæ prius fiant, dum omne virus euaneſcat. Colliquatur & ſine ſale, præſertim affectionũ eorum cauſa, quibus ſal aduerſari ſolet, ſed ita paratum non magnopere albeſcit. Eodẽ modo pardorũ ac leonũ pinguia curari oportet.

Qũo pingue odoramẽtis imbuendũ ſit. Ca. XCI.

Taurinum autem & vitulinum pingue, necnon ceruinũ, atq; etiã huius animalis medulla, odoramentis imbuitur, hac ratione: Pingue quod odoratũ reddi debet, demptis, quę diximus modo, mẽbranis, elotũ & vino quàm odoratiſsimo, nulla maris aqua diluto, feruefactũ, pernoctare ſinit: alterũ id genꝰ vinũ eadẽ mẽſura infundit, colliquatur, & exquiſitè collat, nouẽq; eius heminis iũci. Arabici ſeptem drachmæ adiiciuntur. Quòd ſi ipſum odoris fragrãtioris fieri voles, quadraginta floris eiuſdem drachmæ, cũ paribus palmæ, calami, & caſiæ modis adduntur: & xylobalſami, aſpalathi ſingulę drachmę

cinnamomi, cardamomi, & nardi, ſingulæ vnciæ: omnia exactius tunduntur, & affuſo vino odorato, in vaſe operto: quod ſupra carbones firmiter collocatum ſit ter efferueſcunt, & ſemoto ab igni vaſe inibi pernoctant: poſtridie vinũ effunditur, aliudq; generis eiuſdem adiicitur. Ter ſimili modo benè conferueſcat. Deinde matutinis exẽpto adipe vinũ effundat̃: & abluto vaſe, ſi quid imo ſubſidẽs hæſit, detergat̃. Poſtremo eliquatũ pingue & excolatũ, ad vſus recõditur. Hoc autẽ modo odoramentis imbuit̃, q̃d antea curatũ eſt. Verũ antè dicta prius inſpiſſari ſolẽt, quò facilius ſibi odoramẽtorũ vires adſciſcãt. Itaq; aſſumẽs q̃dcũq; horũ voles, cũ vino feruefacito ĩpoſitis vnà myrti ramulis, ſerpillo, cypero, itẽ aſpalatho plenius tuſo. Aliqui tamẽ ad hunc vſum, vno dũtaxat horũ cõtẽti ſunt. Cũ autẽ ter efferbuit, exemptũ leniter, & linteo colatum, aromatis, vti expoſitũ eſt, imbuitur. Adipibus ſpiſſamẽta ſic fiũt (quẽcunq; acceperis, oportet vt recẽs tũdat̃) Syncer⁹ & ſanguinis expers adeps, reliquas habẽs notas quas ſępe retulim⁹, in ollã nouã demittitur, infuſo

κινναμώμου καὶ καρδαμώμου καὶ νάρδου ἀνὰ οὐγγίαν μίαν· πάντα δὲ ἔστω ὁλοσχερέστερα κεκομμένα, εἶτα ἐπίχει οἶνον εὐώδη, καὶ ὑπέρειδε ἐπ' ἀνθράκων πεπωματισμένον τὸ ἀγγεῖον, καὶ σύζεσον τρὶς, ἄρας τε ἀπὸ τοῦ πυρὸς ἔασον ἐννυκτερεῦσαι αὐτό· τῇ δὲ ἐχομένῃ ἀπόχεε τὸν οἶνον καὶ ἄλλον ἐπιδοὺς τοῦ αὐτοῦ γένους, σύζευξον ὁμοίως ἕως τρὶς, καὶ ἄφες. πρωῒ δὲ ἀνελόμενος τὸ στέαρ, ἀπόχει τὸν οἶνον· ἐκπλύνας τε τὸ ἀγγεῖον καὶ καθάρας τὸ πρὸς τῷ πυθμένι καὶ τήξας, διϋλίσας τε αὐτὸ ἀπόθου καὶ χρῶ. ἀρωματίζεται δὲ καὶ τὸ προτεθεραπευμένον τὸν αὐτὸν τρόπον. προσύφεται δὲ τὰ προειρημένα στέατα πρὸς τὸ ῥᾳδίως δέξασθαι τὴν τῶν ἀρωμάτων δύναμιν οὕτω· λαβὼν αὐτῶν ὅτι ἂν βούλοιο, ζέσον ἅμα οἴνῳ, συγκαθεὶς μυρσίνης κλάδον, ἕρπυλλόν τε καὶ κύπειρον, ἔτι δὲ ἀσπάλαθον ὁλοσχερέστερον κοπέντα. τινὲς δὲ ἑνὶ τούτων ἀρκοῦνται τῇ χρήσει. ὅταν δὲ εἰς τρίτον ἀναζέσῃ, ἀνελόμενος πράως καὶ δι' ὀθόνης ὑλίσας, ἀρωμάτιζε ὡς δεδήλωται. ἔτι δὲ καὶ οὕτω προσύφε τὰ στέατα· κόψας ὅ, τι ἂν αὐτῶν ἐθέλῃς, πρόσφατον δὲ καὶ ἀμιγὲς αἵματος, τά τε ἄλλα ἔχον ἃ πολλάκις εἴρηται, ἔμβαλε εἰς λοπάδα καινήν. ἐπιχέας

ἐπιχέας τε οἶνον λευκὸν εὐώδη παλαιὸν, ὡς ὑπερέχειν δακτύλους ὀκτὼ, σύζεσον ἐλαφρῷ χρώμενος πυρὶ ἕως τὴν σύμφυτον ὀσμὴν ἀποβάλῃ καὶ μᾶλλον οἰνίζῃ. εἶτα καθελὼν τὸ ἀγγεῖον καὶ ψύξας, ἀνελοῦ στέατος μνᾶς β΄. καὶ βαλὼν εἰς λοπάδα προσεπιδοὺς τε τοῦ αὐτοῦ οἴνου κοτύλας δ΄. καὶ λωτίνου καρποῦ, οὗ τοῖς ξύλοις οἱ αὐλοποιοὶ χρῶνται, κεκομμένου, μνᾶς δ΄. ἕψε πυρὶ κούφῳ διηνεκῶς κινῶν. ὅταν δὲ τὴν στεατώδη ἀποφορὰν ἀποβάλῃ πᾶσαν, διϋλίσας αὐτὸ ψύχε, καὶ λαβὼν ἀσπαλάθου κεκομμένου μνᾶν μίαν, ἀμαρακίνου δὲ ἄνθους μνᾶς τέτταρας, οἴνῳ φύρασον παλαιῷ, καὶ ἔασον μίαν νύκτα πιεῖν. τῇ δὲ ἐχομένῃ εἰς χύτραν κεραμέαν τριχοινιαίαν καινὴν καθεὶς αὐτὰ καὶ τὸ στέαρ, προσαπόδος γ΄ καὶ χοὸς ἥμισυ οἴνου, καὶ σύζεσον ἅπαντα ὁμοῦ*· ὅταν δὲ πάντων τῶν συμμάτων τὴν δύναμιν καὶ τὴν ὀσμὴν ἀπολάβῃ τὸ στέαρ, καθελὼν αὐτὸ καὶ διϋλίσας, τῆξον καὶ ἀπόθου. ἐὰν δὲ εὐωδέστερον ποιῆσαι θέλῃς, μίσγε σμύρνης τῆς λιπαρωτάτης ὁλκὰς η΄. οἴνῳ διειμένας πολυετεῖ. Τὸ δὲ ὀρνίθειον καὶ χήνειον στέαρ οὕτως ἂν εὐωδιασθῇ· λαβὼν οἱουτινοσοῦν αὐτῶν τεθεραπευμένου κοτύλας δ΄. καὶ καθεὶς εἰς ὀστρακίνην χύτραν,

προσμίξον

infuſo vino albo, vetere, odorato, quod ſemipedis altitudinem ſuperet: lento igni ferueſcat, dum vernaculus odor aboleatur, planéq; vinũ redoleat. At vbi depoſito vaſe refrixit, duæ adipis minæ in ollam mittuntur, & duo vini eiuſdem ſextarij, & ſeminis loti, ei⁹ inquã cuius è ligno ludicræ tibiæ factitant, tuſi minæ quatuor adiiciunt: lento igni ſubinde miſcendo decoquũtur: cũq; odoris virus euanuerit, excolatúsq; adeps refrixerit, vna contuſi aſpalathi mina, cum amaricini floris minis quatuor, & vetere vino ſubigitur. Nocte vna hæc odoré rapiunt, combibuntúe. Poſtridie in fictilem ollam tricongialem ea omnia cum adipe iniecta, additis ſextariis tribus vini, vnà ferueſcunt, quouſque & vim & odorem ſpiſſamentorum adeps ipſe contraxerit: qui eliqueſcens colatur, & reponitur. Quòd ſi maioré odoris fragrantiam efflagites, drachmas octo quàm pinguiſſimæ myrrhæ vino maceratæ, quod multos in annos aſſerua tũ eſt, miſceto. Gallinace⁹ anſerinúsq; ſic odoribus imbui ſolét. Cuiuſuis eorũ pcurati ſextarij duo fictili olla excipiunt:

m ij eryſi-

eryſiſceptri, xylobalſami, palmæ elatæ, & calami planè cõtuſi, ſingulorum ſeſcuncia admiſcetur: vini Lesbij veteris cyathus vnus adiicitur: ea ter efferueſcunt prunis, mox vaſe ſublato ab igne, die noctúque refrigerantur: poſtridie liquata per linteum craſſum, mundum in vas excolantur. Vbi verò adeps coierit, concha excipitur, fictiliſque nouo denſius operto perfrigidis locis reponitur. Hyberno tempore id inſtituere oportet: æſtate ſiquidem pinguia non coguntur. Nec deſunt qui Tyrrenicæ ceræ momentum adiiciant, quo facilius in vnum corpus omnia coaleſcant. Eadem ratione ſuillus adeps & vrſinus cæteríque id genus, odoramentis imbuuntur.

Quomodo adeps ſampſuchi odore imbuitur. Cap. XCII.

Verùm ſampſuchi odorem adeps ipſe repræſentabit hoc modo: Curati quã optimè adipis, p̃ſertim taurini, mina vna, tẽpeſtiuiq; ſampſuchi exquiſitè cõfracti ſeſquimina miſcẽtur, & inſperſo largiore vino digerunt ĩ offas, q̃ in vaſe cooperto nocte qeſcũt: matutinis ĩ fictili olla.

προσμίξον ἐρυσισκήπτρου καὶ ξυλοβαλσάμου, ἔτι δὲ φοίνικος ἐλάτης καὶ καλάμου ὁλοχερῶς κεκομμένου ἀνὰ < ιβʹ. ἐπιδοὺς τε οἴνου λεσβίου παλαιοῦ κύαθον αʹ. θὲς ἐπ᾽ ἀνθρακιᾶς· καὶ σύζεσον τρὶς, εἶτα ἀνελόμενος ἀπὸ τοῦ πυρὸς τὸ ἀγγεῖον, καὶ ἐάσας ψυγῆναι τὰ ἐν αὐτῷ ἡμέραν μίαν καὶ νύκτα· τῇ ἐχομένῃ τῆξον αὐτὰ, καὶ διὰ ῥάκους λινοῦ καὶ καθαροῦ χύλισον εἰς καθαρὸν ἀγγεῖον. ὅταν δὲ παγῇ ἀνελόμενος κόγχῳ τὸ περιειργασμένον εἰς κεραμεοῦν ἀγγεῖον βάλε καινὸν, καὶ πωμάσας στεγανῶς, ἀπόθου ἐν καταψύχρῳ τόπῳ. χειμῶνος δὲ ταῦτα δραστέον· ἐν γὰρ θέρει οὐ πήγνυται. τινὲς δὲ πρὸς τὴν σύστασιν αὐτῶν καὶ τὴν πῆξιν, βραχὺ κηροῦ τυῤῥηνικοῦ μίσγουσι. τῷ δὲ αὐτῷ τρόπῳ ἀρωματιστέον καὶ τὸ ὕειον, ἄρκειόν τε καὶ τὰ ὅμοια.

Πῶς σαμψυχίζεται τὸ στέαρ. Κεφ. ϛβʹ.

*Σαμψυχίζεται δὲ στέαρ οὕτω· λαβὼν τοῦ καλῶς τεθεραπευμένου ὅσον μνᾶν μίαν, ἔστω δὲ μᾶλλον ταύρειον, καὶ σαμψύχου ὡραίμου τεθλασμένου ἐπιμελῶς μνᾶν. μίαν ἥμισυ, μῖξον καὶ μαγίδας ἀνάπλασον, ἐπιῤῥαίνων δαψιλέστερον οἶνον, εἶτα ἀποθέμενος αὐτὰς εἰς ἀγγεῖον καὶ σκεπάσας, ἔασον νυκτερεῦσαι. πρωῒ δὲ εἰς κεραμέαν

χύτραν

χύτραν ἐμβαλὼν, καὶ ὕδωρ ἐπιχέας, ἕψε κούφως. ὅταν δὲ τὴν ἰδίαν ὀσμὴν ἀποβάλλῃ τὸ στέαρ, διϋλίσας αὐτὸ καὶ ἐάσας μεῖναι ὅλην τὴν νύκτα πεπωμασμένον καλῶς, τῇ ἐπιούσῃ ἀνελόμενος τὸν τροχίσκον, καὶ περιαποψύξας τὴν ἐν τῷ πυθμένι ῥυπαρίαν, μῖξον πάλιν σαμψύχου κεκομμένου, ὡς εἴρηται, ἄλλην μνᾶν μίαν ἥμισυ, καὶ ὡσαύτως ἀνάπλασσε μαγίδας. ποιῶν καὶ τὰ ἄλλα ἃ προείρηται, ἐπὶ πᾶσι δὲ ἑψήσας καὶ διϋλίσας, ἀφελῶν τε εἴ τις ἐν τῷ πυθμένι ῥυπαρία ὑπάρχει, ἀπόθου ἐν καταψύχρῳ τόπῳ.

Περὶ στέατος χηνείου καὶ ὀρνιθείου. Κεφ. ϟγ'.

Εἰ δὲ ἀθεράπευτον στέαρ ἢ χήνειον ἢ ὀρνίθειον ἢ μόσχειον θέλει τις ἄσηπτον διατηρῆσαι, οὕτω ποιητέον αὐτό· λαβὼν πρόσφατον ὁποῖον ἂν βούλοιο, ἔκπλυνον ἐπιμελῶς, καὶ διαψύξας ἐπὶ κοσκίνου ἐν σκιᾷ μετὰ τὸ ξηρανθῆναι, ἔμβαλε εἰς ὀθόνην καθαρὰν, καὶ ταῖς χερσὶν ἔκπιεσον βιαίως, εἶτα λίνῳ διείρας κρέμασον ἐν τόπῳ σκιερῷ· μετὰ δὲ ἡμέρας πολλὰς καινῷ ἀποδήσας χάρτῃ, ἀποτίθεσο ἐν καταψύχρῳ τόπῳ· ἄσηπτα διαμένει καὶ ἐν μέλιτι ἀποτεθέντα.

Στεάτων δύναμις. Κεφ. ϟδ'.

*Δύναμιν δὲ ἔχει τὰ στέατα πάντα θερμαντικὴν, μαλακτικὴν, ἀραιωτικήν·

olla leuiuſculo igni, affuſa aqua, leuiter coquuntur: dúmque ſuum adeps edorem exuerit, defæcatus ac bene opertus, nocte tota permanet: poſtero die deterſa ſorde quæ peſſum ierat ſampſuchi, vt dictum eſt, contuſi iterum ſeſquimina priori paſtillo adiicitur, eodémque modo in offas cogitur: alijs quæ diximus peractis, decoquitur & colatur: & ſi qua fundo hæſit ſpurcitia, deraditur, & frigido loco reconditur.

Adeps anſerinus & gallinaceus. Cap. XCIII.

Si quis tamen incuratum adipem anſerinum, gallinaceũ, aut vitulinum à putredine tueri velit, ita faciundum eſt: Quemuis adipem diligẽter elotum & ſiccatum in vmbra ſuper cribrum, per lintea munda manibus vehementer exprimat, linóque conſutũ vmbroſo in loco ſuſpẽdat, & poſt multos dies noua charta inuolutum frigido loco recondat. Pinguia autẽ indito melle vindicantur ad putredinis vitio.

Adipum vis. Cap. XCIIII.

VIS OMNIVM eſt excalfacere, mollire, rarefacere.

re. Taurinus adeps, bubulus, & vitulinus aliquantum adſtringunt: earũdem virium compos leoninus: nam reſiſtere eũ aiũt iis qui inſidias moliuntur. Ceruino, elephãtinóq; perunctos, ſerpentes fugiunt. Adſtringẽtior eſt caprinus: qua ex cauſa decoctꝰ cum polenta, rhoë, & caſeo, dyſentericis datur, & cũ ptiſanæ ſucco infũditur. Ius decocti phthiſicis in ſorbitionibꝰ ꝓdeſt. Datur quoq; vtiliter iis qui cantharidũ venena hauſerũt hircinus, vt qui validiſsimè diſcutiat: podagricis auxiliat̃, cũ fimo capræ & croco impoſitus: huic ꝓportione reſpõdet ouillus. Suillus verò cõtra vuluæ & ſedis vitia idoneꝰ eſt: ambuſtis igni medetur. E ſue vetuſtiſsimus quiſque ſale conditus excalfacit, & emollit: elotus vino pleuriticis prodeſt. Cinenere aut calce exceptus, inflãmationibus, fiſtulis, ac tumoribus ſuccurrit. Aſininum tradunt cicatrices corpori concolores reddere. Anſerinus gallinaceúſque conueniunt muliebribus malis, et ad labiorum rimas, ad mangonizandam faciem, & contra aurium dolores. Vrſinum cõſtat raptos vitio alopeciȩ capillos reſtituere

pernionibus

ωπικήν. τὸ μέν τοι ταύρειον στύφει ποσῶς. καὶ τὸ βόειον, καὶ τὸ μόσχειον· καὶ τὸ λεόντειον δὲ ἀναλογεῖ τούτοις· φασὶ δὲ αὐτὸ καὶ ἀντιφάρμακον τοῖς ἐπιβουλεύουσιν εἶναι. τὸ δὲ ἐλεφάντειον καὶ ἐλάφειον, ἑρπετὰ διώκει καταχριόμενον. τὸ δὲ αἴγειον στυπτικώτερον· ὅθεν δυσεντερικοῖς δίδοται σὺν ἀλφίτῳ καὶ ῥοῒ καὶ τυρῷ καθεψόμενον, ἐγκλύζεταί τε μετὰ πτισάνης χυλοῦ. εὐθετεῖ δὲ καὶ φθισικοῖς ἐν ῥοφήμασιν ὁ ἐξ αὐτῶν ζωμός, καὶ τοῖς κανθαρίδας πεπωκόσιν ὠφελίμως δίδοται. τὸ δὲ τράγειον διαλυτικώτατον ὂν βοηθεῖ ποδαγρικοῖς, φυραθὲν σὺν αἰγὸς σπυράθοις καὶ κρόκῳ καὶ ἐπιτιθέμενον· καὶ τὸ προβάτειον δὲ ἀναλογεῖ τούτῳ. ὕειον δὲ ἀναλογεῖ τοῖς περὶ ὑστέραν, καὶ ἕδραν· ὃ καὶ πυρικαύτοις ἁρμόζει. τὸ δὲ ταριχηρὸν ὕειον ὡς ἔτι παλαιότατον, θερμαίνει καὶ μαλάσσει, οἴνῳ δὲ πλυθὲν ἁρμόζει πλευριτικοῖς, σὺν τέφρᾳ ἢ ἀσβέστῳ ἀναληφθὲν, καὶ πρὸς οἰδήματα καὶ φλεγμονὰς καὶ σύριγγας. τὸ δὲ ὄνειόν φασιν οὐλὰς ὁμοχρόους ποιεῖν. χήνειον δὲ καὶ ὀρνίθειον πρὸς τὰ γυναικεῖα, καὶ ἐπὶ ῥήξεις χειλῶν καὶ *προσώπων ἐπιμέλειαι, καὶ ὠταλγίας ἁρμόζει. τὸ δὲ ἄρκειον δοκεῖ τριχοφυὲς εἶναι ἀλωπεκιῶν,

καὶ

καὶ χιμετλιῶσιν ἁρμόζει. τὸ δὲ τῆς ἀλώπεκος στέαρ πρὸς ὠταλγίας. τὸ δὲ τῶν ποταμίων ἰχθύων ὀξυδερκὲς ἐγχριόμενον, ἀποτακὲν ἐν ἡλίῳ, καὶ μέλιτι μιγέν. τὸ δὲ τῆς ἐχίδνης πρὸς ἀμβλυωπίας, ἔτι δὲ ὑποχύσεις ἐνεργεῖ, μιγὲν κεδρίᾳ καὶ μέλιτι ἀττικῷ, καὶ ἐλαίῳ παλαιῷ ἴσον· ἐκτιλθείσας δὲ τὰς ἐν μασχάλῃ τρίχας, πρὸς τὰς ῥίζας καταχρισθὲν καθ' ἑαυτὸ πρόσφατον, ἐξιτήλους ποιεῖ.

Περὶ Μυελῶν. Κεφ. ϛε'.

Μυελῶν δὲ κράτιστος ἐστὶν ἐλάφειος, εἶτα μόσχειος, καὶ μετὰ τοῦτον ταύρειος, εἶτα αἴγειος καὶ προβάτειος. συνίστανται δὲ θέρους τοῦ συνεγγίζοντος τῷ φθινοπώρῳ. ἐν γὰρ τοῖς ἄλλοις καιροῖς, αἱμαλωπὸς καὶ οἱονεὶ σὰρξ εὔθρυπτος ἐν τοῖς ὀστέοις εὑρίσκεται· ἔστι δὲ δύσγνωστος ἐὰν μήτις, αὐτῶν * ἐξοστείσας εἴδη, καὶ ἀπόθηται· ἅπαντες δὲ εἰσὶ μαλακτικοί, ἀραιωτικοί, θεραπευτικοί· πληρωτικοὶ ἑλκῶν, ὁ δὲ ἐλάφειος περιχρισθεὶς καὶ θηρία διώκει. θεραπεύεται ὁ πρόσφατος μαλαχθεὶς ὡς στέαρ παραχεόμενον ὕδατι ἐκπλεξαμένων τῶν ὀστέων, εἶτα δι' ὀθόνης ὑλισθεὶς καὶ ὡσαύτως πλυθεὶς, ἄχρις ἂν τὸ ὕδωρ καθαρὸν γένηται. ἔπειτα ἐν διπλώματι τακεὶς, ἐπιπαλαφθήσης πτερῷ τῆς ἐπινηχομένης ῥυπαρίας, καὶ διυλισθεὶς εἰς θυίαν μετὰ τὸ παγῆναι ἀπο-

pernionib⁹ ſubuenire. Vulpin⁹ medeť auriũ dolorib⁹. Fluuiatiliũ piſciũ pinguia punctis oculis claritatẽ afferũt, ſi in ſole liqueſcãt, & melli admiſceãtur. Viperæ adeps cõtra oculorum hebetudines ſuffuſionesq; efficax eſt. addita cedria, melle Attico, & pari oleo vetere: pilos alis euulſos perũctis radicibus recẽs & per ſe illitus obliterat, atque renaſci non patitur.

Medulla. Cap. XCV.

Laudatiſsima eſt ceruina, mox vitulina, poſt hanc taurina, dein caprina, & ouilla. Colliguntur æſtatis exitu, cùm appetit autumnus: quippe cum aliis anni temporibus concrementum ſanguinis, & veluti caro friabilis, in oſsibus inueniatur, nec facile cognoſci poteſt, ni quis eam oſsibus extrahat & recõdat. Omnes medullæ molliunt, calfaciunt, rarefaciunt: vlcera explent, ceruina perunctos venenata fugiunt. Curantur recentes, adipis modo, aquę reſperſu ſubactę, ſeſe ctisq; oſsibus tãtiſper elotæ, & in linteũ expreſſæ, donec aqua ſyncera emanet: & deterſa ſorde pẽna, ſiqua innatet, liquatę in duplicato vaſe in pilã exprimunt: & vbi coire omni fæce,

quæ ad ima ſidit, deraſa, fictili nouo reponuntur. Quod ſi libet incuratas reponere, facito omnia quæ de anſerum & gallinarum adipe demonſtrauimus.

Fel. Cap. XCVI.

Fel omne curatur hoc modo: Recens præligato ore folliculi lino tandiu demiſſum in feruenté aquam, dum quis ſpatium trium ſtadiorum percurſaret, mox exemptum ſiccatur vmbroſo loco, aſperginem nõ redolente. Sed quod ad oculorum medicamenta adiici ſolet, ligatum lino in vitreũ vas, quod mel habeat, immittitur: circumuoluto ad os vaſis lini principio, & operto vaſe recõditur. Eſt enim vis omnium acris & excalfaciens: intenſis tamen & remiſsis viribus differũt: ſiquidem præſtantius in effectu eſſe videtur fel marini ſcorpionis, & piſcis qui callionymus appellatur, marinæ teſtudinis, hyænæq;: item perdicis, aquilæ, gallinæ candidæ, & ſylueſtris capręquod priuatim prodeſt cõtra ſuffuſiones incipiẽtes, & oculorum caligines, argemas, & genarũ ſcabritias. Ouillo, ſuillo, hircino, atq; vrſino, taurinũ multo efficacius.

Felle

ἀποτίθεται ἐν ὀστρακίνῳ ἀγγείῳ καινῷ, ἀπεξυσμένης ἐπιμελῶς τῆς ὑποστάθμης. εἰ δ' ἀθεράπευτον ἀποτίθεσθαι βούλει, ποίει πάντα ὡς ἐπὶ τοῦ ὀρνιθείου καὶ χηνείου στέατος ὑπεδείξαμεν.

Περὶ Χολῆς πάσης. Κεφ. ϟϛ'.

Χολὴ πᾶσα ἀποτίθεται τούτῳ τῷ τρόπῳ· λαβὼν τὴν πρόσφατον καὶ ἀποδήσας τὸ στόμα αὐτῆς λίνῳ, κάθες εἰς ὕδωρ ζέον, διαλιπὼν χρόνον τοσοῦτον, ὅσον ἄν τις τριῶν σταδίων δρόμον* ἀνύσειεν, εἶτα ἐξελὼν, ξήραινε ἐν τόπῳ σκιερῷ καὶ ἀνοτίστῳ. τὰς δὲ εἰς τὰ ὀφθαλμικὰ λίνῳ, ἀποδήσας, βάλε εἰς βυκίον ὑελοῦν ἔχον μέλι· καὶ τὴν ἀρχὴν τοῦ λίνου περιδήσας τῷ στόματι τοῦ βυκίου πωμάσας ἀπόθου. εἰσὶ δὲ πᾶσαι αἱ χολαὶ δριμεῖαι, θερμαντικαὶ τὸ μᾶλλον δὲ καὶ ἧττον κατὰ δύναμιν ἀλλήλων διαφέρουσαι· δοκοῦσι δὲ ἐπιτετάσθαι ἥ, τε τοῦ θαλασσίου σκορπίου καὶ ἰχθύος τοῦ λεγομένου καλλιωνύμου, χελώνης τε θαλασσίας καὶ ὑαίνης· ἔτι δὲ πέρδικος καὶ ἀετοῦ, καὶ ἀλεκτορίδος λευκῆς, καὶ αἰγὸς ἀγρίας· ἰδίως ἁρμόζουσαι πρὸς ἀρχομένας ὑποχύσεις καὶ ἀχλὺς, ἄργεμά τε καὶ τραχέα βλέφαρα. τῆς δὲ τοῦ προβάτου καὶ τοῦ τράγου καὶ τοῦ συὸς, ἔτι δὲ ἄρκτου ἐμπρακτικωτάτη ἐστὶν ἡ ταυρεία.

πᾶσαι

πᾶσαι δὲ προθυμίαν πρὸς διαχώρησιν ἐργάζονται, καὶ μᾶλλον παιδίων, εἴ τις κροκίδα βάψας προσθείη τῷ δακτυλίῳ. ἡ δὲ ταυρεία ἰδίως ἐπὶ συναγχικῶν διαχρίεται σὺν μέλιτι· ἀποθεραπεύει τε τὰ ἐν δακτυλίῳ μέχρις οὐλῆς. πυορροοῦντά τε ὦτα, καὶ τὰς ἐπ' αὐτῶν ῥήξεις σὺν γάλακτι αἰγείῳ ἢ γυναικείῳ ἐνσταζομένη· πρὸς δὲ συριγμοὺς σὺν πράσου χυλῷ· εἴς τε τὰς τραυματικὰς ἐμπλάστρους μιγνυμένη, καὶ θηριακὰς περιχρίστους. καὶ πρὸς φαγεδαινικὰ ἕλκη καὶ ὀδύνας αἰδοίου, καὶ ὀσχέου σὺν μέλιτι· πρὸς δὲ λέπρας καὶ πίτυρα, σὺν νίτρῳ ἢ γῇ κιμωλίᾳ σμῆγμα κράτιστον. καὶ ἡ προβατεία δὲ πρὸς αὐτὰ καὶ ἡ ἀρκεία, ἐνδεέστεραι δὲ τυγχάνουσιν. ἐκλειχομένη δὲ ἡ ἀρκεία ἐπιληπτικοὺς ὠφελεῖ. ἡ δὲ τῆς χελώνης πρὸς συνάγχας καὶ τὰς ἐπὶ τῶν παίδων νομὰς ἐν στόματι. καὶ ἐπιληπτικοῖς ἐντεθεῖσα ταῖς ῥισίν· αἰγὸς δὲ ἀγρίας ἰδίως νυκτάλωπας θεραπεύει ἐγχριθεῖσα. καὶ ἡ τοῦ τράγου δὲ τὸ αὐτὸ ποιεῖ θύμιά τε αἴρει, καὶ τὰς ἐπὶ τῶν ἐλεφαντιώντων ὑπεροχὰς καταχριομένη, καταστέλλει. ἡ δὲ ὑεία πρὸς τὰ ἐν ὠσὶν ἕλκη καὶ πρὸς τὰ λοιπὰ πάντα ὠφελίμως παραλαμβάνεται.

Περὶ

Felle omni perfacilem, præſertim infantibus, deiectionem quis molietur, ſi intinctum eo tomentum aut fimbriam ſedi ſubiiciat. Priuatim taurino anginæ cum melle perunguntur: ſedis vlcera ſanat, & ad cicatricem vſq; perducit. Idem auribus fractis, & purulẽtis cum muliebri lacte aut caprino inſtillatum, medetur: & ſibilo earundem ex porri ſucco. Admiſceri inſueuit vulnerariis emplaſtris & circũlinitionibꝰ, quę cõtra venenata parantur. Phagedænicis vlceribus, colis & ſcroti doloribus, ex melle prodeſt: lepras, furfures cum nitro & terra cimolia quàm optimè purgat. Ouillum & vrſinum contra eadem pollent, verum inefficacius hæc præſtant. Vrſinum eclegmate comitiales adiuuat. Fel teſtudinum anginis, & in ore infantiũ nomis, prodeſt: naribus inditum comitiales erigit. Sylueſtriũ caprarum felle peculiariter perũcti luſcioſi ſanãtur. Hircinum idẽ obit munus, thymia abolet, & luxuriantes elephanticorum extuberationes illitu reprimit. Suillum autem contra aurium vlcera, reliquáq; omnia, magno vſu aſſumitur.

San-

Sanguis. Cap. XCVII.

Sãguis anſeris, anatis & hœdi vtiliſsimè in antidota miſcent̃. Palũbi aũt, turturis & colũbæ, nec nõ perdicis, oculis cruore ſuffuſis, & recẽtibus eorũ vulneribus, luſcioſisq́; illinũtur. Peculiariter colũbę ſanguis, cruorẽ mẽbranis cerebri erũpentẽ inhibet. Hirci, capræ, cerui & leporis ſanguinis inaſſatus ſartagine, dyſenterias & cœliacorũ profluuia ſiſtit: in vino potus cõtra toxica efficax eſt. Leporinꝰ ſanguis ita vt tepet illitus, vitia cutis in facie, lentiginesq́; emaculat. Caninus cõmodè ab his bibitur quos efferata in rabiẽ beſtia momorderit: contra epotũ toxicũ auxilio eſt. Teſtudinis terreſtris ſanguinẽ epotũ tradũt ꝓdeſſe comitialibꝰ. Marinę autẽ teſtudinis cũ vino & leporis coagulo cuminóq; cõtra ſerpentiũ morſus, & hauſta rubetæ venena cõueniẽter bibit̃. Taurinꝰ cũ polẽta illitꝰ, duritias diſcutit, emollitq́;. Sãguis equarũ quę admiſſurã expertę ſunt, in medicamẽta addit̃ quæ erodũt, ſeptica vocãt. Sãguine chamæleõis genarũ palpebras euelli creditũ eſt. Hoc enim viridiũ ranarũ ſanguine præſtatur. Mẽſtruꝰ ſanguis fœminarũ,

cir-

Περὶ Αἱμάτων. Κεφ. ϛζ.

Αἷμα χηνὸς καὶ ἐρίφου καὶ νήσσης, ἀντιδότοις χρησίμως μίγνυται. φάσσης δὲ καὶ τρυγόνος καὶ περιστερᾶς καὶ πέρδικος, εἰς προσφάτους ὀφθαλμῶν τρώσεις καὶ ὑποδρομὰς αἵματος καὶ νυκτάλωπας ἐγχείεται. ἰδίως δὲ τὸ τῆς περιστερᾶς, αἱμοῤῥαγίας τὰς ἐκ μηνίγγων ἐπέχει. τὸ δὲ τοῦ τράγου καὶ αἰγὸς καὶ ἐλάφου καὶ λαγωοῦ, ὀπτὸν ἀπὸ τηγάνου λαμβανόμενον, δυσεντερίας καὶ κοιλιακὰς ῥύσεις ἐφίστησι· μετ᾽ οἴνου δὲ ποθὲν πρὸς τοξικὰ ποιεῖ. τὸ δὲ τῶν λαγωῶν θερμὸν καταχριόμενον, ἐφήλιδας καὶ φακοὺς θεραπεύει. καὶ τὸ ἀπὸ τῶν κυνῶν δὲ ποθὲν, λυσσοδήκτοις καὶ τοξικὸν πεπωκόσιν ἁρμόζει. τὸ δὲ τῆς χερσαίας χελώνης ποθὲν, ἐπιληπτικοῖς ἱστορεῖται ἁρμόζειν. θαλασσίας δὲ χελώνης σὺν οἴνῳ καὶ πιτύᾳ λαγωοῦ καὶ κυμίνῳ πινόμενον, ἁρμόζει πρὸς θηριοδήγματα καὶ φρύνου πόσιν. ταύρου δὲ αἷμα διαφορεῖ καὶ μαλάσσει σκληρίας καταπλασσόμενον μετὰ ἀλφίτων. τὸ δὲ τῶν ὀχευτῶν ἵππων σηπτοῖς μίγνυται. τὸ δὲ τοῦ χαμαιλέοντος, τρίχας ψιλοῦν ἐπὶ τῶν βλεφάρων πεπίστευται. καὶ τὸ τῶν χλωρῶν βατράχων ὁμοίως. γυναικὸς δὲ τὸ ἐπιμήνιον

περιαλει-

περιαλειφόμενον καὶ ὑπερβαινόμενον, ἀσυλλήπτους δοκεῖ ποιεῖν γυναῖκας· ποδαγρικὰς δὲ ὀδύνας καὶ ἐρυσιπέλατα κουφίζει καταχριόμενον.

Περὶ Ἀποπάτου. Κεφ. ϛη'.

Ἀπόπατος βοὸς νομάδος πρόσφατος ἐπιτεθεὶς, φλεγμονὰς τὰς ἐκ τραυμάτων πραΰνει· ἐνειλεῖται δὲ φύλλοις καὶ θερμαίνεται ἐπὶ θερμοσποδιᾶς, καὶ οὕτως ἐπιτίθεται. καὶ ἰσχιάδος δὲ πυρία πραϋντικὴ ἡ τοιαύτη ἐπίθεσις· σὺν ὄξει δὲ καταπλασθεῖσα, σκληρίας καὶ χοιράδας διαλύει καὶ φύγεθλα. ἰδίως δὲ ἄρρενος βοὸς βόλβιτον ὑστέρας προπεπτωκυίας ὑποθυμιώμενον, ἀποκαθίστησι· διώκει δὲ καὶ κώνωπας θυμιαθέν. αἰγῶν δὲ σπύραθοι μάλιστα ὀρεινῶν πινόμεναι σὺν οἴνῳ, ἴκτερον ἀποκαθαίρουσι· σὺν ἀρώματι δὲ ποθεῖσαι ἔμμηνα κινοῦσι, καὶ ἔμβρυα ἐκβάλλουσι· ξηραὶ δὲ λεῖαι σὺν λιβανωτῷ προστεθεῖσαι ἐν ἐρίῳ, γυναικεῖον ῥοῦν ἐπέχουσι, καὶ τὰς ἄλλας αἱμοῤῥαγίας σὺν ὄξει στέλλουσι· καεῖσαι δὲ ἀλωπεκίας θεραπεύουσι, μετ' ὄξους ἢ ὀξυμέλιτος καταχριόμεναι· σὺν ὀξυγγίῳ δὲ καταπλασσόμεναι, ποδαγρικοὺς ὠφελοῦσιν. ἑψηθεῖσαι δὲ μετ' ὄξους ἢ οἴνου, ἐπιτίθενται πρὸς ἑρπετῶν δήγματα καὶ ἕρπητας, καὶ ἐρυσιπέλατα, καὶ παρωτίδας.

καὶ

circumlitu conceptũ inhibere exiſtimatur, aut ſi omnno mulier mẽſtrua ſupergrediatur: leuat podagrę dolores & ignem ſacrum illitus.

Fimum. Cap. XCVIII.

Armentariæ bouis fimum ſi recẽs admoueatur, vulnerum inflammationes mitigat: foliis autẽ inuoluitur, & calfactũ cinere feruẽti ſuperponitur. Coxendicis cruciatus fotu compeſcit: illitũ ex aceto duritias, panos, & ſtrumas diſcutit. Priuatim ſuffitu fimi, quod à maſculo boue redditum eſt, procidentes vuluæ reprimũtur: accenſi nidore culices abigũtur. Fimum caprarum, pręſertim in montibus degentium, potum in vino, regium morbum emẽdat: mẽſes cit cum odoramentis hauſtum, & partus euocat: tritum in farinam, & impoſitum lanis cum thure, fœminarum profluuia ſiſtit, cęteróſque ſanguinis impetus ex aceto co hibet: medetur alopeciis exuſtũ, & cum aceto aut oxymelite illitum: cum axungia verò impoſitum, his qui podagra tẽtãtur, auxilio eſt. Caprillum in aceto decoctũ imponitur ſerpẽtiũ morſib⁹, vlcerib⁹ quę ſer punt, igni ſacro, & parotidibus

Vtilem

Vtilem iſchiadici vſtioné hunc in modum accipiunt:In eo interſtitio vbi pollex brachiali committitur, caua veluti lacuna ſubſidet, in qua lana oleo imbuta ſubſternitur,deinde ſigillatim feruentes ſtercoris caprini pilulæ imponũtur,dũ vapor per brachium ad coxã ſentiatur peruenire,& coxendicis doloré mitigare:aduſtio id genus Arabica appellatur. Ouillum ex aceto illitum ſanat epinyctidas,clauos,pẽſiles verrucas, thymos & ambuſta igni, roſaceo cerato exceptũ. Fimũ ſuis ſylueſtris aridum, in aqua aut vino potũ,reiectiones ſanguinis ſiſtit: vetuſtũ lateris doloré mulcet, ad rupta & cõuulſa ex aceto bibitur: laxatis cũ cerato roſaceo medetur.Tã aſinorũ quàm equorũ fimũ ſiue crudũ ſiue crematũ, addito aceto,ſanguinis eruptiones cohibet.Armẽtarij,qui herba paſcitur,ſiccũ fimũ liquatũ in vino, mox potum, cõtra ſcorpionũ ictus magnopere auxiliaŕ.Colũbinũ vehemẽtius & excalfacit & vrit,cũ hordeacea farina mixtũ ſtrumas ex aceto diſcutit:carbunculos emarginat,tritum cum melle, lini ſemine & oleo: ambuſtis igni medetur.

Galli-

καὶ ἐπὶ ἰσχιαδικῶν δὲ ἡ δι᾽ αὐτῶν καῦσις ὠφελίμως παραλαμβάνεται τοῦτον τὸν τρόπον· ἐπὶ τὸ μεταξὺ μέρος τοῦ ἀντίχειρος, συνεγγίζον δὲ τῷ καρπῷ κοῖλον, περιϋποθεὶς ἔριον ἐλαίῳ βεβρεγμένον, ἐπιτίθει κατὰ μίαν σπύραθον πυρίων, ἄχρις ἂν ἡ αἴσθησις διὰ τοῦ βραχίονος ἐπὶ τὸ ἰσχίον ἔλθῃ καὶ παύῃ. καλεῖται δὲ ἡ τοιαύτη καῦσις ἀραβική. ἡ προβάτων δὲ ἄφοδος σὺν ὄξει καταπλασθεῖσα, ἐπινυκτίδας, ἥλους, θύμους ἀκροχορδόνας ἰᾶται· πυρίκαυτα δὲ κηρωτῇ ῥοδίνῃ λειφθεῖσα, ὑὸς δὲ ἀγρίου ξηρὰ μεθ᾽ ὕδατος ἢ οἴνου ποθεῖσα, αἵματος ἀναγωγὴν ἴσχει καὶ χρόνιον ἄλγημα πλευρᾶς πραΰνει, ῥήγματα δὲ καὶ σπάσματα μετ᾽ ὄξους πινομένη· στρέμματα δὲ θεραπεύει ἀναληφθεῖσα κηρωτῇ ῥοδίνῃ. ὄνων δὲ καὶ ἡ τῶν ἵππων, αἱμορραγίας ἵστησιν, ὠμή τε καὶ κεκαυμένη ὄξει μιγεῖσα. ἡ δὲ τοῦ ἐξ ἀγέλης ὄντος ποηφάγου, ξηρὰ χυλισθεῖσα ἐν οἴνῳ καὶ ποθεῖσα σκορπιοπλήκτοις σφόδρα βοηθεῖ. περιστερᾶς δὲ, θερμαντικωτέρα καὶ καυστικωτέρα χρησίμως ὠμηλύσει μιγνυμένη· σὺν ὄξει δὲ χοιράδας διαφορεῖ· ἄνθρακάς τε περιρρήττει σὺν μέλιτι καὶ λινοσπέρμῳ καὶ ἐλαίῳ λεανθεῖσα, πυρίκαυτά τε θεραπεύει.

καὶ ἡ

καὶ ἡ τῶν ἀλεκτορίδων δὲ ταῦτα ποιεῖ, ἐνδεέστερον μέντοι· πλὴν ἰδίως πρὸς μύκητας θανασίμους καὶ κώλου ἀλγήματα ἁρμόζει μεθ' ὄξους ἢ οἴνου πινομένη. πελαργοῦ δὲ σὺν ὕδατι ποθεῖσα ἐπιληπτικοῖς ἁρμόζειν πιστεύεται. γυπὸς ὑποθυμιαθεῖσα, ἔμβρυα ἐκτινάσσειν παραδέδοται. μυῶν, λεία σὺν ὄξει ἀλωπεκίας καταχριομένη θεραπεύει· σὺν λιβανωτῷ δὲ καὶ οἰνομέλιτι πινομένη λίθους ἐκκρίνει· προστιθέμενα δὲ παιδίοις τὰ μυόχοδα κοιλίαν πρὸς ἔκκρισιν ἐρεθίζει. κυνὸς δὲ ἡ ἐν τοῖς κυνοκαύμασι ληφθεῖσα, ξηρὰ πινομένη μεθ' ὕδατος ἢ οἴνου, κοιλίαν ἐφίστησιν. ἡ δὲ τῶν ἀνθρώπων πρόσφατος καταπλασθεῖσα, ἀφλέγμαντα μετὰ τοῦ παρακολλᾶν φυλάττει τὰ τραύματα· ξηρὰ δὲ μετὰ μέλιτος διαχριομένη ἐπὶ συναγχικῶν, βοηθεῖν παραδίδοται. ἡ δὲ τοῦ χερσαίου κροκοδείλου, ἁρμόζει ἐπὶ τῶν γυναικῶν, πρὸς εὔχροιαν καὶ στίλβωσιν* τῶν προσώπων. καλλίστη δέ ἐστιν ἡ λεπτοτάτη καὶ εὔθρυβης, κούφη τε ὥσπερ ἄμυλον, ταχέως τε χυλουμένη ὑπὸ ὑγροῦ· διατριβεῖσά τε ὕποξις καὶ ζυμάζουσα τὴν ὀσμήν. δολίζουσι δὲ αὐτὴν, ψάρας ὀρύζῃ τρέφοντες, καὶ τὴν ἄφοδον ὁμοίαν οὖσαν πωλοῦντες. οἱ δὲ, ἄμυλον ἢ κιμωλίαν φυρῶντες, καὶ

Gallinaceum verò omnia eadem, ſed inefficacius præſtat: priuatim tamen contra venena fungorum, & coli cruciatus ex aceto aut vino bibitur. Ciconiæ fimũ, ſi ex aqua hauriatur, comitialibus prodeſſe credunt. Vulturini fimi nidore partus excuti produntur. Murinũ detritũ cum aceto, & illitũ, alopeciis medetur: cũ thure & mulſo calculos expellit: ſubditæ infantibus muſcerdæ, alui deiectionẽ promouent. Caninum quod flagrãtiſsimo canis ſydere fuerit exceptum, cũ vino aut aqua potũ, ſiſtit aluum. Humanum ſtercus illitum, vulnera ab inflammatione vindicat, & obiter intumeſcere non patitur: ſed ea ſtatim glutinat: ſicco ex melle anginæ perungi cõmodiſsimè tradũtur. Terreſtris crocodili fimũ, crocodileã vocant, quæ mulieribus colorẽ nutrit in facie, nitoréq; ſeruat. Optima eſt cãdidiſsima & friabilis, amyli modo, minimè ponderoſa, in humore ſtatim eliqueſcẽs: quæ cũ teritur, fermẽti acorẽ quadãtenus refert. Adulterãt eam ſturnorũ fimo quos captos oryza paſcunt, ipſúmque nõ diſsimile vendunt. Alij amylum aut cimoliam miſcẽt, & ad-

& adſcito anchuſæ colore per rarũ cribrum paulatim exprimũt, vt ſe cõtrahat in vermiculorũ ſpeciẽ: qui ſiccati pro crocodilea væneunt. Inter omnes conuenire inuenio, humanum ſtercus caninúmq; gutturi impoſitum, anginis auxiliari.

Vrina. Cap. XCIX.

Humanam vrinã ſuã cuiq; bibere, contra viperæ morſus, ac venena, incipiẽtemq; aquã inter cutẽ proderit: ſcorpionis, viperæ marinorũ, draconiſque morſus ea cõuenientiſsimè fouentur. Canina ad perfundendos canis morſus idonea eſt: pruritus & lepras nitro addito expurgat, ſed vetus vlcera capitis manãtia, furfures, pſoras, & feruidas eruptiones, multò magis abſtergit: nomas, & præcipuè genitaliũ, cohibet: auribus infuſa manãs pus ſupprimit: decoctáq; in calyce mali punici, earũ vermiculos abigit. Pueri impubis reſorpta vrina, orthopnoicis auxiliatur: decocta in æreo vaſe cũ melle emẽdat cicatrices, argema, caliginéſq;: ex ea & cupro idoneũ auri ferrumen cõficiunt. Quod in vrina ſubſidit, illitu ignem ſacrũ mitigat: ferueſactũ cũ cyprino, inditũq;, vuluæ dolores mulcet: ſtran-

καὶ χροΐζοντες* ἄρχουσι δι' ἀραιοῦ κοσκίνου, εἰς ὀλίγον ἀπηθοῦσι· καὶ ξηράναντες ὡς σκωλήκια πωλοῦσιν αὐτὶ ταύτης.*

Περὶ Οὔρων.
Κεφ. ϛθ'.

Οὖρον ἀνθρώπου τὸ ἴδιον ποθὲν, πρὸς ἐχίδνης δήγματα ἁρμόζει, καὶ πρὸς θανάσιμα καὶ ἀρχομένους ὕδρωπας, καὶ πρὸς δῆξιν τῶν θαλασσίων ἐχιδνῶν, καὶ σκορπίου θαλασσίου καὶ δράκοντος ἐπαντλούμενον. τὸ δὲ κυνῶν ἐπάντλημα, κυνοδήκτοις· καὶ πρὸς λέπρας καὶ κνησμοὺς σμῆγμα σὺν νίτρῳ, τὸ παλαιὸν σμηκτικώτερον ἀχώρων, πιτύρων, ψωρῶν, ἐκζεσμάτων· νομάς τε ἐπέχει, καὶ τὰς ἐν αἰδοίοις ἐγκλυζόμενον· καὶ ὦτα πυορροοῦντα στεγνοῖ· ἐκβάλλει δὲ καὶ τοὺς ἐν αὐτοῖς σκώληκας ἑψόμενον ἐν σιδίοις ῥόας. τὸ δὲ τοῦ ἀφθόρου παιδὸς καταρροφούμενον, ὀρθοπνοίαις ἁρμόζει· ἑψηθὲν δὲ ἐν χαλκῷ σὺν μέλιτι, οὐλὰς καὶ ἄργεμα καὶ ἀχλῦς ἀποσμήχει· κατασκευάζεται δὲ δι' αὐτοῦ καὶ τοῦ κυπρίου χαλκοῦ ἁρμόζουσα ἐπὶ τοῦ χρυσίου κόλλα. ἡ δὲ ὑποστάθμη τοῦ οὔρου καταχρισθεῖσα* ἐρυσιπέλατα παύει· ἀναζεσθεῖσα δὲ σὺν κυπρίνῳ καὶ προστεθεῖσα, ὀδύνην ὑστέρας παρηγορεῖ. ὑστερι-

ὑστερικῶς πνιγομένας κουφίζει, βλέφαρά τε ἀποσμήχει καὶ οὐλὰς τὰς ἐν ὀφθαλμοῖς ἀποκαθαίρει. τὸ δὲ ταύρειον σὺν σμύρνῃ λεανθὲν καὶ ἐνσταγὲν, ὠταλγίας παρηγορεῖ. καὶ τὸ συάγειον δὲ τῆς αὐτῆς ἔχεται δυνάμεως· ἰδιαίτερον δὲ τοὺς ἐν κύστει λίθους θρύπτει καὶ ἐκκρίνει πινόμενον. αἰγὸς δὲ ὕδρωπα τὸν ὑπὸ σάρκα πινόμενον μετὰ νάρδου στάχυος καθ' ἑκάστην ἡμέραν σὺν ὕδατι κυάθων πλῆθος β΄. ἄγειν οὖρα κατὰ κοιλίαν, ἰᾶται δὲ καὶ ὠταλγίας ἐνσταζόμενον. ὄνου δὲ παραδέδοται νεφριτικοὺς ὑγιάζειν.

Περὶ Λυγγουρίου. Κεφ. ρ΄.

*Τὸ δὲ τῆς λυγγὸς, ὃ δὴ λυγγούριον καλεῖται, ἅμα τῷ ἐξουρηθῆναι λιθοῦσθαι πεπίστευται· διὸ καὶ ματαίαν ἔχει τὴν ἱστορίαν. ἔστι γὰρ τὸ καλούμενον ὑπ' ἐνίων ἤλεκτρον πτερυγοφόρον. ὅπερ ποθὲν σὺν ὕδατι, στομάχῳ καὶ ῥευματιζομένῃ κοιλίᾳ ἁρμόζει.

Περὶ μέλιτος.

Κεφ. ρα΄.

Μέλι πρωτεύει τὸ ἀττικὸν, καὶ τούτου τὸ ὑμήτιον καλούμενον, εἶτα τὸ ἀπὸ τῶν κυκλάδων νήσων, καὶ τὸ ἀπὸ τῆς σικελίας σίμβλιον καλούμενον. ἔστι δὲ δοκιμώτερον τὸ γλυκύτερον καὶ δριμὺ, εὐωδέστερον, ὑπόξανθον, οὐχ ὑγρὸν, ὅλκιμον δὲ καὶ εὔτονον, καὶ ἐν

ſtrangulatus leuat, genas deterget, oculorum cicatrices expurgat. Taurina, ſi cum myrrha inſtilletur, aurium dolores lenit. Aprina viribus eiſdem prædita eſt: priuatim comminuit veſicæ calculos, & potu expellit. Caprina ad aquam quæ cutem ſubijt, cum nardi ſpica quotidie binis cyathis cum aqua bibitur, vrinámque per aluum extrahit, aurium doloribus inſtillata medetur. Aſinina traditur renum vitiis mederi.

Vrina lyncis. Cap. C.

Lyncis vrinã, q̃ lyncuriũ appellãt, ſimulac excernit, glaciari coiréve in calculi duritiã, vulgo creditũ eſt: quare quod de ea ꝓditũ eſt, vanũ eſſe cõuincitur. Eſt enim quod à nonnullis vocat̃ ſuccinũ pterygophorõ, ideo dictũ ꝙ pennas ad ſe alliciat. Id potũ ex aqua, ſtomacho aluóq; fluxiõe laborãti cõueñit.

Mel. Cap. CI.

Principem locũ obtinet mel, quod Atticę regionis eſt, præcipuè ex Hymetto, mox Cycladibꝰ inſulis, & è Sicilia, cognomine hybleũ. Magis probatur dulcius & acre, odoratius, ſubflauum, nec humectum, graue, & minimè fluxũ, qđ ob ſequacẽ len-

lentitiam non facilè abrumpitur, tractúmq; reſilit in digitos. Mel abſtergẽdi vim habet: ora venarum aperit, humores euocat, qua ratione in ſordida vlcera ſinusque, commodiſsimè infunditur. Decoctum atq; impoſitũ, abſcendentẽ carnẽ glutinat, medetur impetigini coctum cum liquido alumine & illitũ, item auriũ ſonitui & dolori, cum foſsili ſale trito, tepidum inſtillatur: lendes & fœda capitis animalia illitum necat, nudam glãdem recutitis operit, præſertim quæ circunciſione aperta nõ eſt, ſimile præputium à balineo triginta diebus emolliatur: oculorũ caliginem diſcutit, faucibus, tonſillis, anginæ collutum gargarizatúmve medetur: vrinã ciet, auxiliatur tuſsi, & à ſerpẽte percuſsis, cõtra hauſtũ meconium, cũ roſaceo calidum aſſumitur: aduerſus venena fungorũ, & rabioſi canis morſus linctũ aut potum proficit: crudũ tamen aluũ inflat, tuſsim laceſsit, & ea de re deſpumati vſus aptior eſt. Primatum tenet in mellis genere vernũ, deinde æſtiuũ, hybernũ verò, vtpote quod craſsius cõſtet, deterrimum reputatur ceraginis halitum expirat.

καὶ ἐν τῷ ἑλκύσθαι ἀνατρέχον ὡς ἐπὶ τὸν δάκτυλον. Δύναμιν δὲ ἔχει σμηκτικὴν, ἀναστομωτικὴν, ὑγρῶν προσκλητικήν, ὅθεν ἁρμόζει ἕλκεσι ῥυπαροῖς καὶ κόλποις ἐγκλυζόμενον. ἑψηθὲν δὲ καὶ ἐπιτεθὲν, παρακολλᾷ τὰ ἀφεστῶτα σώματα, λειχῆνάς τε θεραπεύει ἑψόμενον μετὰ στυπτηρίας ὑγρᾶς καὶ καταχριόμενον· ἤχους τε τοὺς ἐν ὠσὶ καὶ ἀλγήματα σὺν ἁλσὶν ὀρυκτοῖς λείοις ἐνσταζόμενον χλιαρόν· καὶ φθεῖρας καὶ κόνιδας φθείρει καταχριόμενον, λειποδέρμοις τε τοὺς μὴ ἐκ περιτομῆς, ἀποκαθίστησι μαλασσομένης τῆς πόσθης τῷ μέλιτι, μάλιστα ἀπὸ βαλανείου ἐφ' ἡμέρας λ΄. ἀποκαθαίρει δὲ καὶ τὰ ἐπισκοτοῦντα ταῖς κόραις, καὶ τὰ περὶ βρόγχον καὶ παρίσθμια καὶ συνάγχας διαχριόμενον καὶ ἀναγαργαριζόμενον θεραπεύει· κινεῖ δὲ καὶ οὖρα, καὶ βῆξιν ἁρμόζει, καὶ τοῖς ὑπὸ ἑρπετῶν δηχθεῖσι· καὶ πρὸς μήκωνος πόσιν μετὰ ῥοδίνου θερμὸν λαμβανόμενον· καὶ πρὸς μύκητας καὶ λυσσοδήκτους ἐκλειχόμενον ἢ πινόμενον· ἔστι μέντοι τὸ ὠμὸν, φυσῶδες κοιλίας, καὶ βηχὸς ἐρεθιστικὸν, ὅθεν ἐξηφρισμένῳ δεῖ χρῆσθαι. προτερεύει δὲ τὸ ἐαρινὸν, εἶτα τὸ θερινόν· τὸ δὲ χειμερινὸν παχύτερον ὂν χεῖρον, καὶ * ἐξαυθισμοῖς ποιοῦν.

Περὶ Μέλιτος ἐν σαρδωνίᾳ.

Κεφ. ρβ.

*Τὸ δὲ ἐν σαρδωνίᾳ γεννώμενον μέλι, πικρὸν διὰ τὴν τοῦ ἀψινθίου νομήν· ἁρμόζει δὲ πρὸς ἐφήλιδας καὶ σπίλους τοὺς ἐν προσώπῳ καταχρισθέν.

Περὶ Μέλιτος ποντικοῦ.

Κεφ. ργ.

† Γεννᾶται δὲ καὶ ἐν ἡρακλείᾳ τῇ ποντικῇ κατά τινας καιροὺς διά τινων ἀνθῶν ἰδιότητα μέλι· ὃ τοὺς φαγόντας ἐξίστησι μετὰ ἐφιδρώσεως. βοηθοῦνται δὲ πήγανον ἐσθίοντες καὶ τάριχος, καὶ οἰνόμελι πίνοντες, ὁσάκις ἂν ἐμέσωσι τὰ αὐτὰ προσφερόμενοι. ἔστι δὲ δριμὺ, καὶ πταρμοὺς κατὰ τὴν ὄσφρησιν κινοῦν. θεραπεῦον ἔφηλιν, καταχρισθὲν μετὰ κόστου, μετὰ δὲ ἁλὸς, πελιώματα αἶρον.

Περὶ Σακχάρου μέλιτος. Κεφ. ρδ.

* Καλεῖται δέ τι καὶ σάκχαρον εἶδος ὂν μέλιτος ἐν ἰνδίᾳ πεπηγότος καὶ τῇ εὐδαίμονι ἀραβίᾳ, εὑρισκόμενον ἐπὶ τῶν καλάμων, ὅμοιον τῇ συστάσει ἁλσὶ, καὶ θραυόμενον ὑπὸ τοῖς ὀδοῦσι καθάπερ οἱ ἅλες, ἔστι δὲ εὐκοίλιον, εὐστόμαχον διεθὲν ὕδατι καὶ ποθέν· ὠφελοῦν κύστιν κεκακωμένην καὶ νεφρούς· καθαίρει δὲ καὶ τὰ τὰς κόρας ἐπισκοτοῦντα ἐπιχριόμενον.

Περὶ Κηροῦ.

Mel Sardoum.

Cap. CII.

Quod in Sardinia gignitur mel, amarum eſt: quoniam apes inibi abſinthio veſcantur: quo vitia cutis in facie & maculæ aptiſsimè perunguntur.

Mel Ponticum.

Cap. CIII.

Heracliæ in ponto quibuſdam anni temporibus, propria quorundam florum dote, mel conflatur: quod qui edêre, méte abalienantur, ac ſudore diffluunt. Remedio ſunt, eſitata ruta, & ſalſaméta, aut epotũ mulſum, reſumpta, quoties vomitione reiiciũtur. acre autẽ eſt, & olfactu ſternutamenta mouet. Quod cum coſto illitum, fœminarum cutem emendat, & cum ſale ſugillationes rapit.

Mel Saccharum.

Cap. CIIII.

Eſt & aliud concreti mellis genus, quod ſaccharon nominatur. In India verò, & felici Arabia in arundinibus inuenitur: ſalis modo coactum eſt, dẽtibus, vt ſal, fragile, aluo idoneũ, & ſtomacho vtile, ſi aqua dilutum bibatur: vexatæ veſicæ renibúſque auxiliatur, illitũ ea diſcutit, quæ tenebras oculorũ pupillis offundunt.

Cera. Cap. CV.

Cera optima eſt ſubfulua, ſuppinguis,pura,odorata,& halitũ quadamtenus melleũ referẽs,natione Pontica,aut Cretica.Secundum locum obtinet candicãs,& ſuapte natura pinguis. Cãdida fit hoc modo: Ex ea radũt album ſyncerúmque, atq; trans fundunt in vas,quod ſatis habeat marinæ ex alto petitæ, inſperſoque nitri momẽto,decoquunt:cúmque iterum tertióve inferbuit, ſeparatum vas refrigerant, ac ceræ paſtillum eximunt, deterſa ſorde, ſi qua fortè adhæſit: tum denuo indita noua maris aqua feruet, vti retulimus: & vaſe dempto ex igne, fundum ollulæ nouæ aqua frigida madefactũ,in ceram ſummam ſuſpenſa manu intingunt, quo celerius cõcreſcat,& quãminima portio extrahatur.Suſcepto primo ceræ orbiculo,iterum vaſis imum aqua refrigeratum, tantiſper in ceram immitti debet, dum tota excipiatur.Orbiculi lino cõſuti, interuacante ſpatio, ſuſpenduntur, & interdiu,continuò ſub ſole noctu ſub luna aſperguntur, vſque dum perfectè albeſcant. Verum ſi eximius ille candor deſideretur

eadem

Περὶ Κηροῦ. Κεφ. ρέ.

Κηρὸς ἄριστος ἐστὶν ὁ ὑπόκιρρος καὶ ὑπολίπαρος, εὐώδης τε καὶ ποσὴν μελιτώδη ἀποφορὰν ἔχων, ἔτι δὲ καθαρὸς καὶ γένος ποντικὸς ἢ κρητικός. ὁ δὲ ἔκλευκος, τῇ φύσει δὲ λιπαρὸς, δευτερεύει. λευκαντέον δὲ κηρὸν οὕτω κατακνίσας αὐτοῦ τὸ λευκὸν καὶ καθαρὸν, ἔμβαλε εἰς χύτραν καινὴν, καὶ ἐπιχέας θαλάσσης πελαγίας τὸ αὔταρκες, ἕψε βραχὺ νίτρον προσπεπάσας· ὅτε δὲ ἀναζέσει δὶς ἢ τρὶς, καθελὼν τὴν χύτραν καὶ ἐάσας ψυχθῆναι, αἴρου τὸν τροχίσκον, καὶ ἀποξύσας εἴ τις περὶ αὐτὸν ὑπάρχει ῥυπαρία, ἕψε ἐκ δευτέρου ἄλλο θαλάσσιον ὕδωρ ἐπιδοὺς, ἀναζέσαντος δὲ πάλιν τοῦ κηροῦ ὡς δεδήλωται, ἀνελοῦ τὸ ἀγγεῖον ἀπὸ τοῦ πυρὸς, καὶ λαβὼν καινοῦ χυτριδίου τὸν πυθμένα, προνενοτισμένον ὕδατι ψυχρῷ, κάθες πράως εἰς τὸν κηρὸν, ἀκροθιγῶς ἐμβάπτων, πρὸς τὸ ἐλάχιστόν τι αὐτοῦ ἀφέλκεσθαι, καὶ καθ' ἑαυτὸν πήγνυσθαι. ἀναγόμενος δὲ τὸν πρῶτον κυκλίσκον ἀφαιροῦ, καὶ ἐκ δευτέρου κάθες τὸν πυθμένα ψύχων ὕδατι. καὶ τὸ αὐτὸ ποίει, ἕως ἂν ἅπαντα ἀναλάβῃς. λοιπὸν λίνῳ διάρας τὰ κυκλίσκια διεστῶτα ἀπ' ἀλλήλων κρέμασον. ἡμέραν μὲν εἰς ἥλιον συνεχῶς ἐπινοτίζων αὐτά· νυκτὸς δὲ ὑπὸ τὴν σελήνην τίθει, ἕως ἂν λευκὰ γένηται. εἰ δὲ ἄγαν τις θέλει λευκὸν ποιῆσαι,

τὰ μὲν

τὰ μὲν λοιπὰ ὡσαύτως ἐνεργείτω, ἑψέτω δὲ πλεονάκις. τινὲς δὲ ἀντὶ πελαγίας θαλάσσης, ἐν ἅλμῃ δριμυτάτῃ ἕψουσι τὸν προειρημένον τρόπον ἅπαξ ἢ δίς· εἶτα ἀναιροῦνται λαγηνίῳ λεπτῷ, καὶ περιφερεῖ, λαβὴν ἐν ἑαυτῷ ἔχοντι· εἶτα κυκλίσκια ἐπὶ πόας πυκνῆς ἐπιθέντες ἡλιάζουσιν, ἕως ἂν λευκότατος γένηται. παραινοῦσι δὲ ἔαρος ἐπὶ τοῦτο ἔρχεσθαι, ὅτε καὶ ὁ ἥλιος τῇ σφοδρότητι ἀνεῖται, καὶ νοτίδα παρέχει, πρὸς τὸ μὴ τήκεσθαι. Δύναμιν δὲ ἔχει πᾶς κηρὸς θερμαντικὴν, μαλακτικὴν, πληρωτικήν τε μετρίως· μίγνυται δὲ καὶ ἐν ῥοφήμασιν ἐπὶ τῶν δυσεντερικῶν, καὶ καταπινόμενος δὲ μεγέθει κεγχριαῖα δέκα, οὐκ ἐᾷ τυροῦσθαι ἐπὶ τῶν τιθηνουσῶν τὸ γάλα.

Περὶ Προπόλεως. Κεφ. ρϛ΄.

Πρόπολιν παραληπτέον τὴν ξανθὴν καὶ εὐώδη καὶ στυρακίζουσαν. μαλακήν τε ἐν τῷ ὑπερξήρῳ, καὶ μαστίχης τρόπον ἐφελκομένην. ἔστι δὲ θερμαντικὴ ἄγαν καὶ ἐπισπαστικὴ, καὶ σκολόπων ἑλκυστική. ἀρήγει δὲ καὶ βηξὶ παλαιαῖς ὑποθυμιωμένη, αἴρει δὲ καὶ λειχῆνας ἐπιτιθεμένη· εὑρίσκεται δὲ περὶ τοῖς στόμασι τῶν σμηνίων φύσει κηροειδής.

Περὶ Πυρῶν. Κεφ. ρζ΄.

Πυροὶ πρὸς ὑγείας χρῆσιν ἄριστοι,

οἱ

eadem factitari, & identidem recoqui operæpretiũ eſt. Nec deſunt, qui pro marina, in muria, quàm acerrima ſemel aut iterum excoquant: dein laguncula tenui, rotunda, anſam habente, extrahunt: poſtea orbiculos, ſubſtrato affatim ceſpite herboſo, inſolant, donec candorem ſummum contraxerit. Præcipiunt hoc obeundum munus vere, cum ſol remiſſa vehementia humorem pariat, vt non facilè liquetur. Cera omnis mollit, calfacit, modicè explet corpora: datur in ſorbitione dyſentericis, ac milij magnitudine decem grana ceræ hauſta, lac in nutricibus non patiuntur coagulari.

Propolis. Cap. CVI.

Propolis eligi debet flaua, odorata, ſtyracẽ referens, in vehemẽti ariditate mollis, & maſtiches more ductilis. Magnopere calfacit, & euocat: aculeos, & omnia infixa corpori extrahit, in vetere tuſſi ſuffita proficit, impetigines admota tollit: ea in aluealiorum foribus, ceroſæ naturæ inuenitur.

Triticum. Cap. CVII.

Optima è tritici generibus ad ſecundę valetudinis vſus ha-

bentur, quæ recentia, & iã perfectè adulta, colorem luteũ referunt: dein ſequuntur trimeſtria, quæ nonnullis ſitania nominantur. Itaque cruda in cibis teretes tineas gignunt, canum morſibus proſunt, manſa & impoſita: confectus eorum ſimilagine panis, plus alit, quàm cibarius: è trimeſtrium farina panis leuiorem cibum præbet, & qui facile in mẽbra demandetur. Farina eorũ cum hyoſcyami ſucco illinitur aduerſus neruorũ fluxiones, quas Græci rheumatiſmos vocãt. Itẽ contra interaneorum inflationes, lentigines ex aceto mulſo tollit. Furfures autẽ in acri aceto decocti, turgentes mammas ſedant: viperarum ictibus auxiliantur, & torminoſis proſunt. Farinaceũ fermentũ calfaciendi, extrahẽdíq; vim habet: priuatim callos pedũ, clauoſq; extenuat, & cætera tubercula furunculóſq; ex ſale cõcoquit, & aperit. Sitaniorũ farina, contra venenatos ictus cũ aceto aut vino, cõmodiſſimè illinitur: eadẽ ſi decocta in glutini modũ delingatur, cruẽtis excreationibus ꝓderit: cõtra tuſſim, & exaſperatas arterias, cum mẽtha & butyro decocta, efficax eſt.

Tritici

οἱ πρόσφατοι καὶ τελείως ἠδρηκότες, τῇ χρόᾳ μηλίζουσιν· εἶτα μετὰ τούτους οἱ τριμηνιαῖοι, λεγόμενοι δὲ ὑπό τινων σητάνιοι· ὠμοὶ οὖν βρωθέντες, ἕλμινθας στρογγύλας γεννῶσι, μασσηθέντες δὲ καὶ καταπλασθέντες, ὠφελοῦσι κυνοδήκτοις· ὁ δὲ ἐκ τῆς σεμιδάλεως αὐτῶν γινόμενος ἄρτος, εὐτροφώτερός ἐστι τοῦ συγκομιστοῦ· ὁ δὲ ἐκ τῶν σητανίων ἀλεύρων, κουφότερος καὶ εὐανάδοτος. τὸ δὲ ἐξ αὐτῶν ἄλευρον σὺν ὑοσκυάμου χυλῷ, καταπλάσσεται πρὸς νεύρων ῥευματισμοὺς, καὶ πρὸς ἐμπνευματώσεις ἐντέρων, σὺν ὀξυμέλιτι δὲ φακοὺς αἴρει. τὸ δὲ πίτυρον σὺν ὄξει δριμεῖ λέπρας ἀφίστησι καταπλασσόμενον θερμὸν, καὶ πάσης φλεγμονῆς ἐν ἀρχῇ κατάπλασμα σύμφορον, μετὰ δὲ πηγάνου ἀφεψήματος ἑψηθὲν, μαστοὺς σπαργῶντας παύει, καὶ ἐχιοδήκτοις ἁρμόζει, καὶ στροφουμένοις. ἡ δὲ ἐκ τῶν ἀλεύρων ζύμη θερμαντικὴ οὖσα καὶ ἐπισπαστική· ἰδίως τὰ ἐν πέλμασι λεπτύνει, καὶ τὰ ἄλλα φύματα, καὶ δοθιῆνας σὺν ἁλσὶν ἐκπέσσει καὶ ἀναστομοῖ. τὸ δὲ τῶν σητανίων πυρῶν ἄλευρον, ἰοβόλοις ἁρμόζει καταπλαττόμενον ἐν ὄξει ἢ οἴνῳ· ἑψηθὲν δὲ τρόπον κόλλης καὶ ἐκλειχόμενον, αἱμοπτοϊκοὺς ὠφελεῖ· καὶ πρὸς βῆχας καὶ ἀρτηρίας τραχυσμοὺς, σὺν ἡδυόσμῳ καὶ βουτύρῳ ἑψηθὲν ποιεῖ.

καὶ ἡ ἐξ

καὶ ἡ ἐξ αὐτῶν τῶν πυρῶν γῦρις ἑψηθεῖσα σὺν μελικράτῳ, ἢ ὑδρελαίῳ, πᾶσαν διαφορεῖ φλεγμονήν. καὶ ὁ ἄρτος σὺν μελικράτῳ ἑφθὸς καὶ ὠμὸς καταπλασσόμενος, πᾶσαν φλεγμονὴν παραμυθεῖται μαλακτικώτατος ὑπάρχων, καὶ παρυποψύχων· μιγεὶς πόαις ἢ χυλοῖς ποσίν. ὁ δὲ παλαιὸς καὶ ξηρὸς καθ' ἑαυτὸν μιγεὶς ποσὶν, ἵστησι κοιλίαν ῥέουσαν. ἅλμῃ δὲ βραχεὶς ὁ πρόσφατος καὶ καταπλασθεὶς, παλαιοὺς λειχῆνας ἰᾶται. * κόλλα δὲ ἡ γινομένη ἐκ τῆς σεμιδάλεως καὶ γύρεως πρὸς τὴν τῶν βιβλίων κόλλησιν, ἁρμόζει ἐπὶ αἱμοπτοϊκῶν ὑγροτέρα καὶ χλιαρὰ καταῤῥοφουμένη, κοχλιαρίου πλῆθος.

Περὶ Κριθῆς. Κεφ. ρή.

Κριθὴ δὲ ἀρίστη ἡ λευκὴ καὶ καθαρά. ἀτροφωτέρα δὲ πυροῦ. τοῦ μέντοι γινομένου ἐξ αὐτῆς ἀλφίτου ἡ πτισάνη τροφιμωτέρα, διὰ τὴν ἐν τῇ ἑψήσει χύλωσιν. ποιοῦσι δὲ πρὸς τὰς δριμύτητας καὶ τὰς περὶ ἀρτηρίαν τραχύτητας καὶ ἑλκώσεις πρὸς ἃς καὶ ἡ πυρίνη πτισάνη ἁρμόζει τροφιμωτέρα καὶ οὐρητικωτέρα οὖσα κατασπᾷ δὲ καὶ γάλα συνεψηθεῖσα μαράθρου σπέρματι, καὶ ῥοφουμένη. ἔστι δὲ οὐρητικὴ σμηκτική, φυσώδης, κακοστόμαχος, συμπεπτικὴ οἰδημάτων. δια-

Tritici pollen ſi ex aqua mulſa, aut hydrelæo decoquatur, omnem diſcutit inflammationem. Panis & crudus, & coctus cum aqua mulſa inflammationes omneis illitu mulcet: cum emolliat,& quadamtenus refrigeret: ſed herbis ſuccíſve huic rei accommodatis admiſceatur. Vetus panis aridus, adiectis conuenientibus, citam aluum cohibet. Recens muria maceratꝰ, illitu vetuſtas impetigines ſanat. Glutinum ex ſimilagine, & polline, quo chartæ glutinantur, ſanguinem excreātibus prodeſt, ſi liquidus ac tepidum cochlearis menſura detur ſorbendum.

Hordeum. Cap. CVIII.

Hordeū optimū eſt candidū purúmq;, id minus q̄ triticum alit. Ptiſana tamē ob cremorē in decoctione redditū, plus alimēti præbet, q̄ polēta ex hordeo facta, Contra acrimonias atq; gutturis ſcrabritias, exulcerationéſq; pollet: quibus etiam triticea ptiſana præſidio eſt: ſed plus alit, magiſq; vrinā mouet. Lac abūdè ſuppeditat, ſi cū fœniculi ſemine decocta ſorbeatur. Hordeū abſterget, vrinam ciet, inflationē parit, ſtomacho aduerſatur, tumores cōcoquit.

Farina hordeacea decoquitur in mulſa aqua cum fico, vt inflammationes collectioneſque diſcutiat: duritias cum reſina, & fimo columbarum concoquit: cum meliloto autem, & papaueris calyce dolores finit, qui latus excruciant: aduerſus inteſtinorum inflationes cum lini ſemine, fœnogræco, & ruta, illini iuuat: ſtrumas cũ pice liquida, cera, oleo, & impubis pueri vrina, ad cõcoctionem perducit: & cum myrto, aut vino, aut malicorio, aut ſylueſtribus pyris, aut rubo, alui profluuia ſiſtit: podagricis inflãmationibus, cum cotoneis aut aceto prodeſt: decocta in acri aceto, modo quo hordeaceum cataplaſma, & calida impoſita, lepris medetur. Cremor verò farinæ ex aqua, atq; cũ pice, & oleo decoctus, puri mouẽdo eſt: cũ aceto ſubactus itidem, & cum pice, contra articulorũ fluxiones prodeſt. Farina ex his aluum cohibet, inflammationesq; mitigat.

διαφορεῖ δὲ τὸ ἄλευρον αὐτῆς μετὰ σύκων καὶ μελικράτου ἑψηθὲν οἰδήματα καὶ φλεγμονάς· συμπέττει δὲ καὶ τὰς σκληρείας μετὰ πίσσης καὶ ῥητίνης καὶ περιστερᾶς κόπρου· σὺν μελιλώτῳ δὲ καὶ κωδίαις ἀνωδυνίαν παρέχει τοῖς πλευρὸν ἀλγοῦσι· καταπλάσσεται δὲ καὶ πρὸς ἐμπνευματώσεις ἐντέρων μετὰ λινοσπέρμου καὶ τήλεως καὶ πηγάνου· μετὰ δὲ πίσσης ὑγρᾶς καὶ κηροῦ καὶ οὔρου παιδὸς ἀφθόρου καὶ ἐλαίου, χοιράδας ἐκπέπτει. σὺν μυρσίνῃ δὲ ἢ οἴνῳ ἢ ἀχράσιν ἢ βάτῳ ἢ σιδίοις, κοιλίας ῥεύματα ἵστησι· σὺν κυδωνίῳ δὲ ἢ ὄξει, ποδαγρικὰς φλεγμονὰς ὠφελεῖ· ἑψηθὲν δὲ μετὰ ὄξους δριμέως ὃν τρόπον ὠμὴ λύσις, καὶ θερμὸν ἐπιτιθέμενον, λέπρας ὑγιάζει. χυλωθὲν δὲ τὸ ἄλευρον σὺν ὕδατι καὶ ἑψηθὲν σὺν πίσσῃ καὶ ἐλαίῳ, πυοποιόν ἐστι· σὺν ὄξει δὲ χυλωθὲν καὶ ἑψηθὲν μετὰ πίσσης, πρὸς τὰ τῶν ἄρθρων ῥεύματα ἁρμόζει· τὸ δὲ ἐξ αὐτῶν ἄλευρον κοιλίας σταλτικόν, καὶ φλεγμονῶν πραϋντικόν.

Zythum. Cap. CIX.

Ex hordeo pot⁹ fit, cui Zytho nomẽ eſt. Is vrinã cit, renes & neruos tentat, mẽbranis, præſertim cerebrũ veſtiẽtibus, officit: inflationẽ parit, vitioſum ſuc-

Περὶ Ζύθου. Κεφ. ρθʹ.

Ζῦθος σκευάζεται ἐκ τῆς κριθῆς. ἔστι δὲ διουρητικὸς, καὶ νεφρῶν καὶ νεύρων ἁπτικὸς, καὶ μάλιστα μηνίγγων κακωτικός· πνευματωτικός τε καὶ γεννητικὸς κακοχυμιῶν·

χυμῶν, καὶ ἐλεφαντιάσεως ποιητικός. ἐυβρεχὴς δὲ καὶ ὁ ἐλέφας γίνεται βρεχόμενος αὐτῷ.

Περὶ Κούρμιθος. Κεφ. ρί.

Καὶ τὸ καλούμενον δὲ κοῦρμι, σκευαζόμενον δὲ ἐκ τῆς κριθῆς, ᾧ καὶ ἀντὶ οἴνου πόματι πολλάκις χρῶνται, κεφαλαλγές ἐστι καὶ κακόχυμον, καὶ τῶν νεύρων βλαπτικόν. σκευάζεται δὲ καὶ ἐκ πυρῶν τοιαῦτα πόματα, ὡς ἐν τῇ πρὸς ἑσπέραν ἰβηρείᾳ καὶ βρετανίᾳ.

Περὶ Ζειᾶς. Κεφ. ριά.

Ζειὰ διπλῆ· ἡ μὲν γὰρ ἁπλῆ, ἡ δὲ δίκοκκος καλεῖται, ἐν δυσὶν ἐλύτροις ἔχουσα συνεζευγμένον τὸ σπέρμα. ἔστι δὲ τροφιμωτέρα μὲν κριθῆς, εὔστομος· ἀτροφωτέρα δὲ πυρῶν ἀρτοποιουμένη.

Περὶ Κρίμνου. Κεφ. ριβ´.

Κρίμνον ἁδρότερόν ἐστι τῇ κατεργασίᾳ τοῦ ἀλεύρου γινόμενον ἔκ τε ζείας καὶ πυροῦ, ἐξ οὗ ὁ πόλτος γίνεται. ἔστι δὲ ἱκανῶς τρόφιμον καὶ εὐκατέργαστον, σταλτικώτερον δὲ κοιλίας τὸ ἀπὸ τῆς ζείας μάλιστα πεφρωχθείσης.

Περὶ Ὀλύρας. Κεφ. ργ´.

Καὶ ἡ ὄλυρα δὲ ἐκ τοῦ αὐτοῦ γένους ἐστὶ τῆς ζειᾶς, ἀτροφωτέρα δὲ κατὰ ποσὸν ἐκείνης· ἀρτοποιεῖται δὲ καὶ αὐτή. καὶ κρίμνον ἐξ αὐτῆς ὡσαύτως γίνεται.

Περὶ Ἀθή-

ſuccũ creat, elephãtiaſin gignit: perfuſũ Zytho ebur, obſequioſũ & operi tractabile redditur.

Curmi. Cap. C X.

Fit & ex hordeo potus, quẽ curmi nominãt, eóq; ſæpe potu, pro vino vtũtur: verùm dolorem capitis mouet, malum ſuccũ gignit, neruis nocet. Cõſimilia etiã potus genera ex tritico fieri ſolent, in Iberia, quæ occidentẽ ſpectat, & Britãnia.

Zea, ſeu ſemen. Cap. C X I.

Zea duorum generum eſt: vna ſimplex, altera in geminis putaminibus grana bina iũcta gerit, ob id dicoccos appellať. Plus quàm hordeũ alit, ori grata: digeritur in panificia, minus quàm triticum alens.

Craſsior farina. Cap. CXII.

Crimnon craſsior eſt ex Zea triticóque farina, ex qua pultem faciunt. Abundè alit, facilè conficitur, aluum vehementius adſtringit, ſi Zea, ex qua fit, prius torreatur.

Siligo. Cap. C X I I I.

Eidem generi ſigillo adſcribitur, ſed minus aliquanto nutrit: in panes, vt Zea, cogitur. Fit quoq; è ſiligine craſsior farina, quam Græci crimnon vocitãt.

Athera. Cap. CXIIII.

Athera ex Zea fit tenuiſsimè molita: eſt autē ſorbitio, quaſi liquida pulticula, infantibus conueniens, & cataplaſmatis efficax.

Tragos. Cap. CXV.

Tragos quandam halicæ frugis figuram gerit: multò minus, quàm Zea nutrit, quòd multum aceris habeat: quare ægrius conficitur, aluúmq; magis emollit.

Auena. Cap. CXVI.

Auena genicula quædam habet, folio & ſtipula triticū imitatur, & in cacuminibus depēdentes paruulas veluti locuſtas bipedes gerit, in quibus ſemen continetur, vtile ad cataplaſmata, vti hordeum. Pulte huius aluus ſiſtitur, prodeſt tuſsiētibus in ſorbitione ſuccus.

Oryza. Cap. CXVII.

Oryza frugum generis eſt, in paluſtribus riguíſq; naſcens. Mediocriter alit, ſed aluum ſupprimit.

Halica. Cap. CXVIII.

Halica fit ex Zea, quā dicoccon appellauimus: plus alit, q̄ oryza: aluū magis cohibet, ſtomacho longè vtilior. decocta in aceto illitáque lepras tollit, vnguium

Περὶ Ἀθήρας. Κεφ. ριδʹ.

Ἀθήρα δὲ ἐκ τῆς ἀληλεσμένης εἰς λεπτὸν ζειᾶς σκευάζεται· ἔστι δὲ ῥόφημα ὥσπερ πολτάριον ὑγρὸν, παιδίοις ἁρμόδιον· ποιεῖ δὲ καὶ εἰς τὰ καταπλάσματα.

Περὶ Τράγου. Κεφ. ριεʹ.

Τράγος τὸ σχῆμα μὲν παραπλησίως τῷ χόνδρῳ ἔοικεν· ἀβροφώτερος δὲ παραπολὺ ζειᾶς, διὰ τὸ πολὺ ἔχειν τὸ ἀχυρῶδες. διὸ καὶ δυσκατέργαστός ἐστι, καὶ κοιλίας μαλακτικός.

Περὶ Βρώμου. Κεφ. ριςʹ.

Βρῶμος κάλαμός ἐστι, πυρεοῖς ὅμοιος καὶ τοῖς φύλλοις, γόνασι δὲ διειλημμένος. καρπὸν δὲ ἔχει ἐπ' ἄκρῳ ὥσπερ ἀκρίδια δίκωλα, ἐν οἷς τὸ σπέρμα χρήσιμον εἰς καταπλάσματα ὡς ἡ κριθή. καὶ πόλτος δὲ ἐξ αὐτοῦ γίνεται σταλτικὸς κοιλίας. ὁ δὲ ἐξ αὐτοῦ χυλὸς ῥοφούμενος βήχουσιν ἁρμόζει.

Περὶ Ὀρύζης. Κεφ. ριζʹ.

Ὄρυζα τῶν σιτηρῶν ἐστιν εἶδος, φυομένη ἐν ἑλώδεσι τόποις καὶ ὑγροῖς. τρόφιμος δὲ μετρίως καὶ κοιλίας σταλτική.

Περὶ Χόνδρου. Κεφ. ριηʹ.

Ὁ δὲ χόνδρος γίνεται μὲν ἐκ τῆς καλουμένης δικόκκου ζέας· τροφιμώτερος δὲ ὀρύζης, στεγνωτικώτερος κοιλίας. εὐστομαχώτερος δὲ μᾶλλον. αἴρει δὲ καὶ λέπρας σὺν ὄξει ἑψη-

ἑψηθεὶς καὶ καταχρισθεὶς, καὶ λεπρὰς ὄνυχας ἀφίστησι, καὶ αἰγιλώπια ἀρχόμενα θεραπεύει. ἔγκλυσμά τε τὸ ἀφέψημα αὐτοῦ τοῖς μετ' ἀλγήματος δυσεντερικοῖς εὔθετον.

Περὶ Κέγχρου. Κεφ. ριθ'.

Κέγχρος ἀτροφωτέρα τῶν λοιπῶν σιτηρῶν, ἀρτοποιηθεῖσα δὲ ἢ ὡς διὰ πόλτους σκευασθεῖσα κοιλίαν ἵστησιν, οὖρα δὲ κινεῖ. φωχθεῖσα δὲ καὶ βληθεῖσα εἰς σάκκους πυριωμένη, στρόφων καὶ τῶν ἄλλων ἀλγημάτων ἐστὶ βοήθημα.

Περὶ Ἐλύμου. Κεφ. ρκ'.

Ἔλυμος, οἱ δὲ μελίνην, τῶν σιτηρῶν ἐστι σπερμάτων, κέγχρῳ ὁμοία· ὡσαύτως σιτοποιουμένη καὶ πρὸς τὰ αὐτὰ ἁρμόζουσα, ἀτροφωτέρα μέντοι τῆς κέγχρου καὶ ἧττον στυπτική.

Περὶ Σησάμου. Κεφ. ρκα'.

Σήσαμον κακοστόμαχον, καὶ δυσωδίας στόματος ποιητικὸν, ὁπόταν βιβρωσκόμενον ἐμμείνῃ μεταξὺ τῶν ὀδόντων· καταπλασθὲν δὲ διαφορεῖ τὰς ἐν νεύροις παχύτητας, καὶ τὰ ἐν ὠσὶ θλάσματα, καὶ φλεγμονὰς καὶ πυρίκαυτα, καὶ κώλων ἀλγήματα, καὶ κεράστου δῆγμα θεραπεύει· σὺν ῥοδίνῳ δὲ κεφαλῆς ἀλγήματα ἐξ ἐγκαύσεως γινόμενα παραμυθεῖται· ἡ δὲ πόα καθεψηθεῖσα ἐν οἴνῳ τὰ αὐτὰ ποιεῖ μάλιστα δὲ φλεγμοναῖς ὀφθαλμῶν καὶ περιωδυνίαις ἁρμόζει.

γίνεται

vnguium ſcabritias extricat, incipientibus ægilopiis medetur. Decoctum dyſentericis, quos excruciat dolor, infuſum, idoneum eſt.

Milium. Cap. CXIX.

Mlium in panes coactum, minus cæteris frugibus alit, ſiſtit pulte ſua aluum, vrinam cit. Torretur milium, feruénſque in ſacco ponitur, vt torminibus, reliquiſq; doloribus, ſi foueatur, auxilio ſit.

Panicum. Cap. CXX.

PANICVM frumentaceis ſeminibus annumeratur, milio ſimile, eodémque modo in panes ſubigitur: eoſdem habet vſus, minus tamen & nutrit, & ſtringit.

Ceſama. Cap. CXXI.

SESAMA ſtomacho inutilis cibus, halitus, grauitatem facit, quoties inter mandendum commiſſuris dentium inhæſit: neruorum craſsitiem illitu diſcutit, medetur auribus fractis, ambuſtis, inflammationibus, coli doloribus, & ceraſtæ morſibus: capitis dolores, qui æſtuatione concitantur, ex roſacea lenit: eadem efficit harba decocta in vino, præſertim inflammationib⁹ oculorum doloribúsq; prodeſt.

Ex ea

Ex ea fit oleum quo Ægiptij vtuntur.

Lolium. Cap. CXXII.

Lolium quod inter ſegetes naſcitur, molitũ, illitu nomas, putreſcentia vlcera, gangrænáſque emarginat: ſanat cum raphanis, ſale & aceto feros lichenas: & ex aceto, & ſulphure viuo, lepras: ſtrumas quoq; diſcutit, cum fimo columbino, et lini ſemine decoctum in vino: rumpit, quæ ægrius ad coctionem perducuntur. Decoctum ex aqua mulſa, vtiliſsimè iſchiadicis illinitur: ſi cum polenta, thure, myrrha, aut croco ſuffiatur, cõceptionẽ adiuuat.

Amylum. Cap. CXXIII.

Amylum ex eo appellatum eſt, quòd ſine mola fiat. Optimũ ex trimeſtri, natione Creticum aut Ægyptium. Ratio faciundi amyli hæc eſt: Purgatum trimeſtre triticum madeſcit quinquies die, &, ſi fieri poteſt, nocte: cùm emollitum fuerit, effunditur ſenſim, ſine agitatione, aqua, quò minus cremor vtilis vnà excludatur. vbi moliſsimum eſſe videtur mutata aqua pedibꝰ calcari oportet: rurſus infuſa, teri: tum demum enatantes ibi furfures incerniculo eximẽdi, reliquúmq;

γίνεται δὲ καὶ ἔλαιον ἐξ αὐτῆς ᾧ οἱ αἰγύπτιοι χρῶνται.

Περὶ Αἴρας. Κεφ. ρκβʹ.

Αἴρα, οἱ δὲ θύαρος, αἴρα ἡ γινομένη ἐν τοῖς πυροῖς ἀλεσθεῖσα. δύναμιν ἔχει περιχαρακτικὴν νομῶν καὶ σηπεδόνων καὶ γαγγραίνης· μετὰ ῥαφανίων καὶ ἁλῶν καταπλασσομένη καὶ λειχῆνας ἀγρίους καὶ λέπρας σὺν θείῳ ἀπύρῳ καὶ ὄξει θεραπεύει· σὺν κόπρῳ δὲ περιστερᾶς καὶ λινοσπέρμῳ ἑψομένη ἐν οἴνῳ χοιράδας διαλύει· καὶ τὰ δύσπεπτα ῥήσσει. ἰσχιαδικούς τε σὺν μελικράτῳ ἑψηθεῖσα καὶ καταπλασσομένη ὠφελεῖ· σὺν ἀλφίτῳ δὲ ἢ σμύρνῃ ἢ κρόκῳ ἢ λιβανωτῷ ὑποθυμιωμένη συνεργεῖ τῇ συλλήψει.

Περὶ Ἀμύλου. Κεφ. ρκγʹ.

Ἄμυλον ὠνόμασται, διὰ τὸ χωρὶς μύλου κατασκευάζεσθαι. ἄριστον δέ ἐστι τὸ σκευαζόμενον ἐκ πυροῦ σιτανίου, κρητικὸν δὲ ἢ αἰγύπτιον. σκευάζεται δὲ ἐκ πυροῦ σιτανίου καθαροῦ, βρεχομένου πεντάκις τῆς ἡμέρας, εἰ δυνατὸν δὲ καὶ τῆς νυκτός· ὅταν δὲ μαλακὸς γένηται, δεῖ πραέως τὸ ὕδωρ ἐκχεῖν χωρὶς τοῦ κινεῖν, ἵνα μὴ συνεκκλύζηται τὸ νόσιμον. ἐπὰν δὲ παραστῇ μαλακώτατος γινόμενος, ἀποχέας τὸ ὕδωρ τρίβειν τοῖς ποσὶν, εἶτα ὕδωρ ἐπιχέοντας τρίβειν· εἶτα ἀναιρεῖσθαι τὸ ὑφιστάμενον πίτυρον ἠθμῷ,

καὶ

καὶ τὸ λοιπὸν διηθήσαντας ἐμβαλεῖν εἰς ὑλιστῆρα, διυλίσαντάς τε εὐθέως ψύχειν ἐπὶ κεραμίδων καινῶν ἐν ἡλίῳ ὀξυτάτῳ· ἔνικμον γὰρ κἂν ἐπ' ὀλίγον μείνῃ ὀξίζει. ποιεῖ δὲ πρὸς ὀφθαλμῶν ῥεύματα καὶ κοιλότητας καὶ φλυκταίνας· στέλλει δὲ καὶ αἵματος ἀναγωγὰς πινόμενον, καὶ τὰς περὶ ἀρτηρίαν τραχύνει· μίγνυται δὲ καὶ γάλακτι καὶ προσοψήμασι. σκευάζεται δὲ καὶ ἐκ ζειᾶς βραχείσης καὶ πλυθείσης πρὸς μίαν ἢ δευτέραν ἡμέραν, καὶ σταιτὸς τρόπον ἀποθλιβείσης διὰ τῶν χειρῶν καὶ ξηρανθείσης ἐν ὀξυτάτῳ ἡλίῳ ὡς προείρηται· τὸ δὲ τοιοῦτον ἄθετον μὲν πρὸς ἰατρικὴν χρῆσιν, πρὸς δὲ τὰ λοιπὰ εὔθετον.

Περὶ Τήλεως ἀλεύρου. Κεφ. ρκδ΄.

Τῆλις, καὶ τὸ ἐκ τῆς τήλεως ἄλευρον μαλακτικὴν καὶ διαχυτικὴν ἔχει δύναμιν· καταπλασσόμενον δὲ λεῖον σὺν μελικράτῳ ἑφθῷ, ποιεῖ πρὸς φλεγμονὰς τὰς ἐντὸς, καὶ ἐκτός· σὺν νίτρῳ δὲ καὶ ὄξει λεῖον καταπλασθὲν, σπλῆνα μειοῖ. τὸ δὲ ἀφέψημα αὐτῆς ἐγκάθισμα εἰς τὰ γυναικεῖα ὅσα κατὰ φλεγμονὰς ἢ μύσιν συνίσταται. σμῆχει δὲ καὶ τρίχας καὶ πίτυρα, καὶ ἀχῶρας τὸ ἀπόθλιμμα αὐτῆς ἐν ὕδατι ἑψηθείσης· σὺν στέατι δὲ χηνείῳ προστίθεται ἀντὶ πεσσοῦ· μαλάσσον καὶ ἀνευρῦνον τοὺς περὶ τὴν ὑστέραν τόπους.

χλωρὰ

reliquúmq; quallo ſportíſque ſiccatum tegulis nouis confeſtim torreatur flagrantiſsimo in ſole : nanque ſi pauliſper vdum maneat, acorem concipit. Contra fluxiones oculorum, puſtulas, cauáque vlcera efficax eſt: ſanguinis reiectiones potu cohibet, exaſperatas fauces lenit, lacti atque obſoniis admiſcetur. Fit etiam amylum ex Zea, quæ maceratur, ac eluitur vno aut altero die, & ſubactæ farinæ modo manibus ſubigitur: preſſáque feruentiſsimo in ſole, vt antè retulimus, exiccatur: nullius in medicina vſus, ad alia tamen conueniens.

Fœnũ græcũ. Cap. CXXIIII.

Fœnigræci farina vim habet emolliendi diſcutiendiq;: in aqua mulſa decocta aduerſus tam internas, q̃ externas inflãmationes, efficaciter illinitur : lienem cũ aceto, & nitro trita extenuat. Succus decocti eius fœminarum malis ſubuenit: & ſiue tumor, ſiue præcluſio ſit vuluæ fouẽt, & inſidẽt. Fenigræci in aqua decocti cremor expreſſ⁹, capillos, furfures, & manantia capitis vlcera purgat: locos dilatat, et emollit, ſi cũ anſerino adipe peſsi vice ſubiiciat,

Viride

Viride cum aceto vtiliſsimum imbecillib⁹ locis, & vlcera ſentientibus. Decoctum eius prodeſt aduerſus teneſmos, fœtidámque dyſentericorũ proluuiem: Oleũ quod ex eo exprimit̃, & myrtho, capillos & genitalium cicatrices abſterget.

Linum. Cap. CXXV.

Linum vulgò notum eſt, cuius ſemẽ eaſdem quas fœnumgræcum vires habet. Diſcutit & emollit omnem intus foríſque inflammationẽ, cum melle, oleo, exiguáque aqua decoctum, aut melle cocto exceptum; vitia cutis in facie varóſque crudum tollit, illitum cum nitro & ficulneo cinere, parotidas duritiáſque diſcutit: vlcera quæ ſerpunt, fauóſque, cum vino decoctum expurgat: vngues ſcabros eximit, cũ pari modo naſturtij & mellis: vitia pectoris extrahit ſi ex melle in eclegmatis vicem ſubſtituatur: tuſsim lenit, venerem ſtimulat, ſi farina piperis, & melle exceptum, pro placenta largius adſumatur. Hui⁹ decoctum interaneorum vuluæque eroſionibus immittitur, alui excrementa euocat, ad vuluæ inflammationes in deſeſsionibus perquàm vtile.

χλωρὰ δὲ μετ' ὄξους ἀτονοῦσι τόποις καὶ ἑλκουμένοις ἁρμόζει. τὸ δὲ ἀφέψημα αὐτῆς πρὸς τενεσμοὺς καὶ δυσώδη ὑποχωρήματα δυσεντερικά. τὸ δὲ ἀπ' αὐτῆς ἔλαιον μετὰ μυρσίνης σμήχει τρίχας, οὐλάς τε τὰς ἐν αἰδοίοις.

Περὶ Λίνου. Κεφ. ρκε΄.

Λίνον γνώριμον, δύναμιν δὲ ἔχει τὸ σπέρμα τὴν αὐτὴν τῇ τήλει. διαφορεῖ καὶ μαλάσσει πᾶσαν φλεγμονὴν ἐντός τε καὶ ἐκτὸς, σὺν μέλιτι καὶ ἐλαίῳ καὶ ὕδατι ὀλίγῳ ἑψηθὲν, ἢ ἑφθῷ μέλιτι ἀναληφθέν· αἴρει δὲ καὶ ἐφήλεις ὠμὸν καὶ ἰόνθους σὺν νίτρῳ καταπλασθὲν καὶ σύκοις· σὺν κονίᾳ δὲ, παρωτίδας καὶ σκληρίας διαφορεῖ· ἑρπητάς τε σὺν οἴνῳ ἑψηθὲν καὶ κηρία ἐκκαθαίρει· ὄνυχάς τε λεπροὺς ἀφίστησι σὺν καρδάμῳ ἴσῳ καὶ μέλιτι· ἀνάγει δὲ καὶ τὰ ἐκ θώρακος σὺν μέλιτι ἀντὶ ἐκλεικτοῦ ληφθὲν· καὶ βῆχας παρηγορεῖ, παρορμᾷ δὲ καὶ πρὸς ἀφροδίσια μιγὲν μέλιτι καὶ πεπέρει ἀντὶ κοπτῆς πολὺ λαμβανόμενον. καὶ τὸ ἀφέψημα δὲ αὐτοῦ ἐνίεται πρὸς ἐντέρων καὶ ὑστέρας δηγμοὺς, καὶ ἐκκομιδὴν περιττωμάτων καὶ φλεγμονὰς τὰς ἐν μήτρᾳ εἰς ἐγκάθισμα, ὥσπερ τὸ τῆς τήλεως ἐγχυστεῖ.

Περὶ Ἐρεβίνθου. Κεφ. ρκς'.

Ἐρέβινθος ὁ ἥμερος, εὐκοίλιος, οὐρητικὸς, πνευμάτων γεννητικὸς, εὐχροίας ποιητικὸς, καταμηνίων ἀγωγὸς καὶ ἐμβρύων, καὶ γάλακτος γεννητικὸς, καταπλάσσεται δὲ μάλιστα σὺν ὀρόβοις ἑφθὸς, πρὸς ὄρχεων φλεγμονὰς καὶ μυρμηκίας, πρός τε ψώρας καὶ ἀχῶρας καὶ λειχῆνας καὶ τὰ καρκινώδη ἕλκη καὶ κακοήθη σὺν κριθῇ καὶ μέλιτι.

Καλεῖται δὲ τι ἕτερον αὐτῶν εἶδος, κριός. ἀμφότεροι δέ εἰσι διουρητικοὶ, διδομένου πρὸς ἴκτερον καὶ ὕδρωπα τοῦ ἀφεψήματος αὐτῶν σὺν λιβανωτίδι. βλάπτουσι δὲ καὶ κύστιν εἱλκωμένην καὶ νεφρούς. πρὸς δὲ μυρμηκίας καὶ ἀκροχορδόνας νεομηνίας οὔσης, ἔνιοι ἑκάστης ἐξοχῆς ἐρεβίνθῳ ψαύοντες ἄλλῳ καὶ ἄλλῳ, εἴς τε ὀθόνιον ἀποδήσαντες αὐτοὺς, ῥίπτειν εἰς τοὐπίσω κελεύουσιν, ὡς ἀποπιπτουσῶν τῶν ἀκροχορδόνων. Γίνεται δὲ καὶ ἄγριος ἐρέβινθος ὅμοιος τοῖς φύλλοις τῷ ἡμέρῳ, ὀσμῇ δριμὺς, τῷ καρπῷ διαφέρων· ποιῶν πρὸς ὅσα καὶ ὁ ἥμερος.

Περὶ Κυάμου ἑλληνικοῦ. Κεφ. ρκζ'.

Κύαμος ἑλληνικὸς πνευματώδης, φυσώδης, δύσπεπτος, δυσόνειρος, βηχὶ δὲ σύμφορος καὶ σαρκῶν γεννητικὸς, * μέσος θερμοῦ

καὶ

Cicer. Cap. CXXVI.

CICER ſatiuum aluo idoneum eſt, vrinam ciet, inflationem parit, colorem commendat, menſes ac partus expellit, lac auget, cum eruo decoctum illinitur ad inflammationes teſtium, verrucoſas informicationes, ad ſcabiem vlcera capitis manantia, impetiginéſque: contra carcinomata, & vlcera, quę cachoëthe vocantur, cum melle & hordeo prodeſt. Alterum genus arietinum nominatur: vtrunque cit vrinas, dato cum rore marino, hydropicis aut regio morbo laborantibus, eorum decocto. Lædunt ea exulceratam veſicam, & renes. In verrucarum formicantium penſiliúmque genere, prima luna ſingulis granis ſingulas tangũt, eáque grana linteolo deligata abiici poſt ſe præcipiunt, ita decidere eas arbitrãtur. Sylueſtre cicer, foliis ſatiuo ſimile eſt, odore acri, ſed ſemine diſcrepat: idem quod ſatiuum præſtat.

Faba. Cap. CXXVII.

Faba inflationem excitat, ægrè concoquitur, tumultuoſa ſomnia facit, tuſsi confert, carnem gignit, media calidi, frigidiq;

gidiq́; natura. Decocta in poſca, & cum ſuo cortice eſitata, dyſenterias, & cœliacorũ profluuia ſiſtit: contra vomitiones conuenienter manditur. Inflatio leuior contrahitur. ſi aqua prior inter coquendũ abiiciatur. Viridis plus negotij ſtomacho exhibet, maioremq́; flatũ parit. Lomẽtum eius, & per ſe, & cum polẽta illitum, inflammationes quas vulnus excitauit, mitigat: cicatrices cõcolores facit, turgentes grumoſo lacte mammas, etiam ſi inflãmatione tentẽtur, adiuuat: lac reſtinguit, furũculos, ſugillata, parotidáſq; cũ fœnigræci farina & melle diſcutit: cum roſa autem, thure, & oui candido, ꝓcidẽtes oculos, tumores, vuáſque, reprimit: ſubactũ vino, ſuffuſiones & ict⁹ oculorum recreat. Manducata ſine cortice faba, ad auertendas fluxiones, fronti illinitur: decocta in vino teſtium collectiones ſanat: quo tardius pubes erũpat, pueris imo ventri illinitur, vitiliginem purgat. Fabarum cortice illiti capilli, qui poſt euulſionem renaſcũtur, gracileſcunt, & minus alimenti capeſſunt, cũ polenta, ſciſſo alumine, & vetere oleo impoſiti cortices, ſtrumas

καὶ ψυχροῦ. ἑψηθεὶς δὲ σὺν ὀξυκράτῳ καὶ σὺν τῷ λέπει ἐσθιόμενος, δυσεντερείας καὶ κοιλιακὰς ῥύσεις ἐπέχει· καὶ πρὸς ἐμέτους δὲ εὔθετος βρωθείς. γίνεται δὲ ἀφυσότερος τοῦ προσόντος ὕδατος κατὰ τὴν ἕψησιν ἀποχεομένου. ὁ δὲ χλωρὸς καὶ κακοστομαχώτερος καὶ φυσωδέστερος. τὸ δὲ ἄλευρον τοῦ κυάμου καταπλασθὲν καθ᾽ ἑαυτό τε καὶ σὺν ἀλφίτῳ, τὰς ἐκ πληγῆς φλεγμονὰς πραΰνει· καὶ οὐλὰς ὁμοχρόους ποιεῖ, καὶ μαστοὺς χονδριῶντας καὶ φλεγμαίνοντας ὠφελεῖ· γάλα τε σβέννυσι. σὺν μέλιτι δὲ καὶ τηλίνῳ ἀλεύρῳ δοθιῆνας καὶ παρωτίδας καὶ ὑπώπια διαφορεῖ. σὺν ῥόδῳ τε καὶ λιβάνῳ καὶ τῷ τοῦ ὠοῦ λευκῷ, ὀφθαλμῶν προπτώσεις καὶ σταφυλώματα καὶ οἰδήματα στέλλει· φυραθὲν δὲ σὺν οἴνῳ, συγχύσεις καὶ πληγὰς ὀφθαλμῶν καθίστησιν· εἴς τε ἀνακόλλημα ῥεύματος χωρὶς τοῦ λέπους μασσηθεὶς, ἐπιτίθεται κατὰ τοῦ μετώπου, καὶ διδύμων φλεγμονὰς ἑψηθεὶς ἐν οἴνῳ θεραπεύει· καὶ τοῖς ἐφηβαίοις δὲ τῶν παίδων καταπλασσόμενος, ἀνήβους ἐπὶ πολὺ τηρεῖ· σμήχει δὲ καὶ ἀλφούς. τὰ δὲ λέπη καταπλασσόμενα, τὰς ἐκτιλθείσας τρίχας ἀτρόφους καὶ ἰσχνὰς κατασκευάζει. μετὰ δὲ ἀλφίτου καὶ σχιστῆς καὶ ἐλαίου καταπλασθέντα παλαιοῦ, χοιράδας

χοιράδας διαφορεῖ καὶ ἔρια βάπτει τὸ ἀφέψημα αὐτῶν. ἐπιτίθεται δὲ καὶ πρὸς τὰς ἀπὸ τῶν βδελλῶν αἱμορραγίας λελεπισμένος εἰς δύο διαιρεθεὶς καθ᾽ ὃ προπέφυκεν, ἐπέχει προστυπούμενος κατὰ τὸ ἡμίτομιον.

Περὶ Κυάμου αἰγυπτίου.

Κεφ. ρκή.

Ὁ δὲ αἰγύπτιος Κύαμος ὃν ἔνιοι ποντικὸν καλοῦσι, πλεῖστος μὲν γίνεται ἐν αἰγύπτῳ, καὶ ἐν ἀσίᾳ δὲ καὶ ἐν κιλικίᾳ ἐν ταῖς λίμναις εὑρίσκεται. ἔχει δὲ φύλλον μέγα ὡς πέτασον, καυλὸν δὲ πηχυαῖον, περὶ δάκτυλον τὸ πάχος· ἄνθος δὲ ῥοδόχρουν, διπλάσιον μήκωνος· ὅπερ ἀπανθῆσαν φέρει φυσκία παραπλήσια θυλακίσκοις, ἐν οἷς κύαμος μικρὸς ὑπεραίρων τὸ πῶμα ὡς πομφόλυξ. καλεῖται δὲ κιβώριον ἢ κιβώτιον, διὰ τὸ τὴν φυτείαν τοῦ κυάμου γίνεσθαι αὐτοῦ ἐντιθεμένου ἐν ἰκμοβώλῳ. οὕτω τε εἰς τὸ ὕδωρ ἀφιεμένου. ῥίζα δὲ ὕπεστι παχυτέρα καλάμου· βιβρωσκομένη ἑφθή τε καὶ ὠμή· κολλοκασία καλουμένη. ὁ δὲ κύαμος βιβρώσκεται μὲν καὶ χλωρός. ξηρανθεὶς δὲ γίνεται μέλας, καὶ μείζων τοῦ ἑλληνικοῦ· ἔχων δύναμιν στυπτικὴν καὶ εὐστόμαχον· ἁρμόζει δὲ δυσεντερικοῖς, καὶ κοιλιακοῖς τὸ ἐξ αὐτῶν ἄλευρον ἐπιπασσό-

ſtrumas diſcutiũt: decocto earum lanæ inficiuntur. Faba dẽpto cortice in illas parteis diuiſa, in quas ſuapte natura ſcinditur, imponi ſolet ſanguinis defluxionibus ab hirundine concitatis: nanque eas ſupprimit, ſi ſemiſecta apprimatur.

Faba Ægyptia.

Cap. CXXVIII.

Ægyptia faba, quã aliqui Põticam vocant, in Ægypto plerũque prouenit: in Aſiæ etiam Ciliciæq; lacubus, inuenit̃. Folia habet ampla, etiam ſi ad arborum frondes comparentur, caulem cubitalem, digiti craſſitudine: florẽ roſeum dupla papaueris amplitudine: & vbi flore exuitur, fert folliculos veſparum fauis ſimiles, in quibus faba ſupra operculum, bullantis ampullę modo, ꝓminet. Ciborion aut Cibotion ideo nominant, id eſt arculã, quoniã ſeratur ipſa, humenti glebæ mãdata, & ita in aquã demiſſa. Radice firmat̃ harundine craſſiore, quæ cruda coctáve eſtur: ei colocaſiæ nomen eſt. Faba virens mãditur, & exiccata nigreſcit, vulgarẽ magnitudine ſuperat. Adſtringendi facultatem obtinet, & ſtomacho vtilem: dyſentericis, cœliacíſq; prodeſt, inſparſo,

inſparſo, polentæ vice, lométo: datur quoq; in pulte. Cortices in vino mulſo decocti, ſi terni inde cyathi bibãtur, magis proficient. Facit ad aurium dolorem, quod in earum medio viride ſpectatur, guſtu amarum, ſi tritum & cum roſaceo coctum inſtilletur.

Lens. Cap. CXXIX.

Lens frequenti cibo aciem oculorum obtundit, ægrè cõcoquitur, ſtomachum malè habet, cúmq; & inteſtina inflat: ſed aluum cum cortice cocta ſiſtit. Præſtat in cibo, quæ facillimè coquitur, nihil atri in maceratione reddens. Vim habet adſtringendi: qua ex cauſa aluum cohibet, ſi detracto anteà cortice diſcoquatur accuratè, primáque aqua inter coquendum effundatur (quippe primum id decoctum ventré reſoluit) Somnia tumultuoſa excitat, capiti, neruis, ac pulmoni inutilis: melius ſuo fungetur munere contra alui fluxiones, addito cum aceto intybo, aut portulaca, aut beta nigra, aut baccis myrti, aut putamine punici, aut aridis roſis, aut meſpilis, ſorbíſve, pyris Thebanis, aut malis cotoneis, aut cichorio, aut plãtagine, aut gallis ĩtegris: quæ

ἐπιπασσόμενον ἀντὶ ἀλφίτου, καὶ πολτοποιούμενον δὲ δίδοται. τὰ δὲ λέπη μᾶλλον ποιεῖ ἑψόμενα ἐν οἰνομέλιτι, καὶ ποτιζόμενα πλῆθος κυάθων τριῶν, καὶ πρὸς ὠταλγίαν δὲ ποιεῖ τὸ ἐν μέσῳ χλωρὸν αὐτοῦ, πικρὸν δὲ κατὰ τὴν γεῦσιν, λεῖον σὺν ῥοδίνῳ συνεψόμενόν τε καὶ ἐνσταζόμενον.

Περὶ Φακοῦ. Κεφ. ρκθʹ.

*Φακὸς βιβρωσκόμενος συνεχῶς, ἀμβλυωπὴς, δύσπεπτος, καὶ κακοστόμαχος, πνευματικὸς στομάχου καὶ ἐντέρων, κοιλίας δὲ σταλτικὸς σὺν τῷ λέπει ἐσθιόμενος· διαφέρει δὲ αὐτοῦ ὁ ἑψανὸς καὶ μηδὲν ἀνιεὶς ἐν τῇ διαβροχῇ μέλαν. Δύναμιν δὲ ἔχει στυπτικήν· ὅθεν κοιλίαν ἵστησι, περιαπολεπισθεὶς καὶ ἑψηθεὶς ἐπιμελῶς, τοῦ πρώτου ἐν τῷ ἀφέψεσθαι ὕδατος ἀποχεομένου, λυτικὸν γὰρ κοιλίας τὸ πρῶτον ἀφέψημα αὐτοῦ, ἔστι δὲ δυσόνειρος, ἄθετος πρὸς τὰ νευρώδη καὶ πνεύμονα καὶ κεφαλήν. βέλτιον δὲ τὸ ἴδιον ἔργον ἀποτελεῖ πρὸς τὰ ῥεύματα τῆς κοιλίας, μιγείσης αὐτῷ μεθ᾽ ὄξους, σέρεως ἢ ἀνδράχνης, ἢ σεύτλου μέλανος, ἢ μύρτων, ἢ σιδίων, ἢ ῥόδων ξηρῶν, ἢ μεσπίλων, ἢ οὔων, ἢ ἀπίων Θηβαϊκῶν, ἢ κυδωνίων μήλων, ἢ κιχωρείου, ἢ ἀρνογλώσσου, ἢ κηκίδων ὁλοκλήρων, αἵ τινες

αἳ τινες μετὰ τὴν ἕψησιν ῥίπτονται, ἢ ῥοῦς ὁ ἐπὶ τὰ ὄψα. δεῖ δὲ τὸ ὄξος ἐπιμελῶς συγκαθεψεῖν αὐτῷ· εἰ δὲ μὴ, ταράττει τὴν κοιλίαν, καὶ ἀνατροπὴν δὲ στομάχου θεραπεύει λεπισθέντες τριάκοντα φακοὶ καὶ καταποθέντες ὠφελοῦσι· παρηγορεῖ δὲ καὶ ποδάγρας σὺν ἀλφίτῳ ἑφθὸς κατεψηθεὶς καὶ καταπλασθεὶς· μετὰ δὲ μέλιτος κόλπους κολλᾷ, ἐσχάρας περιρρήττει καὶ ἕλκη ἀνακαθαίρει· σὺν ὄξει δὲ ἑψηθεὶς σκληρώματα καὶ χοιράδας διαφορεῖ· σὺν μελιλώτῳ δὲ ἢ κυδωνίῳ, ὀφθαλμῶν φλεγμονὰς καὶ δακτυλίου θεραπεύει, ῥοδίνου μιγνυμένου· ἐπὶ δὲ τῶν μειζόνων ἐν δακτύλῳ φλεγμονῶν καὶ κόλπων μεγάλων, σὺν σιδίοις ἢ ῥόδοις ξηροῖς ἀφεψόμενος μιγνυμένου καὶ μέλιτος· πρὸς νομὰς δὲ γαγγραινικὰς ὁμοίως, ἢ καὶ θαλάσσης μιγνυμένης· πρὸς δὲ φλυκταίνας καὶ ἕρπητας καὶ ἐρυσιπέλατα καὶ χίμετλα ὡς προείρηται· πρὸς δὲ χονδριῶντας μαστοὺς καὶ σπαργανώσεις ἑψόμενος ἐν θαλάττῃ ἁρμόζει καταπλασθείς.

Περὶ Φασιόλου. Κεφ. ρλ΄.

Φασίολος φυσώδης, πνευμάτων κινητικὸς, δύσπεπτος. ἑψηθεὶς δὲ χλωρὸς καὶ ἐσθιόμενος, κοιλίας μαλακτικός· πρὸς δὲ ἐμέτους εὔθετος.

Περὶ

quæ poſt decoctionem abiiciuntur, vel vuarum rhois quæ obſoniis inſparguntur: verùm acetum cum eo diligéter percoqui debet, aliàs aluum conturbat. Contra ſubuerſionem ſtomachi, triginta grana lentis delibrata deuorari proderit: decocta cum polenta, & illita, podagras lenit: ſinus cum melle glutinat, cruſtas rumpit, vlcera purgat, decocta in aceto duritias & ſtrumas diſcutit, cũ cotoneo aut melilolo medetur inflammationibus oculorum, ſedíſque, addito roſaceo: ſed in amplo ſinu aut inflammationibus ſedis, quæ maius remedium exigunt, cum putamine punici, ac ſiccis roſis, adiecto melle, decoquitur: nomis quæ in gangrænam euaſerunt, adiuncta maris aqua, puſtulis, & his quæ ſerpunt, igni ſacro, pernionibusq́;, vt anteà dictum eſt: contra mammas in quibus lac in grumos coiit, & præ nimia ſui copia profunditur, cocta in aqua maris, & illita auxiliatur.

Phaſioli. Cap. CXXX.

Phaſioli inflant, ſpiritus cient, ægrè coquũtur. Virides cibo aluum emolliunt, ad vomitiones idonei.

Eruum. Cap. CXXXI.

Eruum paruus frutex omnibus cognitus, anguſto folio, tenuis, ſemina in valuulis habẽs, è quibus farina fit, nomine eruina, ad medendi vſus conueniens. Eruum capiti oneroſum eſt, aluum eſu turbat, ſanguinẽ per vrinam extrahit, elixo boues ſaginantur. Parandæ farinæ ratio hæc eſt. Vberiora grana cãdidáque deliguntur, permiſcendóque aqua reſpergũt, donec ſufficienter combibãt: poſtea torrẽtur, vſque dum hians cortex diſrumpatur: molitáque, farinario cribro incernuntur, poſtremò farina recõditur. Hæc aluo vtilis eſt. Vrinam ciet, meliorem colorem efficit, ſanguinem per veſicam aut aluum cum torminibus elicit, ſi largius in cibo aut potu aſſumatur: vlcera cum melle purgat, lentigines & vitia cutis in facie, & maculas totúmq; corpus emẽdat: nomas, gãgrænas, duritiáſq;, ſerpere nõ patitᷓ mãmarũ duritias emollit, atra vlcera quæ theriomata vocãt, fauóſque emarginat, carbũculos rũpit: cũ vino ſubacta illitu morſibꝰ viperarũ, canũ, hominũq; medetᷓ: vrinę difficultates, teneſmóſq;, ex aceto mitigat.

Eruum

Περὶ Ὀρόβου. Κεφ. ρλά.

Ὄροβος γνώριμος θαμνίσκος, στενόφυλλος, λεπτὸς, ἔχων σπερμάτια ἐν λοβοῖς, ἐξ ὧν γίνεται τὸ καλούμενον ὀρόβινον ἄλευρον, ὃ πρὸς τὴν ἰατρικὴν χρῆσιν ἁρμόζει. ἔστι δὲ καρηβαρικὸς, κοιλίας ταρακτικὸς εἰ βρωθείη, αἷμά τε δι' οὔρων ἄγει· βοῦς δὲ λιπαίνει ἑφθὸς παρατιθέμενος. σκευάζεται δὲ τὸ ἐξ αὐτοῦ ὀρόβινον οὕτω· ἐκλέξας τοὺς εὐτρόφους, καὶ λευκοὺς ῥαῖνε ὕδατι ἀναφυρῶν, ἐάσας τε ἐφ' ἱκανὸν συμπιεῖν, φρύγε ἄχρις ἂν περιρραγῇ ὁ φλοιός. εἶτα ἀλέσας καὶ διασείσας κοσκίνῳ, λεπτῷ ἀπόθες. ἔστι δὲ εὐκοίλιον, οὐρητικὸν, εὐχροίας ποιητικόν· πλεονασθὲν δὲ ἐν βρωτῷ ἢ ἐν ποτῷ, μετὰ στρόφων αἷμα ἄγει διὰ κοιλίας καὶ κύστεως· καθαίρει δὲ ἕλκη σὺν μέλιτι, καὶ φακοὺς καὶ ἐφήλεις καὶ σπίλους, καὶ τὸ λοιπὸν σῶμα· νομάς τε ἵστησι καὶ σκληρώματα, καὶ γαγγραίνας· καὶ σκληρίας μαλάσσει τὰς ἐν μαστοῖς, καὶ θηριώδη καὶ ἄνθρακας καὶ κηρία περιρρήττει· φυραθεὶς δὲ σὺν οἴνῳ κυνόδηκτα καὶ ἀνθρωπόδηκτα καὶ ἐχιόδηκτα θεραπεύει καταπλασσόμενος· σὺν ὄξει δὲ δυσουρίας, καὶ στρόφους καὶ τεινεσμοὺς παύει. ἁρ-

μόζει

μάζει δὲ καὶ τοῖς ἀτροφοῦσι, καρύου μέγεθος φρυκτὸν ληφθὲν σὺν μέλιτι. τὸ δὲ ἀφέψημα αὐτοῦ καταντλούμενον, χιμέτλα καὶ κνησμοὺς τοὺς ἐν σώματι θεραπεύει.

Περὶ Θέρμου. Κεφ. ρλβʹ.

Θέρμος ἥμερος γνώριμος, οὗ τὸ ἄλευρον σὺν μέλιτι ἐκλειχόμενον, ἕλμινθας ἐκτινάσσει, καὶ αὐτοὶ δὲ ἀποβραχέντες, καὶ ἔμπικροι ἐσθιόμενοι, τὰ αὐτὰ δρῶσι. καὶ τὸ ἀφέψημα αὐτῶν τὰ αὐτὰ ποιεῖ μετὰ πηγάνου καὶ πεπέρεως ποθέν· ὅθεν καὶ σπληνικοὺς ὠφελεῖ. ἐπάντλημά τε γαγγραίνης ἐστὶ χρήσιμον, καὶ θηριωμάτων, ψώρας ἀρχομένης, ἀλφῶν, σπίλων ἐξανθημάτων τε καὶ ἀχώρων. τὸ δ' αὐτὸ καὶ καταμηνίων, καὶ ἐμβρύων ἐπισπαστικὸν, μετὰ σμύρνης καὶ μέλιτος ἐν προσθέτῳ. καθαίρει δὲ τὸ ἄλευρον χρῶτα καὶ πελιώματα, καὶ φλεγμονὰς πραΰνει σὺν ἀλφίτῳ καὶ ὕδατι· σὺν ὄξει δὲ ἰσχιάδας παρηγορεῖ καὶ φύματα, χοιράδας δὲ μεταβάλλει ἐν ὄξει ἑψηθεὶς καὶ καταπλασθεὶς, καὶ ἄνθρακας περιῤῥήσσει. μεθ' ὕδατος δὲ ὀμβρίου ἑψηθέντες οἱ θέρμοι ἄχρι χυλώσεως, σμήχουσι πρόσωπον· μετὰ δὲ χαμαιλέοντος ῥίζης τοῦ μέλανος ἑψηθέντες, προβάτων ψώρας ἰῶνται,

ἐν

Eruum tabidis, qui alimentum non ſentiunt, toſtũ, & ad vncis magnitudinẽ melle exceptum, ſumptumq́;, conuenit. Eius cremor perniones, & pruritus in toto corpore, ſanat fouendo.

Lupini. Cap. CXXXII.

Satiuus lupinus notus eſt, cuius farina cum melle delinctu, aut potu vẽtris animalia expellit. Ipſi quoq; macerati &cum ſua amaritudine eſiti, eadẽ efficiũt. Decoctũ eorũ idem munus prẹſtat, cum ruta & pipere potum: quare lienoſis prodeſt. Eodẽ vlcera tetra, quæ theriomata vocant, gangrænas, incipientẽ ſcabiem, eruptiones puſtularũ, vlcera in capite manãtia, vitiligines, maculáſque fouere vtiliſsimũ. Menſes & partus extrahit, cum myrrha & melle ſubditum in vellere. Eorum farina cutem liuoréſque corrigit, inflammationes cum polenta & aqua mitigat, tubercula & coxendicum cruciatus ex aceto lenit, ſtrumas in aceto cocta illitáque diſsipat, carbunculos rumpit. Decocti coeleſti aqua, donec in cremorem lenteſcant, faciem abſtergunt: medentur pecorũ ſcabiei, cum radice nigri chamæleontis, ita vt tepente decocto abluantur.

Cit vrinam radix cum aqua cocta. Lupini triti, vbi maceratu dulceſcere cœperint, cum aceto poti, faſtidium detrahunt, & cibi auiditatem faciunt.

Lupinus ſylueſtris.
Cap. CXXXIII.

Gignuntur & ſylueſtres lupini, ſatiuis ſimiles, ſed omnino minores, qui eadem quæ ſatiui poſſunt.

Rapum. Cap. CXXXIIII.

Decocta rapi radix alit, inflationem parit, humentem ac fluxam carnem creat, venerem ſtimulat: decocto podagræ, pernionésque fouentur, contritóque rapo atque impoſito iuuantur: ſi excauatæ radidici roſaceum ceratum adigatur, & feruenti cinere eliqueſcat, exulceratis pernionibus proficiet. Cymæ eius decoctæ manduntur, & vrinam ciunt. Semen antidotis & theriacis, præſertim quæ ſenſum doloris auferunt, anodyna vocant, idoneum eſt: potum contra venena ſalutare eſt, venerem cōcitat. Rapum muria cōditum, minus alimēti ſufficit: ſed multo magis appetentiam recreat.

Sylueſtre rapū. Ca. CXXXV.

Sylueſtre rapum in aruis naſcitur,

* ἐκλελεμμένων τῷ ἀφεψήματι χλιαρῷ. ἡ δὲ ῥίζα ἑψηθεῖσα σὺν ὕδατι καὶ ποθεῖσα, οὔρησιν κινεῖ. οἱ δὲ ἀπογλυκανθέντες λεῖοι σὺν ὄξει ποθέντες στομάχου ἄσην πραΰνουσι, καὶ ἀνορεξίαν ἰῶνται.

Περὶ Θέρμου ἀγρίου.
Κεφ. ρλγʹ.

Γίνεται δὲ καὶ θέρμος ἄγριος, ἐμφερὴς τῷ ἡμέρῳ, κατὰ πάντα δὲ μικρότερος, ποιῶν ὅσα καὶ ὁ ἥμερος.

Περὶ Γογγύλης. Κεφ. ρλδʹ.

Γογγύλης ἡ ῥίζα ἑφθὴ τρόφιμος, πνευματωτική, σαρκὸς πλαδαρᾶς γεννητική, ἀφροδισίων παρορμητική. τὸ δὲ ἀφέψημα αὐτῆς, ποδάγρας καὶ χιμέτλων ἐστὶ καταύτλημα, καὶ αὐτὴ δὲ λεία καταπλασσομένη ὠφελεῖ· εἰ δέ τις ἐγγλύψας τὴν ῥίζαν, κηρωτὴν ῥοδίνην ἐν αὐτῇ ἐπὶ θερμοσποδιᾷ τήξει, ποιεῖ πρὸς τὰ ἑλκούμενα χίμετλα. ὁ δὲ ἐξ αὐτῆς ἀσπάραγος βιβρώσκεται ἑφθὸς, ἔστι δὲ διουρητικός. τὸ δὲ σπέρμα εἰς ἀντιδότους καὶ θηριακὰς, ἀνωδύνους εὔθετον· βοηθεῖ δὲ καὶ τοῖς θανασίμοις ποθὲν, παρορμᾷ καὶ πρὸς ἀφροδίσια. ἁλμευθεῖσα δὲ ἀτροφωτέρα γίνεται βιβρωσκομένη· τὰς μέντοι ὀρέξεις ἀναλαμβάνει.

Περὶ Γογγύλης ἀγρίας. Κεφ. ρλεʹ.

Η μέντοι ἀγρία γογγύλη φύεται ἐν ἀρούραις,

ἀρούραις, θάμνος πηχυαῖος τὸ ὕψος, πολύκλαδος, ἐξ ἄκρου λεῖος, φύλλα ἔχουσα λεῖα, δακτύλου τὸ πάχος, ἢ καὶ μείζονα· καρπὸν δὲ ἐν λοβοῖς καλυκώδεσιν· ἀνοιχθέντων δὲ τῶν περικαρπίων, ἔσωθεν ἄλλος κεφαλοειδὴς ἐστι * λοβὸς, ἐν ᾧ σπερμάτια μέλανα, θραυσθέντα δὲ λευκὰ ἔνδοθεν. μίγνυται δὲ σμήγμασι προσώπου καὶ τοῦ ἄλλου χρωτός· ὅσα δι᾽ ἀλεύρων γίνεται θερμίνων, ἢ πυρίνων ἢ αἰρίνων ἢ ὀροβίνων.

Περὶ Βουνιάδος. Κεφ. ρλϛ´.

Βουνιὰς, καὶ ταύτης ἡ ῥίζα ἑφθὴ φυσώδης ἐστὶν, ἧττον δὲ τρόφιμος· ποιεῖ γὰρ τὸ σπέρμα αὐτῆς ἀνενέργη τὰ θανάσιμα προπινόμενον, μίγνυται δὲ καὶ ἀντιδότοις, ἁλμεύεται καὶ ταύτης ἡ ῥίζα.

Περὶ Ῥαφανίδος. Κεφ. ρλζ´.

*Ῥαφανὶς, καὶ αὕτη πνευμάτων γεννητικὴ καὶ θερμαντικὴ, εὔστομος· οὐκ εὐστόμαχος, ἐρευκτικὴ δέ ἐστι καὶ οὐρητικὴ, εὐκοίλιος εἴ τις αὐτὴν ἐπιλαμβάνει μᾶλλον συνεργοῦσαν τῇ ἀναδόσει. προεσθιομένη δὲ μετεωρίζει τὴν τροφήν· ἁρμόζει δὲ καὶ τοῖς ἐμεῖν μέλλουσι προεσθιομένη. ἀκριβοῖ δὲ καὶ τὰς αἰσθήσεις· ἑφθὴ δὲ ποιεῖ λαμβανομένη βήσσουσι χρονίως, καὶ τοῖς πάχος γεννῶσιν ἐν θώρακι. ὁ δὲ φλοιὸς αὐτῆς μετ᾽ ὀξυμέλιτος

ſcitur, fruticoſum in cubiti altitudiné aſſurgés, ramoſũ, læue in cacumine folia fert læuia, digitali latitudine, aut maiora & fructum in ſiliquis calyculatis: cúmq; eorũ inuolucra aperiũtur, alia intus ſiliqua ſpectatur, quæ quandã capitis ſpecié prębet, in qua ſemina paruula cõcipiũtur, foris nigra intus alba. Additur in medicaméta quib⁹ ad detergendã cuté in facie, totóq; corpore, vtimur: præſertim quæ ex lupini aut arui, tritici aut lolij farina, fieri ſolent.

Napus. Cap. CXXXVI.

Cocta napi radix inflat, modicum alit. Semen eius potum venenorum vires hebetat, antidotis admiſcetur, conditur ſale radix.

Radix Cap. CXXXVII.

Radix (q̃ græcis raphan⁹ dicit̃) excalfacit, flatus gignit, ori ſuauis eſt: ſed ſtomacho aduerſaſ̃, ruct⁹ ciet, vrinã pellit, aluo aptior: ſummo tamẽ cibo ſumi debet, quo magis ei⁹ diſtributioné adiuuet. quũ aũt p̃ſumit̃, cibũ ſuſpendit: quare vomituris cõmodiſsimè datur ante cibũ. Séſuum acié excitat: decocta cõtra veteré tuſsim, & pituitæ craſsitié in pectore, efficax eſt. Cortex ex aceto mulſo

celerius vomitiones mouet:hydropicis commodiſsimè illinitur, lienoſis vtilis, ſugillata cum melle rapit, & nomas amolitur: cõtra viperarum ictus auxiliatur, alopecias ad pilum reducit, lentigines cum loliacea farina emendat, his qui fungis ſtragulantur, tam cibo quàm potu ſalutaris eſt. Semen vomitiones facit, vrinam mouet, menſes cit, lienem extenuat, cum aceto illitum gangrænas validiſsimè emarginat, : coctum cum aceto mulſo anginis perquàm vtiliter gargarizatur, contra ceraſtis morſus, potũ ex vino auxilio eſt.

Rhaphanus ſylueſtris.
Cap. CXXXVIII.

Sylueſtri rhaphani, quã Romani armoraciã vocãt, folia ſatiuo ſimilia, ſed magis lãpſanã imitãtur: radix gracilis, tenera, ſubacris. Tam foliũ q̃ radix in olera recipitur: ſed hæc excalfacit, vrinã concitat, æſtuoſa eſt.

Siſer. Cap. CXXXIX.

Siſer vulgò cognitum, cuius radix decocta ori grata eſt, & ſtomacho, vtilis, vrinam ciet, & appetentiam inuitat.

Lapathũ ſiue rumex. Ca. CXL.

Ex generib⁹ rumicis, oxylapathum

λαμβανόμενος, ἐμετικώτερος· ἁρμόζων ὑδρωπικοῖς, καταπλασθεὶς δὲ εὐθετεῖ καὶ σπληνικοῖς· σὺν μέλιτι δὲ νομὰς ἐφίστησι καὶ ὑπώπια αἴρει. βοηθεῖ καὶ ἐχιοδήκτοις, καὶ ἀλωπεκίας δασύνει· φακοὺς ἀποσμήχει σὺν αἰρίνῳ ἀλεύρῳ, βοηθεῖ καὶ τοῖς ὑπὸ μυκήτων πνιγομένοις βεβρωσκόμενος ἢ πινόμενος καὶ ἔμμηνα ἄγει. τὸ δὲ σπέρμα αὐτῆς ἐμετικόν, οὐρητικόν, σπληνὸς καθαιρετικὸν πινόμενον μετ' ὄξους· συναγχικοῖς τε βοηθεῖ ἀφεψηθὲν σὺν ὀξυμέλιτι θερμῷ εἰς ἀναγαργάρισμα, καὶ πρὸς κεράστου δῆγμα σὺν οἴνῳ πινόμενον βοηθεῖ, *ἐπιπλασθὲν δὲ μετ' ὄξους καὶ γαγγραίνας εὐτόνως περιχαράσσει.

Περὶ Ῥαφανίδος ἀγρίας.
Κεφ. ρλη'.

Ῥαφανὶς ἀγρία φύλλα ἔχει ὅμοια τῇ ἡμέρῳ, πρὸς τὰ τῆς λαμψάνης μᾶλλον· ῥίζα δὲ ἰσχνή, μαλακή, ὑπόδριμυς, λαχανεύεται δὲ τὰ φύλλα καὶ ἡ ῥίζα *ἑφθά· ἔστι δὲ θερμαντική, οὐρητική, καυματώδης.

Περὶ Σισάρου. Κεφ. ρλθ'.

Σίσαρον γνώριμον, οὗ ἡ ῥίζα ἑφθὴ εὔστομος, εὐστόμαχος, οὐρητική, ὀρέξεως προκλητική.

Περὶ Λαπάθου. Κεφ. ρμ'.

Λάπαθον, τὸ μὲν αὐτοῦ ὀξυλάπαθον

πάθον λέγεται. φυόμενον ἐν ἕλεσι, σκληρὸν κατὰ ἄκρα, ὑπόξυ. τὸ δέ τι κηπευτὸν οὐχ ὅμοιον τῷ προτέρῳ. τρίτον δ' ἐστὶν ἄγριον, μικρὸν, παρόμοιον ἀρνογλώσσῳ, μαλακὸν, ταπεινόν. ἔστι δὲ καὶ τέταρτον εἶδος αὐτοῦ, ὃ ἔνιοι ὀξαλίδα ἢ ἀναξυρίδα ἢ λάπαθον καλοῦσιν, οὗ φύλλα ὅμοια τῷ ἀγρίῳ καὶ μικρῷ λαπάθῳ, καυλὸς οὐ μέγας, καρπὸς ὑπόξυς, ἐρυθρὸς, δριμὺς, ἐπὶ τοῦ καυλοῦ,* καὶ ἐπὶ τῶν παραφυάδων. πάντων δὲ τὸ λάχανον μαλάσσει κοιλίαν ἑψηθέν. ὠμὸν δὲ καταπλασσόμενον, μελικηρίδας* σὺν ῥοδίνῳ ἢ κρόκῳ διαφορεῖ. τὸ δὲ σπέρμα τοῦ ἀγρίου καὶ τοῦ ὀξυλαπάθου καὶ τῆς ὀξαλίδος, πίνεται ὠφελίμως μεθ' ὕδατος ἢ οἴνου, πρὸς δυσεντερίας καὶ κοιλιακὰς διαθέσεις, καὶ ἄσην στομάχου, καὶ πρὸς σκορπίου πληγήν. καὶ εἰ προπίοι δέ τις οὐδὲν πείσεται πληγείς. αἱ δὲ ῥίζαι αὐτῶν ἑφθαὶ σὺν ὄξει καὶ ὠμαὶ καταπλασθεῖσαι, θεραπεύουσι λέπρας, λειχῆνας, ὄνυχας λεπρούς· δεῖ δὲ προαναξαίνειν τὸν τόπον ἐν ἡλίῳ νίτρῳ καὶ ὄξει. πραΰνει δὲ καὶ κνησμοὺς τὸ ἀφέψημα αὐτῶν προσαντλούμενον. παρηγοροῦσι δὲ ὠταλγίαν καὶ ὀδονταλγίαν ἑψηθεῖσαι ἐν οἴνῳ καὶ διακλυζόμεναι, διαφοροῦσι καὶ χοιράδας καὶ παρωτίδας ἑφθαὶ

σὺν

pathum vocant, quod in acutū tendit, dura habēs extrema, in paluſtribus naſcēs. Alius eſt ſatiuus, illi diſsimilis. Tertiū gen⁹ ſylueſtre, paruū, plantagini ꝓximū, humile & molle. Quartum eſt quod alij oxalida, alij anaxyrida, aut lapathon vocāt. Folia ei⁹ ſylueſtri ac exiguo rumici ſimilia, caule nō magno, ſemine ſubacuto, rubēte, acri, in caude & agnatis appēdicibus, emicante. Omnium decocto olere aluus emollit. Crudi illitu, melicerides, roſaceo aut croco adiecto, diſcutiunt. Sylueſtris & oxylapathi, & eius quam oxalida nomināt, ſemen ex aqua aut vino vtiliter bibitur, contra dyſenterias, & cœliacorum affectus, ſtomachi faſtidia, ſcorpionum ictus. Quod ſi quis in potu præſumat, nihil moleſti ex ictu patietur. Radices ex aceto coctæ aut illitæ crudæ, lepras, impetigines, & ſcabroſos vngues perſanāt: ſed antea locus aceto & nitro in ſole perfricandus eſt. Pruritus corporis, decoctum earum ſedat, ſi foueatur, aut in ſoliis balnearum confricetur. Coctę in vino & inſtillatę, auriū dentiúmq; dolorem mulcent, ſtrumas parotidáſque diſcutiunt,

 lienē

lienem cum aceto extenuant. Aliqui amoliendis ſtrumis radicum geſtamine vtuntur, eas collo appendentes. Tritæ & admotæ fœminarum profluuia ſiſtunt, cum vino autem potæ regio morbo medentur, calculos veſicę comminuunt, menſes ciet, ſcorpionum ictibus auxiliãtur.

Hippolapathon. Ca. CXLI.

Hippolapathon olus eſt magnũ, in paludibus naſcens: eaſdem habet vires, quas ſupradicta rumicis genera.

Lampſana. Cap. CXLII.

Lampſana ſylueſtre olus eſt: plus alit q̃ rumex, & ſtomacho vtilius. Cuius folia caulésq; coquuntur in cibo.

Blitum. Cap. CXLIII.

Blitum eſtur oleris modo, aluo vtile eſt: nullius in medicina vſus.

Malua. Cap. CXLIIII.

MALVA ſatiua eſui longè aptior ſylueſtri: ſtomacho aduerſatur, aluum iuuat, ſed multò magis caules: interaneis & veſicæ vtilis. Cruda folia cum ſalis exiguo mãducata, ægilopas ex melle ſanant: verùm cùm cicatricem trahere cœperint, ea demum citra

σὺν οἴνῳ καταπλασθεῖσαι, σπλῆνα δὲ σὺν ὄξει. καὶ ἐν δέσματι δέ τινες χρῶνται ταῖς ῥίζαις πρὸς χοιράδας, περιάπτοντες τῷ τραχήλῳ. ἱστᾶσι καὶ ῥοῦν γυναικεῖον προστεθεῖσαι λεῖαι, ἀφεψηθεῖσαι δὲ σὺν οἴνῳ καὶ πινόμεναι, ἰκτερικοὺς ἀποθεραπεύουσι, καὶ λίθους τοὺς ἐν κύστει θρύπτουσιν, ἔμμηνά τε ἄγουσι, καὶ σκορπιοπλήκτοις βοηθοῦσιν.

Περὶ Ἱππολαπάθου. Κεφ. ρμα.

Ἱππολάπαθον λάχανόν ἐστι μέγα ἐν ἕλεσι γινόμενον. Δύναμιν δὲ ἔχει τὴν αὐτὴν τοῖς προειρημένοις.

Περὶ Λαμψάνης. Κεφ. ρμβ.

Λαμψάνη λάχανόν ἐστιν ἄγριον, τροφιμώτερον καὶ εὐστομαχώτερον τοῦ λαπάθου, οὗ τὰ φύλλα καὶ ὁ καυλὸς ἐσθίεται ἑφθά.

*Περὶ Βλίτου. Κεφ. ρμγ.

Βλῖτον λαχανεύεται καὶ τοῦτο ἔστι δὲ εὐκοίλιον, οὐδεμίαν ἔχον φαρμακώδη δύναμιν.

Περὶ Μαλάχης. Κεφ. ρμδ.

Μαλάχη ἐδωδιμωτέρα μᾶλλον ἡ κηπευτὴ τῆς χερσαίας· κακοστόμαχος δὲ καὶ εὐκοίλιος, καὶ μᾶλλον οἱ καυλοί· ἐντέροις δὲ καὶ κύστει ὠφέλιμοι. Δύναμιν δὲ ἔχει τὰ φύλλα ὠμὰ καταπλασθέντα καὶ μετὰ ὀλίγων ἁλῶν μασσηθέντα αἰγίλωπα ἀνασκευάζειν σὺν μέλιτι· πρὸς μέντοι τῇ ἀπουλώσει δίχα

δίχα τῶν ἁλῶν χρηστέον αὐτῇ. ποιεῖ καὶ πρὸς μελισσῶν καὶ σφηκῶν πληγὰς καταπλασσομένη· κἂν περιχρίσηταί δέ τις αὐτὴν ὠμὴν λείαν σὺν ἐλαίῳ, ἄπληκτος διαμένει. μετὰ δὲ οὔρου καταπλασθεῖσα, ἰχῶρας καὶ πίτυρα ἰᾶται. ἑφθὰ δὲ λεῖα τὰ φύλλα καὶ σὺν ἐλαίῳ ἐπιτιθέμενα, πυρίκαυτα καὶ ἐρυσιπέλατα ὠφελεῖ. τὸ δὲ ἀφέψημα αὐτῆς μαλακτικὸν ἐγκάθισμα ὑστέρας, εἴς τε ἐνέματα πρὸς δηγμοὺς ἐντέρων καὶ μήτρας καὶ δακτυλίου ἁρμόδιον. ὁ δὲ ζωμὸς σὺν ταῖς ῥίζαις βοηθεῖ ἑψόμενος πᾶσι τοῖς θανασίμοις, ξηρᾶν δὲ δεῖ συνεχῶς πίνοντας. ὠφελεῖ δὲ καὶ φαλαγγιοδήκτοις καὶ γάλα κατασπᾷ. ὁ δὲ καρπὸς μιγνύμενος αὐτῷ λωτοῦ ἀγρίου σπέρματος, πινόμενος μετὰ οἴνου, τὰ περὶ κύστιν ἀλγήματα πραΰνει.

Περὶ Ἀτραφάξυος. Κεφ. ρμέ.

Ἀτράφαξις οἱ δὲ, χρυσολάχανον, λάχανον γνώριμον. διττὸν, τὸ μὲν ἄγριον, τὸ δὲ κηπευτόν. λαχανεύεται δὲ ἑφθόν. ἔστι δὲ κοιλίας μαλακτικὸν, καταπλασσόμενον δὲ ὠμόν τε καὶ ἑφθὸν, φύγεθλα διαφορεῖ. ὁ δὲ καρπὸς αὐτοῦ πινόμενος μετὰ μελικράτου, ἴκτερον θεραπεύει.

Περὶ Κράμβης. Κεφ. ρμς'.

Κράμβη ἡ ἥμερος εὐκοίλιος, ἀκρόζεστος ἐσθιομένη, καθεψηθεῖσα

citra ſalem vtendum eſt. Contra aculeatos apium veſparúmque ictus, illita efficax eſt: eadem cruda cum oleo trita peruncti, non feriuntur. Vlcera manātia in capite, furfuréſque cum vrina ſanat. Sacris ignibus & ambuſtis decocta folia, tritáque, vtiliſsimè ex oleo imponuntur. Eius decoctum vuluas inſeſsione mollit: prodeſt eroſionibus veſicæ, & inteſtinorum, vuluæ, ſedíſque, clyſtere infuſum. Ius decoctæ cũ radice ſua, contra omnia venena auxiliatur, ſi continuò à bibentibus reuomatur. Cõtra phalangiorum morſus remedio eſt, lac euocat. Semen in vino potũ addito loti ſylueſtris ſemine, veſicæ cruciatus lenit:

Atriplex. Cap. CXLV.

Atriplicẽ aliqui chryſolachanon vocãt, cognitum olus eſt. Duo eius genera, ſylueſtre & ſatiuum. Coctum eſtur, vt olus. Aluum mollit, panos diſcutit, ſiue crudum, ſiue coctum illinatur. Semẽ cum aqua mulſa potum, regium morbum ſanat.

Braſsica. Cap. CXLVI.

Braſſica ſatiua aluo eſt idonea, ſi modo leuiter feruefacta edatur (nam perco cta aluum

uum ſiſtit, ſed multò magis bis cocta, aut quę in lixiuio coquitur) ſtomachum autem malè habet. acrior eſt æſtiua. In Ægypto propter amaritudinem non eſtur. Cæcutiētibus, & tremulis eſſe prodeſt: ſummo cibo ſumpta crapulam diſcutit, & vini noxam reſtinguit. Melior ſtomacho cyma, ſed acrior, & ad ciendum vrinam validior. Ea condita ſtomacho inimica eſt, aluum conturbat. Crudus ſuccus cum nitro & iri deuoratus aluum emollit: cum vino quoque epotus viperarum morſibus auxiliatur: cum fœnigræci farina podagris & articulorum vitiis illinitur: prodeſt & ſordidis vlceribus & vetuſtis illitus: caput purgat naribus infuſus: mēſes extrahit cum loliacea farina inditus. Folia per ſeſe illita, aut cum polenta trita, conferunt inflammationibus, tumoribúſque: epinyctidas, ignem ſacrum, lepráſque ſanant: carbunculos ex ſale rumpunt: fluentes capillos retinent: cocta, addito melle, aduerſus depaſcentia vlcera, gangrænáſq; valent: lienoſiſq; ex aceto cruda proſunt. Māſa, deuorato ſucco, retuſam vocem inſtaurant.

Deco-

θεῖσα δὲ κοιλίαν ἵστησι, καὶ μᾶλλον ἡ δίσεφθος καὶ ἐν κονίᾳ ἑψηθεῖσα, κακοστόμαχος δὲ καὶ δριμυτέρα ἡ θερινή. ἡ δὲ ἐν αἰγύπτῳ διὰ πικρίαν ἄβρωτος. ἀμβλυωποῦσι δὲ βοηθεῖ καὶ τρομώδεσιν ἐσθιομένη, καὶ τὰς ἐκ κραιπάλης καὶ οἴνου κακίας σβέννυσιν ἐπιλαμβανομένη. τὸ δὲ ἐξ αὐτῆς κύημα εὐστομαχώτερον μὲν, δριμύτερον δὲ καὶ οὐρητικώτερον. ταριχευθὲν δὲ κακοστόμαχον, καὶ κοιλίας ταρακτικόν. ὁ δὲ χυλὸς αὐτῆς ὠμὸς μετὰ ἴριδος καὶ νίτρου καταπινόμενος, κοιλίαν μαλάττει· μεθ' οἴνου δὲ ποθεὶς ἐχιοδήκτοις βοηθεῖ· σὺν τηλίνῳ δὲ ἀλεύρῳ καὶ ὄξει, ποδαγρικοῖς καὶ ἀρθριτικοῖς· ἕλκεσί τε ῥυπαροῖς ἐπιπλαττόμενος καὶ παλαιοῖς ἁρμόζει· ἐγχεόμενός τε καθ' ἑαυτὸν ταῖς ῥισὶ, κεφαλὴν καθαίρει· μετὰ δὲ αἰρίνου ἀλεύρου προστεθεὶς, καταμήνια ἄγει. τὰ δὲ φύλλα καταπλασσόμενα καθ' ἑαυτὰ ἢ μετὰ ἀλφίτων λεῖα, ποιεῖ πρὸς πᾶσαν φλεγμονὴν καὶ οἰδήματα, καὶ ἐρυσιπέλατα δὲ καὶ ἐπινυκτίδας καὶ λέπρας ἰᾶται· μεθ' ἁλῶν δὲ ἄνθρακας περιρρήττει· ἴσχει δὲ καὶ ῥύσιν τῶν ἐν κεφαλῇ τριχῶν· ἑψόμενα δὲ καὶ μιγνύμενα μέλιτι, πρὸς νομὰς γαγγραινῶν ποιεῖ. ὠμὰ δὲ ἐσθιόμενα μετ' ὄξους σπληνικοῖς ὠφελεῖ. διαμασσώμενα δὲ, φωνῆς ἀποκοπὴν καθίστησι τοῦ χυλοῦ καταπινομένου.

τὸ δὲ

τὸ δὲ ἀφέψημα δὲ αὐτῆς, κοιλίαν καὶ ἔμμηνα κινεῖ πινόμενον. τὸ δὲ ἄνθος ἀτόκιον μετὰ τὴν ἀποκύησιν προστεθὲν ἐν πεσσῷ. τὸ δὲ σπέρμα μάλιστα τῆς ἐν αἰγύπτῳ γινομένης πινόμενον, ἕλμινθας ἐκτινάσσει· μίσγεται δὲ καὶ εἰς ἀντιδότους κοιλιακάς. πρόσωπόν τε ἀποκαθαίρει καὶ φακούς. οἱ δὲ καυλοὶ χλωροὶ καέντες σὺν ταῖς ῥίζαις καὶ ἀναληφθέντες στέατι χοιρείῳ παλαιῷ, πλευρᾶς χρόνια ἀλγήματα ἐπιτεθέντες παύουσιν.

Περὶ Κράμβης ἀγρίας.

Κεφ. ρμζ´.

Κράμβη ἀγρία φύεται ὡς ἐπιτοπλεῖστον ἐν παραθαλασσίοις καὶ κρημνώδεσι τόποις, ἐοικυῖα τῇ ἡμέρῳ, λευκοτέρα δὲ ἐστὶ καὶ δασυτέρα καὶ πικρά. τὸ δὲ κύημα αὐτῆς ἐν κονίᾳ ἑψηθὲν οὐκ ἄστομον. Δύναμιν δὲ ἔχει τὰ φύλλα καταπλασσόμενα, κολλητικὴν τραυμάτων, καὶ διαφορητικὴν οἰδημάτων τε καὶ φλεγμονῶν.

Περὶ Κράμβης θαλασσίας.

Κεφ. ρμη´.

Ἡ δὲ θαλασσία λεγομένη κράμβη, ἐξήλλακται τῷ παντὶ τῆς ἡμέρου, ἔχουσα φύλλα ἐν μήκει τῇ στρογγύλῃ ἀριστολοχίᾳ ὅμοια· ἐκπέφυκε δὲ ἕκαστον αὐτῶν ἀπὸ κλωνίων ὑπερύθρων ἐξ ἑνὸς μόσχου ὥσπερ κισσός· ἔχει δὲ καὶ ὀπὸν λευκόν, οὐ πολύν. ἔστι δὲ τῇ γεύσει ὑφάλμυρος, καὶ πως ἔμπικρος, λιπαρὰ τὴν σύστασιν.

ὅλη

Decoctum eius potu, aluum & menſes ciet. Flos poſt conceptionem in peſſo ſubditus, partum abortu vitiat. Semen eius, præſertim quæ in Ægypto naſcitur, potum tineas repellit: in antidota theriaca additur, faciei cutem lentigineſq; expurgat. Virentes cauliculi cũ radice cremati, & adipe porci vetuſto excepti, diuturnos laterum dolores mitigant.

Braſsica ſylueſtris.

Cap. CXLVII.

Syueſtris braſsica, maritimis præruptisque locis, magna ex parte gignitur: ſatiuæ ſimilis, ſed candidior, hirſutiórque, amara. Cuius cyma in lixiuia cocta, ori non inſuauis. Folia illitu vulnera conglutinant, & inflãmationes tumoresque diſcutiunt.

Braſsica marina.

Cap. CXLVIII.

Marina braſsica à ſatiua prorſus abhorret, quòd folia ferat rotũdæ ariſtolochiæ, prælonga, tenuia: ſingula à ramulis rubentibus exeunt, ſingulari, vt hedera, pediculo: albo ſucco prædita eſt, ſed pauco, ſalſo guſtu, & aliquantum amaro, pingui concretu.

Herba

Herba in totum ſtomacho inimica, acris: vehementiſsimè aluum ciet, in cibo cocta. Coquitur propter acrimoniã cũ pingui carne.

Beta. Cap. CXLIX.

Beta duorum generũ eſt, è quibus nigra coquitur cũ lenticula, vt ventrẽ ſiſtat: quod magis radice eius pręſtatur. Cãdida aluo vtilis eſt. Vtraq; tamen propter nitroſum humorẽ: quẽ habet in ſe, noxij ſucci eſt. Vnde ſuccus earũ cũ melle naribus indit⁹, caput purgat, auriũ doloribus auxiliatur. Decoctũ radicis & foliorũ, furfures lendéſq; deterget, perniones fotu mitigat. Crudis foliis vitiligines, nitro antea perfrictas: alopeciarũ inanitates, ſcapello prius exaſperatas: atq; depaſcẽtia vlcera, illini prodeſt. Eruptionibus papularũ, igni ſacro, ambuſtiſque, cocta medetur.

Portulaca. Cap. CL.

Portulacæ vis adſtringit: capitis doloribus, inflammationibus oculorũ, cæteriſq;, cũ polenta imponitur: ardoribus ſtomachi, ſacro igni, veſicæ doloribus, auxilio eſt: commanducata, dentiũ ſtupores ſedat: ſtomachi & inteſtinorum æſtuationem, fluxionéſque mulcet:

renes

ὅλη δὲ ἡ πόα, κακοστόμαχος, δριμεῖα, κοιλίας λυτικωτάτη ἑφθὴ βρωθεῖσα. συνέψουσι δὲ αὐτῇ ἔνιοι διὰ τὴν δριμύτητα τὰ λιπαρὰ τῶν κριῶν.

Περὶ Τεύτλου. Κεφ. ρμθʹ.

Τεῦτλον διττόν ἐστιν, ὧν τὸ μὲν μέλαν σταλτικώτερον κοιλίας σὺν φακῇ ἑψηθέν· καὶ μᾶλλον ἡ ῥίζα. τὸ δὲ λευκὸν εὐκοίλιον. ἀμφότερα δὲ κακόχυμα διὰ τὸ ἐν αὐτοῖς νιτρῶδες. ὅθεν ὁ χυλὸς αὐτῶν καθαίρει κεφαλὴν ῥινὶ ἐγχεόμενος μετὰ μέλιτος, καὶ ὠταλγίας ὠφελεῖ. τὸ δὲ τῶν ῥιζῶν καὶ τῶν φύλλων ἀφέψημα, πιτύρων καὶ κονίδων σμηκτικὸν, καὶ χιμέτλης πραϋντικὸν καταντλούμενον. ὠμοῖς δὲ τοῖς φύλλοις καταπλάσσειν δεῖ ἀλφοὺς προεκνιτρωθέντας· καὶ ἀλωπεκίας κατακνησθείσας, καὶ τὰ νεμόμενα ἕλκη. ἑφθὴ δὲ ἐξανθήματα καὶ πυρίκαυτα καὶ ἐρυσιπέλατα ἰᾶται.

Περὶ Ἀνδράχνης. Κεφ. ρνʹ.

Ἀνδράχνη δύναμιν ἔχει στυπτικήν· καταπλασσομένη δὲ μετ' ἀλφίτων κεφαλῆς ἀλγήμασι καὶ ὀφθαλμῶν φλεγμοναῖς καὶ ταῖς ἄλλαις. καὶ στομάχου πυρώσεσι καὶ ἐρυσιπέλασι, καὶ κύστεως ἀλγήμασι βοηθεῖ· βρωθεῖσα δὲ αἱμωδίαν καὶ στομάχου καὶ ἐντέρων πύρωσιν καὶ ῥευματισμὸν πραΰνει·

νεφροὺς τὰ

νεφροῖς τε δακνομένοις καὶ κύστιν ἐνδιατίθησι· καὶ τὰς πρὸς συνουσίας ὁρμὰς ἐκλύει· παραπλησίως δὲ καὶ ὁ χυλὸς αὐτῆς ἐνεργεῖ πινόμενος καὶ ἐν πυρετοῖς ποιῶν. καὶ πρὸς ἕλμινθας στρογγύλας, αἵματός τε πτύσιν καὶ δυσεντερείας, καὶ πρὸς αἱμοῤῥοΐδας καὶ αἱμοῤῥαγίας, πολύεφθος γινομένη. καὶ πρὸς σηπὸς δήγματα, καὶ εἰς τὰ ὀφθαλμικὰ δὲ χρησίμως μίγνυται, ἔγκλυσμά τε ἐπὶ ἐντέρων ῥευματιζομένων. ἢ * διαβρωμένης μήτρας· καὶ πρὸς τὰς ἐξ ἐγκαύσεως κεφαλαλγίας σὺν ῥοδίνῳ ἢ ἐλαίῳ ἔμβρεγμα. πρός τε τὰ ἐν κεφαλῇ ἐξανθήματα, σὺν οἴνῳ σμῆγμα· πρὸς τραύματα τὰ σφακελίζοντα, σὺν ἀλφίτῳ καταπλασσομένη.

*Περὶ Ἀνδράχνης ἀγρίας.

Κεφ. ρνά.

Ἀνδράχνη ἀγρία ἔχει αὐτὴ πλατύτερα φυλλάρια πρὸς τὰ τῆς ἀνδράχνης καὶ δασέα. φύεται ἐν πετρώδεσι τόποις. ἔστιν ὅτε καὶ ἐν κήποις, φύλλα ἔχει ὅμοια ἐλαίᾳ, μικρότερα δὲ πολλῷ, πλείονα δὲ καὶ ἁπαλὰ, καυλία ἐρυθρὰ, ἀπὸ μιᾶς ῥίζης πολλὰ ἐπὶ γῆν κεκλιμένα. μασσώμενα δὲ εὔχυμα καὶ γλίσχρα καὶ ὑφαλμυρά. Δύναμιν δὲ ἔχει θερμαντικὴν, δριμεῖαν, καὶ ἑλκωτικὴν, χοιράδων διαφορητικὴν σὺν ἀξουγγίῳ καταπλαττομένη.

Περὶ

renes & veſicam adiuuat, etiã ſi eroſioné ſentiant: veneris impetus exoluit: ſuccus epotus ſimili effectu prodeſt, in febribꝰ valés. Contra teretes vẽtris tineas, cruenté excreationé, dyſenteriã, hęmorrhidas, & profluuia ſanguinis, percocta efficax eſt. Item contra ſepis morſus. Ocularibus medicamentis vtiliſsimè commiſcetur, interaneis fluxione laborãtibus, atque vuluarum eroſionibus, infunditur: contra dolores, quos æſtus excitauit, caput ex roſaceo & oleo fouetur: eruptiones papularum in capite, cum vino emendat: vulneribus quæ ad ſyderationé ſpectant ex polenta illinitur.

Andrachne ſylueſtris.

Cap. CLI.

Andrachne Sylueſtris paruis eſt foliis & latioribꝰ q̃ portulacę hirſutis. Naſcitur ĩ petroſis, eſt qñ & in hortis, folia oleæ, ſed minora multo. Verũ plura, tenuioráq; cauliculis rubricãtibus ab radice vna frequẽtibꝰ, inclinãtibꝰ in terrã. Hi mãſi in ſuccũ facile ſoluũt tenacẽ liquore cũ quodã ſalis guſtu. Facultas eius calfacere acré vim obtinés, & exulcerãs ſtrumis illinitur cũ axungia vt diſcutiat.

Aſpa-

Aſparagi. Cap. CLII.

Corruda ſiue ſylueſtris aſparagus vulgaris eſt notitiæ. Huiꝰ cauliculi in cibo cocti ventrẽ emolliunt, vrinã cient. Radicis decoctũ contra vrinę difficultatẽ, regium morbũ, renũ vitia, & coxendicũ cruciatus, in potu proficit: cũ vino autẽ, phalãgiorum morſibus auxiliatur. Si decocti ſuccus ſuper dente cõtineatur, eius dolori medetur. Semen potũ ad eadẽ valet. Canes, vt aiunt, ſi decoctũ bibãt, emoriuntur. Aſparagũ etiã naſci prodiderũt, arietis cornibus contuſis, atque defoſsis: quod, quãtum equidẽ ſentio, planè à veritate abhorret. Altilis autẽ aſparagꝰ multis ramis fruticat, foliis fœniculi, lõgis, numeroſis: radice rotũda, grandi, ſpongiã habente. Huius teneri cauliculi triti in vino albo, renum dolores ſedant. Aſſus autẽ coctúsve, vrinę ſtillicidiũ, difficultatéq;, ac dyſenterias, mitigat. Radix cum vino aut aceto cocta, luxatos artꝰ mulcet. Decocta cũ ficis aut ciceribus ſumpta, regiũ morbũ ſanat: coxendicis cruciatus ſtrãguriámque leuat. Alligata radix, aut hauſtũ eius decoctũ, conceptum adimit, & ſterilitatem adfert.

Plan-

Περὶ ἀσπαράγου. Κεφ. ρνβ.

Ἀσπάραγος πετραῖος ἢ μυάκανθα γνώριμος, οὗ τὸ καυλίον ἑψηθὲν, καὶ βρωθὲν, κοιλίαν μαλάσσει καὶ οὖρα κινεῖ. τῶν δὲ ῥιζῶν τὸ ἀφέψημα πινόμενον βοηθεῖ δυσουροῦσι, ἰκτερικοῖς, νεφριτικοῖς, ἰσχιαδικοῖς· φαλαγγιοδήκτοις δὲ μετ᾽ οἴνου ἀφεψόμενον. καὶ ὀδονταλγοῦσι δὲ κρατουμένου τοῦ ἀφεψήματος ἐπὶ τῷ πονοῦντι ὀδόντι. ποιεῖ δὲ πρὸς τὰ αὐτὰ καὶ τὸ σπέρμα πινόμενον. φασὶ δὲ καὶ τοὺς κύνας πίοντας τὸ ἀφέψημα αὐτῶν ἀποθνήσκειν. ἔνιοι δὲ ἱστόρησαν ὅτι ἐάν τις κριοῦ κέρατα συγκόψας κατορύξῃ, φύεται ἀσπάραγος· ἐμοὶ δὲ ἀπίθανον.

Ὁ μέντοι ἀσπάραγος οὗτος, θάμνος ἐστὶ πολύκλαδος, φύλλα ἔχων πολλὰ, μακρὰ, ὅμοια μαράθρῳ· ῥίζα στρογγύλη μεγάλη, ἔχουσα κόνδυλον. οὗ τινος τὸ καυλίον λειούμενον μετὰ οἴνου λευκοῦ, παύει φρενίτιδας. ἑφθὸς δὲ ἢ ὀπτὸς λαμβανόμενος, παύει στραγγουρίας καὶ δυσουρίας, καὶ δυσεντερίας. ἡ δὲ ῥίζα αὐτοῦ ἑψηθεῖσα ἐν ὄξει ἢ οἴνῳ, παύει στρέμματα. ἑφθὴ δὲ μετὰ σύκων καὶ ἐρεβίνθων λαμβανομένη, ἰᾶται ἴκτερον. καὶ παύει ἰσχιάδα καὶ στραγγουρίαν. περιαπτομένη δὲ καὶ τὸ ἀπόζεμα αὐτοῦ πινόμενον, ποιεῖ ἀτόκιον καὶ ἄγονον.

Περὶ Ἀρυο-

Περὶ Ἀρνογλώσσου. Κεφ. ρνγʹ.

Ἀρνόγλωσσον διττόν ἐστι· τὸ μὲν μικρόν· τὸ δὲ, μεῖζον· ἔχει δὲ τὸ μὲν μικρὸν φύλλα στενώτερα καὶ μικρότερα, καὶ μαλακώτερα καὶ λειότερα καὶ λεπτότερα. καυλίον δὲ γωνιοειδεῖ κεκλιμένα ὡς ἐπὶ τὴν γῆν, ἄνθη ὠχρά· τὸ δὲ σπέρμα ἐπ' ἄκρων τῶν καυλῶν. Τὸ δὲ μεῖζον εὐθενέστερον, πλατύφυλλον, λαχανῶδες· καυλὸς δὲ ἐπὶ τούτου γωνιώδης, ὑπέρυθρος, ὕψος πήχεως, ἐκ μέσου μέχρι κορυφῆς σπέρματι περιεχόμενος λεπτῷ. ῥίζαι δὲ ὕπεισιν ἁπαλαί, δασεῖαι, λευκαί, πάχος δακτύλου. γεννᾶται δὲ πρὸς τοῖς τέλμασι καὶ φραγμοῖς καὶ ἐνίκμοις τόποις. εὐχρηστότερον δὲ τὸ μεῖζον. Δύναμιν δὲ ἔχει τὰ φύλλα ξηραντικήν, στυπτικήν· ὅθεν καὶ καταπλασσόμενα πρὸς πάντα τὰ κακοήθη καὶ ἐλεφαντιῶντα ῥευματικὰ καὶ ἀκάθαρτα ἕλκη ἁρμόζει· ἴσχει δὲ καὶ αἱμορραγίαν, νομάς, ἄνθρακας, ἕρπητας, ἐπινυκτίδας· ἀπουλοῖ καὶ ἕλκη χρόνια καὶ ἀνώμαλα, καὶ τὰ χειρώνια ἰᾶται, καὶ κόλποις παρακολλᾷ· καὶ τὰ κυνόδηκτα καὶ πυρίκαυτα φλεγμονάς, παρωτίδας, φύγεθλα, χοιράδας δὲ καὶ αἰγίλωπα σὺν ἁλσὶν ἐπιπλασσόμενα ὠφελεῖ. ἑφθὸν δὲ τὸ λάχανον μεθ' ἁλῶν καὶ ὄξοις λαμβανόμενον, δυσεντερικοῖς καὶ κοιλιακοῖς ἁρμόζει.

διδο-

Plantago. Cap. CLIII.

Duo plantaginis genera: minor folia habet anguſtiora, minora, molliora, læuiora, & tenuiora: cauliculo anguloſo in terram inclinato: floribus pallidis: ſemine ſummis caulibus emicante. Altera maior, lætior, virentiorque, latis conſtans foliis, oleracei generis: cuius caulis cubiti altitudinem petit, anguloſus, ſubruber, à medio ad verticem tenui ſemine circundatus: radicibus nititur teneris, hirſutis, candidis, digitum craſsitudine æquantibus. Naſcitur in lacunoſis, ſepibus, & locis humidis. Multò vtilior magna eſt. Vim habent folia exiccatoriã, conſtringentem: quare omnib⁹ malignis vlceribus, & fluxioni opportunis atque elephanticis, ſordidíſq; illita proſunt: profluuia ſanguinis, vlcera quæ ſerpunt, epinyctidas, carbunculos, nomáſque cohibẽt: vetera vlcera & inæqualia cicatrice obducunt, chironia ſanant, ſinus conglutinant: morſibus canis, ambuſtis igni, inflãmationibus, panis, parotidibus, ſtrumis, ægilopiis, illita cum ſale proſunt. Coctum cum aceto & ſale olus, dyſentericis, cœliacisque ſumptum ſubuenit.

Datur

Datur & in locum betæ cum lenticula coctum. Et ad aquam inter cuté cui leucophlegmatiæ nõmen eſt, datur & herba decocta poſt aridas epulas, ſic vt media antecedat: comitialibus & ſuſpirioſis data proficit. Foliorum ſuccus, colluta ſubinde oris vlcera, purgat: cum cimolia aut ceruſa igni ſacro medetur: fiſtulis infuſus prodeſt, lippitudinibus & aurium doloribus idem ſuccus inſtillatur. Additur quoque in oculorum collyria. Gingiuis cruore ſuffuſis, & ſanguinis reiectionibus, potu confert: clyſtere dyſentericis infunditur, contra tabem datur in potu, aduerſus ſtrangulationes vuluæ in vellere ſubiicitur, etiam ſi vulua fluxione laboret. Semen ex vino potum, alui fluxiones & ſanguinis excreationes ſiſtit. Decocta radix & manducatu, & collutione, dentium dolores ſedat: eadé cum foliis, vlceribus renum & veſicę in paſſo datur. Ferunt treis radices cum tribus vini cyathis, & pari aquæ modo, tertianis auxiliari: & quatuor, quartanis. Sunt qui radicis geſtamine, diſcutiendis ſtrumis vtantur.

δίδοται δὲ καὶ μετὰ φακῆς αὐτὶ σεύτλων συνεψόμενον, καὶ πρὸς λευκοφλεγματίαν μετὰ τὸ ξηροφαγῆσαι, μέση δίδοται ἡ πόα ἑφθή· ποιεῖ δὲ καὶ ἐπιληπτικοῖς, καὶ ἀσθματικοῖς διδομένη. ὁ δὲ χυλὸς τῶν φύλλων, τὰ ἐν στόματι ἕλκη ἀνακαθαίρει συνεχῶς διακλυζόμενος· σὺν δὲ κιμωλίᾳ ἢ ψιμμυθίῳ, ἐᾶται τὰ ἐρυσιπέλατα· σύριγγάς τε ἐγκλυζόμενος ὠφελεῖ, καὶ πρὸς ὠταλγίας καὶ ὀφθαλμίας ἐνσταζόμενος ὁ χυλός. καὶ κολλυρίοις μισγόμενος. καὶ πρὸς οὖλα αἱμασσόμενα, καὶ πρὸς αἷμα ἀνάγοντας πινόμενος· καὶ πρὸς δυσεντερικοὺς ἐγκλυζόμενος, πίνεται δὲ καὶ πρὸς φθίσιν καὶ πρὸς ὑστερικὰς πνίγας προστίθεται ἐν ἐρίῳ, καὶ ὑστέρᾳ ῥευματιζομένῃ. καὶ ὁ καρπὸς δὲ πινόμενος μετ' οἴνου, τοὺς τῆς κοιλίας ῥευματισμοὺς καὶ πτύσεις αἵματος ἐπέχει. ἡ δὲ ῥίζα ἀφεψηθεῖσα καὶ διακλυζομένη καὶ διαμασσωμένη, ὀδονταλγίας παύει· πρὸς δὲ τὰ ἐν κύστει ἕλκη καὶ νεφροῖς δίδοται ἡ ῥίζα καὶ τὰ φύλλα μετὰ γλυκέος. φασὶ δὲ ῥίζας τρεῖς ποθείσας μετ' οἴνου κυάθων τριῶν καὶ ὕδατος ἴσου, τριταίῳ βοηθεῖν· τεταρταίῳ δὲ τέσσαρας ῥίζας. ἔνιοι δὲ καὶ ἐν δέσματι χρῶνται τῇ ῥίζῃ πρὸς χοιράδας καὶ διαφοροῦσιν.

Περὶ Σίου. Κεφ. ρνδ΄.

Σίον τὸ ἐν ὕδασιν εὑρίσκεται ἐν τοῖς ὕδασι θαμνίον ὀρθὸν, λιπαρὸν, φύλλα ἔχον πλατέα ἱπποσελίνῳ ἐοικότα, μικρότερα δὲ καὶ ἀρωματίζοντα. ἅπερ ἐσθιόμενα ἑφθά τε καὶ ὠμὰ λίθους θρύπτει καὶ ἐκκρίνει· οὖρά τε κινεῖ, καὶ ἔμβρυα καὶ ἔμμηνα ἄγει, δυσεντερικοῖς τε χρήσιμα βρωθέντα. Κρατεύας δὲ ἱστορεῖ περὶ αὐτοῦ οὕτω· πόα θαμνοειδὴς ὀλίγη ἔχουσα φύλλα περιφερῆ μείζονα ἡδυόσμου, μέλανα, παρεγγύζοντα εὐζώμῳ.

Περὶ Σισυμβρίου. Κεφ. ρνέ.

Σισύμβριον (οἱ δὲ ἕρπυλλον ἄγριον καλοῦσιν) ἐν χέρσοις φύεται, ἔοικε δὲ ἡδυόσμῳ κηπαίῳ, πλατυφυλλότερον δὲ καὶ εὐωδέστερον, στεφανωματικόν. Δύναμιν δὲ ἔχει θερμαντικήν· ἁρμόζει δὲ πρὸς στραγγουρίας καὶ λιθιάσεις τὸ σπέρμα σὺν οἴνῳ πινόμενον· καὶ στρόφους καὶ λυγμοὺς παύει. τὰ δὲ φύλλα ἐπιπλάσσεται πρὸς κεφαλαλγίαν κατὰ τῶν κροτάφων καὶ τοῦ μετώπου· πρὸς τε σφηκῶν πληγὰς καὶ μελιττῶν. ἵστησι δὲ καὶ ἐμέτους ποθέν.

Περὶ Ἑτέρου σισυμβρίου. Κεφ. ρνς΄.

Σισύμβριον ἕτερον, οἱ δὲ, καρδαμίνην, οἱ δὲ, καὶ τοῦτο σίον καλοῦσιν. ἔνυδρός ἐστι πόα, κατὰ τὰ αὐτὰ τῷ σίῳ γεννωμένη.

καρ-

Lauer ſeu ſium. Cap. CLIIII.

Sion in aquis inuenitur, frutice pingui, recta, foliis latis, oluſatro ſimilibus, ſed minoribus, & odoratis. Quę cruda coctáque eſu, calculos rumpunt, atque excernunt: vrinas cient, mẽſes & partus extrahunt, dyſentericis in cibo auxiliatur. De ſio Crateuas tradit, herbã eſſe fruticis ſpecie, pauca folia ferentẽ, rotũda, maiora quàm menthæ, nigra, & ad erucam accedentia.

Siſymbrium. Cap. CLV.

Siſymbrium (alij ſerpillum ſylueſtre vocant) in ſolo inculto naſcitur, menthæ hortenſis ſimilitudine, odoratius, latiore folio. Inſeritur coronis. Calfaciendi vim habet: contra ſtillicidia vrinæ, calculóſque, ſemen ex vino bibitur, tormina & ſingultus ſedat. Folia in capitis dolore, fronti aut tẽporibus illinuntur: item contra veſparum apiúmque ictus. Vomitiones potu cohibet.

Alterum Siſymbrium. Cap. CLVI.

Alterũ ſiſymbrij genus, quod aliq cardaminã, alij ſion appellant. Ea herba riguis gaudet, & eiſdẽ in locis, quibus ſion prouenit;

uenit: quæ ideò nonnullis cardamina nominatur, quod guſtu cardamum, id eſt naſturtiū, repræſentet. Folia primum rotunda prodeunt, adulta erucæ modo ſinduntur. Id excalfacit, vrinas mouet, crudū eſtur, purgat lentigines, cutíſq; vitia in facie, noctibus impoſitū, matutiníſque detractum.

Crithmum. Cap. CLVII.

Crithmum, ſeu potius, vt aliqui, crithamon, fruticoſa & vndique folioſa herbula eſt, cubiti altitudinem ferè petēs. Naſcitur in maritimis, & petroſis: foliis pinguibus, numeroſis, albicantibus, veluti portulacæ, latioribus, & longioribus, ſalſo guſtu, flores candidi ſunt, & ſemen, ceu roriſmarini, odoratum, molle, rotundum, quod ſiccatum rumpitur: habet intus tritici modo nucleum: radices digiti craſſitudine, tres aut quatuor, grati odoris & iucundi. Radix, ſemen, & folia incocta vino, potu vrinæ difficultati & regio morbo auxiliantur: menſes cient, eſtur crudum coctúmve in olere, ſeruatur etiam in muria.

Coronopus. Cap. CLVIII.

Coronopus oblōga herbula

eſt, per

καρδαμίνην δ' ἔνιοι λέγουσι, διὰ τὸ ἐοικέναι καρδάμῳ τὴν γεῦσιν. φύλλα ἔχει τὸ μὲν πρῶτον περιφερῆ, αὐξόμενα δὲ σχίζεται ὡς τὸ τοῦ εὐζώμου. ἔστι δὲ θερμαντικὸν, οὐρητικὸν, βιβρώσκεται δὲ καὶ ὠμὸν, ἀποκαθαίρει δὲ καὶ φακοὺς, καὶ ἔφηλιν καταπλασθέντα δι' ὅλης τῆς νυκτὸς, ἕωθεν δὲ ἀποκλυσθέν.

Περὶ Κρίθμου. Κεφ. ρνζ'.

Κρίθμον οἱ δὲ, κρίταμον, θαμνῶδές ἐστι βοτάνιον, ἀμφιλαφὲς, περὶ πῆχυν τὸ ὕψος. φυόμενον ἐν πετρώδεσι καὶ παραθαλασσίοις τόποις, φύλλοις περίπλεον λιπαροῖς καὶ ὑπολεύκοις, τοῖς τῆς ἀνδράχνης παρεοικόσι, πλατυτέροις μέντοι καὶ* ἐπιμηκεστέροις, ἁλμυρίζουσι δὲ πρὸς τὴν γεῦσιν, ἄνθη λευκὰ, τὸν δὲ καρπὸν ὥσπερ λιβανωτίδος μαλακὸν, εὐώδη, στρογγύλον, ὃς ξηρανθεὶς διΐσταται· καὶ ἔνδον ὡς πυρρὸν ἔχει τὸ σπέρμα· ῥίζας δὲ δακτύλου τὸ πάχος, τρεῖς ἢ τέσσαρας, εὐώδεις, ἡδείας. δύναται δὲ ὁ καρπὸς καὶ ῥίζα καὶ τὰ φύλλα ἐναφεψηθέντα οἴνῳ καὶ πινόμενα, βοηθεῖν δυσουροῦσι καὶ ἰκτερικοῖς· κινεῖ καὶ ἡ καταμήνια, λαχανεύεται ἑφθόν τε καὶ ὠμὸν ἐσθιόμενον, καὶ ταριχεύεται ἐν ἅλμῃ.

Περὶ Κορωνόποδος. Κεφ. ρνη'.

Κορωνόπους πρόμηκες βοτάνιον

κτ

κατὰ τ̃ ἐδάφους ἐστρωμένον, κατεσχισμένον τὰ φύλλα. λαχανεύεται δὲ καὶ τοῦτο ἑφθόν. ῥίζαν λεπτὴν ἔχον, στυπτικήν, ἐσθιομένην πρὸς κοιλιακοὺς ποιοῦσαν. γίνεται δὲ ἐν χέρσοις τόποις, καὶ ἐν δώμασι καὶ ἐν ταῖς ὁδοῖς.

Περὶ Σόγχου. Κεφ. ρνθʹ.

Σόγχου δύο εἴδη· τὸ μὲν γάρ ἐστιν ἀγριοδέστερον καὶ ἀκανθωδέστερον· τὸ δὲ, τρυφερώτερον καὶ ἐδώδιμον, καυλὸς δὲ γωνιοειδὴς ἐνίοτε καὶ ὑπέρυθρος· φύλλα ἔχει ἐκ διαστημάτων ἐσχισμένα τὴν περιφέρειαν. δύναμις δὲ αὐτῶν ἐστι ψυκτική, μετρίως ὑποστύφουσα· ὅθεν στομάχῳ καυσουμένῳ, καὶ φλεγμοναῖς, καταπλασσόμενοι ἁρμόζουσιν. ὁ δὲ χυλὸς καταρροφούμενος, δηγμὸν στομάχου καταπραΰνει, καὶ γάλα κατασπᾷ, προστεθεὶς δὲ ἐν ἐρίῳ,* δακτύλων καὶ μήτρας φλεγμοναῖς βοηθεῖ. ἡ δὲ πόα καὶ ἡ ῥίζα καταπλασθεῖσα σκορπιοπλήκτοις ἀρήγει. Ὁ δὲ ἕτερος σόγχος ὁ καὶ τρυφερὸς, δενδρώδης ἐστί, καὶ πλατύφυλλος· τὰ δὲ φύλλα διεῖλε τὸν καυλόν· καὶ οὗτος δὲ τὰ αὐτὰ ποιεῖ.

Περὶ Σέρεως. Κεφ. ρξʹ.

Σέρις διοσή· ὧν ἡ μὲν ἀγρία, πικρὶς ἡ καὶ κιχώρειον καλουμένη· ἡ δέ τις ἐστὶ καὶ πλατυφυλλοτέρα, καὶ εὐστομαχωτέρα τῆς κηπευτῆς.

καὶ ταύτης

eſt, per terram repens, fiſsis folliis: coquitur in olere: radicem habet tenuem, adſtringentem, quæ in cibo cœliacis facit. Prouenit in aggeribus, & locis incultis, & ſecus vias.

Sonchus. Cap. CLIX.

Sonchi duo genera: ſylueſtrior quidã eſt, & magis ſpinis horret: alter teneritate quadã molleſcit, cibis expetitus, anguloſo caule, inani, interdũ rubẽte: foliis in ambitu per interualla diſſectis. Vtriuſq; vis refrigerat, modicè adſtringit: vnde æſtuanti ſtomacho & inflãmationibus illiti proſunt. Succus eorũ ſtomachi roſiones ſorbitione mitigat, lac elicit, in vellere appoſitus ſedis ac vuluæ collectionibus opitulatur. Tã herba q̃ radix illita vibratis à ſcorpione ictibus ſubuenit. Alter ſonchus tenerior, arboris inſtar, latis cõſtans foliis: caulẽ in ramos exeuntẽ folia diſtinguunt: ſed ad eadem pollet.

Seris ſiue intybus.

Cap. CLX.

Seris duûm generum eſt: altera ſylueſtris, quæ picris & cichorion vocatur: altera ſatiua, latioribus foliis conſtat, ſtomacho quàm hortenſis vtilior.

Quæ iterum in duas ſpecies digeritur: vna folio latiore prodit, lactucarum ſimillima: altera anguſtiore eſt folio, & guſtu amara. Vtraque refrigerat, & adſtringit, ſtomacho vtiliſsima: aluũ ſiſtit cocta, ſi cum aceto adſumatur. Sylueſtres ſtomacho meliores: quandoquidem æſtuantem ipſum, & quẽ imbecillitas vexet, cibo leniũt. Cardiacis per ſe, aut cum polenta, vtiliter illinuntur: podagris, & oculorũ inflammationibus auxilio ſunt. Herba cum radice illita, percuſsis à ſcorpione ſubuenit, igni ſacro cũ polenta medetur. Succus cum ceruſa, & aceto, valet ad illitus eorum, quæ refrigerationem deſiderant.

Chondrilla. Cap. CLXI.

Chondrilla, quã aliqui cichorion, alij ſerin appellant, caulẽ, flores, & folia habet cichorio ſimilia: qua ex cauſa nõnulli sylueſtris intubi ſpeciẽ eſſe ꝓnũtiarũt, verùm tenuior tota eſt: in cuius ramulis, gũmi maſtiches ſimillimũ tuberculo fabæ inueniri ſolet: quod cũ myrrha tritũ & linteo appoſitũ, inſtar oliuæ, fœminarum menſes trahit. Tuſa cum radicibus herba, adiecto melle, diuiditur in paſtillos,

καὶ ταύτης δὲ διττὸν εἶδος· ἡ μὲν γάρ τις ἐστὶ θριδακωδεστέρα καὶ πλατύφυλλος· ἡ δὲ, στενόφυλλος καὶ* ἔμπικρος.* πᾶσαι δὲ στυπτικαὶ, ψυκτικαὶ καὶ εὐστόμαχοι· ἱστᾶσι δὲ καὶ κοιλίαν ἑφθαὶ, μετ᾽ ὄξους λαμβανόμεναι. καὶ μάλιστα αἱ ἄγριαι εὐστομαχώτεραι· βρωθεῖσαι γὰρ ἀτονοῦντα στόμαχον παρηγοροῦσι καὶ καυσούμενον. καταπλασσόμεναι δὲ σὺν ἀλφίτῳ καὶ καθ᾽ ἑαυτὰς καρδιακοῖς εἰσὶ χρήσιμοι· ποδάγραις καὶ ὀφθαλμῶν φλεγμοναῖς βοηθοῦσιν. ἡ δὲ πόα καὶ ἡ ῥίζα καταπλασθεῖσα, σκορπιοπλήκτοις ἀρήγει· καὶ ἐρυσιπέλατα σὺν ἀλφίτῳ ἰᾶται. σὺν ψιμμυθίῳ δὲ καὶ ὄξει ἐστὶν ὁ χυλὸς αὐτῶν ἐπίχριστος τῶν ψύξεως δεομένων.

Περὶ Κονδρίλλης. Κεφ. ρξά.

Κονδρίλλη, ἡ δὲ, καὶ τοῦτο κιχώρειον καλοῦσιν ἢ σέριδα, τὰ μὲν φύλλα καὶ τὸν καυλὸν, καὶ τὰ ἄνθη ἔχει κιχωρίῳ ὅμοια· ὅθεν καὶ εἶδος αὐτὸ τινὲς εἶπον σέριδος ἀγρίας λεπτότερον δὲ τὸ ὅλον· περὶ δὲ τοῖς κλωναρίοις αὐτοῖς εὑρίσκεται κόμμι ὅμοιον μαστίχῃ, μεγέθει κυαμιαῖα· ἅ τινα προστεθέντα μετὰ σμύρνης λεῖα, ἐν ὀθονίῳ, μέγεθος ἐλαίας, ἔμμηνα ἄγει. ἡ δὲ πόα σὺν τῇ ῥίζῃ κοπεῖσα, εἰς τροχίσκους ἀναπλάσσεται μιγνυμένου μέλιτος,

τος, οἵ τινες διαθέντες καὶ νίτρῳ μιγέντες, ἀλφοὺς ἀποσμήχουσιν. ἀνακολλᾷ δὲ καὶ τρίχας τὸ κόμμι· καὶ ἡ ῥίζα δὲ προσφαλῶς ποιεῖ εἰς τὰ αὐτὰ, βαπτομένης εἰς αὐτὴν βελόνης, καὶ προσαγομένης ταῖς θριξίν. ἁρμόζει δὲ καὶ πρὸς ἔχεις σὺν οἴνῳ πινομένη. καὶ κοιλίαν ἵστησιν ὁ χυλὸς αὐτῆς ἑψηθεὶς σὺν οἴνῳ καὶ ποθεὶς, καὶ καθ' αὐτόν. ἔστι δὲ καὶ ἕτερον εἶδος κονδρίλλης, φύλλον δὲ ἔχει περιβεβρωμένον, πρόμηκες, ἐπὶ γῆς ἐστρωμένον. καυλὸν δὲ ὀποῦ μεστόν· ῥίζαν δὲ λεπτὴν, ἔπακμον, κούφην, στρογγύλην, ὑπόξανθον, ὀποῦ μεστήν. Δύναμιν δὲ ἔχει ὁ καυλὸς καὶ τὰ φύλλα, πεπτικήν. ὁ δὲ ὀπὸς τριχῶν τῶν ἐν βλεφάροις ἀνακολλητικός. φύεται δὲ ἐν γεώδεσι καὶ ἐργασίμοις χωρίοις.

Περὶ Κολοκύνθας. Κεφ. ρξβ'.

Κολόκυνθα ἐδώδιμος· ὠμὴ καταπλασθεῖσα λεία, οἰδήματα καὶ ἀποστήματα πραΰνει. τὸ δὲ *ξέσμα αὐτῆς παιδίοις σειριῶσιν, ὠφελίμως κατὰ τοῦ βρέγματος καταπλάσσεται· καὶ πρὸς ὀφθαλμοῦ φλεγμονὰς καὶ ποδαγρικὰς ὁμοίως. ὁ δὲ χυλὸς τῶν ξυσμάτων θλιβέντων, πρὸς ὠταλγίας καθ' ἑαυτὸν καὶ μετὰ ῥοδίνου ἐγχυματιζόμενος ὠφελεῖ· καὶ πρὸς καυσουμένην ἐπιφάνειαν ἐγχριόμενος ὠφελεῖ· ὅλης δὲ αὐτῆς ἀποζεσθείσης καὶ ἐκθλιβείσης

ὁ χυλὸς

ſtillos, qui nitro admiſti vitiligines emaculant. Gummi inordinatos pilos replicat: quod item tenera radix efficit, ſi intincta ſucco acus, pilis admoueatur. Contra viperas in vino pota proficit. Succus decoctæ, in vino, aut per ſeſe potus, aluum ſiſtit. Aliud habetur chondrillæ genus, folium ferens oblongum, circumroſum, humi ſparſum, caulem ſucco madentem lacteo: radice tenui, rotunda, leui, vegeta, flaueſcente, ſuccoſa. Cuius & caulis, & folia concoquendi vim habent. Succus incommodos palpebrarum pilos reflectit. Naſcitur in lætis & cultis.

Cucurbita. Cap. CLXII.

Cucurbita eſui apta: cruda, trita illitu tumores, & abſceſſus mitigat. Ramenta eius infantibus contra capitis ardorem, quam ſyriaſin vocant, in ſincipite illinuntur: oculorum inflammationes podagráſque refrigerant. Succus è ramentis tuſis per ſe, aut cum roſaceo infuſus, aurium doloribus auxiliatur: aduſtiones cutis in ardenti febre illitu adiuuat: totius ferueſactæ, & expreſſæ

ſuccus,cum melle exiguo,& nitro potus, aluum leniter reſoluit. Vinum in cucurbitam recentem excauatam infuſum,ſi miſtum ſub diuo teneatur, potu aluum leuigabit.

Cucumer ſatiuus.
Cap. CLXIII.

Satiuus cucumis aluo,& ſtomacho per q̃ vtilis habetur,refrigerat,corruptioné nõ ſentit, veſicæ prodeſt, olfactu reuocat, quos animus liquerit. Semé modicè vrinã mouet: cum lacte aut paſſo, veſicæ exulcerationibus ſubuenit.Illita cum vino folia, morſus canũ ſanãt: & epinyctidas,cum melle.

Pepones. Cap. CLXIIII.

Peponis caro in cibis, vrinã cit: inflammationes oculorum illita ſedat. Raméta eius cõtra aduſtionem infantium, quam ſyriaſin vocant, ſincipiti imponuntur: fronti admota,oculorum fluxiones auertũt. Succus cum ſemine,adiecta farina,ſiccatus in ſole cogitur in ſmegmata, quæ faciem repurgãt,& nitorem afferunt. Radix ſicca, & ex hydromelyte pota, drachmæ pondere, vomitioné mouet.Si quiſquam moderatè ſecundum cœnam vomere cupiat,geminis obolis ſit cõtetus.

Sanat

ὁ χυλὸς πινόμενος μετὰ μέλιτος βραχέος καὶ νίτρου, κοιλίαν λύει κούφως. καὶ εἴ τις κοιλάνας αὐτὴν ὠμὴν, ἐγχέας τε οἶνον καὶ ἐξαιθριάσας, κεράσας τε* πίῃ νῆστις, μαλάττει κοιλίαν κούφως.

Περὶ Ἡμέρου σικύος.
Κεφ. ρξγ΄.

Σίκυς ἥμερος εὔκοιλιος, εὐστόμαχος, ψυκτικὸς, οὐ φθειρόμενος, κύστει ἁρμόδιος, ἀνακτητικὸς λειποθυμιῶν ὀσφραινόμενος. καὶ τὸ σπέρμα αὐτοῦ μετρίως οὐρητικὸν ἁρμόζον σὺν γάλακτι ἢ γλυκεῖ πρὸς τὰς ἐν κύστει ἑλκώσεις. τὰ δὲ φύλλα αὐτοῦ σὺν οἴνῳ καταπλασθέντα, κυνόδηκτα ἰᾶται· σὺν μέλιτι δὲ ἐπινυκτίδας.

Περὶ πέπονος. Κεφ. ρξδ΄.

Η δὲ τοῦ πέπονος σὰρξ καὶ αὐτὴ οὐρητικὴ ἐσθιομένη· καταπλασθεῖσα δ' ὀφθαλμοῦ φλεγμονὰς πραΰνει. τὸ δὲ βρέγμα αὐτοῦ σειριῶσι παιδίοις κατὰ τοῦ βρέγματος ἐπιτίθεται, καὶ ῥευματιζομένοις ὀφθαλμοῖς ἀντὶ ἀνακολλήματος κατὰ τοῦ μετώπου. ὁ δὲ χυλὸς σὺν τῷ σπέρματι μιγεὶς ἀλεύρῳ καὶ ξηρανθεὶς ἐν ἡλίῳ, σμῆγμα γίνεται ῥυπτικὸν καὶ λαμπρυντικὸν προσώπου. ἡ δὲ ῥίζα ξηρὰ ποθεῖσα σὺν ὑδρομέλιτι < ὁλκῇ, ἐμέτους κινεῖ. εἰ δέ τις πρᾳέως ἀπὸ δείπνου ἐμέσαι θελήσειεν, ἀρκέσουσιν ὀβολοὶ β΄.

ὑγιάζει

ὑγιάζει δὲ καὶ κηρία καταπλασθεῖσα μετὰ τοῦ μέλιτος.

Περὶ θρίδακος ἡμέρου.

Κεφ. ρξε.

Θρίδαξ ἥμερος εὐστόμαχος, ὑποψύχουσα, ὑπνωτική, κοιλίας μαλακτική, γάλακτος κατασπαστική. ἑψηθεῖσα δὲ γίνεται τροφιμωτέρα. ἄπλυτος δὲ ἐσθιομένη, στομαχικοῖς ἁρμόζει. τὸ δὲ σπέρμα αὐτῆς πινόμενον, τοῖς συνεχῶς ὀνειρώττουσι βοηθεῖ. καὶ συνουσίαν ἀποστρέφει. αὐταὶ δὲ συνεχῶς ἐσθιόμεναι. ἀμβλυωπίας εἰσὶ ποιητικαί· ταριχεύονται δὲ ἐν ἅλμῃ, ἐκκαυλίσασαι δὲ, ἔχουσί τι παρεμφερὲς τῇ τοῦ χυλοῦ καὶ ὀποῦ δυνάμει τῆς ἀγρίας θρίδακος.

Περὶ ἀγρίας θρίδακος.

Κεφ. ρξϛ.

Η δὲ ἀγρία θρίδαξ ἔοικε τῇ ἡμέρῳ, καυλωδεστέρα δὲ καὶ τοῖς φύλλοις λευκοτέρα, καὶ ἰσχνοτέρα καὶ τραχυτέρα ὑπάρχουσα· πικρὰ δὲ πρὸς* τῇ γεύσει, ὡμοίωται δὲ κατὰ* πᾶσαν τὴν δύναμιν μήκωνι· ὅθεν καὶ τὸν ὀπὸν αὐτῆς ἔνιοι μίσγουσι τῷ μηκωνίῳ. καθαίρει δὲ μεθ᾽* ὀξυκράτου ποθεὶς ὁ ὀπὸς δυοῖν ὀβολῶν ὁλκῇ, ὑδατώδη κατὰ κοιλίαν, ἀποκαθαίρει δὲ καὶ ἄργεμα καὶ ἀχλύν, ποιεῖ καὶ πρὸς ἐπικαύσεις ἐγχριομένη σὺν γυναικείῳ

Sanat quoque illita cum melle vlcera concreta in modum faui, quæ ceria vocant.

Lactucæ. Cap. CLXV.

Lactucæ ſatiuæ, quibus natura refrigatrix ineſt, ſtomacho gratæ habentur: ſomnū conciliāt, aluū emolliunt, lac euocāt: verùm decoctæ magis alūt, ſtomachicis illotas eſſe prodeſt. E potū ſemen, aſsiduas libidinum imaginationes in ſomno, cōpeſcit, & veneri refragatur. Ipſæ verò frequentiores in cibo, claritati oculorū officiunt: inflāmationibus, & ignib⁹ ſacris opitulātur, muria condiuntur. Cū in caulé exierunt, vim quādā nanciſcūtur, ſucco aut lacti ſylueſtris lactucæ ſimilem.

Lactuca ſylueſtris.
Cap. CLXVI.

Sylueſtris lactuca ſatiuæ ſimilis eſt, ſed longior caulis, & candidiora folia, graciliora, & aſperiora: amaro guſtu eſt, & viribus aliquantum papaueri ſimilis: vnde lacteum eius ſuccū aliqui meconio permiſcuerūt. Aquam per aluum elicit, potus in aceto mulſo ſuccus ad duos obolos: argema caliginemq; repurgat, cōtra aduſtiones efficaciter illinitur, cū

lacte mulierũ. In ſumma, ſomnum allicit: doloris leuamentũ præſtat, menſes trahit, contra ſcorpionum, & phalangiorum ictus bibitur. Semen, nõ aliter, quàm ſatiuæ, libidinũ imaginationes in ſomno amolitur, ac venerẽ arcet. Succus ad eadẽ valet, ſed viribus infirmior. Reponitur in fictili nouo lac eius antea, vt in aliis liquaminibus moris eſt, inſolatum.

Gingidium. Cap. CLXVII.

Gingidiũ, aliqui lepidion, in Syria, & Cilicia plerũque naſcitur: herbula ſylueſtri paſtinacæ ſimilis, tenuior, & amarior: radice parua cãdicãte ſubamara. Olus hoc crudum, coctum, cõditúmve eſtur magna ſtomachi vtilitate: vrinam cit. Decoctum ex vino potum veſicæ prodeſt.

Scandix. Cap. CLXVIII.

Scandix, ſylueſtre olus eſt, amarum, ſubacre: quod crudũ coctúmve manditur, ſtomacho & ventri vtile. Decoctum in potu, veſicæ, renibus, & iocineri confert.

Caucalis. Cap. CLXIX.

Caucalis, quam alij ſylueſtre daucum vocant, cauliculo eſt dodrantali, aut maiore, ſubhirſuto: foliis apio ſimilibus, fœni-

γυναικείῳ γάλακτι. ἔστι δὲ καθόλου ὑπνωτικὴ καὶ ἀνώδυνος, ἄγει δὲ ἔμμηνα, ποτίζεται δὲ καὶ πρὸς σκορπιοπλήκτοις καὶ φαλαγγιοδήκτοις. τὸ δὲ σπέρμα ὥσπερ τὸ τῆς ἡμέρου ποθὲν, ὀνειρωγμοὺς καὶ συνουσίαν ἀποστρέφει. δύναται δὲ καὶ ὁ χυλὸς πρὸς τὰ αὐτὰ, ἀσθενέστερος μέντοι. ἀποτίθεται δὲ ὁ ὀπὸς ἐν κεραμίοις ἀγγείοις προηλιαζόμενος ὥσπερ καὶ τὰ λοιπὰ χυλίσματα.

Περὶ Γιγγιδίου. Κεφ. ρξζ΄.

Γιγγίδιον, οἱ δὲ, λεπίδιον, φύεται πλεῖστον ἐν Κιλικίᾳ τε καὶ Συρίᾳ· βοτάνιον σταφιλίνῳ μὲν ἐοικὸς ἀγρίῳ, λεπτότερον δὲ καὶ πυκνότερον· ῥιζίον ὑπόλευκον, πικρίζον. λαχανεύεται δὲ ὠμόν τε καὶ ἑφθὸν, καὶ ταριχευθὲν ἐσθίεται. ἔστι δὲ εὐστόμαχον· οὐρητικόν. καὶ τὸ ἀφέψημα αὐτοῦ πινόμενον μετὰ οἴνου κύστει χρήσιμον.

Περὶ Σκάνδυκος. Κεφ. ρξη΄.

Σκάνδυξ, καὶ τοῦτο ἄγριον λάχανον, ὑπόδριμυ, καὶ ἔμπικρον, ἐδώδιμον· ἑφθὸν καὶ ὠμὸν ἐσθιόμενον, εὐκοίλιον καὶ εὐστόμαχον. τὸ δὲ ἀφέψημα αὐτοῦ κύστει χρήσιμον καὶ νεφροῖς πινόμενον καὶ ἥπατι.

Περὶ Καυκαλίδος. Κεφ. ρξθ΄.

Καυκαλὶς, ἔνιοι δὲ δαῦκον ἄγριον καλοῦσι, καυλίον ἐστὶ σπιθαμιαῖον ἢ καὶ μεῖζον, ὑπόδασυ. φύλλα ἔχον μαράθρῳ ὅμοια*

πολυ-

πολυσχιδῆ, δασέα· καὶ ἐπ' ἄκρου σκιάδιον λευκόν, εὐῶδες. λαχανεύεται δὲ καὶ τοῦτο ὠμόν τε καὶ ἑφθὸν ἐσθιόμενον· ἔστι δὲ διουρητικόν.

Περὶ Εὐζώμου. Κεφ. ρο΄.

Εὔζωμον, τοῦτο ὠμὸν πλεῖον βρωθὲν συνουσίαν παρορμᾷ. καὶ τὸ σπέρμα δὲ αὐτοῦ τὸ αὐτὸ ποιεῖ· οὐρητικὸν ὑπάρχον καὶ πεπτικὸν καὶ εὐκοίλιον. χρῶνται δὲ τῷ σπέρματι αὐτοῦ καὶ εἰς τὰς ἀρτύσεις· ἀποτίθενται δὲ αὐτὸ πρὸς τὸ πλείονα διαμένειν χρόνον, ὄξει φυρῶντες καὶ γάλακτι, καὶ ἀναπλάσσοντες τροχίσκους. Γίνεται δὲ καὶ ἄγριον εὔζωμον, μάλιστα ἐν τῇ κατὰ τὴν ἑσπέραν Ἰβηρίᾳ· οὗ τῷ σπέρματι καὶ ἀντὶ σινήπεως οἱ τῇδε ἄνθρωποι χρῶνται. ἔστι δὲ διουρητικώτερον καὶ δριμύτερον πολλῷ τοῦ ἡμέρου.

Περὶ Ὠκίμου. Κεφ. ροα΄.

Ὤκιμον γνώριμον βιβρωσκόμενον πολύ, ἀμβλυωπές ἐστιν, ἔστι δὲ κοιλίας μαλακτικόν, πνευμάτων κινητικόν, οὐρητικόν, γάλακτος προκλητικόν· δυσμετάβλητον, καταπλασσόμενον δὲ σὺν ἀλφίτου παιπάλῃ, καὶ ῥοδίνῳ καὶ ὄξει, φλεγμοναῖς βοηθεῖ, *καὶ δράκοντος θαλασσίου καὶ σκορπίου πληγῇ· καθ' ἑαυτὸ δὲ σὺν οἴνῳ Χίῳ, πρὸς ὀφθαλμῶν ὀδύνας. ὁ δὲ χυλὸς αὐτοῦ ἀποκαθαίρει ἀχλῦς τὰς ἐν ὀφθαλμοῖς, καὶ τὰ ῥεύματα ξηραίνει. τὸ

fœniculi modo per extrema multifidis,hiſpidisq; candida in cacumine vmbella, ſuauiter olente. Crudum coctúmve olerum modo eſtur,vrinā mouet.

Eruca. Cap. CLXX.

Cruda eruca venerem largiore cibo concitat.Semē eodem effectu prodeſt: vrinam cit, concoctioni prodeſt, aluo perquàm commodata. Semine ad cōdimēta vtūtur: quod, vti in longum tempus aſſeruetur, adiecto lacte aut aceto,digerunt in paſtillos. Gignitur etiamnum ſylueſtris eruca,maximè in Iberia, quæ occidentem ſpectat: cuius ſemine pro ſinapi incolæ vtuntur.Vrinam vehementius pellit, multò ſatiua acrior.

Ocimum. Cap. CLXXI.

Ocimum vulgò cognitum. Id copioſiore cibo oculorum aciē hebetat,aluum mollit,ſpiritum mouet,vrinam pellit,lac euocat: ægrè tamen cōficitur. Illitum cum polline polentæ, aceto & roſaceo, pulmonum inflammationibus auxilio eſt: draconis marini, & ſcorpionis ictibus per ſe prodeſt: & cum vino Chio oculorum doloribus.Succus viſus caliginem abſtergit,deſtillatiōes exiccat.

Semen potum conuenit atram bilé gignentibus, difficili vrinę, inflatisq́;: naribus hauſtũ, ſubinde mouet ſternutaméta: quod idem herba efficit, ſed oculos premi neceſſum eſt, cũ ſternutamentũ vrget. Sunt qui in cibis abdicandũ cenſeant: quandoquidem manducatum, & in ſole poſitum, vermiculos creat. Aphri autem adiiciunt, ſi feriantur à ſcorpione, qui ocimum ederint, nullo conflictari dolore.

τὸ δὲ σπέρμα πινόμενον, ἁρμόζει τοῖς* μέλαιναν χολὴν γεννῶσι καὶ δυσουροῦσι καὶ πνευματουμένοις· ποιεῖ δὲ καὶ πταρμοὺς πλείονας ἐπισπώμενον δι' ὀσφρήσεως· καὶ ἡ πόα δὲ τὸ αὐτὸ ποιεῖ, συμπιέζειν δὲ τοὺς ὀφθαλμοὺς δεῖ ἐπιόντος τοῦ πταρμοῦ. φυλάσσονται δέ τινες αὐτὸ καὶ οὐκ ἐσθίουσι, διὰ τὸ μασσηθὲν καὶ τεθὲν ἐν ἡλίῳ, σκωλήκια γεννᾶν· λίβυες δὲ προσειλήφασιν ὅτι οἱ φαγόντες αὐτὸ καὶ πληγέντες ὑπὸ σκορπίου, ἄπονοι διαμένουσιν.

Orobanche. Cap. CLXXII.

Orobãche cauliculus eſt, ſeſquipedalis, & interdũ maior, ſubruber, hirſutus, tener, ſine folio, pinguis: flore ſubalbido, aut in luteum vergente: radice digiti craſsitudine, &, cum ariditate flacceſcit caulis, fiſtuloſa. Hanc inter quædam legumina naſci conſtat, & ea ſtrangulare: vnde orobanche ſibi cognométum vſurpauit. Eſtur, vt olus, cruda, & in patinis, aſparagi modo, decocta. Legumentis addita, coctionem accelerare creditur.

Περὶ Ὀροβάγχης. Κεφ. ροβ΄.

Ὀροβάγχη καυλίον ἐστὶν ὑπέρυθρον ὡς διπιθαμιαῖον, ἐνίοτε δὲ καὶ μεῖζον, φύλλοις ὑπόλιπαρον, ἔνδασυ, τρυφερόν· ἄνθεσιν ὑπολεύκοις ἢ μηλίζουσι κεχρημένον. ῥίζα δὲ ὕπεστι δακτύλου τὸ πάχος κατατετρημένη πρὸς τὴν τοῦ καυλοῦ ξηρασίαν. δοκεῖ δὲ φυόμενον ἐν ὀσπρείοις πνίγειν αὐτά· ὅθεν καὶ τὴν προσωνυμίαν ἔσχηκε. λαχανεύεται δὲ καὶ ὠμὸν καὶ ἑφθὸν, ἐκ λοπάδος ὡς ἀσπάραγος ἐσθιόμενον· καὶ ὀσπρείοις συνεψηθὲν, τάχιον αὐτὰ δοκεῖ ἕψειν.

Barbula hirci. Ca. CLXXIII.

Barbula hirci, q̃ ab aliis come vocatur, breui eſt caule: foliis croci: radice longa, dulci, ſupina: magno ſuper caulem calyce,

Περὶ Τραγοπώγωνος. Κεφ. ρογ΄.

Τραγοπώγων ἢ τεβαπώγων, οἱ δὲ, κόμην καλοῦσι, καυλὸς βραχὺς· φύλλα κρόκῳ ὅμοια· ῥίζα μακρὰ, γλυκεῖα, *ἐπὶ δὲ τοῦ καυλοῦ κάλυξ

κάλυξ μέγας· καὶ ἐξ ἄκρου καρπὸς μέλας, ἀφ᾽ οὗ καὶ τὸ ὄνομα ἔχει. ἔστι δὲ ἡ πόα ἐδώδιμος.

Περὶ Ορνιθογάλου. Κεφ. ροδ΄.

Ορνιθόγαλον καυλίον ἐστὶ τρυφερὸν, λεπτὸν, ὑπόλευκον ὡς διπιθαμιαῖον, ἄνω παραφυάδας ἔχον, τρεῖς ἢ τέσσαρας ἁπαλάς· ἀφ᾽ ὧν ἄνθη ἔξωθεν μὲν βοτανώδη, διανοιχθέντα δὲ γαλακτίζοντα· καὶ μεταξὺ αὐτῶν κεφάλιον ὡς κάγχρυ ἐντετμημένον μετὰ ἄρτου συνοπτώμενον ὡς μελάνθιον· ῥίζα δὲ βολβώδης· ἐσθιομένη ὠμή τε καὶ ἑφθή.

Περὶ Ὕδνου. Κεφ. ροε΄.

Ὕδνον ῥίζα ἐστὶ περιφερὴς, ἄφυλλος, ἄκαυλος, ὑπόξανθος· ἔαρος ὀρυττομένη, ἐδώδιμος δέ ἐστιν ὠμή τε καὶ ἑφθὴ ἐσθιομένη.

Περὶ Σμίλακος.
Κεφ ρος΄.

Σμίλαξ κηπαία, ἧς ὁ καρπὸς λόβια· ὑπ᾽ ἐνίων δὲ ἀσπάραγος καλεῖται· φύλλα ἔχει κισσῷ ὅμοια, μαλακώτερα μέν τοι· καυλοὺς δὲ λεπτοὺς καὶ ἕλικας περιπεπλεγμένους τοῖς παρακειμένοις θαμνίοις· αὐξανομένας τὲ ἐφ᾽ ἱκανὸν, ὥστε καὶ σκηνοποιεῖσθαι· καρπὸν δὲ φέρει ὅμοιον τήλει· μακρότερον δὲ καὶ *ἐπισημότερον ἐν οἷς σπέρματα ὅμοια νεφρεῖς, οὐκ ἰσόχροα· ἐκ μέρους δὲ ὑποπυρίζοντα, λαχανεύεται

calyce, è cuius ſummo ſemen nigrum depẽdet, vnde nomen inditũ eſt. Herba eſui apta eſt.

Ornithogalũ. Ca. CLXXIIII.

Ornithogalũ cauliculus eſt tener candicans, tenuis, ſeſquipedalis, tribus aut quatuor in cacumine mollibus agnatis: à quibus flores ꝓdeũt, foris herbacei, & cum hiãtes ſe pãdũt, lactei viſuntur, inter quos diſſectum, cachryos modo, capitulum emicat. Coquitur cũ pane, vt melanthiũ. Radix bulboſa, cruda & cocta manditur.

Tubera. Cap. CLXXV.

Tubera rotũdæ radices ſunt, ſine caule, ſine foliis flaueſcentes: vere fodiũtur, cruda & cocta eduntur.

Smilax hortenſis.
Cap. CLXXVI.

Hortenſis ſmilax, frutex, cuius ſemen à nõnllis lobia vocatur: folia habet hederę, molliora tamẽ: tenues caules, & capreolos vicinis fruticibus circumuolutos: qui tantum adoleſcunt, vt topiarias ſcenas repræſentare videant: ſiliquas fœnigræci ꝓfert longiores & toroſiores, in quibus ſemina renum ſimilia, ſed inæquali colore recluduntur: quæ quadã ex parte fulueſcũt. Siliquas cocta, cum

cta, cum ſemine in oleribus, aſparagi modo eſtur. Vrinam ciet, & tumultuoſa ſomnia facit.

Medica. Cap. CLXXVII.

Medica cum recenter prodiit, foliis & caule trifolio prętenſi ſimilis eſt: procedés verò folia contrahit, caules edés trifolij, & ſiliquas corniculorum modo intortas, in quibus ſemen lentis magnitudine depédet. Id ſiccatum, iucundi ſaporis gratia, conditaneo ſali admiſcetur. Viride, quibus refrigeratione opꝰ eſt, illitu ſuffragatur. Herba tota pro gramine vtuntur, qui pecora alunt.

Aphaca. Cap. CLXXVIII.

Aphaca in aruis naſcitur, altior lente, tenuibus foliis: ſiliquas lenticulam maiores fert, in quibus terna quaternáve ſemina nigra, lente minora, continétur: quæ adſtringendi vim habent: quare torrefacta, ſtomachi aluíque fluxiones ſiſtunt, ſi freſalentis more decoquantur.

Porrum capitatum. Cap. CLXXIX.

Capitatũ porrũ inflationé facit, noxiũ ſuccũ creat, tumultuoſum ſomnũ parit, vriná ciet, aluo accõmodaſ, extenuat, oculorum

λαχανεύεται δὲ εἰς βρῶσιν ὁ καρπὸς ἑψόμενος σὺν τῷ σπέρματι ὡς ἀσπάραγος. οὐρητικὸς ὢν καὶ δυσόνειρος.

Περὶ Μηδικῆς. Κεφ. ροζ΄.

*Μηδικὴ ἔοικε μὲν ἄρτι φυομένη τριφύλλῳ τῇ ἐν χορτοκοπίοις· προάγουσα δὲ στενοφυλλοτέρα γίνεται, καυλοὺς ἀνιεῖσα τριφύλλῳ ὁμοίους, ἐφ᾽ οἷς τὸ σπέρμα περιπέφυκε φακοῦ τὸ μέγεθος, ἐπεστραμμένον ὡς κεράτιον. ὅπερ ξηρανθὲν, μίγνυται ἡδύσματος χάριν τοῖς ἀρτυτοῖς ἁλσί. χλωρὸν δὲ καταπλασθὲν ὠφελεῖ τὰ ψύξεως δεόμενα. ὅλῃ δὲ τῇ πόᾳ χρῶνται οἱ κτηνοβόσκοι ἀντὶ ἀγρώστεως.

Περὶ Ἀφάκης. Κεφ. ροη΄.

Ἀφάκη θαμνίον ἐστὶ φυόμενον ἐν ἀρούραις, φακοῦ ὑψηλότερον, λεπτόφυλλον· τὰ δὲ ἐπ᾽ αὐτῆς φυόμενα μείζονα* θυλάκια τοῦ φακοῦ περιεκτικὰ τῶν σπερματίων τριῶν ἢ τεσσάρων μεγάλων καὶ μικροτέρων φακοῦ. Δύναμιν δὲ ἔχει τὰ σπερμάτια στυπτικήν· ὅθεν ἵστησι καὶ ῥεῦμα κοιλίας καὶ στομάχου φρυττόμενα καὶ ἐρεικόμενα καὶ ἑψόμενα ὥσπερ φακός.

Περὶ Πράσου Κεφαλωτοῦ. Κεφ. ροθ΄.

Πράσον κεφαλωτὸν φυσῶδες, κακόχυμον, δυσόνειρον, οὐρητικὸν, εὐκοίλιον, λεπτυντικὸν, ἀμβλυωπίας

βλυωπίας ποιητικὸν, καταμηνίων ἀγωγὸν, βλαπτικὸν, κύστεως ἡλκωμένης καὶ νεφρῶν· συνεψηθὲν δὲ πτισάνῃ καὶ βρωθὲν ἀνάγει τὰ ἐκ θώρακος. ἡ δὲ κόμη αὐτοῦ ἑψηθεῖσα ἐν θαλάσσῃ καὶ ὄξει, εἰς ἐγκάθισμα χρησιμεύει πρὸς μύσιν καὶ σκληρίαν ὑστέρας. ἀπογλυκαίνεται δὲ καὶ ἀφυσότερον γίνεται δυσὶν ὕδασιν ἑψηθὲν, καὶ ἀποβραχὲν ἐν ὕδατι ψυχρῷ. ὁ δὲ καρπὸς δριμύτερος ἔχων τι καὶ σύψεως· ὅθεν αἷμα ὁ χυλὸς αὐτοῦ ἵστησι σὺν ὄξει, καὶ μάλιστα τὸ ἐκ μυκτήρων φερόμενον, μάννης ἢ λιβανωτοῦ μιχθέντος. ἀφροδίσιά τε παρορμᾷ· καὶ πρὸς τὰ ἐν θώρακι πάντα σὺν μέλιτι ἀντὶ ἐκλεικτοῦ, ποιεῖ καὶ πρὸς φθίσεις βρωθέν· καθαίρει δὲ καὶ τὴν ἀρτηρίαν ἐσθιόμενον δὲ συνεχῶς ἀμαυρωτικὸν ὄψεως γίνεται· κακοστόμαχον δέ ἐστι. ἀρήγει καὶ θηριοδήκτοις σὺν μέλιτι πινόμενος ὁ χυλός· καὶ αὐτὸ δὲ καταπλασσόμενον ὠφελεῖ. βοηθεῖ καὶ ὠταλγίαις ὁ χυλὸς καὶ ἤχοις, σὺν ὄξει καὶ λιβανωτῷ καὶ γάλακτι ἢ ῥοδίνῳ ἐνσταγείς. αἴρει δὲ καὶ ἰόνθους τὰ φύλλα μετὰ ῥοῦ τοῦ ἐπὶ τὰ ὄψα καταπλασθέντα καὶ ἐπινυκτίδας ἰᾶται, ἐσχάρας τε περιρρήγνυσι σὺν ἁλσὶν ἐπιπλαττόμενον, τοῦ μέν τοι σπέρματος < β΄. μετὰ μύρτων ἴσων ποθεῖσαι, τὰς χρονίους ἀναγωγὰς τοῦ αἵματος ἐπέχουσιν.

Περὶ

oculorum aciem hebetat, mẽſes pellit, ſed lędit exulceratam veſicam, renéſque: çum ptiſana verò coctum, eſu pectoris vitia extrahit. Coma eius in aqua maris, & aceto cocta, in deſeſsionibus, ad præcluſiones vuluæ, & duritias, vtilis habet. Porrum bis aqua mutata coctum, tum frigida maceratum, dulceſcit, & multò minꝰ inflat. Semen acrius eſt, & quandam adſtrictoriã vim habet: quare ſuccus cum aceto, addito thure aut manna, ſanguinis profluuia ſiſtit, maximè ſi naribꝰ erũpat. Venerem ſtimulat: contra omnia thoracis vitia tabémq; ꝑ delinctu efficax eſt: arteriã eſu purgat, ſed ſi aſsiduè eſtur, viſus obſcuritatẽ inducit: ſtomacho aduerſatur. Succus ex melle potus, aut illitꝰ, cõtra beſtiarũ morſus auxilio eſt: ipſum quoque cum aceto aut thuris polline, lacte aut roſaceo, vtiliter aurium doloribus, & ſonitui inſtillatur. Varos tollunt folia illita cum vua rhois, qua ad obſonia vtuntur: epinyctidi medentur, cruſtas ex ſale illita rumpunt, veteres ſanguinis reiectiones cohibent, ſi binis drachmis, & æquali baccarum myrti pondere bibantur.

Ampelopra-

Ampeloprasum.
Cap. CLXXX.

Ampeloprasũ ſtomacho magis aduerſat̃,& plus porro excalfacit: vrinam & menſes vehementius ciet. Id contra ſerpentium morſus eſſe cõuenit.

Cepa. Cap. CLXXXI.

Cepa longa acrior eſt,quàm rotunda,item flaua quàm candida, & ſicca quàm viridis, & cruda quàm cocta,aut ſale cõdita. Omnes tamen mordent, flatus gignunt, appetentiã inuitant,ſitim mouẽt, & extenuãt: faſtidiũ pariunt, & expurgant: aluo vtiles ſunt. Ex detractis purgamẽtis in oleum cõiectæ, hæmorrhoidas, reliquosq; excretionum exitus reſerãt, ſubditæ pro balanis. Succus cum melle illitus,oculorum hebetudinibus,argemis,nubeculis, & incipientibus ſuffuſionibus auxiliatur:anginę eodẽ perungũtur: ſuppreſſos menſes pellit,caput purgat naribus infuſus:canis morſibus cũ aceto,ruta, & melle illinitur:cũ aceto autem perunctas in ſole, vitiligines ſanat:& cũ pari ſpodio, ſcabras lippitudines ſedat: varos cũ ſale reprimit:contra calceamentorum attritus,cum gallinaceo adipe vtilis eſt:citę aluo ꝓdeſt: in

Περὶ Ἀμπελοπράσου,
Κεφ. ρπ΄.

Ἀμπελόπρασον, κακοστομαχώτερον τοῦ πράσου, θερμαντικώτερον δὲ καὶ οὐρητικώτερον· καταμηνίων ἀγωγόν. θηριοδήκτοις δὲ βιβρωσκόμενον ἁρμόζει.

Περὶ Κρομμύων. Κεφ. ρπα΄.

Κρόμμυον δριμύτερον τὸ μακρὸν τοῦ στρογγύλου, καὶ τὸ ξανθὸν τοῦ λευκοῦ, καὶ τὸ ξηρὸν τοῦ χλωροῦ, καὶ τὸ ὠμὸν τοῦ ὀπτοῦ καὶ ταριχηροῦ. ἔστι δὲ ἅπαντα δηκτικὰ καὶ πνευματωτικά, ὀρέξεως ἐκκλητικά, λεπτυντικά, διψώδη, ἀσώδη, ἀποκαθαρτικά, εὐκοίλια. ἀναστομωτικὰ ἐκκρίσεων τῶν τε ἄλλων καὶ αἱμορροΐδων, ἀντὶ βαλάνου δὲ προστίθεται λεπισθέντα καὶ εἰς ἔλαιον ἐμβληθέντα. ὁ δὲ χυλὸς ἐγχριόμενος σὺν μέλιτι βοηθεῖ ἀμβλυωποῦσιν, ἀργέμοις, νεφελίοις, καὶ ἀρχομένοις ὑποχεῖσθαι, καὶ συναγχικοῖς διαχρισθείς· κινεῖ τε καταμήνια καὶ ἄγει, ἔγχυτός τε καθαρτικὸς διὰ ῥινὸς κεφαλῆς· κυνοδήκτοις δὲ κατάπλασμα μεθ᾽ ἁλὸς καὶ πηγάνου καὶ μέλιτος· σὺν ὄξει δὲ ἐν ἡλίῳ καταχρισθεὶς ἀλφοὺς ἰᾶται· μετ᾽ ἴσου δὲ σποδίου ψωροφθαλμίας παύει, καὶ ἰόνθοις σὺν ἁλσὶ στέλλει· σὺν ὀρνιθείῳ δὲ στέατι πρὸς ἐντρίμματα ὑποδημάτων χρήσιμος· καὶ πρὸς ῥεῦσιν κοιλίας καὶ

καὶ δυσηκοΐαν καὶ συριγμοὺς, καὶ πυοῤῥοοῦντα ὦτα· * καὶ πρὸς τὰς ἀπολήψεις τῶν ὑδάτων τῶν ἐν τοῖς ὠσὶν ἁρμόζει· καὶ πρὸς ἀλωπεκίας παρατριβόμενος, τάχιον γὰρ ἀλκυονίου προσκαλεῖται τρίχας. ἔστι δὲ τὸ κρόμμυον κεφαλαλγὲς πλεῖον βρωθὲν, ἑψηθὲν δὲ οὐρητικώτερον γίνεται. πλέον δὲ ἐσθιόμενον ἐν νόσοις ληθάργους ποιεῖ. τοῦτο τοίνυν ἑψηθὲν· καὶ καταπλασθὲν σὺν σταφίδι ἢ σύκῳ, φύματα πέττει καὶ διαῤῥήσσει.

Περὶ Σκορόδου. Κεφ. ρπβ΄.

Σκόροδον τὸ μὲν, ἔστιν ἥμερον καὶ κηπευτὸν, καὶ τοῦτο ἐν αἰγύπτῳ μονοκέφαλόν ἐστιν,* καλοῦσι δὲ τὰς ἐν αὐτῷ ῥᾶγας ἀγλῖθας. *ἔστι δὲ καὶ ἄλλο ἄγριον ὀφιόσκοροδον καλούμενον. Δύναμιν δὲ ἔχει δριμεῖαν, θερμαντικὴν, δηκτικὴν φυσώδη, καὶ κοιλίας ταρακτικὴν, ξηραντικὴν στομάχου, δίψης ποιητικὴν, ἐμπνευματώσεως ἀλλοιωτικὴν, καὶ ἐπιφανείας ὀμμάτων ἀμβλυωπικὴν, βιβρωσκόμενον,* καὶ πρὸς τοὺς ξενισμοὺς τῶν ὑδάτων ἁρμόζει, ἀρτηρίας λαμπρύνει, καὶ βῆχας χρονίας παρηγορεῖ, ὠμόν τε καὶ ἑφθὸν ἐσθιόμενον· φθεῖρας δὲ καὶ κόνιδας φθείρει σὺν ἀφεψήματι ὀριγάνου πινόμενον· καὲν δὲ καὶ μέλιτι φυραθὲν, ὑπώπια καὶ ἀλωπεκίας ἰᾶται καταχριόμενον· ἐπὶ δὲ τῶν ἀλωπεκιῶν σὺν

in auribus ſonitũ, ac grauitatẽ emendat: ad purulẽtas aureis, & eliciendã earũdem aquam, valet: alopeciæ earũ ſucco ꝑfricantur, qui celerius, quàm alcionium pilos euocat: largiore cibo cepa capitis dolores ciet, cocta q; vehemẽtius vrinã pellit: eos lethargicos efficit, q̃ valetudinib⁹ aduerſis, vt etiã cocta, plus æquo veſcant̃: elixa, & cũ paſsis vuis, et fico illita, tubercula cõcoquit, & celerrimè rũpit.

Alliũ. Cap. CLXXXII.

Allium quoddã ſatiuum atq; hortẽſe habetur, quod in Ægypto, ſingulari, vt porrum, capite cõſtat, cui⁹ nucleos aglitas, Græci nominant. Aliud eſt ſylueſtre, quod Ophioſcorodon, id eſt anguinũ, vocant. Vis allij acris eſt: excalfacit, mordet, exceruit, aluũ turbat, inflationes facit, ſtomachum exiccat, ſitim gignit, flatum permouet, ſummam corporis cutem exulcerat, aciem oculorũ eſu hebetat, cõuenit & cõtra aquarum mutationes, vocem clarificat, veterẽ tuſsim crudum coctũve lenit: potũ autem cũ origani decocto, pediculos, & lẽdes enecat: cremati cinis illit⁹ ſugillationib⁹ cũ melle, & alopeciis cũ nardino vnguine, medetur: eruptiones

-ruptiones papularum cum oleo & ſale ſanat: vitiligines, lichenas, lentigines, vlcera capitis manãtia, lepras, & furfures, cum melle eximit: cum thure, & teda decoctum, dẽtium dolorem leuat, ſi in ore conuincatur: contra venenatos muris aranei morſus, cũ ficulneis frõdibus, & cumino illinitur. Ferueſactæ comæ ius, fœminarũ deſeſsionibus additũ, mẽſes & ſecundos partus extrahit. Alliũ eiuſdẽ gratia ſuffitur. Factũ ex eo, & nigra oliua intritũ, quod myttoton vocant, eſu cit vrinam, ora venarum patefacit, hydropicis vtile.

Scorodopraſum. Cap. CLXXXIII

Scorodopraſum magnitudine porrum equat, qualitatum porri, & allij particeps: vnde p̃miſcuas ſibi vires ex vtroq; vẽdicauit, effectus allij, & porri præbens: inefficacius tamẽ. Coctum, porri modo, dulceſcit, & in olerum vicem tranſit.

Sinapi. Cap. CLXXXIIII.

Sinapi hortẽſe, aliqui napi vocãt. Eligi debet adultũ, valde ruſum, nõ magnopere ſiccũ, ſed qđ fractũ internè vireſcat, & veluti quodã ſucco madeat, ceſiũ colore: ſiq̃dẽ recẽs id genus tẽpeſtiuũ

σὺν ναρδίνῳ μύρῳ καὶ ἁλσὶ καὶ ἐλαίῳ, ἐξανθήματα θεραπεύει· ἀφίστησι δὲ καὶ ἀλφοὺς καὶ λειχῆνας καὶ φακοὺς· ἀχῶράς τε καὶ πίτυρα καὶ λέπρας σὺν μέλιτι· μετὰ δαδίου δὲ καὶ λιβανωτοῦ ἑψηθὲν, ὀδονταλγίαν διακρατούμενον ἐν τῷ στόματι κουφίζει· μυγαλῆς τε ἐστι κατάπλασμα σὺν συκῆς φύλλοις καὶ κυμίνῳ. τῆς δὲ κόμης τὸ ἀπόζεμα ἐγκάθισμα ἐμμηνίων καὶ δευτέρων ἀγωγόν· πρὸς τὸ αὐτὸ δὲ καὶ ὑποθυμιᾶται. τὸ δὲ ἐξ αὐτοῦ καὶ τῆς μελαίνης ἐλαίας γινόμενον τρίμμα, καλούμενον δὲ μύστον, *οὔρησιν κινεῖ καὶ ἀναστομοῖ· χρήσιμον δὲ καὶ ὑδρωπικοῖς ἐστιν.

Περὶ Σκοροδοπράσου. Κεφ. ρπγ'.

Σκοροδόπρασον φύεται ὡς πράσον μέγα, μετέχον τῆς τοῦ σκόρδου καὶ τοῦ πράσου ποιότητος· ὅθεν καὶ τὴν δύναμιν μικτὴν ἔχει ποιοῦν ὅσα καὶ τὸ σκόρδον καὶ τὸ πράσον· ἀνειμένως μέντοι. λαχανεύεται δὲ εἰς βρῶσιν ὡς τὸ πράσον ἑψόμενον καὶ ἀπογλυκαινόμενον.

Περὶ Σινήπεως. Κεφ. ρπδ'.

Σίνηπι ἢ νάπυ, ἐκλέγου τὸ μὴ κατάξηρον καὶ κατάπυῤῥον, ἁδρὸν, ἀλλ' ὃ δὴ θλασθὲν, ἔνδοθεν χλωρὸν καὶ οἱονεὶ ἔγχυλον. γλαυκόν· πρόσφατον γὰρ καὶ ἀκμαῖον

ἀκμαῖον τὸ ποιοῦντες. δύναται δὲ θερμαίνειν, λεπτύνειν, ἐπισπᾶσθαι, ἀποφλεγματίζειν διαμασηθέν. μιγεὶς δὲ ὁ χυλὸς αὐτοῦ ὑδρομέλιτι, πρὸς ἀντιάδας καὶ τὰς χρονίους τραχύτητας τῆς ἀρτηρίας καὶ τυλώδεις, ἀναγαργαριζόμενος ἁρμόζει· προσαχθὲν δὲ τοῖς μυκτῆρσι λεῖον, πταρμοὺς κινεῖ· ἐπιληπτικοῖς τε βοηθεῖ καὶ ὑστερικῶς πνιγομένας διεγείρει· καὶ ἐπὶ ληθαργικῶν καταπλάττεται ξυρηθείσης τῆς κεφαλῆς. μιγὲν δὲ σύκοις καὶ ἐπιτεθὲν ἄχρι φοινίξεως, ἁρμόζει πρὸς ἰσχιάδας καὶ σπλῆνας, καὶ καθόλου εἰς πᾶν χρόνιον ἄλγημα, ὅπου μετάγειν τι ἐκ τοῦ βάθους εἰς τὴν ἐπιφάνειαν βουλόμεθα τῷ τῆς ἑτεροπαθείας λόγῳ. θεραπεύει καὶ ἀλωπεκίας καταπλασθέν, πρόσωπον δὲ καθαίρει, καὶ ὑπώπια αἴρει σὺν μέλιτι ἢ στέατι ἢ κηρωτῇ. σὺν ὄξει δὲ πρὸς λέπρας καὶ λειχῆνας ἀγρίους περιχρίεται· πίνεται δὲ καὶ πρὸς περιόδους ξηρόν. ὡς ἄλφιτα ἐπιπασσόμενον τῷ ποτῷ, ἐπισπαστικοῖς τε ἐμπλάστροις καὶ ψωρικοῖς μίγνυται χρησίμως· δυσηκοΐαις τε καὶ ἤχοις λεῖον ἐπιτιθέμενον τῇ ἀκοῇ, μετὰ σύκου ὠφελεῖ. ὁ δὲ χυλὸς αὐτοῦ σὺν μέλιτι ἁρμόζει, πρὸς τὸ ἀμβλυωπίας καὶ τραχέα βλέφαρα ἐγχριόμενος.

χυλίζε)

tempeſtiuum habetur. Ad calfaciendũ, extenuandũ, extrahẽdum, efficax eſt. Ad eliciendam capitis pituitam manditur: cõtra præduros tonſillarũ tumores, ac veterem calloſamq; arteriæ ſcabritiẽ, ſuccus ex aqua, & melle, conueniẽter gargarizatur: ſternutamenta ciet, tritũ & naribus admotũ: comitialibus quoque auxiliatur. Fœminas vuluæ ſtrangulatu oppreſſas excitat: lethargicis, deraſo capite, illinitur cum ficis admiſtum, donec rubeſcat locus, & ad coxendicum cruciatus impoſitum, ad lienes, & omne genus dolores confert, cum permutandæ valetudinis cauſa, ex alto vitia extrahenda ſunt. Alopecijs illitũ medetur, faciem purgat, ſugillata cum melle, adipe aut cerato rapit. Ferę impetigines & lepræ, eo cum aceto perunguntur: contra febrium circuitus aridum bibitur, aut potui polentæ modo, inſpargitur. extrahẽtibus emplaſtris, ſcabiemque extenuantibus, vtiliter admiſceri ſolet: tritum, grauitati aurium & ſonitui, cum fico impoſitum prodeſt. Succus ad hebetudines oculorum & genarum ſcabritias magna vtilitate illinitur.

q Expreſ-

Expreſſus recenti ſemine ſuccus, in ſole ſiccatur.

Naſturtiũ. Cap. CLXXXV.

Naſturtium optimum conſtat eſſe Babylonicum. Omnium ſemen eſt acre: excalfacit, ſtomacho aduerſatur, aluum turbat, tineas excutit, lienem imminuit, partus exanimat, menſes cit, venerem ſtimulat, ſinapis & erucæ ſimile intelligitur. Lepras & impetigines abſterget. Illitum cum melle, lienem extenuat, fauos expurgat, pulmonum vitia extrahit, ſorbitionibus incoctum. Serpentium venenis potum reſiſtit, atque eas ſuffitu fugat: capillorũ defluuia cohibet: carbunculos ad ſuppurationem perducit, & rumpit: coxendicibus cum polenta commodè ex aceto illinitur, tumores collectionésq; diſcutit, emittit furunculos, illitum cum muria. Herbæ ad omnia eadem effectus, licet minor.

Thlaſpi. Cap. CLXXXVI.

Thlaſpi, herbula anguſtis foliis, digitali longitudine, in terram verſis, ſuppinguibus, in cacumine diuiſis · binûm dodrantum cauliculo, tenui, non ſine adnaſcentibus ramis: fructu circa ipſum totum, ab extremo

χυλίζεται δὲ ἔτι χλωρὸν τὸ σπέρμα, καὶ τὸ ἀποθλιβὲν ξηραίνεται ἐν ἡλίῳ.

Περὶ καρδάμου. Κεφ. ρπε΄.

Κάρδαμον κάλλιστον μὲν εἶναι δοκεῖ τὸ ἐν τῇ βαβυλῶνι κάρδαμον. παντὸς δὲ τὸ σπέρμα θερμαντικὸν· δριμὺ, κακοστόμαχον, κοιλίαν ταράσσον, καὶ ἕλμινθας ἐκτινάσσον, σπλῆνα μειοῦν, ἔμβρυα φθεῖρον, ἔμμηνα κινοῦν, συνουσίαν παρορμῶν, ἔοικε δὲ σινήπει καὶ εὐζώμῳ. ἀποσμήχει λέπρας, λειχῆνας· σὺν μέλιτι δὲ σπλῆνα ταπεινοῖ καταπλασσόμενον, καὶ κηρία ἀποκαθαίρει, *καὶ τὰ ἐκ θώρακος ἀνάγει ἐγκαθεψόμενον ῥοφήμασιν. ἑρπετῶν τε ἐστὶν ἀντιφάρμακον πινόμενον, θυμιαθὲν δὲ ἑρπετὰ διώκει· τρίχας τε ῥεούσας ἐπέχει· καὶ ἄνθρακας περιῤῥήττει πυοποιοῦν· σὺν ὄξει δὲ καὶ ἀλφίτοις καταπλασθὲν, ἰσχιαδικοὺς ὠφελεῖ καὶ οἰδήμασι καὶ φλεγμοναῖς διαφορεῖ, δοθιῆνάς τε ἐκπυοῖ σὺν ἅλμῃ καταπλασθέν. καὶ ἡ πόα δὲ τὰ αὐτὰ ποιεῖ, ἔλασσον μέντοι δύναται.

Περὶ Θλάσπεως. Κεφ. ρπϛ΄.

Θλάσπι βοτάνιόν ἐστι στενὸν τοῖς φύλλοις ὡς δακτύλου μῆκος πεπτωκόσιν ἐπὶ τῆς γῆς, ἀκροσχιδέσιν ὑπολιπάροις, καυλὸν δὲ λεπτὸν ἀνίησι διπιθαμιαῖον· ἀποφυάδας ὀλίγας ἔχοντα, καὶ περὶ ὅλον αὐτὸν καρπὸς

ὑπόπλατυς

ὑπόπλατυς ἐξ ἄκρου· ἐν ᾧ σπερμάτιον ἐμφερὲς καρδάμῳ, δισκοειδὲς, οἱονεὶ ἐντεθλασμένον (ἐξ οὗ καὶ τὸ ὄνομα ἔσχηκεν) ἄνθος δὲ ὑπόλευκον. ἐν* ὁδοῖς καὶ ἐπὶ τοιχῶν καὶ ἐπὶ θριγκῶν φυόμενον· σπέρμα δριμὺ, θερμαντικόν· χολὴν ἄνω τὲ καὶ κάτω καθαίρει, ποθὲν πλῆθος ὀξυβάφου· ἐγκλύζεται δὲ καὶ πρὸς ἰσχιαδικούς· ἄγει δὲ καὶ αἷμα ποθὲν, καὶ τὰς ἐντὸς ἀποστάσεις ῥήγνυσι· κινεῖ δὲ καὶ καταμήνια, καὶ ἔμβρυα φθείρει. Ἱστορεῖ δὲ κρατεύας καὶ ἕτερον θλάσπι, ὃ τινὲς περσικὸν σίνηπι καλοῦσι, πλατύφυλλον καὶ μεγαλόρριζον· καὶ τοῦτο δὲ μίγνυται τοῖς πρὸς ἰσχιάδα διακλυσμοῖς.

Περὶ Δράβης. Κεφ. ρπζ´.

Δράβη ἡ πόα πήχεως ἔχουσα ὕψος, ῥάβδοις λεπτὰς, παρ᾽ ἑκάτερα δὲ τὰ φύλλα ὥσπερ λεπιδίου, ἁπαλώτερα δὲ καὶ λευκότερα· ἐπ᾽ ἄκρου δὲ σκιάδιον καθάπερ ἀκτίς. ἔχον ἄνθη* λεπτὰ, ταύτης ἡ πόα συνέψεται τῇ πτισάνῃ μάλιστα ἐν καππαδοκίᾳ. ὁ δὲ καρπὸς αὐτῆς ξηρὸς ἀντὶ πεπέρεως μίγνυται τοῖς προσοψήμασιν.

Περὶ Ἐρυσίμου Κεφ. ρπη´.

ΕΡΥΣΙΜΟΝ φύεται περὶ τὰς πόλεις, καὶ οἰκόπεδα, καὶ κήπους, φύλλα δὲ ὅμοια εὐζώμῳ ἀγρίῳ ἔχει· καυλία ἱμαντώδη, ἄνθη μηλίζοντα. ἐπ᾽ ἄκρων

extremo in latius ſe pandente: ſemine naſturtij incluſo léticulæ vaſis effigie, niſi quod infringitur (vnde nomen accepit) flos albicat. Naſcitur in ſemitis, & ſepibus, foſsiſque. Semen aſperi guſtus, excalfaciens: bilem vtrinque extrahit, potum acetabuli menſura: ꝓdeſt iſchiadicis infuſum: ſanguinem potu educit, internas ſuppurationes rumpit: menſes ciet, ſed partus enecat. Alterum thlaſpi tradit Crateuas, quod aliqui Perſicó ſinapi vocant, latis foliis, radicibus magnis: vtile iſchiadicorum infuſioni.

Draba. Cap. CLXXXVII.

Draba herba ad cubiti altitudinem aſſurgit, tenues ſpargens ramos, & ex vtroque latere folia, ceu lepidij, ſed molliora, & candidiora: in cacumine verò ſambuci vmbellá gerit, cádidos flores habenté. Herba hæc cú ptiſana coquitur, in Cappadocia maximè. Semen aridú ꝓ pipere obſoniis admiſcet̃.

Irio Ca. CLXXXVIII.

Eryſimon, Latini irioné vocát, iuxta vrbes, rudera hortóſque naſcit̃, foliis erucæ ſyluestris: cauliculis in lori modú létis et obſequioſis: floribꝰ luteis, ſiliquis

ſiliquis in cacumine gracilib⁹, vt fœnogræco, corniculatis: ſemine naſturtij, exiguo vrentis guſtus. Contra thoracis fluxiones efficax eſt, & ſi purulenta extuſsiuntur: regio morbo, & coxendicibus prodeſt: contra venena in delinctu cũ melle datur: illinitur ex aqua aut melle vtiliter cæcis carcinomatis, parotidibus, duritiis mammarum, & teſtium inflãmationibus. In totum extenuat, & calfacit. Mitius multò ad clyſteres fiet, ſi aqua madeſcat atque torreatur, vel linteo illigatũ, pinſita farina oblitum peraſſetur.

Piper. Cap. CLXXXIX.

Piper in India naſci, breui arbore traditur: quæ inter initia, prælongum fructum, veluti ſiliquam promit, quod longũ piper eſt: habet int⁹ aliquid tenui milio ſimile, quod tandem in perfectũ piper euadit. Id autem ſuis tẽporibus dehiſcens, pandensq; ſeſe racemos emittit, grana ferẽtes qualia videmus. Ea acerba cãdidum piper faciũt, aptũ ocularibus remediis, antidotis, & medicaminibus, quæ cõtra venenata parantur: theriaca vocant. Longum verò vehemẽtius mordet, &

ἄκρων δὲ λοβοὶ κερατοειδεῖς, ἰσχνοὶ ὡς τήλιδος· ἐν οἷς σπερμάτια μικρὰ καρδάμῳ παραπλήσια, πυρώδη κατὰ τὴν γεῦσιν. ποιοῦντα πρὸς θώρακος ῥευματισμὸν, ἐμπύους, βῆχας· ἴκτερον, ἰσχιάδας, ἐκλειχόμενον σὺν μέλιτι. πίνεται καὶ πρὸς τὰ θανάσιμα φάρμακα. καταπλασσόμενον δὲ μεθ' ὕδατος ἢ μέλιτος, ὠφελεῖ καρκινώματα κρυπτὰ, σκληρίας, παρωτίδας, διδύμων καὶ μαστῶν φλεγμονάς. λεπτύνει τε καὶ καθόλου θερμαίνει· ἐπιεικέστερον δὲ γίνεται εἰς τὰ ἐγκλύσματα, ἀποβραχὲν ὕδατι καὶ φωχθὲν, ἢ ἐνδεθὲν εἰς ὀθόνιον καὶ ἑψηθὲν στέατος περιπλασθέντος.

Περὶ Πεπέρεως. Κεφ. ρπθʹ.

Πέπερι δένδρον ἱστορεῖται φυόμενον ἐν Ἰνδίᾳ, βραχὺ, καρπὸν δὲ ἀνίησι, κατ' ἀρχὰς μὲν προμήκη καθάπερ λοβοὺς, ὅπερ ἐστὶ μακρὸν πέπερι· ἔχον τὸ ἐντὸς *κέγχρῳ παραπλήσιον, τὸ μέλλον ἔσεσθαι τέλειον πέπερι. ὅπερ κατὰ τοὺς οἰκείους καιροὺς ἀναπλούμενον. βότρυς ἀνίησι, κόκκους φέροντας οἵους ἴσμεν· τοὺς δὲ, καὶ ὀμφακώδεις, οἵ πινες εἰσὶ τὸ λευκὸν πέπερι, ἐνθετοῦσι μάλιστα εἰς τὰ ὀφθαλμικὰ καὶ ἀντιδότους καὶ θηριακὰς δυνάμεις· *ἔστι δὲ τὸ μὲν μακρὸν ἐπιτεταμένον τῇ δήξει, καὶ

καὶ ὑπόπικρον, διὰ τὸ ἄωρον, καὶ ἐπιτήδειον εἰς τὰς ἀντιδότους καὶ θηριακὰς δυνάμεις. τὸ δὲ μέλαν ἥδιον καὶ δριμύτερον τοῦ λευκοῦ, καὶ εὐστομώτερον, καὶ μᾶλλον διὰ τὸ εἶναι ὥριμον ἀρωματίζον, εὐχρηστότερόν τε εἰς τὰς ἀρτύσεις. τὸ δὲ λευκὸν καὶ ὀμφακίζον, ἀσθενέστερον τῶν προειρημένων. ἐκλέγου δὲ τὸ βαρύτατον καὶ πλῆρες, μέλαν, μὴ σφόδρα ῥυσσὸν, πρόσφατον δὲ καὶ μὴ πιτυρῶδες. εὑρίσκεται δέ τι ἐν τῷ μέλανι ἄτροφον, κενὸν καὶ κοῦφον, ὃ καλεῖται βράσμα. Δύναμιν δὲ ἔχει κοινῶς θερμαντικὴν, οὐρητικὴν, πεπτικὴν, ἐπισπαστικὴν, διαφορητικὴν, σμηκτικὴν, τῶν ταῖς κόραις ἐπισκοτούντων. ἁρμόζει καὶ ῥίγεσι περιοδικοῖς πινόμενόν τε καὶ συγχριόμενον. καὶ θηριοδήκτοις ἀρήγει, ἄγει καὶ ἔμβρυα. δοκεῖ δὲ καὶ ἀτόκιον εἶναι μετὰ συνουσίαν προστεθέμενον. βηξί τε καὶ πᾶσι τοῖς περὶ θώρακα πάθεσιν ἁρμόζει, ἔντε ἐκλεικτοῖς καὶ πόμασι λαμβανόμενον. καὶ συνάγχαις ἁρμόζει διαχριόμενον σὺν μέλιτι. καὶ στρόφους λύει πινόμενον μετὰ δάφνης φύλλων ἁπαλῶν. ἀποφλεγματίζει δὲ σὺν σταφίδι διαμασηθέν. ἀνώδυνόν τε ἐστὶ καὶ ὑγιεινόν, καὶ ὄρεξιν κινεῖ.

πέψει

& quoniam prius q̃ ematureſcat decerptũ eſt, ſubamarum relinquitur, antidotis & theriacis medicaminib⁹ expetitũ. Nigrum verò, vtpote quod tẽpeſtiua maturitate collectum ſit, odoratum eſſe cõſtat, candido ſuauius, acrius, & ori gratius necnon ad condimẽta vtilius. Sed candidũ, & adhuc in acerbũ vergẽs antè dictis infirmius eſt. Eligi oportet grauiſsimum, plenũ, nigrũ, ſine multis rugis, recẽs ac minimè furfuroſum. Inueniuntur etiamnum in genere nigri ſemina nutrimento defecta, caſſa, inania, minimíque põderis quod vocãt braſma. Vis omniũ excalfacit, vrinã ciet, cõcoquit, extrahit, diſcutit, abſterget caliginẽ q̃ oculis obuerſat̃. Piper, febriũ horrorib⁹ circuitu repetẽtibus, ſiue potu, ſiue illitu, ſubuenit: ſerpentiũ morſibus auxiliat̃, part⁹ extrahit, cõceptũ adimere creditſ, ſtatim à cõcubitu ſuppoſitũ: tuſsi, oĩbusq; pectoris vitiis, ſiue eclegmate, ſiue potu, ſuccurrit: anginę eo & melle cõuenięter pungunt̃: potũ cũ recẽti b⁹ lauri foliis, tormina diſcutit: cũ vua paſſa mãducatũ, pituitã à capite elicit: valetudinẽ tuet̃, dolores finit, appetẽtiã mouet:

concoctioné adiuuat, ad intinctus eſculentorum additũ: ſtrumas cũ pice diſcutit: vitiligines ex nitro emaculat. Fictili nouo, vt lenticula, motũ torretur. Nõ eſt huius arboris radix gingiber, vt aliqui exiſtimauêre, ſicuti paulò pòſt oſtẽdem⁹. Nãque piperis radix coſto ſimilis eſt, ora guſtantiũ accendit, ſaliuam ciet. Hęc lienẽ reprimit, cũ aceto illita, aut pota: caput etiam purgat, manducata cum ſemine pedicularis herbæ, quã ſtaphidem agriam vocant.

Gingiberis. Cap. CXC.

Gingiberis ſui generis plãta eſt, ĩ Troglodytica Arabia magna ex parte naſcẽs: qua virẽte, ad multa, perinde atq; nos ruta, vtũtur, & primis potibus & eduliis admiſcent. Huius radices, cyperi modo, paruæ ſunt, candicãtes & odoratæ, atq; piper ſapore imitantur. Eligi debẽt quę teredines nõ nouerũt. A multis tamen ob id cõdiunt, ꝙ celeriter cariẽ ſentiãt, ac fictilibus in Italiam aſportãtur. Gingiberis cibo cõueniẽs eſt, & cũ cõdimẽto aſſumit. Excalfactoriã vim & excoquentem habet: aluũ leniter emollit, ſtomacho vtilis eſt, efficax aduerſ⁹ ea q̃ oculis caliginẽ offundũt.

In

πέψει τε συνεργεῖ μιγνύμενον ἐν βάμμασιν. ἀναληφθὲν δὲ πίσσῃ χοιράδας διαφορεῖ. σμήχει δὲ ἀλφοὺς σὺν νίτρῳ. φώγνυται δὲ ἐπ' ὀστράκου καινοῦ ἐπ' ἀνθράκων, κινούμενον ὡς φακῆ. ἡ δὲ ῥίζα αὐτοῦ, οὐκ ἔστι ζιγγίβερ καθάπερ ἔνιοι ὑπέλαβον, ὡς αὐτίκα δηλώσομεν. ἔοικε μέν τοι κόστῳ ἡ τοῦ πεπέρεως ῥίζα, θερμαίνουσα τὴν γεῦσιν καὶ ὑγρὰ προσκαλουμένη. ταπεινοῖ δὲ σπλῆνα σὺν ὄξει καταπλασσομένη καὶ πινομένη. ἀποφλεγματίζει δὲ μετὰ σταφίδος ἀγρίας μασηθεῖσα.

Περὶ ζιγγιβέρεως. Κεφ. ρϛ'.

Ζιγγίβερις ἴδιόν ἐστι φυτὸν, γεννώμενον ἐν τῇ τρωγλοδυτικῇ ἀραβίᾳ πλεῖστον. οὗ χρῶνται τῇ χλόῃ εἰς πολλὰ καθάπερ ἡμεῖς τῷ πηγάνῳ, ἕψοντες εἰς προποτισμοὺς καὶ ἑψήματα μιγνύντες. ἔχει δὲ ῥίζια μικρὰ ὥσπερ κυπείρου, ὑπόλευκα, πεπερίζοντα τῇ γεύσει, καὶ εὐώδη. ἐκλέγου δὲ τὰ ἀτερηδόνιστα. ὑπ' ἐνίων μέν τοι ταριχεύεται διὰ τὸ εὔσηπτον, καὶ διακομίζεται κεραμίοις εἰς Ἰταλίαν. εὐχρηστοῦν εἰς βρῶσιν, λαμβάνεται δὲ μετὰ ταρίχου. Δύναμιν δὲ ἔχει θερμαντικὴν, πεπτικὴν, μαλακτικὴν κοιλίας ἐπιεικῶς, εὐστόμαχον. ποιεῖ καὶ πρὸς τὰ ἐπισκοτοῦντα ταῖς κόραις.

μίγνυται

μίγνυται καὶ ἀντιδότοις, καὶ καθόλου παρέοικέ πως τῇ τοῦ πεπέρεως δυνάμει.

Περὶ Ὑδροπεπέρεως. Κεφ. ρϟα.

Ὑδροπέπερι φύεται μὲν μάλιστα παρὰ στασίμοις ὕδασιν ἢ ἐπιεικέσι ῥείθροις· καυλὸν δὲ ἀνίησι γονατώδη, στερεὸν, περὶ ὃν μασχάλαι καὶ φύλλα ἐοικότα ἡδυόσμῳ, μείζονα δὲ καὶ τρυφερώτερα καὶ λευκότερα, δριμέα ἐν τῇ γεύσει ὥσπερ τὸ πέπερι, οὐ μὴν ἀρωματίζοντα· καρπὸν δὲ ἔχει ἐπὶ κλωναρίων μικρῶν ἐμφυόμενον παρὰ τὰ φύλλα, συνεχῆ καὶ βοτρυώδη, δριμὺν καὶ αὐτόν. Δύναμιν δὲ ἔχει τὰ φύλλα σὺν τῷ καρπῷ καταπλασσόμενα, οἰδήματα καὶ χρονίας σκληρίας διαφορεῖ· ὑπώπιά τε ἀποκαθαίρειν, ξηρανθέντα δὲ καὶ κοπέντα, μίγνυται ἀντὶ πεπέρεως ἁλσὶ καὶ προσοψήμασι, ῥίζαν δὲ ἔχει μικρὰν ἄχρηστον.

Περὶ πταρμικῆς. Κεφ. ρϟβ.

Πταρμικὴ θαμνίον ἐστὶ κλῶνας ἔχον μικροὺς πολλοὺς, περιφερεῖς, ὁμοίους ἀβροτόνῳ· περὶ οὓς φύλλα ἐπιμήκη, ἐοικότα τοῖς τῆς ἐλαίας, πολλά, ἐπ᾽ ἄκρῳ δὲ ὥσπερ ἀνθεμίδος κεφάλιον μικρὸν, περιφερὲς, δριμὺ κατὰ τὴν ὀσμὴν, ἐρεθιστικὸν πταρμοῦ· ὅθεν καὶ ὠνόμασται. δύναται δὲ καταπλασσόμενα τὰ φύλλα μετὰ τῶν ἀνθῶν ὑπώπια αἴρειν. τὰ δὲ ἄνθη, πταρμοὺς

ἐναργέστατα

In antidota addi ſolet.In ſumma piperis viribus reſpondet

Hydropiper.

Cap. CXCI.

Hydropiper apud aquas naſcitur, quæ ſtagnant, aut pigro lapſu repunt: caulem ædit geniculatum prædurum, multis alis concauum: folia menthæ, maiora, molliora, candidioráque, guſtu piperis, acri, citra tamen vllam odoris gratiam: fructum acrem, in ſurculis paruis, prope folia racematim cohærentẽ. Folia cum ſemine illita tumores veteréſque duritias diſcutiunt, ſugillata delent: quæ poſtquam inaruerunt, tuſa pro pipere in obſoniis admiſcentur. Radix parua, nullius in medicina momenti.

Ptarmica. Cap. CXCII.

Ptarmica exiguus frutex eſt, ſurculos habẽs paruos, multos, & rotundos, abrotono nõ diſſimiles: & circa eos folia oleæ, longa, multa, & in cacumine capitulum, vti anthemidis, paruum, rotundum, quod ſuo acri odore ſternutamentũ excitat, vnde nomen accepit. Folia cũ floribus illita, ſugillationes rapiũt. Flores ſternutamẽta

q iiij effica

efficaciſsimè mouét. Naſcitur in montibus & petroſis.

Radicula ſeu lanaria herba. Cap. CXCIII.

Struthium herba vulgò nota, qua purgādis lanis vtuntur, qui eas eluunt. Huius radix eſt acris: vrinam ciet: prodeſt tuſſi, iocineroſis, orthopnœæ ex melle ſumpta, cochlearis menſura, aluum ſoluit. Eadem cum panace & capparis radice calculos frangit, & cum vrina exturbat, duritiā lienis abſumit: menſes impoſita trahit, partus efficaciter enecat. Cum polenta autem & aceto illita, lepras tollit: tubercula diſcutit, cum farina hordeacea & vino decocta. Miſcetur & malagmatis, & ocularibus collyriis, claritatis cauſa. Sternutamenta mouet, per os purgat, trita cum melle, & naribus infuſa.

Cyclaminꝰ. Cap. CXCIIII.

Cyclaminꝰ folia habet hederæ, purpurea, varia, in quibꝰ ſuprà īfraq; albicāt maculę: caule nudo, quaternos digitos ęquātes floribꝰ in eo purpureis, roſarū effigię: radice nigra, & aliquantum lata, vt rapum videri poſsit. Quæ cum hydromelite pota pituitā aquamq; detrahit:

menſes

ἐναργέστατα κινεῖ. φύεται δὲ ἐν ὀρεινοῖς καὶ πετρώδεσι τόποις.

Περὶ Στρουθίου. Κεφ. ρϟγ΄.

Στρούθιον γνώριμόν ἐστι, ᾧ οἱ ἐριοπλύται χρῶνται πρὸς κάθαρσιν τῶν ἐρίων. οὗ ἡ ῥίζα δριμεῖα καὶ οὐρητική· βοηθεῖ δὲ ἡπατικοῖς βηξὶν, ὀρθοπνοίαις σὺν μέλιτι, κοχλιαρίου πλῆθος λαμβανομένη· κοιλίαν τε ὑπάγει. σὺν δὲ πάνακι καὶ καππάρεως ῥίζῃ ληφθὲν, λίθους θρύπτει, καὶ ἐξουρεῖν ποιεῖ· καὶ σπλῆνα ἐσκιρρωμένον τήκει· προστεθὲν δὲ ἔμμηνα ἄγει, καὶ ἔμβρυα φθείρει ἐναργῶς. σὺν ἀλφίτῳ δὲ καὶ ὄξει καταπλασθὲν, λέπραν αἴρει· διαφορεῖ καὶ τὰ φύματα σὺν ἀλεύρῳ κριθίνῳ καὶ οἴνῳ ἑψηθέν. μίγνυται δὲ καὶ κολλυρίοις ὀξυδερκέσι καὶ μαλάγμασι· κινεῖ δὲ καὶ πταρμούς. καὶ εἰς τὰς ῥῖνας δὲ ἐγχεόμενον λεῖον μετὰ μέλιτος, καθαίρει διὰ στόματος.

Περὶ Κυκλαμίνου. Κεφ. ρϟδ΄.

Κυκλάμινος φύλλα ἔχει ὅμοια κισσῷ, πορφυρᾶ, ποικίλα, κάτωθεν δὲ καὶ ἄνωθεν κηλῖσιν ὑπολεύκοις· καυλὸν δὲ τετραδάκτυλον, γυμνὸν· ἐφ᾽ οὗ ἄνθη ῥοδοειδῆ πορφυρίζοντα· ῥίζαν μέλαιναν στρογγυλίδι παραπλησίαν, ὑπόπλατυν. ἥτις ποθεῖσα μετὰ ὑδρομέλιτος, ἄγει φλέγμα καὶ ὕδωρ κάτω·

καὶ

καὶ ἔμμηνα δὲ κινεῖ πινομένη καὶ προστιθεμένη. φασὶ δὲ ὅτι ἂν ὑπερβῇ τὴν ῥίζαν ἔγκυμων γυνὴ, ἐξαμβλώσκειν αὐτήν. ἔστι δὲ καὶ ὀξυτόκιον περιαπτομένη· πίνεται δὲ πρὸς τὰ θανάσιμα μετ' οἴνου, καὶ μάλιστα πρὸς λαγωὸν θαλάσσιον· καὶ ἑρπετῶν ἐστιν ἀντιφάρμακον καταπλασσομένη· μεθύσκει τε οἴνῳ μιχθεῖσα· καθαίρει δὲ καὶ ἴκτερον τριῶν δραχμῶν πλῆθος ποθεῖσα, μετὰ γλυκέος ἢ μελικράτου ὑδαροῦς. κατακλίνειν δὲ δεῖ ἐν οἴκῳ θερμῷ τὸν πίνοντα, καὶ πλείοσιν ἱματίοις περιβάλλειν ὅπως ἱδρώσῃ· ὁ δὲ ἀποκρινόμενος ἱδρὼς, χολώδης εὑρίσκεται τῇ χροιᾷ. ἐγχυματίζεται δὲ ὁ χυλὸς αὐτῆς μετὰ μέλιτος εἰς τὰς ῥῖνας πρὸς κάθαρσιν κεφαλῆς· καὶ τῷ δακτυλίῳ ἐν ἐρίῳ προστίθεται πρὸς κομιδὴν περιττωμάτων· καταχρισθέντος δὲ αὐτοῦ ἐπ' ὀμφαλοῦ καὶ ὑπογαστρίου, καὶ ἰσχίου, κοιλίαν μαλάσσει, καὶ ἐκτρωσμοὺς ἐργάζεται· καὶ πρὸς τοὺς ὑποκεχυμένους καὶ ἀμβλυωποῦντας ὀφθαλμοὺς ἐγχριόμενος ὁ χυλὸς σὺν μέλιτι ἁρμόζει. μίγνυται καὶ εἰς τὰ φθόρια. ἕδραν δὲ* προπεσοῦσαν σὺν ὄξει καταχριόμενος ὁ* χυλὸς καθίστησι. χυλίζεται δὲ ἡ ῥίζα κοπτομένη καὶ ἐκθλιβομένη, ἑψομένου τοῦ χυλοῦ ἄχρι μελιτώδους συστάσεως. ῥύπτει δὲ καὶ χρῶτα ἡ ῥίζα, καὶ ἐξανθήματα στέλλει καὶ τραύματα μετ' ὄξους καθ' ἑαυτήν τε καὶ μετὰ μέλιτος ἰᾶται. κατα-

menſes potu appoſitúve ciet. Tradunt ſi prægnans radicem tranſgrediatur, abortum fieri. Partum appenſa accelerat: contra venena, præſertim leporis marini, ex vino bibitur: illita contra ſerpentium ictus, remedio eſt: immiſta vino inebriat: regium morbum diſcutit, tribus drachmis pota, cum paſſo aut diluto mulſo. Sed oportet eum qui ebibit, multis veſtibus contectum, loco calido, & à perfrictionibus tuto, recumbere, quò facilius exudet: eiecti autem ſudores fellei colore inueniũtur. Succus eius ad purgandum caput, naribus infunditur: ad deiiciẽda quoque alui excrementa, in vellere ſedi ſubiicitur: illito vmbilico & imo ventre coxarum tenus, aluum emollit, & abortũ efficit: ſuffuſionibus, & retuſæ oculorũ aciei, oblitus cum melle ſuccus prodeſt. Medicamentis abortum inferentibus admiſcetur. Succus cum aceto illitus, prociduam ſedem reſtituit. Exprimitur tuſa radice ſuccus, & ad mellis craſsitudinem decoquitur. Radix cutem purgat, eruptiones papularum reprimit, vulneribus ex aceto per ſe aut cum melle medetur,

lienem

lienem abſumit: vitia cutis in facie, & alopecias emendat: eius decocto luxata, podagras, & capitis vlcuſcula, pernioneſque foueri congruum eſt: ipſaque in oleo vetere ferue facta, illito oleo, vlcera ad cicatricem perducit. Cauata radix oleo expletur, & cinere feruenti imponitur, adiecto interdum Tyrrhenicæ ceræ momento, vt ſtrigmenti craſsitudinem vnguentum cõtrahat, cũ primis vtile pernionibus. Radix, ſcillæ modo, conciſa reponitur. Narrant ad amatoria aſſumi contuſam, & in paſtillos diuiſam. Naſcitur in vmbroſis, maximè ſub arboribus.

Altera cyclaminus. Cap. CXCV.

EST & altera cyclaminus, quam ciſſanthemon aut ciſſophyllon vocant: foliis hederæ, ſed minoribus: geniculatis caulibus, craſsiſque, circa vicinas arbores, capreolorum modo, ſe voluentibus: flore candido, odorato: acinis hederæ mollibus, lenti guſtus, aliquantulum acris: radice ſuperuacua: naſcitur in aſperis. Huius acini, dradchmæ vnius põdere poti,

cum

ἴαται. καταπλασσομένη δὲ καὶ σπλῆνα τήκει· ἀποκαθαίρει δὲ καὶ ἔφηλιν καὶ ἀλωπεκίας· εὐθετεῖ δὲ καὶ πρὸς στρέμματα καὶ ποδάγραν, καὶ τὰ ἐν κεφαλῇ ἑλκύδρια καὶ χίμετλα τὸ ἀφέψημα αὐτῆς καταντλούμενον· αὐτὴ δὲ δι᾽ ἐλαίου παλαιοῦ ἀναζεσθεῖσα, ἀπουλοῖ καταχριομένου τοῦ ἐλαίου, ἐγκοιλανθεῖσα δὲ πληροῦται τοῦ ἐλαίου, καὶ τίθεται ἐπὶ θερμοσποδιᾶς, προσεμβαλλομένου δὲ ἐνίοτε καὶ κηροῦ τυρρηνικοῦ ὀλίγου, ὡς γλοιῶδες γίνεσθαι κατάχρισμα ἄριστον χιμετλιῶσιν. ἀποτίθεται δὲ ἡ ῥίζα τμηθεῖσα ὥσπερ σκίλλα. ἱστορεῖται δὲ καὶ πρὸς φίλτρα αὐτὴν λαμβάνεσθαι κοπεῖσαν ἀναπλασθεῖσάν τε εἰς τροχίσκους. φύεται δὲ ἐν συσκίοις τόποις. μάλιστα δὲ ὑπὸ τὰ δένδρα.

Περὶ ἑτέρας κυκλαμίνου. Κεφ. ρϞε´.

Κυκλάμινος ἑτέρα, ἣν ἔνιοι κισσάνθεμον ἢ κισσόφυλλον καλοῦσι· φύλλα ἔχει κισσῷ ἐοικότα, ἐλάσσονα δέ· καυλοὺς παχεῖς γονατώδεις, περιειλισσομένους τοῖς παρακειμένοις δένδρεσιν ἑλικοειδῶς· ἄνθη λευκά, εὐώδη. καρπὸς δὲ ὡς ῥᾶγες σταφυλῆς, ὅμοιος κισσῷ, μαλακός, δριμὺς ἐν τῇ γεύσει ἠρέμα, καὶ γλίσχρος· ῥίζα ἄχρηστος· φύεται δὲ ἐν τραχέσι χωρίοις. ταύτης ὁ καρπὸς ὅσον < μία τὸ πλῆθος πινόμενος

μετ᾽

μετ' οἴνου λευκοῦ κυάθων β' ἐπὶ ἡμέρας μ', σπλῆνα τήκει δι' οὔρων καὶ κοιλίας δαπανώμενον. πίνεται δὲ καὶ πρὸς ὀρθόπνοιαν. καὶ τὰ ἐκ τοκετῶν καθαίρει ποθεῖσα.

Περὶ Δρακοντίου.

Κεφ. ρϟϛ'.

Δρακόντιον ἔχει φύλλα κισσοειδῆ, μεγάλα, σπίλους ἔχοντα λευκούς· καυλὸν δὲ ὀρθὸν, δίπηχυν, ποικίλον, ὀφιοειδῆ διαπόρφυρον τοῖς σπίλοις, βακτηρίας τὸ πάχος· καρπὸς δὲ ἐπ' ἄκρου βοτρυώδης, χρώματι τὸ μὲν πρῶτον* χλοώδης, πεπανθεὶς δὲ κροκίζων, ἐπιδάκνων τὴν γεῦσιν· ῥίζα ποσῶς στρογγύλη, βολβοειδὴς, ὁμοία ἄρῳ φλοιὸν ἔχουσα λεπτόν. φύεται ἐν συσκίοις περὶ φραγμοῖς καὶ αἱμασιάς. Δύναμιν δὲ ἔχει ὁ καρπὸς χυλισθεὶς καὶ ἐγχυματισθεὶς μετ' ἐλαίου εἰς τὸ οὖς, ὠταλγίαν παύειν· εἰς δὲ τὰς ῥῖνας προστεθέμενος ἐν ἐρίῳ πολύπουν δαπανᾶν· καταχριόμενος δὲ στέλλειν καὶ καρκινώματα. ποθέντες δὲ ὅσον λ'. κόκκοι μετὰ ὀξυκράτου ἐξαμβλώσκουσι· καὶ τὴν ὀσμὴν δὲ φασὶ* μετὰ τὸν μαρασμὸν τῆς ἀνθήσεως, τῶν ἄρτι συνειλημμένων ἐμβρύων φθαρτικὸν εἶναι. ἡ δὲ ῥίζα θερμαντική ἐστι, βοηθεῖ ὀρθοπνοίαις, ῥήγμασι, σπάσμασι, βηξὶ, κατάρρῳ· καὶ τὰ ἐν θώρακι ὑγρὰ εὐανάγωγα ποιεῖ,

ἑφθὴ

cum vini albi cyathis duobus, quadraginta diebus, liené per vrinam & aluum abſumũt. Ad orthopnœá bibitur. reliquias à partu purgat.

Dracunculus.

Cap. CXCVI.

Dracunculus folio conſtat hederaceo, magno, cãdidis notis inſigni: caule recto, bicubitali, verſicolore, maculis reſperſo purpureis, ita vt anguẽ planè referat, baculi craſsitudine: fructus ſummo caule racematim cohæret, colore primum herbaceo, & cum ematuruit, croceo, guſtu feruens, mordáxque: radice aliquantulum rotunda, bulboſa, aro non abſimili, tenui obducta cortice. Naſcitur in ſepibus vmbroſis. Seminis ſuccus cum oleo inſtillatus, aurium dolorem mitigat: naribus etiam ex lana impoſitus, polypum abſumit: carcinomata illitu ſiſtit: triginta eius grana, ſi in poſca bibantur, abortus inferunt: odorem aiunt poſteaquam flaccidi flores emarcuerũt, conceptus adhuc teneros enecare. Radix excalfacit: orthopnœis, ruptis, vulſis, tuſsi, deſtillationibus, auxiliatur: humores pectoris excreatu faciles reddit,

ſiue

ſiue cocta toſtáque cum melle, aut per ſeſe edatur, ſiue farina eius ex melle delingatur: vrinam pellit, venerem excitat, cum vino potato phagedenas vlcerum, & quæ cacoëthe vocantur, trita cum melle & bryonia alba, expurgat, & ad cicatricem perducit: collyria ex ipſa ad fiſtulas & eiiciendos partus fieri ſolent. qui radice ſuas manus perfricuerunt, à viperis feriri negantur: illita ex aceto, vitiligines emaculat. Folia recentibus vulneribus, linamentorum vice, conuenienter imponuntur: decocta in vino pernionibus appoſuiſſe prodeſt: caſeus foliis inuolutus, à putredine defenditur. Succus radicis ad nubeculas, albugines, & oculorum caligines conuenit. Radix cruda coctáve, ad ſanorum vſus, pro olere recipitur: in Gymneſiis inſulis, quæ Baleares vocantur, coctam radicem cum melle multo, in conuiuiis placentarum loco offerunt. Radix meſſibus effoditur, lotáque fruſtatim conciditur, & lino traiecta, ſiccatur in vmbra, & ita reconditur.

ἑφθή τε καὶ ὀπτὴ μετὰ μέλιτος καὶ καθ' ἑαυτὴν βιβρωσκομένη. ξηρὰ δὲ λεία σὺν μέλιτι ἐκλείχεται. ἔστι δὲ οὐρητική, ὁρμάς τε πρὸς συνουσίαν ἐγείρει πινομένη μετ' οἴνου· καὶ ἕλκη κακοήθη καὶ φαγεδαινικὰ μετὰ βρυωνίας λευκῆς σὺν μέλιτι λεανθεῖσα ἀνακαθαίρει καὶ ἀπουλοῖ. καὶ κολλύρια ἐξ αὐτῆς ἀναπλάττεται πρὸς σύριγγας, καὶ ἐμβρύων κομιδήν. φασὶ δὲ ὅτι καὶ εἰ διατρίψει τις τὰς χεῖρας τῇ ῥίζῃ, ἀπὸ ἐχίδνης ἄδηκτος μένει· ἀποκαθαίρει δὲ καὶ ἀλφοὺς σὺν ὄξει καταχρισθεῖσα. τὰ δὲ φύλλα λεία ἐπὶ τῶν νεοτρώτων ἀντὶ μότων ἐπιτιθέμενα ἁρμόζει· καὶ πρὸς χίμετλα ἑψηθέντα ἐν οἴνῳ καὶ ἐπιτεθέντα· τυρός τε ἐνειλούμενος τοῖς φύλλοις, ἄσηπτος διαμένει. ὁ δὲ χυλὸς τῆς ῥίζης ἁρμόζει πρὸς νεφέλια, καὶ λευκώματα καὶ ἀχλῦς. λαχανεύεται δὲ ἡ ῥίζα καὶ πρὸς τὴν ἐν ὑγείᾳ χρῆσιν, ἑφθή τε καὶ ὠμὴ ἐσθιομένη· οἱ δὲ ἐν ταῖς γυμνήτισι νήσοις, καλουμέναις δὲ καλλαείσιν, ἑφθὴν τὴν ῥίζαν μιγνύντες μέλιτι πολλῷ ἐν τοῖς συνδείπνοις, ἀντὶ πλακούντων παρατιθέασιν. ἀποτίθεσθαι δὲ δεῖ τὴν ῥίζαν ἐν πυραμητῷ ὀρύξαντας καὶ πλύναντας καὶ κατατεμόντας. ἐνείραντάς τε λίνῳ καὶ ξηράναντας ἐν σκιᾷ.

Arum. Περὶ Ἀρου.

Περὶ Ἄρου. Κεφ. ρϛζ΄.

Ἄρον τὸ καλούμενον παρὰ σύροις λέφα, φύλλα ἀνίησιν ὅμοια τοῖς τοῦ δρακοντίου, μακρότερα δὲ καὶ* ἀσπιλότερα· καυλὸν σπιθαμιαῖον, ὑποπόρφυρον, ὑπεροειδῆ. ἐφ' οὗ ὁ καρπὸς κροκίζων· ῥίζα λευκὴ πρὸς τὴν τοῦ δρακοντίου, ἥτις καὶ ἐσθίεται ἑψομένη ἧττον οὖσα δριμεῖα. ταριχεύεται δὲ τὰ φύλλα εἰς βρῶσιν, καὶ καθ' ἑαυτὰ ξηρανθέντα ἑψόμενα ἐσθίεται. Δύναμιν δὲ ἔχει ἡ ῥίζα καὶ τὸ σπέρμα καὶ τὰ φύλλα τὴν αὐτὴν τῷ δρακοντίῳ. ποιεῖ δὲ ἡ ῥίζα καταπλασσομένη* σὺν βολβίτῳ ἐπὶ ποδαγρικῶν. ἀποτίθεται δὲ ὡς ἡ τοῦ δρακοντίου. καὶ καθόλου ἐστὶ διὰ τὸ μὴ λίαν δριμὺ ἐδώδιμος.

Arum. Cap. CXCVII.

Aron, apud Syros lupha vocitatum, folia emittit dracunculi, ſed longiora, & paucioribus diſtincta maculis: caulem ſuppurpureum, dodrantalem, piſtilli ſpecie, à quo croceum ſemen exit: radice dracunculi alba, quæ decocta eſtur, vtpote cum minus acris ſit. Folia ad eſum condiuntur, & arida per ſe, decocta manduntur. Radix, ſemen & folia, dracunculi vires habent. Priuatim radix ex fimo bubulo podagris illinitur, & dracunculi more reponitur. In totum, ob mitiorem eius acrimoniam, in cibum expetitur.

Περὶ Ἀρισάρου. Κεφ. ρϛη΄.

Ἀρίσαρον ἐστὶ μικρὸν βοτάνιον, ῥίζαν ἔχον ὡς ἐλαίας, ἔστι δὲ δριμυτέρα τοῦ ἄρου· ὅθεν νομὰς ἵστησι καταπλασσομένη. κολλύριά τε πρὸς σύριγγας ἐνεργῆ ἐξ αὐτῆς γίνεται. φθείρει δὲ καὶ αἰδοῖον παντὸς ζώου* ἐντεθεῖσα.

Ariſarum. Cap. CXCVIII.

Ariſarum exigua herbula eſt, cuius radix oleæ magnitudiné implet, longè maioris quàm aron acrimoniæ: vnde illitu nomas ſiſtit. Fiunt collyria ex ea, ad fiſtulas efficacia. Illitu radicis, genitale animalis cuiuſcũque in perniciem agitur.

Περὶ Ἀσφοδέλου. Κεφ. ρϛθ΄.

Ἀσφόδελος φυτὸν τοῖς πλείστοις γνώριμον, φύλλα ἔχων πράσῳ μεγάλῳ ὅμοια· καυλὸν δὲ λεῖον, ἔχοντα ἐπ' ἄκρου ἄνθος καλούμενον ἀνθέρικον. ῥίζαι δὲ ὕπεισιν ἐπιμήκεις, στρογγύλαι, βαλάνοις ὅμοιαι,

Haſtula regia. Cap. CXCIX.

Haſtula regia vulgaris notitiæ eſt, foliis maioris porri: caule leui, ferente in cacumine florem, quem anthericon appellant: radices ſubiacent oblongæ, rotundæ, glandibus ſimiles,

miles, guſtu acres, quæ excalfaciunt: vrinas & menſes epotæ ciunt: lateris doloribus, ruptis, conuulſis & tuſsibus, drachmæ pondere potæ ex vino, medentur. Ea verò vomitiones adiuuat, ludicri tali magnitudine commanducata: à ſerpente demorſis datur aptiſſimè, verum trium drachmarum pondere, foliiſque floribus & radice ex vino, morſus illinire oportet. Item vlcera ſordida & depaſcentia, mammarum quoque & teſtium inflammationes, tubercula, furunculóſque, decoctis in fæce vini bulbis, recentibus inflammationibus ex poléta auxiliatur. Radicis ſuccus adiecto vetere vino dulci, myrrha & croco decoquitur, fitque perquàm vtile oculis medicamētum: ad purulentas aureis per ſe, & cū thure, melle, vino & myrrha tritus, prodeſt: in contrariam aurem infuſus, dentium dolorem mitigat. Cinis è radice illitus, alopecias ad pilum reducit. Oleum in excauatis radicibus igni decoctum, illitu exulceratis pernionibus & ambuſtis igni, conducit: & ſurditati, inſtillatum in aurem, auxiliatur. Candidam vitiliginem, linteo

ὅμοιαι, δριμεῖαι κατὰ τὴν γεῦσιν, καὶ τὴν δύναμιν θερμαντικαί, κινοῦσι δὲ καὶ οὔρησιν, καὶ ἔμμηνα ποθεῖσαι· ἰῶνται δὲ καὶ πλευρᾶς ἀλγήματα καὶ βῆχας, καὶ σπάσματα, καὶ ῥήγματα < α πλῆθος τῆς ῥίζης ἐν οἴνῳ πινομένης. ποιεῖ δὲ καὶ ἐνεμεστέρους ὅσον ἀστράγαλος βρωθείς· καὶ ἑρπετοδήκτοις δίδοται ὠφελίμως ὅσον < γ´. τὸ πλῆθος, καταπλάττειν δὲ δεῖ τὰ δήγματα τοῖς τε φύλλοις καὶ τῇ ῥίζῃ καὶ τοῖς ἄνθεσι σὺν οἴνῳ καὶ τὰ ῥυπαρὰ καὶ νεμόμενα ἕλκη καὶ μαστῶν καὶ διδύμων φλεγμονὰς καὶ φύματα καὶ δοθιῆνας, συγκαθεψομένης τρυγὸς οἴνου τῇ ῥίζῃ, πρὸς δὲ τὰς προσφάτους φλεγμονὰς μετὰ ἀλφίτου. ὁ δὲ χυλὸς τῆς ῥίζης προσλαβὼν οἴνου παλαιοῦ γλυκέος, καὶ σμύρνης καὶ κρόκου, συνεψηθέντων ἐπὶ τὸ αὐτό, ἄριστον γίνεται ὀφθαλμοῖς φάρμακον· καὶ πρὸς ὦτα πυορροοῦντα καθ' ἑαυτόν, καὶ σὺν λιβανωτῷ καὶ μέλιτι καὶ οἴνῳ καὶ σμύρνῃ χλιανθεὶς ἁρμόζει· ὀδονταλγίαις τε καθ' ἑαυτὸν ἐγχυθεὶς ὁ χυλὸς τῷ ἀντικειμένῳ ὠτίῳ, πραΰνει. καεῖσα δὲ ἡ ῥίζα τῆς τέφρας ἐπιπλασσομένης, ἀλωπεκίας δασύνει. ἑψηθὲν δὲ ἔλαιον ἐν * κεκοιλωμέναις ταῖς ῥίζαις ἐπὶ πυρός, εἱλκωμένας χιμέτλας καὶ πυρίκαυτα ἐπαλειφόμενον ὠφελεῖ καὶ * ὠταλγίαις βοηθεῖ ἐγχεόμενον εἰς τὸ οὖς. ἀλφόν τε λευκὸν θεραπεύει τριφθέντα ἐν

ἐν ὀθονίῳ ἐν ἡλίῳ, καταχρισθεῖσα ἡ ῥίζα σμήχει. ὁ δὲ καρπὸς καὶ τὰ ἄνθη κατ' ἐξοχὴν, σκολοπένδρων καὶ σκορπίων ἀντιφάρμακόν ἐστιν ἐν οἴνῳ ποθέντα· καταῤῥήττει δὲ καὶ τὴν κοιλίαν.

linteo antea perfrictam in ſole, illita radix emendat. Semen floreſque in vino poti, ſcolopendræ & ſcorpionum venenis, mirum in modum reſiſtũt: aluum purgant.

Περὶ Βόλβου ἐδωδίμου.

Κεφ. σʹ.

Βολβὸς ἐδώδιμος γνώριμος πᾶσιν ὃν ἐσθίομεν· εὐστόμαχος, εὐκοίλιος, πυῤῥὸς, καὶ ἀπὸ λιβύης κομιζόμενος· ὁ δὲ πικρὸς, καὶ σκιλλώδης, εὐστομαχώτερος, πεπτικός. πάντες δὲ δριμεῖς καὶ θερμαντικοί· καὶ πρὸς συνουσίαν παρορμῶντες, τραχύνοντες γλῶσσαν καὶ παρίσθμια, πολύτροφοι, σαρκῶν γεννητικοὶ, ἐμπνευματοῦντες· ποιοῦσι δὲ καταπλασσόμενοι πρὸς στρέμματα, θλάσματα, σκόλοπας καὶ πρὸς τὰς τῶν ἄρθρων ὀδύνας· γαγγραίνας τε καὶ ποδάγρας σὺν μέλιτι καὶ καθ' ἑαυτοὺς καὶ τὰ ἐπὶ τῶν ὑδρωπικῶν οἰδήματα καὶ κυνόδηκτα, ὁμοίως σὺν μέλιτι καὶ πεπέρει λείῳ καταπλασθέντες· ἐπέχουσιν ὑδρῶτας· καὶ στομάχων ὀδύνας παύουσι· καὶ πίτυρα καὶ ἄχωρας ἀποσμήχουσι σὺν ὀπτῷ νίτρῳ. καθαίρουσι δὲ καὶ ὑπώπια καὶ ἴονθους, καθ' ἑαυτοὺς ἢ σὺν ὠοῦ λεκύθῳ, καὶ φακοὺς σὺν μέλιτι ἢ ὄξει. πρὸς δὲ ὤτων θλάσματα σὺν ἀλφίτῳ καὶ πρὸς θλάσεις ὀνύχων· ἀφαι-

Bulbus eſculentus.

Cap. C C.

Eſculentus bulbus vulgo cognitus, à nobis eſtur: ſtomacho & aluo vtilis rufus, & qui ex Aphrica defertur. Amarus verò & ſcillinꝰ, ſtomacho aptior eſt, & concoctionẽ adiuuat. Bulbi omnes acrimoniã habent, excalfaciũt: venerẽ ſtimulant, linguã tonſillasq; exaſperant, multum alimenti præbent, carnes creant, inflationẽ pariun tluxatis, fractis, articulorum doloribus efficaciter illinuntur: ſpicula extrahunt: gangrenas & podagras ex melle aut per ſeſe, hydropicorũ tumores, & canũ morſus cũ melle & piperis polline illiti cohibent: ſudores compeſcunt: ſtomachi dolores mitigãt: furfures & vlcera quæ in capite manant, cũ toſto nitro abſtergunt, ſugillata varóſque per ſe aut ex oui luteo, & lentigines cũ melle vel aceto, emendant: fractis auriculis vnguibúſq; ex polẽta medẽtur: iidẽ calidis cineribꝰ torrefactis, tollunt

tollunt ficus: item cum cinere è mænarum capitibus, impoſiti: cremati verò & cum alcyonio miſti, vitia cutis in facie, atráſque cicatrices, in ſole illiti, emaculant. Faciunt ad rupta, ſi cum aceto cocti edantur. Sed copioſiore eorum cibo abſtinẽdum, quoniam neruos tentant.

Bulbus vomitorius.

Cap. CCI.

Bulbus quem vomitorium vocant, folia habet lentiora multo & longiora quàm bulbus eſculentus: radicem ſimilé, cortice nigro. Ea radix manſa, aut decoctum eius potum, veſicæ malis medetur: vomitiones mouet.

Scilla. Cap. CCII.

Scilla vim acrem atq; feruẽtem habet: aſſatã ad multa vtiliorẽ eſſe cõſtat. Polline ad cruſtã ſubacto, aut luto oblita, in clibanũ coniicitur, aut carbonibus obruitur, donec obducens cruſta ſufficiẽter intoſta fuerit: qua exẽpta, ſi non emolleſcat, altero polline ſimili, aut luto circumlinitur, & eadẽ quę prius fiũt: nã quę ita nõ aſſatur, interaneis maximè noxia eſt. Torret itẽ in olla, indito operculo, quæ in furnũ demittatur.

Sumi

ἀφαιροῦσι δὲ καὶ σῦκας ὀπτηθέντες ἐν θερμοσποδιᾷ, καὶ μετὰ μαινίδων κεφαλῶν κεκαυμένων ἐπιτεθέντες· καέντες δὲ καὶ μιχθέντες ἀλκυονίῳ, ἔφηλιν καὶ οὐλὰς μελαίνας ἀποκαθαίρουσιν ἐν ἡλίῳ καταχριόμενοι. Σὺν ὄξει δὲ ἑφθοὶ βιβρωσκόμενοι ποιοῦσι πρὸς ῥήγματα. φυλάσσεσθαι δὲ αὐτῶν τὸ πλῆθος ἐν τῇ βρώσει δεῖ διὰ τὸ ἅπτεσθαι τοῦ νευρώδους.

Περὶ Βολβοῦ. Κεφ. σα.

Βολβὸς ὁ καλούμενος ἐμετικὸς, ἔχει τὰ φύλλα ἱμαντωδέστερα, καὶ πολλῷ μακρότερα τοῦ ἐδωδίμου· ῥίζαν ἐοικυῖαν βολβῷ, περὶ ὃν φλοιὸς μέλας. αὕτη ἐσθιομένη καθ' αὑτὴν καὶ τὸ ἀφέψημα αὐτῆς πινόμενον. τὰ περὶ κύστιν ἰᾶται καὶ ἔμετον κινεῖ.

Περὶ Σκίλλας. Κεφ. σβ.

Σκίλλα δύναμιν ἔχει δριμεῖαν καὶ πυρωτικήν· πολύχρηστος δὲ γίνεται ὀπτηθεῖσα. στεατὶ δὲ ἢ πηλῷ περιπλάσσεται, καὶ δίδοται εἰς κλίβανον, ἢ ἀνθραξὶν ἐγκρύπτεται μέχρις ἂν ὀπτηθῇ ἱκανῶς τὸ περικείμενον στέαρ. οὗ περιαιρεθέντος, εἰ μὴ τακερὰ γένηται, ἕτερον στέαρ ἢ πηλὸν περιπλάσαντες, τὰ αὐτὰ ποιήσομεν· ἡ γὰρ μὴ οὕτως ὀπτηθεῖσα, βλαβερὰ τὴν δόσιν, πρὸς τὰ ἐντόσθια μάλιστα προσφερομένη. ὀπτᾶται δὲ καὶ ἐν χύτρᾳ πεπωμασμένη καὶ καθιεμένη εἰς κλίβανον.

καμ-

λαμβάνεται δὲ αὐτῆς τὸ μεσαίτατον τῶν ἔξωθεν περιαιρουμένων, καὶ ἕψεται δὲ ἐντμηθεῖσα ἀποχεομένου τοῦ προσφάτου ὕδατος, ἑτέρου τε ἐπιχεομένου ἄχρις ἂν μὴ πικρὸν ἢ δριμὺ γένηται τὸ ὕδωρ. καὶ ξηραίνεται δὲ ἐν σκιᾷ,* τμηθεῖσα, καὶ διαιρεθεῖσα λιναρίῳ, ὡς μὴ ἅπτεσθαι ἀλλήλων τοὺς τόμους. τῇ μὲν οὖν τμητῇ, εἰς ἔλαιον καὶ οἶνον καὶ ὄξος σκιλλητικὸν χρώμεθα. πρὸς δὲ ῥαγάδας τὰς ἐν ποσὶ, τὸ ἔνδον τῆς ὠμῆς σὺν ἐλαίῳ ζεσθὲν, ἢ σὺν ῥητίνῃ τηχθὲν, ἐπιτίθεται· ἐχιοδήκτοις δὲ κατάπλασμα ἑψηθεῖσα σὺν ὄξει. τῆς δὲ ὀπτῆς πρὸς ἓν μέρος τῆς σκίλλης, συνλεαίναντες ἁλῶν ὀπτῶν μέρη ὀκτὼ, δίδομεν κοχλιάριον ἓν ἢ δύο νήστεσι πρὸς μάλαξιν κοιλίας· εἰς ποτήματά τε καὶ ἀρωματικὰς δυνάμεις, καὶ ἐφ' ὧν οὔρησιν κινῆσαι θέλομεν, καὶ ἐπὶ ὑδρωπικῶν καὶ στομαχικῶν, οἷς ἐπιπολάζει τὰ σιτία, καὶ ἐπὶ ἰκτέρῳ στροφουμένων, βηττόντων χρονίως, ἀσθματικῶν, ἀναφορικῶν, αὐτάρκης δὲ ὁλκὴ τριώβολον σὺν μέλιτι ἐκλειχθεῖσα. καὶ συγκαθέψεται δὲ τῷ μέλιτι, καὶ βιβρώσκεται πρὸς τὰ αὐτὰ μάλιστα, πέψει συνεργοῦσα. ἄγει δὲ, γλοιώδες κατὰ κοιλίαν. ἑφθὴ δὲ πρὸς τὰ αὐτὰ ποιεῖ ὁμοίως λαμβανομένη. φυλάττεσθαι δὲ καὶ αὐτῆς τὴν δόσιν δεῖ ἐφ' ὧν ἑλκωσίς τις ἐστὶν ἐντός.

Sumi etiã ſolet quod maximè eſt mediũ, direptis viuotenus tunicis, quod fruſtatim confectũ coquitur, mutata ſæpius aqua, donec ipſa nec amaritudinẽ nec acrimoniã habeat: traiectáq; lino fruſta ſiccantur in vmbra, ita vt ne vlla quidẽ parte ſe cõtingãt: his ſcillæ ſegminibus ad oleum, vinum, aut acetum ſcillinum vtimur. Ad rimas pedũ, interna pars crudæ ſcillę in oleo ferueſacta, aut cũ reſina liquefacta, imponitur: decocta in aceto demorſis à vipera, cataplaſma eſt. Ad ſingulas aſſæ parteis adiectis octonis toſti ſalis, cochlear vnũ aut alterũ damus ieiunis, ad emolliendã aluum: in potu autẽ & odoratis medicaminibus, & quibus vrinam ciere volumus, hydropicíſque & ſtomachicis, quibus innatat cibꝰ, regio morbo, torminibus, in tuſsi vetere, ſuſpirioſis, & ore reiicientibus tres obolos, ĩ delinctu ex melle ſumpſiſſe ſatis eſt. Coquitur cũ melle, & eſtur eorundẽ gratia, maximè vt cõcoctionẽ adiuuet. Strigmenta per aluũ extrahit. Cocta & ſimili ſumpta modo, eoſdem præbet effectus: ſed cauẽdus ſcillæ vſus, his qui inteſtinum ſentiunt vlcus.

Ad penſiles verrucas & perniones, toſta efficaciter illinitur. Tritum ſemen, & in carica aut melle deuoratum, aluum emollit. Scilla tota in limine ianuæ ſuſpéſa, mali medicamenti noxam arcet.

De Pancratio.

Cap. CCIII.

Pancratiū, quod aliqui ſcillam appellāt, radice eſt magni bulbi, ſubrufo colore aut ſuppurpureo, guſtu amaro ac feruēte: foliis lilij, ſed longioribus. Scillæ vires & præparationem habet, eodémque pondere in morbis efficaciter aſſumitur: cui tamen mitior quàm ſcillæ facultas ineſt. Radicis ſuccus cum erui farina digeritur in paſtillos, qui hydropicis ſpleniciſq; cum hydromelite, commodiſsimè dantur.

Capparis. Cap. CCIIII.

Capparis aculeatꝰ frutex eſt, qui in terra ſtratus, magis in orbē euagatur: ſpinas, vt rubꝰ, habet, in hami modū adūcas: folia mali cotoneæ, rotunda: fructū oleę ſimilē, qui cū dehiſcēs pāditur, florē candidū promit: quo excuſſo, nōnihil glādis oblōgę figura inuenitur, qđ apertū grana acinis punicorū ſimilia, oſtendit, parua, rubicunda: radi-

καὶ πρὸς ἀκροχορδόνας ποιεῖ καὶ χιμέτλα ἐγχρισθεῖσα ὀπτή. τὸ δὲ σπέρμα αὐτῆς λεῖον ἀναληφθὲν ἐν ἰσχάδι ἢ μέλιτι καὶ βρωθὲν, μαλάττει κοιλίαν. ἔστι δὲ καὶ ἀλεξιφάρμακον ὅλη πρὸ τῶν θυρῶν κρεμαμένη.

Περὶ Παγκρατίου. Κεφ. σγʹ.

Παγκράτιον, οἱ δὲ καὶ τοῦτο σκίλλαν ὀνομάζουσι, ῥίζα ἐστὶ βολβῷ μεγάλῳ ὁμοία ὑπόπυρρος ἢ ὑποπόρφυρος, πικρὰ καὶ πυρώδης τὴν γεῦσιν· φύλλα κρίνῳ ὅμοια, μακρότερα δέ. ἔχει δὲ δύναμιν τὴν αὐτὴν τῇ σκίλλῃ, καὶ σκευασίαν, καὶ δόσιν ποιοῦσαν ἐπὶ τῶν αὐτῶν παθῶν· ἐπιεικεστέρα μέντοι τῆς σκίλλης ἡ ταύτης δύναμις. ὅθεν καὶ χυλιζομένη ἡ ῥίζα ταύτης, μιγνυμένη τε ὀροβίνῳ ἀλεύρῳ καὶ ἀναπλασσομένη εἰς ἀρτίσκους, δίδοται σὺν ὑδρομέλιτι σπληνικοῖς καὶ ὑδρωπικοῖς ὠφελίμως.

Περὶ Καππάρεως.

Κεφ. σδʹ.

Κάππαρις θάμνος ἐστὶν ἀκανθώδης, ἐπὶ γῆς κυκλοειδῶς ἐστρωμένος· ἀκάνθας ἀγκιστροειδεῖς ἔχων ὡς βάτος· φύλλα στρογγύλα, μηλέᾳ κυδωνίᾳ ὅμοια· καρπὸν δὲ οἷον ἐλαίας ὃς ἀνοιχθεὶς λευκὸν προΐεται ἄνθος· οὗ πεσόντος, εὑρίσκεταί τι οἷον βάλανος ἐπιμήκης, ὅπερ ἀνοιχθὲν ἔχει κόκκους ὥσπερ ῥοιᾶς, μικροὺς ἐρυθρούς· ῥίζας

ῥίζας ξυλώδεις καὶ μεγάλας πλείστας. φύεται τουπίπαν ἐν τραχέσι καὶ λεπτογείοις τόποις, καὶ νήσοις καὶ οἰκοπέδοις. ταριχεύεται δὲ ὁ καυλὸς αὐτῆς καὶ ὁ καρπὸς εἰς βρῶσιν. ταράττει δὲ κοιλίαν, κακοστόμαχός τε ἐστὶ καὶ διψώδης· βρωθεῖσα δὲ ἑφθὴ, εὐστομαχωτέρα τῆς ὠμῆς. ὁ μὲν οὖν καρπὸς αὐτῆς σπλῆνα τήκει, ὁλκὴ δυοῖν < μετ᾽ οἴνου πινόμενος ἐπὶ ἡμέρας μ΄, ἄγει δὲ οὖρον καὶ διαχώρημα αἱματῶδες· ἰσχιάδι τε καὶ παραλύσει βοηθεῖ πινόμενος ὁ καρπὸς, καὶ πρὸς ῥήγματα καὶ σπάσματα· ἔμμηνά τε ἄγει καὶ ἀποφλεγματίζει. καὶ ὀδόντων πόνον παύει ὁ καρπὸς σὺν ὄξει ἑψόμενος καὶ διακλυζόμενος. τῆς δὲ ῥίζης ὁ φλοιὸς ξηρὸς, πρός τε τὰ προειρημένα ἁρμόζει, καὶ ἀνακαθαίρει πᾶν χρόνιον καὶ ῥυπαρὸν καὶ τετυλωμένον ἕλκος. καταπλάσσεται δὲ καὶ ἐπὶ τῶν σπληνικῶν σὺν ὠμηλύσει· δακνομένη τε τῷ πονοῦντι ὀδόντι βοηθεῖ· ἀλφοὺς δὲ λευκοὺς ἀποσμήχει σὺν ὄξει λεία. τὰ δὲ φύλλα καὶ ἡ ῥίζα λειανθέντα, σκληρίας καὶ χοιράδας διαφορεῖ. σκώληκας δὲ τοὺς ἐν ὠσὶν ὁ χυλὸς ἐγχυματισθεὶς κτείνει. Η μέντοι λιβυκὴ κάππαρις, γινωμένη δὲ κατὰ τοὺς μαρμαρίτας λεγομένους, ἐμπνευματοῖ ἰσχυρῶς. ἐμετικὴ δὲ τυγχάνει ἡ ἐν ἀπουλίᾳ, ἡ δὲ ἐκ τῆς ἐρυθρᾶς θαλάσσης καὶ λιβύης, δριμυτάτη. φλυκταί-

radices lignoſas ſpargit, grandes numeroſasque. Tenui plerunque ſolo, aſperiſq; locis, in inſulis & iuxta rudera naſcitur. Caulis & fructus, cibi gratia condiuntur: aluum turbat, ſtomacho aduerſatur, ſitim gignit: cocta tamen ſtomacho quàm cruda vtilior eſt. Fructus drachmis duabus in vino potus, quadraginta diebus, lienẽ abſumit, & vrinã cruentumq; excrementum emittit: bibitur vtiliſsimè in coxarũ doloribus, & neruorum reſolutione, item ruptis & cõuulſis: menſes ciet, caput purgat. Dentium dolorẽ ſedat ſemen ex aceto decoctũ, colluto inde ore. Aridus radicis cortex ad eadẽ proficit: vlcera omnia vetera, & ſordida, & quæ occaluerunt, expurgat: lienoſis cum farina hordei illinitur: dente demorſa, dolori eius auxiliatur: cum aceto trita, vitiligines albas abſterget. Radix foliáque intrita, ſtrumas ac duritias diſcutiunt. Aurium vermiculos infuſus ſuccus enecat. Aphrica, & præſertim Marmarica capparis, vehementer inflat. Apula vomitus facit. & quæ à Libyco, & quæ Rubro mari defertur, mirum in modum acris eſt: ſiqui-

ſiquidem in ore puſtulas excitat, gingiuaſque oſſe tenus exeſt: quare in cibis non ab re damnatur.

Lepidium. Cap. CCV.

Lepidium aliqui gingidium vocant, herbula vulgo nota: muria cum lacte ſeruatur. Vis foliorum acris & exulcerans: quapropter iſchiadicis trita, præſentiſsimum eſt auxilium, ſi cum helenij radice, quarta parte horæ, illinatur: lienoſis ſimili modo prodeſt. lepras eximit. Radix appenſa collo, dolore dentium liberare exiſtimatur.

Ranunculum. Cap. CCVI.

Complura ranunculi genera. vis tamen omnibus vna, acris, & vehementer exulcerãs. Nam vnũ coriandri foliis conſtat, latioribus, ſubalbidis, pinguibus: flore luteo, interdum purpureo: caule gracili, cubitum alto: radice alba, exigua, amaráque, multis capillamentis, hellebori modo, fibrata: naſcitur in limitibus humidis. Alterum lanuginoſius, longiori caule, pluribus foliorum inciſuris, plerunque in Sardinia proueniens, quam acerrimum, quod ſylueſtre apium appellant. Tertium minimum,

odore

φλυκταίνουσα τὸ στόμα, καὶ κατεσθίουσα τὰ οὖλα ἄχρι γυμνώσεως· ὅθεν πρὸς βρῶσιν ἐστὶν ἀνεπιτήδειος.

Περὶ Λεπιδίου. Κεφ. σε΄.

Λεπίδιον, ὃ ἔνιοι γιγγίδιον καλοῦσι, γνώριμον βοτάνιον· ταριχευόμενον εἰς ἁλμαίας μετὰ γάλακτος. Δύναμις δέ ἐστι τῶν φύλλων δριμεῖα, ἑλκωτική· ὅθεν ἰσχιαδικόν ἐστιν ἐπίπλασμα, ἀμυντικώτατον· λεῖον σὺν ἑλενίου ῥίζῃ ἐπιτιθέμενον πρὸς τέταρτον ὥρας, καὶ ἐπὶ σπληνικῶν ὁμοίως· ἀφίστησι δὲ καὶ λέπρας. ἡ δὲ ῥίζα δοκεῖ ὀδόντων ἀλγήματα παραιτεῖσθαι, περιαπτομένη τῷ τραχήλῳ.

Περὶ Βατραχίου. Κεφ. σς΄.

Βατράχιον, οἱ δὲ, σέλινον ἄγριον καλοῦσι· τούτου πλείονα μέν ἐστιν εἴδη. Δύναμις δὲ μία δριμεῖα, καὶ ἄγαν ἑλκωτική. ἔχει δὲ τὸ μὲν αὐτῶν, φύλλα ὅμοια κορίῳ, πλατύτερα δὲ καὶ ὑπόλευκα καὶ λιπαρά· ἄνθος μήλινον, ἐνίοτε πορφυροῦν· καυλὸν δὲ οὐ παχὺν, ὕψος δὲ ὅσον πήχεως· ῥίζαν μικρὰν, λευκὴν, πικρὰν, ἔχουσαν ἀποφύσεις ὡς ἐλλεβόρου· φύεται δὲ παρὰ ῥείθροις. Ἔστι δὲ καὶ ἕτερον εἶδος χνοωδέστερον, καὶ μακροκαυλότερον, ἐντομὰς ἔχον πλείους τῶν φύλλων, πλεῖστον ἐν σαρδωνίᾳ γινόμενον, δριμύτατον, ὃ δὴ καὶ σέλινον ἄγριον καλοῦσι. καὶ τρίτον σφόδρα μικρὸν

καὶ

καὶ δύσοσμον, τὸ ἄνθος χρυσῷ ὅμοιον. καὶ τέταρτον ἐοικὸς τούτῳ, ἄνθος γαλακτίζον. Δύναμιν δὲ ἔχει τὰ φύλλα καὶ οἱ καυλοὶ ἁπαλοὶ καταπλασσόμενοι, ἑλκωτικὴν καὶ ἐσχαρωτικὴν μετὰ πόνου· ὅθεν ὄνυχας λεπροὺς καὶ ψώρας ἀφίστησι, καὶ στίγματα ἐξαίρει, καὶ μυρμηκίας καὶ ἀκροχορδόνας καὶ ἀλωπεκίας πρὸς ὀλίγον καταπλασθέντα. ἑψόμενα δὲ κατάντλημα χιμετλιώντων ἐστὶ χλιαρόν. ἡ δὲ ῥίζα πταρμὸν κινεῖ ξηρὰ λεία προσφερομένη τοῖς μυκτῆρσι· καὶ ὀδονταλγίας κουφίζει προσαπτομένη, θρύπτει μέντοι αὐτούς.

Περὶ Ἀνεμώνης. Κεφ. σζ΄.

Ἀνεμώνη, διττή, ἡ μὲν, ἀγρία, ἡ δὲ ἥμερος· καὶ τῆς ἡμέρου. ἡ μέν τις φοινικᾶ φέρει τὰ ἄνθη· ἡ δὲ, ὑπόλευκα ἢ γαλακτίζοντα, ἢ πορφυρᾶ. φύλλα δὲ κοριοειδῆ, λεπτοσχιδέστερα πρὸς τῇ γῇ· καυλία * χνοώδη λεπτὰ, ὑπὲρ ὧν τὰ ἄνθη ὥσπερ μήκωνος, καὶ μέσα κεφάλια μέλανα, ἢ κυανίζοντα· ῥίζα κατὰ μέγεθος ἐλαίας ἢ μείζων, οἱονεὶ γόνασι διειλημμένη. ἡ δὲ ἀγρία κατὰ πάντα μείζων τῆς ἡμέρου, καὶ τοῖς φύλλοις πλατυτέρα καὶ σκληροτέρα· τήν τε κεφαλὴν ἐπιμηκεστέραν ἔχει· ἄνθος φοινικοῦν, ῥίζια λεπτὰ καὶ πλείω. ἡ δέ τις ἔχει φύλλα μέλανα δριμυτέρα οὖσα.

Δύνα-

odore graui, flore aureo. Quartũ huic ſimile, flore lacteo. Folia, flores & cauliculi recentes, illitu exulcerant, & cruſtas nõ ſine dolore gignunt: quare vngues ſcabros extricant, ſcabiẽ eximunt, ſtigmata delent: formicantes verrucas, & penſiles, alopeciáſq; pauliſper illita, tollunt. Tepente decocto perniones fouentur. Sicca radix, tritáque, ſternutamenta ciet, naribus admota: dentium dolorem appenſa leuat, ipſos tamen frangit.

Anemone. Cap. CCVII.

Duo anemones genera, vnũ ſylueſtre, alterum in cultis naſcens. Cuius multæ ſpecies: vna phœniceũ florẽ profert: altera candicantẽ, aut lacteũ, aut purpureũ. harũ folia coriãdro ſimilia cæterũ ſciſſa tenuius in terrã, inclinãtur: caules lanuginoſi, tenues, in quib⁹ flores aut papaueris, & in medio capitula nigra, aut cœrulea: radix oleæ magnitudine, aut ampli⁹ paulo grãdeſcit, ac veluti geniculis q̃buſdã cingitur. Sylueſtri amplitudo prorſus maior, latioráq; folia, & duriora: oblongius caput: flore puniceo, tenuibus, & multis radicũ capillamẽtis. Acrior eſt, quę nigra habet folia.

Vis vtriuſque acris: ea de cauſa ſuccus naribus infuſus, purgat caput. Commanducata radix pituitam trahit: decocta in paſſo & illita, medetur oculorum inflammationibus: cicatrices eorundem & hebetudines emendat, ſordida vlcera abſtergit. Folia, & caules, ſi cum ptiſana decocti edantur, copiam lactis præbent: menſtrua ciunt, vellere appoſita. Illita quoque lepras eximunt. Sunt qui errore ducti, argemonem nominari eupatorium putent: quoniam à ſylueſtri anemone, argemonem & papauer, quod rhoeada appellant (de quo inter papaueris genera referemus) propter colorum cognationem in floribus, diſtinguere non poſſunt. Verum papauer & argemone colore minus ſaturato ſpectantur, & vtráque tardius floret. Quinetiam argemone croceum ſuccum, guſtu admodum acré, reddit: rhoeas verò candidiorem & acrem. Inſuper anemone & rhoeadi capitula ſylueſtris papaueris ſimilia inſunt, ſed in anemone ſupernè craſsiuſculũ, in rhoeade ſubãguſtiꝰ. Anemones genera nec ſuccũ remittũt, nec

Δυνάμιν δὲ ἔχουσι δριμεῖαν ἀμφότεραι· ὅθεν ὁ χυλὸς τῆς ῥίζης αὐτῆς ῥινὶ ἐγχυθεὶς, πρὸς κεφαλῆς κάθαρσιν ἁρμόζει. μασσηθεῖσα δὲ ἡ ῥίζα, φλέγμα ἄγει· ἑψηθεῖσα δὲ ἐν γλυκεῖ καὶ καταπλασσομένη, ὀφθαλμῶν φλεγμονὰς ἰᾶται· καὶ τὰς ἐν ὀφθαλμοῖς οὐλὰς καὶ ἀμβλυωπίας ἀποσμήχει, ἀνακαθαίρει δὲ καὶ τὰ ῥυπαρὰ τῶν ἑλκῶν· τὰ δὲ φύλλα καὶ οἱ καυλοὶ συνεψηθέντες πτισάνῃ καὶ ἐσθιόμενα, γάλα κατασπᾷ· ἐν προσθέτῳ δὲ ἔμμηνα ἄγει· καταπλασθέντα δὲ λέπρας ἀφίστησιν. Ενιοι δὲ μὴ δυνάμενοι διορίζειν ἀπὸ τῆς ἀγρίας ἀνεμώνης, τὴν λεγομένην * ἀργεμώνην καὶ τὴν ῥοιάδα μήκωνα (περὶ ἧς ἐν ταῖς μήκωσιν ἱστορήσομεν,) διὰ τὸ τῶν ἀνθῶν ὁμόχροον φοινικοῦν ὑπάρχον, πλανῶνται τὴν ἀργεμώνην εὐπατώριον ὀνομάζοντες. πλὴν τῆς ἀργεμώνης ἧττον βαθὺ τὸ φοινικοῦν ἐστι καὶ τῆς ῥοιάδος, ὀψιαίτερον * δὲ αὕτη καὶ ἡ ἀργεμώνη ἀνθοῦσι. καὶ ἡ μὲν ἀργεμώνη ὀπὸν ἀνίησι κροκίζοντα καὶ δριμὺν πρὸς τὴν γεῦσιν ἰσχυρῶς· ἡ δὲ ῥοιὰς λευκότερον καὶ δριμύν. ἀμφότεραι δὲ μεταξὺ κεφάλια μήκωνι ἀγρίᾳ παραπλήσια ἔχουσι, πλὴν τὸ μὲν * τῆς ἀνεμώνης ἄνωθεν ὑπόπαχυ, τὸ δὲ τῆς ῥοιάδος ὑπόστενον. αἱ δὲ ἀνεμῶναι οὔτε ὀπὸν ἀνιᾶσιν.

οὔτε

οὔτε κωδίαν ἔχουσιν, ἀλλ' οἱονεὶ ἀσπαράγου ἄκρον. ἐν ἀρούραις τε τὸ πλεῖον ἐκεῖναι φύονται.

Περὶ Ἀργεμώνης. Κεφ. σή.

Ἀργεμώνη* ὅλον μὲν ἐστὶ ὅμοιον ἀγρίᾳ μήκωνι· τὸ δὲ φύλλον ἀνεμώνῃ ἔχει ὅμοιον· ἄνθος ἐσχισμένον· καυλὸν φοινικοῦν, κεφαλὴν δὲ ἐοικυῖαν μήκωνι ῥοιάδι, ἐπιμηκεστέραν δὲ καὶ πλατεῖαν κατὰ τὰ ἄνωθεν μέρη· ῥίζαν στρογγύλην· ὀπὸν δὲ ἀνίησι κροκίζοντα, δριμύν. καθαίρει δὲ ἄργεμα καὶ νεφέλια. καὶ φλεγμονὰς παρηγορεῖ τὰ φύλλα καταπλασσόμενα.

Περὶ Ἀναγαλλίδος. Κεφ. σθ'.

Τῆς ἀναγαλλίδος διττὸν εἶδος ἐστὶ, διαφέρον ἄνθει. ἡ μὲν γὰρ κυάνεον ἔχουσα τὸ ἄνθος, θήλεια λέγεται· ἡ δὲ τὸ φοινικοῦν, ἄρρην. θαμνία δὲ ἐστὶ κεχυμένα ἐπὶ γῆς, φύλλα ἔχοντα ἐπὶ τετραγώνων καυλίων μικρά, ὑποστρόγγυλα πρὸς τὰ τῆς ἑλξίνης· καρπὸν περιφερῆ. εἰσὶ δὲ ἀμφότεραι πραϋντικαί· ἀφλέγμαντοι, σκολόπων ἐπισπαστικαί, νομῶν ἐφεκτικαί. ὁ δὲ χυλὸς αὐτῶν ἀναγαργαριζόμενος, ἀποφλεγματίζει κεφαλήν· καὶ ῥισὶν ἐγχεόμενος, ὀδόντων πόνον παύει, ἐὰν εἰς τὸν ἀντικείμενον μυξωτῆρα τῷ ἀλγοῦντι ἐμβληθῇ· καθαίρει καὶ ἄργεμα μετὰ μέλιτος ἀττικοῦ. καὶ ἀμβλυωπίαις βοηθεῖ.

ὠφε-

nec calyces habent, ſed quaſi aſparagi cacumen. In aruis illa ſæpius enaſcuntur.

Argemone. Cap. CCVIII.

Argemone in totũ ſylueſtri papaueri ſimilis eſt: folia habet anemones, diuiſa: florem puniceum: caput in cauliculo papaueris rhœadis, oblongius, & ſummis partibus latum: radicem rotundam: ſuccum croci colore, acrem, dimittit. Argema & nubeculas expurgat. Folia illitu inflammationes compeſcunt.

Anagallis. Cap. CCIX.

Duo anagallidis genera, quę tantũ flore diſtãt. Nã quæ cœruleo flore eſt, fœmina dicitur: mas, quæ phœniceo. Frutices ſunt parui, in terra iacẽtes, foliis in quadrangulo cauliculo puſillis, ſubrotundis, ad helxinæ folia accedentibus: femine rotundo. Vtraque mitigandi vim habet: inflammationem arcet, adactos corpori aculeos extrahit, nomas cohibet. Succus caput gargarizatu purgat: & naribus infuſus, dolorem dentium lenit, ſi in aduerſam narem iniiciatur: argema cum melle Attico emendat: retuſæ, oculorum aciei auxiliatur:

contra viperarum morſus, iocineris & renum vitia, ſi ex vino bibatur, prodeſt. Tradunt eam quæ cœruleum ædit florem, prociduam ſedem reprimere: quæ verò phœniceum, illitu euocare.

Hedera. Cap. C C X.

Hedera differẽtias multas in ſpecie ſortitur, ſummas autem genere treis. Nam quædã candida eſt, altera nigra, tertia helix. Candida, fructum fert candidum: nigra, nigrum, aut croci æmulum, quam vulgus Dionyſiam vocat: helix fructum non gignit, ſed albas habet viticulas, & folia parua, anguloſa, & concinniora. Hedera omnis acris eſt, & adſtringens: neruos tentat. Flos trium digitorum carptu, facit ad dyſentericos, in vino bis die potus: ambuſtis cum cerato tritus illinitur. Recentia folia ex aceto cocta, aut cruda cum pane detrita, lienes ſanant. Foliorum & corymborum ſuccus, cum irino vnguento, melle aut nitro, naribus infunditur, & contra veteres capitis dolores caput eo cum aceto, & roſaceo perfundi vtile eſt: purulentis auribus, aut dolẽtibus, cum oleo medetur.

Nigræ

ὠφελεῖ καὶ ἐχιοδήκτοις μετ᾽ οἴνου πινόμενος, καὶ νεφριτικοὺς, καὶ ἡπατικούς. φασὶ δὲ ἔνιοι τὴν μὲν ἔχουσαν τὸ κυανέον ἄνθος, προπτώσεις δακτυλίου στέλλειν. τὴν δὲ τὸ φοινικοῦν ἐρεθίζειν καταπλασθεῖσαν.

Περὶ κισσοῦ. Κεφ. σι.

Κισσὸς πολλὰς ἔχει διαφορὰς τὰς κατ᾽ εἶδος, τὰς δὲ γενικωτάτας τρεῖς. * λέγεται γὰρ ὁ μέν τις λευκὸς, ὁ δὲ, μέλας ὁ δὲ, ἕλιξ. ὁ μὲν οὖν λευκὸς, φέρει τὸν καρπὸν λευκόν· ὁ δὲ μέλας, μέλανα ἢ κροκίζοντα, ὃν δὴ καὶ ἰδιῶται διονύσιον καλοῦσιν· ὁ δὲ ἕλιξ ἄκαρπός ἐστι, καὶ λευκὰ ἔχει τὰ κλήματα, καὶ τὰ φύλλα λεπτὰ καὶ γωνιώδη καὶ ἐρυθρά. πᾶς δὲ κισσὸς, δριμύ ἐστι, στυπτικός· τοῦ νευρώδους ἁπτικός. ποιεῖ δὲ αὐτοῦ τὰ μὲν ἄνθη τρισὶ τοῖς δακτύλοις ληφθέντα καὶ ποθέντα ἐν οἴνῳ, πρὸς δυσεντερικοὺς, δὶς δὲ τῆς ἡμέρας δεῖ πίνειν· καὶ πρὸς πυρίκαυτα δὲ ἁρμόζει σὺν κηρωτῇ λεανθέντα. τὰ δὲ ἁπαλὰ τῶν φύλλων σὺν ὄξει ἑψόμενα, ἢ ὠμὰ ἄρτῳ συλλειανόμενα, σπλῆνα ἰῶνται. ῥινεγχυτοῦται δὲ ὁ χυλὸς τῶν φύλλων καὶ τῶν κορύμβων σὺν ἰρίνῳ, ἢ μέλιτι, ἢ νίτρῳ, καὶ πρὸς τὰ χρόνια τῆς κεφαλῆς ἀλγήματα ἁρμόζει, καὶ ἐπιβρέχεται σὺν ὄξει καὶ ῥοδίνῳ· ὠταλγίας δὲ καὶ πυορροοῦντα ὦτα σὺν ἐλαίῳ ἰᾶται.

τὸ δὲ

τοῦ δὲ μέλανος κισσοῦ ὁ χυλὸς καὶ οἱ κόρυμβοι ποθέντες, ἀτονίαν ποιοῦσι, καὶ ταράσσουσι τὴν διάνοιαν πλεονασθέντες. λεῖα δὲ σφαιρεῖα πέντε τῶν κορύμβων θερμανθέντα σὺν ῥοδίνῳ ἐν σιδίῳ καὶ ἐνσταχθέντα εἰς τὸ ἀντικείμενον οὖς ἐπὶ ὀδονταλγίας, τὸ ἄλγημα πραΰνει. μελαίνουσι δὲ καὶ τὰς τρίχας οἱ κόρυμβοι. καταπλάσσεται δὲ τὰ φύλλα πρὸς πᾶν ἕλκος ἑψηθέντα σὺν οἴνῳ καὶ καταπλασσόμενα, κατακαύματα κακοήθη, καὶ ἐφήλιδας θεραπεύει ὡς προείρηται ἑφθά. κινοῦσι δὲ καὶ καταμήνια προστεθέντες οἱ κόρυμβοι λεῖοι· καὶ ποθέντες δὲ μετὰ τὴν κάθαρσιν < πλῆθος, ἀτόκιόν ἐστι. καὶ ὁ μόσχος δὲ τῶν φύλλων μέλιτι δευθεὶς καὶ προστεθεὶς τῇ μήτρᾳ, ἔμμηνα ἄγει καὶ ἔμβρυα. ὁ δὲ χυλὸς ἐνσταζόμενος τὰς ἐν τοῖς ῥώθωσι δυσωδίας καὶ σηπεδόνας ἐκκαθαίρει. τὸ δὲ δάκρυον αὐτοῦ ψιλοῖ τρίχας· καὶ κτείνει φθεῖρας ἐπαλειφόμενον. ὁ δὲ τῶν ῥιζῶν χυλὸς σὺν ὄξει ποθείς, φαλαγγιοδήκτοις βοηθεῖ.

Περὶ Χελιδονίου τοῦ μεγάλου. Κεφ. σιά.

Χελιδόνιον μέγα καυλὸν ἀνίησι πηχυαῖον, ἢ καὶ μείζονα, ἰσχνόν, ἔχοντα παραφυάδας φύλλων μεστάς. φύλλα ὅμοια βατραχίῳ, τρυφερώτερα μέντοι

τὰ

Nigræ hederæ ſuccus, aut epoti corymbi, corpus infirmant, mentémque turbant largius ſumpti. Acini quinque triti, calfactíque in punici mali cortice cum roſaceo, ſi inſtillentur à contraria aure, dolorem dentium mitigant. Denigrant capillum, illiti corymbi. Folia in vino decocta, illinuntur omnium vlcerum generi, etiam ſi cacoëthe ſint: vitia cutis in facie, & ambuſta ſanant, vti anteà diximus, decocta. Mouent menſes triti & ſubditi corymbi: iidem poti, poſt purgationes fœminarum, drachmæ pondere, concipiendi ſpem adimunt. Pediculus foliorum melle irrigatus, ac vuluæ inditus, menſtrua & partus extrahit. Inſtillatus ſuccus putrida tædia narium, graueolentiámque emendat, & ſanitati reſtituit. Lachryma hederæ pſilothrum eſt: illitu pediculos enecat. Succus radicum in aceto potus, contra phalangia prodeſt.

Chelidonium. Cap. CCXI.

Chelidonium maius, caule eſt gracili, cubitali aut altiore, agnatis folioſis: foliis ranunculi, mollioribus tamen,

&

& colore cæſiis: flore violæ albæ, ſecundum ſingula folia prodeunte: in eo ſuccus croci, mordax, acris, & aliquantulum ſubamarus, grauiter olens: radix ſupernè ſingularis, infernè in multa crocea capillamenta fibratur: ſiliqua, ceu corniculati papaueris, tenuis, in metæ figuram longa, in qua ſemen papauere maius recluditur. Succus in æreo vaſe, cũ melle prunis decoctus, oculis claritatem adfert. Foliis, caule, radice, ſuccus exprimitur ineunte æſtate, & ſiccatus in vmbra digeritur in paſtillos. Radix cum aniſo & vino albo pota, medetur regio morbo, & vlceribus quæ ſerpunt: impoſita cum vino, aut manducata dentium dolorem ſedat. Hoc nomen ſibi videtur vendicaſſe, quòd aduentu hirundinum exoriatur, & diſceſſu emarceſcat. Sunt qui narrant, hirundines matres excæcatis pullis, admota herba viſum reſtituere.

Chelidonium minus.

Cap. CCXII.

Chelidonium minus, quod triticum ſylueſtre aliqui nuncuparũt, herbula pediculis ab radice pédens, ſine caule: foliis hederæ,

τὰ τοῦ χελιδονίου καὶ ὑπόγλαυκα τὴν χρόαν, καὶ παρ' ἕκαστον φύλλον ἄνθος ὥσπερ τὸ λευκόϊον. χυλὸς δὲ κροκώδης, δριμὺς δηκτικὸς, ποσῶς ὑπόπικρος καὶ δυσώδης· ῥίζα ἄνωθεν μέν ἐστι μία, κάτωθεν δὲ πλείονες· καρπὸς δὲ ὥσπερ τῆς κερατίτιδος μήκωνος, λεπτὸς. μακρὸς ὡς κῶνος, ἐν ᾧ σπερμάτια μείζονα μήκωνος. Ταύτης ὁ χυλὸς μιγεὶς μέλιτι καὶ ἑψηθεὶς ἐν χαλκῷ ἐπ' ἀνθράκων ἁρμόζει πρὸς ὀξυδορκίαν. χυλίζεται δὲ τὰ φύλλα καὶ ἡ ῥίζα καὶ ὁ καρπὸς, ἀρχομένου θέρους, καὶ ξηραίνεται ἐν σκιᾷ καὶ ἀναπλάσσεται. ἡ δὲ ῥίζα πινομένη σὺν ἀνίσῳ καὶ οἴνῳ λευκῷ, ἰκτερικοὺς θεραπεύει καὶ ἕρπητας· καὶ καταπλασσομένη σὺν οἴνῳ ὀδονταλγίας τε παύει διαμασσωμένη. δοκεῖ δὲ ὠνομάσθαι χελιδόνιον, ἐπειδὴ ἅμα ταῖς χελιδόσι φαινομέναις ἀναφύεται, ληγούσαις δὲ συμπαρακμάζει. τινὲς δὲ ἱστόρησαν ὡς ἐάν τις τυφλωθῇ τῶν τῆς χελιδόνος νεοσσῶν, αἱ μητέρες προσφέρουσαι τὴν πόαν ἰῶνται τὴν πήρωσιν αὐτοῦ.

Περὶ Χελιδονίου τοῦ μικροῦ.

Κεφ. σιβ'.

Χελιδόνιον τὸ μικρὸν, οἱ δὲ πυρὸν ἄγριον ἐκάλεσαν, βοτάνιον ἐστὶν ἐκ μόσχων ἀπηρτισμένον, ἄκαυλον, φύλλοις κισσοειδέσι,

σοειδέσι, περιφερεστέροις δὲ μᾶλλον καὶ μικροτέροις, καὶ τρυφεροῖς καὶ ὑπολιπάροις περιεχόμενον· ῥίζας δὲ ἔχει ἐκ τοῦ αὐτοῦ μικρὰς πολλὰς, ὥσπερ πυροὺς σωρευμένας. τρεῖς δὲ εἰσὶν ἢ τέσσαρες αὐτῶν μακραὶ πεφυκυῖαι. φύεται δὲ παρ' ὕδασι καὶ τέλμασιν. ἔχει δὲ τὴν δύναμιν δριμεῖαν, παραπλησίαν ἀνεμώνῃ ἕλκουσαν τὴν ἐπιφάνειαν· ψώρας τε καὶ ὄνυχας λεπροὺς ἀφίστησι. αἱ δὲ ῥίζαι χυλωθεῖσαι χρήσιμοι εἰς ῥινεγχυσίαν μετὰ μέλιτος πρὸς κάθαρσιν κεφαλῆς.

Περὶ Ὀθόννης. Κεφ. σιγ΄.

Ὄθοννα οἱ μὲν φασὶ τοῦ μεγάλου χελιδονίου χυλὸν εἶναι· οἱ δὲ, γλαυκίου. οἱ δὲ, τῆς κερατίτιδος μήκωνος * τῶν ἀνθέων χυλόν.* ἔνιοι δὲ μίγμα ἀναγαλλίδος τῆς κυανέας καὶ ὑοσκυάμου καὶ μήκωνος χυλόν. οἱ δὲ βοτάνης τρωγλοδυτικῆς τινὸς, ἥ τις ὄθοννα καλεῖται, εἶναι χυλόν· γεννᾶσθαι δὲ αὐτὴν καὶ ἐν τῇ κατ' Αἴγυπτον Ἀραβίᾳ. ἔχει δὲ τὰ φύλλα εὐζώμῳ ἐμφερῆ, πολύτρητα ὥσπερ σητόκοπα, ψαφαρὰ, ὀλιγόφυλλα, ἄνθος δὲ φέρει κρόκινον, πλατύφυλλον· ὅθεν ἔδοξαν ἀνεμώνης αὐτὸ τινὲς εἶδος εἶναι. χυλίζεται δὲ καὶ εἰς τὰ ὀφθαλμικὰ ὅπου δεῖ ἀποκαθαίρειν δάκνουσα, καὶ

πάντα

hederæ, multò rotundioribus, & minorib⁹, teneris, & ſuppinguibus: radices habet ex eodẽ callo cõplures, puſillas, in granorũ tritici modũ aceruatĩ cõgeſtas: quarũ tres aut quatuor in longitudinẽ exeũt. Iuxta aquas & lacus naſcitur. Vis ei acris, & anemones modo, ſummã cutem exulcerat: pſoras & ſcabros vngues eximit. Succus radicib⁹ expreſſus ad purgandũ caput, narib⁹ ĩfunditur. Decoctũ eius cum melle gargarizatum, magnificè id præſtat, & omnia pectoris vitia extrahit.

Othonna. Cap. CCXIII.

Othõnã aliq̃ maioris chelidoniæ ſuccũ eſſe aiũt, quidã glaucij, Alij ſuccũ florib⁹ corniculati papaueris expreſſũ. Alij permiſtos cœruleæ anagallidis, hyoſcyami, & papaueris ſuccos, eſſe cõtẽdũt. Alij troglodyticæ cuiuſdã herbę ſuccũ, q̃ othõna vocat̃: naſciq; eã in eo Arabiæ tractu, qui ad Ægyptũ ſpectat. Othonna foliis erucæ, pforatis cribri modo, & veluti à tinea deroſis, ſqualore obſitis, paucis: flore croci, latifolio: quare q̃dã anemones ſpeciẽ eſſe putauerũt. Extractis ſucc⁹ oculorũ medicamẽtis adiicit̃: vbi expurgare eſt op⁹: mordet enĩ & abſterget:

abſterget omnẽ caliginẽ, quæ oculis offunditur. Tradunt humorẽ quẽdã ex herba emanare, q̃ elotus, ſemotis calculis, in paſtillos ad eadẽ digerit̃. Aliq̃ tamẽ affirmãt, lapidẽ eſſe Ægyptiũ, in Thebaide naſcentem, exigua magnitudine, æreo colore, guſtu cum feruore quodã & adſtrictione mordaci.

πάντα τὰ ἐπισκοτοῦντα ταῖς κόραις ἀποσμήχουσα. φασὶ δέ τινα καὶ ὑγρασίαν ἀπορρεῖν τῆς βοτάνης, ἣν πλύναντες καὶ χωρίσαντες τῶν λίθων, ἀναπλάσσουσι τροχίσκους πρὸς τὰ αὐτά. ἔνιοι δέ φασιν αὐτὸν λίθον εἶναι αἰγύπτιον ἐν τῇ Θηβαΐδι γεννώμενον, χαλκόχρουν, μικρὸν τῷ μεγέθει, δάκνοντα τὴν γεῦσιν μετὰ πυρώσεως καὶ στύψεως.

Auricula muris. Ca. CCXIIII.

Muris auricula, quam myoſotida vocant, herba eſt caulibus pluribus ab vna radice, aliquatenus ab imo rubẽtibus, & concauis foliis anguſtis, oblongis, dorſo acuto, elato, nigricantibus, per interualla aſsiduè geminatis, atque in mucronem deſinentibus, & tenuibus cauliculis ex alarum ſinu prodeuntibus: floſculo, vt anagallidis, cœruleo: radix digitali craſsitudine, multis capillamentis fibrata. Radix illita ægilopia ſanat. Sunt qui alſinen, muris auriculam vocitãt.

Περὶ Μυὸς ὤτων. Κεφ. σιδ΄.

Μυὸς ὦτα* οἱ δὲ μυὸς ὠτίδα καλοῦσιν, ἀνίησι καυλοὺς ἀπὸ μιᾶς ῥίζης πλείονας, ὑπερύθρους τὰ κάτωθεν καὶ κοίλους· φύλλα δὲ ἐπιμήκη καὶ στενά, ῥάχιν ἐπηρτημένην ἔχοντα μελανίζοντα, ἀνὰ δύο πεφυκότα ἐκ διαστημάτων. εἰς ὀξὺ ἀπολήγοντα. ἐκφύεταί τε λεπτὰ καυλία ἐκ τῶν μασχαλῶν· ἐφ᾽ ὧν ἀνθύλλια κυανίζοντα μικρὰ ὡς τὰ τῆς ἀναγαλλίδος· ῥίζα δὲ δακτύλου τὸ πάχος, ἔχουσα πολλὰς ἀποβλαστήσεις. καθόλου δέ ἐστιν ὁμοία ἡ πόα τῷ σκολοπενδρίῳ. λεπτοτέρα δὲ καὶ ἐλάσσων ταύτης ἡ ῥίζα καταπλασθεῖσα αἰγίλωπα ἰᾶται. τινὲς δὲ καὶ τὴν ἐλξίνην μυὸς ὠτίδα καλοῦσιν.

Glaſtum. Cap. CCXV.

Satiuũ glaſtũ, quo infectores lanarũ vtuntur, foliũ habet plãtagini ſimile, verũ pinguius nigriúsq;: cuiꝰ caulis duũ cubitorũ altitudinẽ excedit. Illita folia tumores omneis diſcutiunt, cruenta

Περὶ Ἰσάτιδος ἡμέρου. Κεφ. σιε΄.

Ἰσάτις* ἥμερος, ᾗ οἱ βαφεῖς χρῶνται φύλλον ἔχει ἀρνογλώσσῳ ἐμφερές· λιπαρώτερον δὲ καὶ μελάντερον, καυλὸν δὲ ὑπὲρ δίπηχυν. δύναται δὲ τὰ φύλλα καταπλασσόμενα πᾶν οἴδημα διαφορεῖν, καὶ

καὶ φύματα καὶ ἔναιμα τραύματα κολλᾶν. αἱμοῤῥαγίας τε στέλλειν, καὶ φαγεδαινικὰ, καὶ ἕρπητας ἐρυσιπέλατά τε καὶ σηπεδόνας θεραπεύειν.

Περὶ Ἰσάτιδος ἀγρίας. Κεφ. σιϛ´.

Ἰσάτις ἀγρία, παραπλήσια ἐστὶ τῇ πρὸ αὐτῆς, φύλλα ἔχει μείζονα πρὸς τὰ τῆς θρίδακος, καυλοὺς δὲ λεπτοτέρους πολυσχιδεῖς ὑπερύθρους, ἔχοντας ἐξ ἄκρου ὥσπερ θυλάκια γλωσσοειδῆ πολλὰ ἀποκρεμάμενα, ἐν οἷς τὸ σπέρμα, ἄνθος μήλινον λεπτόν. δύναται δὲ τὰ αὐτὰ τῇ πρὸ αὐτῆς, ὠφελοῦσα καὶ σπληνικοὺς πινομένη καὶ καταπλασσομένη.

*Περὶ Τηλεφίου. Κεφ. σιζ´.

Τηλέφιον, τοῦτο καὶ τοῖς φύλλοις καὶ τῷ καυλῷ ἔοικεν ἀνδράχνῃ· μασχάλας ἔχον δύο παρ᾽ ἕκαστον γόνυ τῶν φύλλων ἐμφυομένας. ἀφ᾽ ὧν κλωνία ϛ´. ἢ ζ´. ἀπὸ τῆς ῥίζης πλήρη φύλλων κυανοειδῶν*, παχέων τε καὶ γλίσχρων καὶ σαρκωδῶν, ἄνθη* μήλινα ἢ λευκά. φύεται δὲ ἐν ἀμπελῶσι καὶ τόποις ἐργασίμοις ἔαρος. θεραπεύει δὲ καταπλασσόμενα τὰ φύλλα ἐπὶ ὥρας ἓξ λεύκην· δεῖ δὲ μετὰ ταῦτα ὠμηλύσει χρῆσθαι. ἀλφοὺς δὲ καὶ ἀλφοὺς ἐπιχρισθέντα σὺν ὄξει ἐν ἡλίῳ, δεῖ μέντοι μετὰ τὸ ἀποξηρανθῆναι αὐτὰ ἀποψᾶν.

Τέλος τοῦ βιβλίου δευτέρου.

ΠΕΔΑ-

cruenta vulnera glutinant, ſanguinis profluuia ſiſtunt, ignem ſacrum, phagedænas, putreſcentia vlcera, & quæ ſerpunt, ſanant.

Glaſtũ ſylueſtre. Ca. CCXVI.

Sylueſtre glaſtũ ſatiuo ſimile eſt: folia fert maiora, lactucaceis proxima: caules prętenues multifidos, quadãtenus rubentes: in quorũ cacumine folliculi multi dependẽt, quandã linguarum effigiem referentes, in quibus ſemẽ flore tenui, luteo. Eadẽ q & ſuprà dicta præſtat: potu & illitu lienoſis auxiliat.

Telephiũ. Cap. CCXVII.

Telephiũ herba portulacæ ſimilis eſt, & caule, & foliis: alas binas in ſingulis foliorũ geniculis, annectit, ramuli à radice ſeni ſepténive prodeunt, foliis referti cœruleis, craſsis, lẽtis, ac carnoſis, flore luteo, aut cãdido. Naſcitur inter vites, & locis cultis vere. Folia ſenis horis illita albam vitiliginẽ ſanãt: ſed poſtea hordeacea farina illini debet, perunctã ex aceto etiam in ſole vitiliginẽ tollunt, ſed vbi inaruerũt, abſtegũtur,

Finis libri ſecundi.

PEDA-

PEDANII DIOSCORIDIS Anazarbei de medicinali materia Liber tertius.

Io. Ruellio Sueßioneñſi interprete.

SVP Erioribus chariſsimè Aree commentariis, tradidimus de aromatibus, vnguentis, oleis, arboribus, earũ frũctibus & lachrymis, itẽ de animalibus, cerealibus, oleraceis, & herbis acrimonia præditis. In hoc autem tertio radices, ſuccos, ſemina, herbas, & quæ vernacula, & inter ſe cognata cẽſentur, quæq́ue pluribus ſcatent remediis, ꝓſequemur.

Agaricum. Cap. I.

Agaricum radix fertur laſerpitij ſimilis, ſed facie ſũma ſolutior, & rariore fungoſóq; tota contextu. Duo eius genera: fœmina, quæ præfertur, rectis intus venarum diſcurſibus cõſtat. mas rotundus eſt, & vndique compactior. Vtrique guſtꝰ initio dulcis, mox ex diſtributione in amaritudinem tranſit:

gignitur

ΠΕΔΑΚΙΟΥ ΔΙΟΣΚΟΡΙΔΟΥ ΑΝΑΖΑΡΒΕΩΣ ΠΕΡΙ ΥΛΗΣ ΙΑΤΡΙΚΗΣ ΛΟΓΟΣ ΤΡΙΤΟΣ.

ΕΝ μὲν τοῖς πρὸ τούτου βιβλίοις φίλτατε Ἄρειε παρεδώκαμεν περὶ ἀρωμάτων καὶ μύρων, καὶ ἐλαίων, καὶ δένδρων, καὶ τῶν ἀπ' αὐτῶν καρπῶν τε καὶ δακρύων, ἔπι τὲ ζώων καὶ σιτηρῶν καὶ λαχάνων, καὶ τῶν δριμύτητα κεκτημένων βοτανῶν. ἐν δὲ τούτῳ τρίτῳ ὑπάρχοντι, περὶ ῥιζῶν καὶ χυλισμάτων καὶ βοτανῶν καὶ σπερμάτων, συμφύλων τὲ καὶ φαρμακωδῶν ἐπελευσόμεθα.

Περὶ Ἀγαρικοῦ. Κεφ. α΄.

Ἀγαρικὸν ῥίζα φέρεται σιλφίῳ ἐμφερής, οὐ πυκνὴ τὴν ἐπιφάνειαν ὥσπερ τὸ σίλφιον, ἀραιὰ δέ ἐστιν ὅλη. ἔστι δὲ τὸ μὲν, αὐτοῦ ἄρρεν· τὸ δὲ, θῆλυ· ὧν διαφέρει τὸ θῆλυ ἔχον κτηδόνας εὐθείας ἐντός. τὸ δὲ ἄρρεν περιφερές ἐστι καὶ πανταχόθεν συμφυές. γεῦσις δ' ἀμφοτέρα ὅμοια κατ' ἀρχὰς μὲν *γλυκάζοντα, εἶτα ἐξ ἀναδόσεως ἐμπικρα-

ίνεται

γίνεται δὲ ἐν* τῇ ἀγαρίᾳ τῆς σαρματικῆς. λέγουσι δὲ οἱ μὲν, φυτοῦ ῥίζαν εἶναι· τινὲς δὲ ἐν τοῖς στελέχεσι τῶν δένδρων κατὰ σῆψιν γίνεσθαι ὥσπερ οἱ μύκητες, γίνεται δὲ καὶ ἐν τῇ κατὰ τὴν ἀσίαν γαλατίᾳ καὶ κιλικίᾳ ἐπὶ τῶν κέδρων, εὔθρυπτον μέν τοι καὶ ἀσθενές. Τὴν μέν τοι δύναμίν ἐστι συπτικὸν, θερμαντικόν· ποιοῦν πρὸς τὰ στρόφους καὶ ὠμότητας, ῥήγματά τε καὶ πτώματα. ὀβολῶν δὲ δυοῖν πλῆθος διδόμενον μετ' οἰνομέλιτος ἀπυρέτοις· πυρέσσουσι δὲ ἐν μελικράτῳ. καὶ ἡπατικοῖς δὲ καὶ ἀσθματικοῖς, καὶ ἰκτεριῶσι καὶ δυσεντερικοῖς, καὶ νεφριτικοῖς καὶ δυσουροῦσι* καὶ ὑστερικαῖς πνιξὶ καὶ καχεξίαις < α. διδόμενον· φθισικοῖς δὲ μετὰ γλυκέως· σπληνικοῖς δὲ μετ' ὀξυμέλιτος, καὶ στομαχικοῖς ὡς ἐστι διαμασώμενον καὶ καταπινόμενον, μηδενὸς ὑγροῦ ἐπιρροφουμένου. ὁμοίως δὲ καὶ ὀξυρεγμιῶσιν, ἵστησι δὲ καὶ αἵματος ἀναγωγὰς, ὁλκὴ τριωβόλου μεθ' ὕδατος λαμβανόμενον. ποιεῖ καὶ πρὸς ἰσχίων καὶ ἄρθρων ἀλγήματα, καὶ ἐπιληψίας μετ' ὀξυμέλιτος λαμβανόμενον τὸ ἴσον πλῆθος· ἄγει δὲ καὶ ἔμμηνα, καὶ ταῖς ἐμπνευματουμέναις ὑστέραν γυναιξὶ ὠφελίμως τὸ ἴσον δίδοται· λύει δὲ καὶ ῥίγος πρὸ τῆς ἐπισημασίας διδόμενον· κα-

gignitur in Sarmatiæ regione, quæ Agaria dicit̃. Sunt qui radicem eſſe plantæ affirmēt: alij vt fungos naſci in arborū caudicibus, quadā putredine. Gignitur in Galatia Aſiæ, & Cilicia, in cedris, ſed friabile, & infirmum. Adſtringēdi calfaciēdiq; naturam habet: efficax eſt contra tormina, cruditates, & rupta: prodeſt itidē contuſis, & ab alto deuolutis. Datur duobus obolis in vino mulſo, febrim non ſentiētibus: febriculoſis verò, ĩ aqua mulſa. Arquatis quoq;, ſuſpirioſis, iocineris, renumq; vitio laborātibus, dyſentericis. Itē ſi vrina ægrè reddatur, ſi vuluæ ſtrangulatus vrgeat, ſi pallor membra decoloret, drachma vna dari ſolet: ſi tabes infeſtat, ex paſſo: ſi lien negotiū exhibet, ex aceto mulſo: ſi diſſolutio ſtomachi eſt, ita vt cibi tenax nō ſit, māditur, & ſine vlla humoris ſorbitiōe deuoratur. Simili modo acida ructātibus ꝓpinat̃. Sāguinis reiectiones ſiſtit, tribus obolis ex aqua ſūptū. Facit ad coxēdicū, & articulorū dolores, & comitiales morbos, ſi cū aceto mulſo pari pōdere aſſumant̃: mēſes ciet: fœminis, quas ĩflatio vuluę vexat vtiliter æquali modo datur.

tur. Horrores ſoluit datum ante febrium acceſsiones: aluum purgat drachma vna aut altera, ſi cum aqua mulſa bibatur: venenorum antidotum eſt denarij inſtar, cum diluta potione ſumptum: ſi ſerpẽtes ictum vibrarunt, morſúmque ſubſixerũt, tribus obolis ex vino potũ, mirè auxiliatur. In ſumma, internis omnib⁹ vitiis cõuenit, pro viribus, & ætate datũ, nũc ex aqua, nũc ex vino, iis ex aceto mulſo, alijs ex aqua mulſa.

Rhaponticum. Cap. II.

Rha, alicui rheũ, Latini rhaponticum vocant, prouenit in iis, quæ ſupra Boſphorum ſunt regionibus, ex quibus affertur. Radix nigra, centaurio magno ſimilis, ſed minor & rufior, fungoſa, aliquantũ læuis, ſine odore. Optimũ habetur, quod teredines nõ ſenſit, ſi guſtatu cum remiſſa adſtrictione lenteſcat, mãducatúmque colorẽ reddat pallidum, aut ad crocũ inclinãtem. Id epotũ facit ad inflationes, ſtomachi imbecillitatẽ, & omne gen⁹ dolores, ad cõuulſa, lienoſos, hepaticos, tormina ad vrinum, veſicę & pectoris vitia, aduerſus intẽta p̃cordia, & vuluæ mala, coxẽdicum dolores, ſanguinis excreationes, ſuſpiria,

καθαίρει δὲ καὶ κοιλίαν < α', ἢ β'. μετὰ μελικράτου πινόμενον. ἔστι δὲ καὶ θανασίμων ἀντίδοτον μετὰ κράματος < μιᾶς ὁλκὴ λαμβανόμενον. καὶ πρὸς ἑρπετῶν δὲ πληγὰς καὶ δήγματα, ὁλκὴ τριωβόλου μετ' οἴνου πινόμενον βοηθεῖ. καὶ καθόλου πρὸς τὰ ἐντὸς πάντα πάθη ἁρμόζει, πρὸς δύναμιν καὶ ἡλικίαν διδόμενον, οἷς μὲν μεθ' ὕδατος, οἷς δὲ μετ' οἴνου, οἷς δὲ μετ' ὀξυμέλιτος ἢ μελικράτου.

*Περὶ Ῥᾶ. Κεφ. β'.

Ῥᾶ, οἱ δὲ ῥῆον καλοῦσι, γίνεται ἐν τοῖς ὑπὲρ Βόσπορον τόποις, ὅθεν καὶ κομίζεται. ῥίζα μέλαινα, κενταυρείῳ τῷ μεγάλῳ ἐοικυῖα, μικροτέρα μέντοι καὶ ἐνερυθροτέρα, ἄοσμος, χαύνη, ὑπόκουφος. ἔστι δὲ αὐτῆς κράτιστον τὸ ἀτερηδόνιστον, *ἐγγλισχρόν τε κατὰ τὴν γεῦσιν μετὰ ἀνειμένης στύψεως, διαμασηθέν τε ἔνωχρον καὶ κροκίζον ποσῶς τῷ χρώματι. Ποιεῖ δὲ πινόμενον πρὸς ἐμπνευματώσεις στομάχου, ἀτονίαν, ἄλγημα παντοῖον, σπάσματα, σπληνικούς, ἡπατικούς, νεφριτικούς, στροφουμένους, καὶ τὰ περὶ κύστιν καὶ θώρακα, καὶ ὑποχονδρίων ἐντάσεις, καὶ τὰ περὶ ὑστέραν πάθη, ἰσχιάδας, αἵματος πτύσεις, ἄσθματα,

ἄσθματα, λυγμοὺς, δυσεντερίας, κοιλιακὰς διαθέσεις, καὶ περιόδους, καὶ θηρείων δήγματα. δίδοται δὲ ὁμοίως τῷ ἀγαρικῷ πρὸς ἕκαστον πάθος, τῇ αὐτῇ ὁλκῇ, καὶ ὑγροῖς χρωμένοις· μετ' οἰνομέλιτος μὲν ἀπυρέτοις· πυρέσσουσι δὲ μετὰ μελικράτου· φθισικοῖς μετὰ γλυκέος, σπληνικοῖς μετ' ὀξυμέλιτος· στομαχικοῖς ὡς ἔστι διαμασώμενον καὶ καταπινόμενον. μηδενὸς ὑγροῦ ἐπιρροφουμένου. αἴρει δὲ, καὶ πελιώματα καὶ λειχῆνας μετ' ὄξους καταχρισθέν. καὶ φλεγμονὰς πάσας διαχεῖ χρονίας σὺν ὕδατι καταπλασσόμενον. ἡ δὲ ἀνωτάτω αὐτοῦ δύναμις, στυπτικὴ μετὰ ποσῆς θερμασίας.

Περὶ Γεντιανῆς. Κεφ. γ'.

Γεντιανὴ δοκεῖ μὲν ὑπὸ πρώτου εὑρῆσθαι Γέντιδος τοῦ Ἰλλυριῶν βασιλέως, ἀφ' οὗ καὶ τὴν ἐπωνυμίαν ἔσχηκεν. ἧς τὰ φύλλα τὰ μὲν πρὸς τῇ ῥίζῃ καρύᾳ ἢ ἀρνογλώσσῳ ὅμοια ὑπέρυθρα, τὰ δὲ ἐν μέσῳ τῷ καυλῷ, καὶ μάλιστα τὰ κατ' ἄκρον ἐσχισμένα, μικρῶς· καυλὸς δὲ κενὸς, λεῖος τὸ πάχος δακτύλου, τὸ δὲ ὕψος δίπηχυς, γόνασι διειλημμένος, ἐκ διαστημάτων μειζόνων περικείμενος τὰ φύλλα· καρπὸν δὲ ἔχων ἐν κάλυξι πλατὺν, κοῦφον, ἀχυρώδη, πρὸς τὸν τοῦ σφονδύλου· ῥίζαν μακρὰν, ὁμοίαν ἀριστολοχίᾳ τῇ μακρᾷ,

ſuſpiria,ſingultꝰ, dyſenterias,& cœliacorú affectus,contra febrium circuitus,&venenatorũ morſus.Datus in ſingulis valetudinibus eodé, quo agaricum pondere,& cum eiſdem liquoribus:ſi febri careant,in mulſo; ſin aliter,ex aqua mulſa:ſi tabẽ experiuntur, ex paſſo: ſi lienis exercet,in aceto mulſo. ſi diſſolutio eſt ſtomachi, id eſt cũ cibi tenax non eſt,manditur, & ſine ſorbitione vlla deuoratur; liuentia lichenáſq; tollit,cũ aceto illitũ, inflãmationes omneis veteres ex aqua oblitum diſsipat.ſumma eius vis adſtringens,cum aliquanto calore.

Gentiana. Cap. III.

Gentianæ inuẽtio prima aſſignatur Gẽtio Illyriorum regi,à quo cognomentũ habuit. Folijs partim proximè radicẽ, iuglãdi plantaginíve ſimilibus, ſubrubris, partim à medio caule, & præſertim iuxta cacumen, paulum diſſectis: caulẽ cauo, & læui, digiti craſsitudine,geniculato, & ex interuallis maioribus foliato, binûm ſæpe cubitorum: ſemine in calycibus lato ſine pondere, glumoſo, ſatis ad ſphondyli ſemen accedente, radice longæ ariſtolochiæ,craſſa,amara.

Naſcitur in ſublimibus montiũ iugis, vmbroſis locis, aquoſiſque. Vis radicis excalfactoria, & adſtringens: contra morſus ſerpentium, duabus drachmis cum pipere, ruta, & vino pota, auxiliatur. Extracti ſucci drachma, laterum doloribus, & ex ſublimi deturbatis, ruptis, & conuulſis, prodeſt: hepaticis & ſtomachis, pota cum aqua ſubuenit. Radix collyrij modo ſubdita, partus eijcit: impoſita, vt lycium, vulneraria eſt, & vlcerum cuniculatim depaſcentium medela. Succus præcipuè eodem effectu prodeſt: oculis inflammatione laborantibus illinitur: pro meconio collyris acribus immiſcetur. Radix vitiliginē abſterget. Succi extrahendi ratio hæc eſt: Cõtuſa radix quinque diebus aqua maceratur: poſtea in eadem tantiſper decoquitur, dum extent radices: & vbi refrixit aqua, linteo excolatur: mox diſcoquitur, dum mellis craſſitudo fiat, fictilique reconditur.

Ariſtolochia rotunda.

Cap. IIII.

Ariſtolochia nomen ex eo ſibi adoptauit, quòd exiſtimetur, optimè puerpis opitulari. Tria

παχεῖαν, πικράν. γίνεται δὲ ἐν ὑψηλοτάταις ἀκρωρείαις, καὶ συσκίοις τόποις καὶ ἐνύδροις. Δύναμιν δὲ ἔχει ἡ ῥίζα θερμαντικήν, στυπτικήν· βοηθεῖ δὲ θηριοδήκτοις ποτιζομένη < β'. τὸ πλῆθος, μετὰ πεπέρεως καὶ πηγάνου, καὶ οἴνου. τοῦ δὲ χυλίσματος ὅσον < α'. καὶ πρὸς ὀδύνας πλευρῶν, καὶ πτώματα, ῥήγματά τε καὶ *σπάσματα. εὐθετεῖ, καὶ ἡπατικοῖς, καὶ στομαχικοῖς πινομένη μεθ' ὕδατος. ἐκβάλλει δὲ ἔμβρυα ἡ ῥίζα ὡς κολλύριον προστιθεμένη. ἔστι δὲ καὶ τραυματικὴ ἐπιτιθεμένη ὡς τὸ λύκιον, ὑπονόμων τε ἑλκῶν ἴαμα* καὶ μάλιστα τὸ χύλισμα, καὶ ὀφθαλμῶν ἐπίχρισμα φλεγμαινόντων. μίγνυται δὲ καὶ εἰς τὰ δριμέα τῶν κολλυρίων τὸ χύλισμα ἀντὶ μηκωνίου. ἔστι δὲ καὶ ἀλφῶν σμηκτικὴ ἡ ῥίζα. χυλίζεται δὲ θλασθεῖσα καὶ βραχεῖσα ἐν ὕδατι ἐπὶ ἡμέρας ε'. εἶτα ἑψηθεῖσα ἐν τῷ ὕδατι, ἄχρις ἂν ὑπερέχωσιν αἱ ῥίζαι, καὶ μετὰ τὸ ψυχθῆναι τὸ ὕδωρ διηθεῖται δι' ὀθονίου· καὶ ἕψεται ἄχρις ἂν γένηται μελιτῶδες τῇ συστάσει. καὶ ἀποτίθεται ἐν ὀστρακίνῳ ἀγγείῳ.

Περὶ Ἀριστολοχίας στρογγύλης. Κεφ. δ'.

Ἀριστολοχία ὠνόμασται μὲν ἀπὸ τοῦ δοκεῖν ἄριστα βοηθεῖν ταῖς λοχείαις. ἔστι

ἔστι δὲ ἡ μὲν στρογγύλη, θήλεια καλουμένη, φύλλα δὲ ἔχει κισσοειδῆ, εὐώδη μετὰ δριμύτητος, ὑποστρόγγυλα ἁπαλά, περὶ πολλοῖς βλαστοῖς ἐν μιᾷ ῥίζῃ, τὰ δὲ κλήματα ἐπιμήκη. ἄνθη λευκά, οἱονεὶ πιλίσκους, τὸ δὲ ἐν αὐτοῖς ἐρυθρὸν, δυσῶδες.

Tria eius genera tradunt. Rotũda, q̃ fœmina vocat̃, foliis hederaceis p̃ſtãti odore cũ acrimonia, mollibus, ſubrotundis; multis ab vna radice germinibus, plõgisq; palmitib⁹: florib⁹ cãdidis, pilei ſimilitudine ĩ qb⁹ quod rubrũ eſt, grauiter olet.

Περὶ Ἀριστολοχίας μακρᾶς. Κεφ. έ.

Η δὲ μακρὰ ἀριστολοχία ἄρρεν καλεῖται καὶ δακτυλῖτις, φύλλα ἔχουσα ἐπιμηκέστερα τῆς στρογγύλης· κλωνία λεπτὰ ὡς σπιθαμῆς τὸ μέγεθος, ἄνθος πορφυροῦν, δυσῶδες, ὃ περὶ ἐξανθεῖσαν ἀπίῳ παραπλήσιον γίνεται. ῥίζα δὲ τῆς μὲν στρογγύλης περιφερὴς γογγυλίδι ὁμοία. ἡ δὲ τῆς μακρᾶς δακτύλου ἔχει τὸ πάχος σπιθαμιαία ἢ καὶ μείζων. ἀμφότεραι δὲ τὰ πολλὰ πυξοειδεῖς ἔνδοθεν. πικραὶ τὴν γεῦσιν καὶ βρωμώδεις.

Ariſtolochia longa. Cap. V.

Longa, maſcula appellatur, nonnullis dactylitis, longiore quàm rotunda folio: tenuibus ramulis, dodrãtalib⁹: flore purpureo, grauiter olẽte, qui marceſcens in pyri ſimilitudinem turbinatur. Radix rotundæ, in orbẽ conglobata, rapi modo. Longæ verò radix digiti craſſitudinem, & dodrãtis lõgitudinem implet, nõnunquã paulò maiorẽ. Ambæ colore int⁹ buxeo, guſtu amaro, & graui.

Περὶ Ἀριστολοχίας κληματίτιδος. Κεφ. ς'.

Ἔστι δέ τις καὶ τρίτη μακρὰ, ἥ τις καὶ κληματῖτις καλεῖται, κλωνία ἔχουσα λεπτά, φύλλοις ὑποστρογγύλοις ἀειζώου μικροῦ ἐοικόσι, περίπλεα ἄνθη, ἐοικότα πηγάνῳ· ῥίζας μακροτέρας, λεπτάς, φλοιὸν ἐχούσας παχὺν καὶ ἀρωματίζοντα, ἰδίως χρησιμευούσας μυρεψοῖς εἰς τὰς τῶν μύρων στύψεις. ποιεῖ δὲ πρὸς μὲν τὰ ἄλλα φάρμακα ἡ στρογγύλη·

Ariſtolochia clematitis. Cap. VI.

Eſt etiamnum tertia longa, quæ clematitis vocatur, ramulos habens tenues, refertos foliis ſubrotundis, minori ſemper viuo ſimilibus: flores rutæ: radices longiores, tenues, craſſo cortice odoratóque veſtitas, priuatim vnguentorum ſpiſſamentis conuenientes. Rotunda cæteris venenis reſiſtit.

Longa verò aduerſus angues, & venena, drachmæ pondere ex vino bibitur, & illinitur: pota cum pipere, & myrrha, menſes, partus, & omnia vuluarum onera eiicit: eadem efficit ſubdita in peſſo. Rotunda ad eadem pollet: inſuper ſingultibus, ſuſpiriis, horroribus, lieni, conuulſis, laterum doloribus, pota cum aqua, ſingulariter auxiliatur. Aculeos, & ſpicula extrahit, oſsiũ ſquamas illitu adimit, vlcera putrida exeſt, & ſordida expurgat: caua cum iri, & melle explet, gingiuas, & dẽtes extergit. Clematitis ad eadem pollere credit̃, viribus tamẽ inferior eſt.

πρὸς δὲ τὰ ἑρπετὰ καὶ θανάσιμα ἡ μακρά. < ά. ὁλκὴ πινομένη μετ' οἴνου καὶ καταπλαττομένη· καὶ τὰ ἐν μήτρᾳ συνιστάμενα πάντα λόχια καὶ ἔμμηνα καὶ ἔμβρυα ἐκβάλλει· ποθεῖσα μετὰ πεπέρεως καὶ σμύρνης, καὶ ἐν πεσσῷ δὲ προστεθεῖσα τὰ αὐτὰ δρᾷ. ἡ δὲ στρογγύλη ποιεῖ μὲν πρὸς ἃ καὶ ἡ προειρημένη· ἐκ περισσοῦ δὲ βοηθεῖ ἄσθματι, λυγμῷ, ῥίγει, σπληνὶ, ῥήγμασι, σπάσμασιν, ἀλγήμασι πλευρᾶς ποθεῖσα μεθ' ὕδατος. ἀνάγει δὲ, καὶ σκόλοπας, ἀκίδας, λεπίδας ὀστῶν καταπλασσομένη ἀφίστησι· καὶ σηπεδόνας περιχαράσσει καὶ τὰ ῥυπαρὰ περικαθαίρει ἕλκη· καὶ τὰ κοῖλα πληροῖ σὺν ἴρειδι καὶ μέλιτι, σμήχει δὲ καὶ οὖλα καὶ ὀδόντας. δοκεῖ δὲ καὶ ἡ κληματῖτις πρὸς τὰ αὐτὰ ποιεῖν· ἐλαττοῦται μέντοι τῇ δυνάμει τῶν προειρημένων.

Dulcis radix. Cap. VII.

Dulcis radix pluririma gignitur in Cappadocia, & Ponto: fruticoſa eſt, ramis binûm cubitorum altitudine aſſurgẽtibus: foliis lentiſci denſis, pinguibus, tactúq; gummoſis: flore hyacinthi, fructu pilularum platani magnitudinis, aſperiore, qui ſiliquas lentium modo habet, rufas & paruas: radicibus longis, vt gentianæ, coloris

Περὶ Γλυκυῤῥίζης. Κεφ. ζ΄.

Γλυκύῤῥιζα γεννᾶται πλείστη ἐν καππαδοκίᾳ, καὶ πόντῳ· ἔστι δὲ θαμνίσκος, ῥάβδους ἔχων διπήχεις, περὶ οὓς τὰ φύλλα πυκνὰ ἐοικότα σχίνῳ, λιπαρὰ καὶ κολλώδη ἁψαμένῳ. τὸ δὲ ἄνθος ὑακίνθῳ ὅμοιον· καρπὸς δὲ πλατάνου σφαιρίων μέγεθος τραχύτερος, λοβοὺς ἔχων ὡς φακοῦ, πυῤῥοὺς, μικρούς. ῥίζαι μακραὶ, πυξοειδεῖς ὡς γεντιανῆς ὑπό-

στρυφνοι,

ὑπόστρυφνοι, γλυκεῖαι· χυλιζόμεναι ὥσπερ τὸ λύκιον. ποιεῖ δὲ τὸ χύλισμα πρὸς τραχύτητας ἀρτηρίας· δεῖ δὲ ὑποτιθέντας τῇ γλώττῃ ὑποχυλίζειν· ἁρμόζει δὲ καὶ πρὸς καῦσον στομάχου, καὶ πρὸς τὰ ἐν θώρακι καὶ ἥπατι· ψωριάσεις τε κύστεως καὶ νεφρίτιδας πινόμενον μετὰ γλυκέος· ἄδιψόν τέ ἐστιν ἀποχυλιζόμενον, καὶ τραυματικὸν περιχριόμενον, καὶ στοματικὸν διαμασώμενον. καὶ τὸ ἀφέψημα δὲ τῶν ῥιζῶν προσφάτως πρὸς τὰ αὐτὰ ἁρμόζει. ἡ δὲ ῥίζα ξηρὰ λειοτριβηθεῖσα, πτερυγίοις καταπλαστὸς ἐστὶν ἐπιτήδειος.

Περὶ Κενταυρείου τοῦ μεγάλου. Κεφ. η'.

Κενταύρειον τὸ μέγα, οἱ δὲ ναρκίνην καλοῦσι, φύλλα ἔχει καρύᾳ βασιλικῇ ὅμοια, περιμήκη, χρώματι χλωρὰ ὡς κράμβης, τὸ δὲ περιφερὲς αὐτῶν ἐντέτμηται ὥσπερ πριόνων· καυλὸν δὲ ἔχει ὡς λαπάθου διπήχυν, ἢ καὶ τρίπηχυν, παραφυάδας ἀπὸ τῆς ῥίζης ἔχοντα πολλὰς, ἐφ' ὧν κεφαλαὶ ὅμοιαι μήκωνι, ὑπομήκεις ἐν τῷ περιφερεῖ· ἄνθος κυανίζον· καρπὸς δὲ ὅμοιος κνίκῳ, ἐγκείμενος ὥσπερ ἐν ἐριώδεσι τοῖς ἄνθεσι· ῥίζα παχεῖα, στερρὰ, βαρεῖα, περὶ πήχεις δύο, μεστὴ χυλοῦ δριμεῖα μετὰ ποσῆς στύψεως καὶ γλυκύτητος, ὑπέρυθρος*. φιλεῖ δὲ λιπαρὰν γῆν, εὐήλιον, καὶ δρυμοὺς καὶ γεώλοφα.

coloris buxei, ſubacerbis & dulcibus: quæ denſantur in ſuccum, lycij exemplo. Is in arteriæ ſcabritia efficax habetur: verum oportet vt linguæ ſubditus eliqueſcat: æſtuanti ſtomacho, thoraci, ac iocineri conuenit: ſanat veſicæ ſcabiem, & renum dolores, cum paſſo potus: idem eliquatus ſitim ſedat, vulneribꝰ illitus accommodatur, commãducatus ori prodeſt: recẽtis radicis decoctum ad eadem conuenit. Eiuſdem farina pterygiis commodiſsimè inſpargitur.

Centaurium magnum. Cap. VIII.

Centaurium magnum folia habet iuglandis, oblonga, viridi braſsicarum colore, ſerrata in ambitu: caulem, ceu rumicis, binûm aut ternûm cubitorum, multis ab radice adnatis, in quibus capita, ceu papauerũ, in rotunditate oblonga: flos cœruleus: ſemen cnico ſimile, ceu laneis floccis quibuſdam inuolutũ: radix craſſa, grauis, ſolida, tripedalis, ſucco prægnans, cum adſtrictione aliqua & dulcedine acris, & rubeſcens. Amat ſolũ pingue & apricũ, ac ſyluas & colles. Co-

pioſiſsima eſt in Lycia & Peloponneſo, in Arcadia, Helide & Meſſenia, pluribúsq; locis circa Pholoën, Lyciā & Smyrnam. Radix cōuenit ruptis, cōuulſis, pleuriticis, ſpirādi difficultati, veteri tuſsi: ſanguinē expuentibus, drachmis duab⁹ trita datur, ſi febris ſit, in aqua: cæteris, in vino. Item ad tormina, & vuluæ dolores. Ramēta eius in collyrij formam vuluæ ſubdita, mēſes atque partus extrahūt. ſuccus eadem præſtat: vulneribus prodeſt: nam recēs tuſa, aut arida antè madefacta, ea glutinat & coniungit. Carnes coaleſcūt, ſi tuſa ſimul decoquatur. In Lycia ſuccū exprimunt, quo pro Lycio vtuntur. Cognominata eſt & panacea, quoniā medeť oīm morbis, vbi aliqua inflāmatio timeť, omninoq; multis modis opifera eſt. Illiſa vulnerū labra cōſolidat, ſuſtillū vrinæ calculósq; ſanat iniectione. legenda præcipitur cū in eo ſol eſt, vt emergat hora pura: dum lucē ſyderis erūpētis vniuerſa complentur.

Centaurium minus.
Cap. IX.

Centauriū, limneſion aliqui vocauere, qm̄ rigua amet loca. Herba origani aut hyperici ſimilis

λοφα· πλεονάζει δὲ ἐν λυκίᾳ καὶ πελοποννήσῳ, ἐν ἤλιδι καὶ ἀρκαδίᾳ καὶ μεσσηνίᾳ καὶ περὶ *φολόην καὶ λυκίαν καὶ σμύρνην. Ἁρμόζει δὲ ἡ ῥίζα, ῥήγμασι, σπάσμασι, πλευριτικοῖς, δυσπνοίᾳ, βηχὶ παλαιᾷ· αἱμοπτοϊκοῖς ἀπυρέτοις μετ' οἴνου· πυρέσσουσι δὲ μεθ' ὕδατος < β΄. πλῆθος τῆς ῥίζης λείας διδομένης· πρὸς στρόφους ὁμοίως καὶ ὑστέρας ἀλγήματα. ἄγει δὲ καὶ ἔμμηνα καὶ ἔμβρυα εἰς σχῆμα κολλυρίου ξυσθεῖσα καὶ προστεθεῖσα τῇ ὑστέρᾳ· ὅ, τι χυλὸς τὰ αὐτὰ ποιεῖ· ἔστι δὲ καὶ τραυματική· ὑγρὰ μὲν κοπεῖσα ξηρὰ δὲ προβραχεῖσα καὶ οὕτω κοπεῖσα. συνάγει γὰρ καὶ κολλᾷ καὶ τὰ ἑψόμενα δὲ κρέα συνάγει. ἐάν τις αὐτὴν κόψας συνεψήσῃ· οἱ δὲ ἐν λυκίᾳ αὐτὴν χυλίζοντες, χρῶνται αὐτῇ ἀντὶ λυκίου. ἐκλήθη δὲ πανάκεια, ἐπειδὴ πάντα τὰ φλεγμαίνοντα πάθη παύει, *καὶ κρούσματα πληγῶν, στραγγουρίας τε παύει ἐν ἐνέμασι καὶ λιθιῶντας. συνάγεται δὲ τοῦτο ἡλίου μέλλοντος ἀνατέλλειν, ὥρᾳ ἁγνῇ ὅτε πληροῦνται ἅπαντα.

Περὶ Κενταυρείου τοῦ μικροῦ. Κεφ. θ΄.

Κενταύριον τὸ μικρὸν, ὅ τινες λιμνήσιον καλοῦσιν, ἐπειδὴ ἐνίκμοις φιλεῖ τόποις. πόα ὑπερικῷ ἢ ὀριγάνῳ

γαίῳ παραπλήσιός ἐστι, καυλὸν ἔχουσα ὑπὲρ σπιθαμὴν γεγωνιωμένον· ἄνθη ἐν τῷ φοινικῷ ὑποπόρφυρα πρὸς τὰ τῆς λυχνίδος· φύλλα μικρά· * ὑπόμηκη ὥσπερ πηγάνου· καρπὸς ὅμοιος πυρῷ· ῥίζα μικρὰ ἄχρηστος λεία*. Αὕτη κοπτομένη χλωρὰ καὶ καταπλασσομένη, τραυμάτων ἐστὶ κολλητική, ἀνακαθαρτικὴ ἑλκῶν παλαιῶν καὶ ἀπουλωτική· ἀφεψηθεῖσα δὲ καὶ καταπινομένη, ἄγει κατὰ κοιλίαν χολώδη καὶ παχέα. ἔγκλυσμά τε τὸ ἀφέψημα αὐτῆς ἐπὶ τῶν ἰσχιαδικῶν ἁρμόδιον· ἄγον αἷμα καὶ κουφίζον. ὁ δὲ χυλὸς πρός τε τὰ ὀφθαλμικὰ εὔχρηστος· ἀποκαθαίρων τὰ ἐπισκοτοῦντα ταῖς κόραις σὺν μέλιτι· καὶ ἐν προσθέτῳ ἐμμηνίων ἀγωγὸς καὶ ἐμβρύων· ποθεὶς δὲ ἁρμόζει τοῖς περὶ τὰ νεῦρα πάθεσιν ἰδίως. Χυλίζεται δὲ ἡ πόα συλλεγομένη ἐγκύμων ἔτι σπέρματος, καὶ ἀποβρεχομένη ἡμέρας ε΄. εἶτα ἕψεται ἄχρις ἂν ὑπερέχοι τὸ ὕδωρ. ἔπειτα τούτου ψυχθέντος, ὑλίζεται δι' ὀθονίου θλιβείσης τῆς πόας καὶ πάλιν ἕψεται μέχρι μελιτώδους συστάσεως. ἔνιοι δὲ χλωρὰν ἐγκύμονα αὐτὴν κόψαντες, ἐκθλίβουσι τὸν χυλὸν καὶ βαλόντες εἰς κεραμεοῦν ἀγγεῖον ἀκόνιτον, ἐν ἡλίῳ συστρέφουσι κινοῦντες ἀεὶ ξύλῳ.

καὶ

ſimilis, caule anguloſo, palmũ excedente: flore lychnidis, è puniceo in purpuream vergẽtæ: foliis rutę, prælõgis & paruis: fructu tritico ſimili: radice puſilla, leui & ſuperuacua, quæ guſtanti amaritudinẽ adfert. Herba recens tuſa, ſuo illitu vulnera conglutinat: vetera vlcera purgat, & cicatrice obducit: bilem craſſóſque humores per aluum exigit, ſi decocta deuoretur. Ius decocti iſchiadicis conueniẽtiſſimè infunditur: trahit enim ſanguinem, & dolorem leuat. Succus oculorum medicamentis perquàm vtilis: ſiquidem cũ melle caliginem oculorum expurgat: in vellere appoſitus, mẽſes & partus extrahit: epotus peculiariter neruorum vitiis ſuccurrit. Succi extrahendi ratio: Legitur herba ſemine prægnans, & diebus quinque madefacta decoquitur, donec ſuperemineat aquæ: mox vbi refrixit, linteolo exprimitur, & eiecta herba, iterum decoquitur, vſque dum mellis craſsitudinem habeat. Nonnulli eã recentem grauidãq; cõtundunt, atq; ſuccum fictili non picato exprimũt, & in ſole, lignea rude aſſiduè mouẽtes, inſpiſſant.

 Quòd

Quòd ſi quid cõcretũ faucib⁹ vaſis adhæreſcat, deradũt, reliquoq; humori ꝑmiſcét. Noctu diligẽter operiũt: nãq; ros nocturn⁹, liquores coaleſcere nõ ſinit. Quæ aũt ſiccis radicibus aut herbis liquaméta exprimũtur, decocta (vt in gétianæ métione retulim⁹,) ꝑparant: ſed q̃ ex corticib⁹ humidis, aut cõtuſis herbis factitãtur, in ſole, vti antè dictũ eſt: cogunt. Sic è thapſia, ſic è mãdragora, reliquiſq; ſimilibus ſuccus: ſic ex acerbis vuis melligo elicitur. Lyciũ tamen, & abſinthiũ, hypociſtis & conſimilia, decocta, eo quo diximus modo, coguntur.

Chamæleon albus. Cap. X.

Chamæleon albus, ixia ideo aliquibus vocatur, quòd quibuſdam in locis viſcum circa radicem eius inueniatur, quo pro maſtiche vtuntur mulieres: folia habet ſilybo aut carduo ſimilia, aſperiora, acutiora, nigróque chamæleone validiora: caulé non promit, verũ ex medio ſpinas, echini marini, aut cinaræ modo, erigit: flores purpureos, veluti papporũ lanugines emittit: ſemen cnici ſimile: radicé ĩ lętis collib⁹ craſſam, in mõtoſis verò gracilioré.

in

καὶ τὸ περιπεπηγμένον ἀεὶ ξύοντες καὶ τῷ ὑγρῷ μίσγοντες. σκεπάζοντές τε νυκτὸς ἐπιμελῶς· ἡ γὰρ δρόσος κωλυτικὴ τῆς τῶν ὑγρῶν χυλῶν συστάσεως καθέστηκεν. ὅσα μὲν οὖν ἐκ ξηρῶν τῶν ῥιζῶν ἢ τῶν βοτανῶν ἐγχυλίζεται, ἑψήματα σκευάζεται, ὡς ἡ γεντιανή· ὅσα δὲ ἐκ φλοιῶν ὑγρῶν ἢ ῥιζῶν ἢ βοτανῶν ἐκθλιβομένων ἐν ἡλίῳ, συστρέφονται ὡς προείρηται. οὕτω καὶ ἡ θαψία καὶ μανδραγόρα καὶ ὄμφαξ· καὶ τὰ ὅμοια τούτοις χυλίζεται. λύκιον μέντοι καὶ ἀψίνθιον καὶ ὑποκιστὶς καὶ τὰ ὅμοια τούτοις ἑψόμενα, συστρέφονται ὃν τρόπον προείρηται.

Περὶ Χαμαιλέοντος λευκοῦ. Κεφ. ι.

Χαμαιλέων λευκός, ἰξίαν τοῦτον ἐκάλεσαν, διὰ τὸ ἔν τισι τόποις ἰξὸν εὑρίσκεσθαι πρὸς ταῖς ῥίζαις αὐτοῦ, ᾧ καὶ ἀντὶ μαστίχης χρῶνται αἱ γυναῖκες· ἔχει φύλλα ὅμοια σιλύβῳ ἢ σκολύμῳ, τραχύτερα δὲ καὶ ὀξύτερα καὶ ἰσχυρότερα τοῦ μέλανος· καυλὸν δὲ οὐκ ἔχει, ἀλλ' ἀφίησιν ἐκ τοῦ μέσου ἄκανθαν, ὁμοίαν ἐχίνῳ θαλασσίῳ ἢ κινάρᾳ· ἄνθη δὲ πορφυροειδῆ ὥσπερ τρίχας ἐκπαππωμένας· καρπὸν δὲ κνίκῳ παραπλήσιον· ῥίζαν ἐν μὲν τοῖς εὐγείοις γεωλόφοις παχεῖαν, ἐν δὲ τοῖς ὀρεινοῖς ἰσχνοτέραν

λευκὴν

λευκὴν διὰ βάθους, ὑπαρωματίζουσαν, βαρύοσμον, γλυκεῖαν. ἥ τις ποθεῖσα * ὀξυβάφου πλῆθος, ἄγει ἕλμινθας πλατείας. λαμβάνεται δὲ σὺν οἴνῳ αὐστηρῷ μετὰ ὀριγάνου ἀποζέματος, καὶ ὑδρωπικοῖς δὲ ἐπιτηδείως δίδοται ὁλκὴ σὺν οἴνῳ * ἰσχναίνει γὰρ αὐτούς· καὶ πρὸς δυσουρίαν τὸ ἀφέψημα αὐτῆς πίνεται. ἔστι δὲ καὶ θηριακὴ σὺν οἴνῳ ποθεῖσα· ἀποκτείνει καὶ κύνας καὶ ὗς· καὶ μύας σὺν ἀλφίτῳ πεφυραμένη, καὶ ὑδρελαίῳ διεθεῖσα.

Περὶ Χαμαιλέοντος μέλανος. Κεφ. ιά.

Χαμαιλέων μέλας, καὶ αὐτὸς τοῖς φύλλοις σκολύμῳ ἔοικεν. ἐλάττονα μέντοι καὶ λεπτότερα καὶ διέρυθρα ἔχει ταῦτα· καυλὸν δὲ ἀνίησι δακτύλου τὸ πάχος, σπιθαμιαῖον, ὑπέρυθρον· ἔχον σκιάδιον καὶ ἄνθη ἀκανθώδη λεπτά, ὑακινθίζοντα ποικίλα· ῥίζα δὲ παχεῖα, μέλαινα, πυκνή, ἐνιότε δὲ καὶ βεβρωμένη, σχισθεῖσα δὲ ὑπόξανθος, διαμασηθεῖσα δηκτική. φύεται δὲ ἐν πεδίοις ξηροῖς καὶ βουνώδεσι τόποις καὶ παραθαλασσίοις. Δύναται δὲ ἡ ῥίζα λεία μιχθέντος αὐτῇ χαλκάνθου ὀλίγου καὶ κεδρίνου ἐλαίου καὶ ὀξυγγίου ψώρας ἐξάγειν· σμήχει δὲ καὶ λειχῆνας θεῖον καὶ ἄσφαλτον προσλαβοῦσα, καὶ συνεψηθεῖσα ὄξει καὶ καταχρισθεῖσα. δια-

in profundo albam: aliquatenus aromaticam, graui odore, dulcē. Quæ pota acetabuli mēſura, latas interaneorū tineas pellit. Bibitur autē in vino auſtero, cū origani ferueſacti ſucco. Hydropicis cōmodiſsimè drachma in vino datur, etenim eos extenuat: cōtra difficultatē vrinę decoctū ꝓpinat̃. Hauſta in vino, ſerpentiū venenis reſiſtit: occīdit canes & ſues: mures item necat, ſubacta cū polēta aut aqua, & oleo madefacta.

Chamæleon niger.

Cap. XI.

Chamæleon niger, foliis ſcolymo ſimilis eſſet, niſi minora, tenuioráque, ac rubro diſtincta viderentur: caulem emittit dodrantalem, craſſitudine digitali, ſubrubrum: & in vmbella flores ſpinoſos, tenues, hyacinthi æmulos, verſicolores: radice craſſa, nigra, denſa, interdū exeſa, quæ diſſecta flaueſcit, & commādūcata mordet. Prouenit in campeſtribus, ſiccis, & cliuoſis tractibus, & maritimis. Radix trita, addito atramēti ſutorij exiguo, cedrino oleo, & axūgia, ſcabiē abigit: eadē, cū ſibi ſulphur & bitumē aſciuit, & cocta in aceto illinitur, impetigines abſterget. Deco-

Decoctum collutione détium dolorem mitigat: cum pari pipere & cera oblita radix, dolenti denti auxiliatur. Radice conciſa, & in aceto decocta, détes fouentur: eos quoq; frangit, ſi ſcriptorio ſtylo feruens admoueatur: vitia cutis in facie vitiligineſque cum ſulphure emendat: erodentibus medicamentis admiſcetur: phagedænas, tetráq; vlcera illitu ſanat. Quare chamæleo vocetur, à varietate foliorum euenit: mutant enim cum terra colorem: hîc viridia, illic albicantia, aliubi cœrulea, nonnuſquam rubra inueniuntur.

Crocodilium. Cap. XII.

Crocodilion chamæleontis nigri figuram habet. Naſcitur in ſyluoſis, radice longa, læui, aliquantum lata, odore, vt naſturtij, acuto. Ferueċta in aqua & pota radix, ſanguinem copioſum per nareis pellit. Datur lienoſis, eos euidenter adiuuans. Semen ei rotundum ineſt, duplex vti ſcutũ, quod ſuapte vi vrinam ciet.

Dipſacum, ſiue labrum Veneris. Cap. XIII.

Dipſacum aculeatarum generis eſt: caulem habet altum, ſpinis,

διακλυζόμενον δὲ τὸ ἀφέψημα αὐτῆς ὀδονταλγίας παύει· μετ' ἴσου δὲ πεπέρεως καὶ κηροῦ περιπλασσομένη τοῖς ἀλγοῦσιν ὀδοῦσι βοηθεῖ. καὶ πυριῶνται δὲ δι' αὐτῆς οἱ ὀδόντες, καθεψηθείσης σὺν ὄξει καὶ καταντληθείσης. περισσαγομένη τε διὰ γραφείου θερμὴ τῷ ἀλγοῦντι ὀδόντι, θρύπτει αὐτόν· ἔφηλιν δὲ ἀποκαθαίρει καὶ λέπρας μετὰ θείου· μίγνυται δὲ ταῖς δυνάμεσι τῶν σηπτικαῖς. καὶ τὰ φαγεδαινικὰ ἕλκη καὶ τὰ τεθηριωμένα καταπλασθεῖσα, ἀνασκευάζουσα θεραπεύει. ὠνόμασται δὲ χαμαιλέων, διὰ τὸ ποικίλον τῶν φύλλων· εὑρίσκεται γὰρ ἢ λίαν χλωρὰ τὰ τοιαῦτα, ἢ ὑπόλευκα, ἢ κυανοειδῆ, ἢ ἐρυθρὰ, παρὰ τὰς τῶν τόπων διαφοράς.

Περὶ Κροκοδειλίου. Κεφ. ιβ΄.

Κροκοδείλιον ὅμοιόν ἐστι τῷ μέλανι χαμαιλέοντι. φύεται δὲ ἐν τόποις δρυμώδεσι, ῥίζαν ἔχον μακρὰν, καὶ ἀφρὰν, *ὑπόπλατυν, ὀσμὴν δριμεῖαν, ὁμοίως καρδάμῳ. Ἰσχύει δὲ ἡ ῥίζα ζεσθεῖσα ἐν ὕδατι καὶ πινομένη, ἄγειν πολὺ αἷμα διὰ ῥωθώνων. δίδοται δὲ καὶ σπληνικοῖς ἐναργῶς ὠφελοῦσα. καὶ τὸ σπέρμα αὐτῆς, διουρητικῆς, ὑπάρχει δυνάμεως. περιφερὲς δὲ ὂν καὶ διπλοῦν ὡς ἀσπίς.

Περὶ Διψάκου. Κεφ. ιγ΄.

Δίψακος τῶν ἀκανθωδῶν ἐστι καὶ αὐτή· καυλὸν δὲ ἔχει ὑψηλόν. ἀκαν-

ἀκανθώδη, καὶ φύλλα περιειληφότα τὸν καυλὸν, ἐμφερῆ θρίδακι, δύο καθ᾽ ἕκαστον γόνυ, περιμήκη, ἀκανθώδη καὶ αὐτά. ὥσπερ τινὰς πομφόλυγας ἐπὶ μέσης τῆς ῥάχεως, ἔσωθέν τε καὶ ἔξωθεν ἔχοντα ἀκανθώδεις, * κοιλίδας δὲ περὶ τὰ δύο μέρη τῶν φύλλων ὥστε ὕδατα ἀπὸ τῶν δρόσων καὶ τῶν ὄμβρων* συλλέγειν· ὅθεν καὶ τὸ ὄνομα εἵλκυσεν. ἐπ᾽ ἄκρου δὲ τοῦ καυλοῦ καθ᾽ ἑκάστην ἀπόφυσιν, κεφαλὴ μία ἐοικυῖα ἐχίνῳ, ὑπομήκης ἀκανθώδεις· ξηρανθεῖσα δὲ λευκὴ φαίνεται. ἔχει δὲ καὶ σκωλήκια κατὰ μέσην τὴν ἐντεριώνην διαιρεθεῖσα ἡ κεφαλή. Η ῥίζα δὲ ταύτης σὺν οἴνῳ ἀφεψηθεῖσα, καὶ κοπεῖσα,* κηρωτῆς λαβοῦσα πάχος, τὰς ἐν* δακτυλίῳ ῥαγάδας καὶ σύριγγας ἐντιθεμένη θεραπεύει. ἀποτίθεσθαι δὲ δεῖ τὸ φάρμακον εἰς χαλκῆν πυξίδα. φασὶ δὲ καὶ μυρμηκιῶν αὐτὸ καὶ ἀκροχορδόνων ἴαμα εἶναι. οἱ δὲ τῆς κεφαλῆς σκώληκες εἰς κύστιδα ἐνδεόμενοι καὶ περιαπτόμενοι τραχήλῳ ἢ βραχίονι, ἱστοροῦνται τεταρταϊκοὺς θεραπεύειν.

Περὶ Ακάνθας λευκῆς. Κεφ. ιδ΄.

Ακανθα λευκὴ φύεται ἐν ὄρεσι καὶ ὑλώδεσι τόποις· φύλλα ἔχουσα χαμαιλέοντι λευκῷ ἐμφερῆ, στενώτερα δὲ καὶ λευκότερα, ὑποδάσεα, ἀκανθώδη· καυλὸν ὑπὲρ δύο πήχεις,

ſpinis horridum, foliis lactucæ, ſpinoſis, binis genicula ſingula complectentibus, prælongis, ceu quaſdam bullas intus & extra aculeatas, in dorſi medio habentibus, concauo alarum ſinu, in quo imber aut ros aſſeruetur: vnde dipſaci, quaſi ſitientis, nomen traxit. In cacumine caulis, ſingula ſurculis capitula inſunt, oblonga, echinata ſpinis: quæ areſacta, candida ſpectantur, diſſectáque medulla tenus, vermiculos oſtendunt. Sanat rimas ſedis, fiſtulasque, ſi tuſa & decocta in vino radix, vſque dũ ſit craſsitudo ceræ, immittatur. Medicamẽtum ærea pyxide recondendum. Aiunt formicationibus, verrucíſque penſilibus remedio eſſe. Vermiculi capitulorũ in follicu lo alligati, collo aut brachio appẽſi, produntur quartanis febribus remedio eſſe.

Spina alba. Cap. XIIII.

Spina alba naſcitur in montibus & ſyluoſis: folia fert albi chamæleonis anguſtiora, & cãdidiora, aliquantum hiſpida, & aculeata: caulem ſupra bina cubita

cubita altum, pollicari aut ampliore craſsitudine: albicanté, intus cauum: in cacumine capitulum ineſt ſpinoſum, echini marini æmulum, ſed minus, & oblongum: flores purpurei, in quibus ſemen ceu cnicum, ſed rotundius. Huius radix pota, cœliacis, ſtomachicis, & iis qui cruenta extuſsiunt, efficax eſt: vrinam cit, tumoribus illinitur. Decocto eius dentes in dolore collui prodeſt. Epotum ſemen cõuulſis infantibus, & à ſerpente demorſis auxiliatur: geſtatum pro amuleto, ſerpentes abigere traditur.

Spina Arabica.
Cap. XV.

Arabicam ſpinam natura albæ ſpinæ ſimilem eſſe conſtat: ipſa ſiquidem ſtringit. Ad ſanguinis reiectiones, menſium abundantiam, cæteráſque fluxiones radix etiamnum valet. Prouenit in aſperis.

Carduus. Cap. XVI.

Carduus, Græci ſcolymon vocant, folia chamæleonis habet, aut albæ ſpinæ, nigriora, & craſsiora: caulem longum ædit, folioſum, capite ſpinoſo: radice nigra, & craſſa, quæ illita, graueolentiam alarum totiúſque corporis emendat: item

πήχεις, δακτύλου τοῦ μεγάλου ἢ καὶ μείζονος πάχος, ὑπόλευκον, κενὸν ἔνδοθεν, ἐπ' ἄκρου δὲ αὐτοῦ κεφαλὴ περίεστιν ἀκανθώδης, ἐχίνῳ θαλασσίῳ ἐμφερής, πλὴν ἐλάσσων καὶ ὑπομήκης· ἄνθη πορφυρᾶ, ἐν οἷς τὸ σπέρμα ὡς κνῆκος, στρογγυλώτερον δέ. Ταύτης ἡ ῥίζα πινομένη, ποιεῖ πρὸς αἱμοπτοϊκοὺς, στομαχικοὺς, κοιλιακούς· οὖρά τε κινεῖ, καταπλάσσεταί τε πρὸς οἰδήματα. καὶ τὸ ἀφέψημα δὲ αὐτῆς πρὸς ὀδονταλγίαν ποιεῖ διακλυζόμενον. τὸ δὲ σπέρμα πινόμενον, παιδίοις σπωμένοις βοηθεῖ, καὶ ἑρπετοδήκτοις. φασὶ δὲ ὅτι περίαπτον ἐξ αὐτοῦ θηρία διώκει.

Περὶ Ἀκάνθας ἀραβικῆς. Κεφ. ιε.

Ἄκανθα ἀραβικὴ ἐοικυῖα τὴν φύσιν εἶναι δοκεῖ τῇ λευκῇ ἀκάνθῃ· στύφουσα. καὶ πρὸς ῥοῦν γυναικεῖον καὶ πρὸς ἀναγωγὴν αἵματος καὶ πρὸς τοὺς λοιποὺς ῥευματισμοὺς ἡ ῥίζα, παραπλησίως εὐθετεῖ.

Περὶ Σκολύμου. Κεφ. ις.

Σκόλυμος φύλλα ἔχει χαμαιλέοντος καὶ τῆς λευκῆς ἀκάνθης λεγομένης, μελάντερα δὲ καὶ παχύτερα· καυλὸν ἀνίησι* μακρόν, περίπλεων φύλλων, ἐφ' οὗ κεφαλὴ ἀκανθώδης· ῥίζα δὲ ὕπεστι μέλαινα παχεῖα, ἧς δύναμις ποιεῖ πρὸς τοὺς ἔχοντας τὰς μασχάλας, καὶ τὸ λοιπὸν σῶμα δυσῶδες καταπλασσομένη.

καὶ ἀ-

καὶ ἀφεψηθεῖσα ἐν οἴνῳ καὶ πινομένη. ἄγει δὲ οὖρα πολλὰ καὶ δυσώδη. ἡ δὲ πόα ἀρτιφυὴς οὖσα, λαχανεύεται ἑφθὴ ὥσπερ ἀσπάραγος.

Περὶ Ποτηρίου.
Κεφ. ιζ'.

Ποτήριον, ἴωνες δὲ νευράδα καλοῦσι, θάμνος ἐστὶ μέγας, κλῶνας ἔχον μακροὺς, μαλακοὺς, ἱμαντώδεις, λεπτοὺς, ἐμφερεῖς τραγακάνθῃ, φύλλα* μικρὰ, περιφερῆ, ὅλος δὲ ὁ θάμνος περίκειται* λεπτὸν χνοῦν ἐριώδη, καὶ ἔστιν ἀκανθώδης, ἄνθη μικρὰ, λευκὰ, καρπὸν δὲ * καὶ δριμὺ, ἄχρηστον. φύεται ἐν ἑλώδεσι καὶ γεωλόφοις χωρίοις. ῥίζαι δὲ ὕπεισι πήχεων δύο ἢ τριῶν, ἰσχυραὶ, νευρώδεις· αἵ τινες πρὸς τῇ γῇ ἀποτμηθεῖσαι, ἀνιᾶσι δάκρυον κόμμει ὅμοιον. κοπεῖσαι δὲ καὶ ἐπιπλασθεῖσαι νεύρων διακοπὰς καὶ τραύματα κολλῶσι. καὶ τὸ ἀφέψημα δὲ αὐτῆς πινόμενον, ταῖς περὶ νεῦρα διαθέσεσιν ἁρμόζει.

Περὶ Ἀκανθίου. Κεφ. ιη'.

Ἀκάνθιον ἐμφερῆ τὰ φύλλα ἔχει τῇ λευκῇ ἀκάνθῃ, ἐπ' ἄκρῳ δὲ ἀκανθώδεις ἐξοχὰς,* οὗ συλλεγομένου καὶ ὑφ' ἓν πλεκομένου, βαμβακοειδὴς* γίνεται. ταύτης ἡ ῥίζα καὶ τὰ φύλλα, ὀπισθοτονικοῖς βοηθεῖ πινόμενα.

Περὶ

item ſi decocta, in vino bibatur. Copioſam autem vrinam fœtidámque expellit. Herba cum recens tenereſcit, in olera, aſparagi modo, tranſit.

Poterium. Cap. XVII.

Poterium, Iones neurada vocant, largè fruticat, cortice obductum tenui, ſpinis horridũ, lanugine ſpiſſa, ramulis longis, mollibus, lentis, tenuibus, tragacanthæ proximis: foliis paruis, rotundis: flore exiguo, candidi coloris: ſemine nullius vſus, ſed guſtu acuto & odorato. Naſcitur in aquoſis, & collibus. Radices demittit binûm ternúmve cubitorum, neruoſas, & firmas: quæ proximè terram reciſæ, dant ſuccum gummi ſimilem. Tuſæ, præciſis neruis & vulneribus glutinandis illinuntur. Decoctum quoque eius neruorum affectibus prodeſt.

Acanthium. Cap. XVIII.

Acanthium albæ ſpinæ ſimile, foliis aculeatis per extremitates, & lanugine araneoſa obductis) ex qua collecta & neta, veſtes bombicinis ſimiles texunt, folia vel radices ad remedia opiſthotoni bibuntur.

Acan-

Acanthus. Cap. XIX.

Acanthus, Romani pæderotam vocant. naſcitur in hortis, petroſis, & riguis: folia habet multo lactucaceis latiora, & lõgiora, erucæ diuiſura, nigricantia, pinguia, læuia: caulem binûm cubitorum, digitali craſſitudine, læuem, prope verticẽ ex interuallis circundatum foliolis, ceu nucamenta quædam oblonga referentibus, ſpinoſis, è quibus flos prodit albus: ſemen oblongum, luteum: caput thyrſi ſpecie. Radicibus nititur longis, mucoſis, rubris, & glutinoſis: quæ vſtis igni & luxatis artubus illitæ ſubueniũt: potæ vrinam ciunt, ſed aluum cohibent. Ruptis, conuulſis, tabem ſentientibus, mirè proſunt.

Περὶ Ἀκάνθης. Κεφ. ιθ'.

Ἄκανθα, ἢ ἑρπάκανθα.* φύεται ἐν παραδείσοις, καὶ ἐν πετρώδεσι, καὶ παρύγροις χωρίοις. ἔχει δὲ πλατύτερα φύλλα πολλῷ καὶ μακρότερα θρίδακος, ἐσχισμένα ὡς τὰ τῆς εὐζώμου ὑπομέλανα, λιπαρὰ, λεῖα· καυλὸν λεῖον, δίπηχυν, πάχος δακτύλου, ἐκ διαστημάτων περὶ τῇ κορυφῇ περιειλημμένον φυλλαρίοις τισὶν, οἱονεὶ κυτταρίοις ὑπομήκεσιν, ἀκανθώδεσιν, ἐξ ὧν τὸ ἄνθος προΐεται λευκόν· σπέρμα ὑπόμηκες, μήλινον· θυρσοειδὴς δὲ ἡ κεφαλή. ῥίζαι δὲ ὕπεισι γλίσχραι, μυξώδεις, ἔμπυρροι, μακραί· αἳ τισι πυρικαύστοις καὶ στρέμμασιν ἁρμόζουσι καταπλασσόμεναι· πινόμεναι δὲ οὖρα ἄγουσι, καὶ κοιλίαν ἱστᾶσι.* φθισικοῖς τε καὶ ῥήγμασι καὶ σπάσμασιν εὐθετοῦσιν.

Acanthus ſylueſtris.

Cap. XX.

Naſcitur & ſylueſtris acanthus, ſcolymo ſimilis, aculeat⁹, breuior quàm ſatiuus, & is qui in hortis ꝓuenit: cuius radix ad eadẽ ad quę ſuperior efficax.

Περὶ Ἀγρίας ἀκάνθης.

Κεφ. κ'.

*Γίνεται δὲ καὶ ἀγρία ἄκανθα, ὁμοία σκολύμῳ, ἀκανθώδης, βραχυτέρα τῆς ἐν παραδείσῳ, καὶ ἡμέρου· δύναται δὲ καὶ ἡ ταύτης ῥίζα ὅσα καὶ ἡ περὶ αὐτῆς.

Anonis. Cap. XXI.

Anonis, quam aliqui anonida appellant, ramos habet fruticoſos, dodrantales, aut paulò maiores, frequẽtibus geniculis cinctos, cauis alarũ multis capiti-

Περὶ Ἀνωνίδος.

Κεφ. κα'.

Ἀνωνὶς, οἱ δὲ, ὀνωνίδα καλοῦσι, κλῶνες σπιθαμιαῖοι καὶ μείζονες, θαμνοειδεῖς, πολυγόνατοι, μασχάλας ἔχοντες πολλὰς, κεφάλια

λια περιφερῆ, φυλλάρια μικρὰ, λεπτὰ, ὥσπερ φακοῦ, πρὸς τὰ τοῦ πηγάνου ἢ λωτοῦ τοῦ ἐν χορτοκοπείοις, ὑποδάσεα, εὐώδη, οὐκ ἀηδὲς ὄζοντα. ἁλμεύεται δὲ πρὸ τοῦ ἀκανθοφυῆσαι· καὶ ἔστιν ἡδίστη. ἔχουσι δὲ οἱ κλάδοι ἀκάνθας ὀξείας, σκολοπειδεῖς, στερεάς· * ῥίζαν δὲ λευκὴν, θερμαντικὴν, *λεπτυντικήν· ἧς ὁ φλοιὸς πινόμενος σὺν οἴνῳ, οὖρα ἄγει καὶ λίθους θρύπτει, ἐσχάρας περιρρήπτει. ἀφεψηθεῖσα δὲ ἐν ὀξυκράτῳ καὶ διακλυζομένη, πόνον ὀδόντων πραΰνει.*

Περὶ Λευκακάνθης.
Κεφ. κβ.

*Λευκάκανθα, ταύτης ἡ ῥίζα ὁμοία κυπείρῳ, πικρὰ, ἰσχυρὰ, ἥτις μασηθεῖσα, ὀδονταλγίας παραμυθεῖται. τὸ δὲ ἀπόζεμα αὐτῆς σὺν οἴνῳ κυάθων τριῶν ποθὲν, βοηθεῖ πλευριτικοῖς χρονίοις, καὶ ἰσχιαδικοῖς, ῥήγμασι, σπωμένοις, καὶ τὸ χυλῶδες δὲ τῆς ῥίζης, τὰ αὐτὰ ποιεῖ πινόμενον.

Περὶ Τραγακάνθας. Κεφ. κγ΄.

Τραγάκανθα· ῥίζα ἐστὶ πλατεῖα καὶ ξυλώδης, φαινομένη δὲ καὶ ὑπὲρ γῆς, ἀφ᾽ ἧς κλάδοι ταπεινοὶ, ἰσχυροὶ, χεόμενοι δὲ ἐπιπολὺ, καὶ ἐπ᾽ αὐτῶν φυλλάρια πολλὰ μεταξὺ λεπτὰ ἀκάνθας ἔχοντα ἐγκρυπτομένας τοῖς φύλλοις, * λευκάς, ἰσχυ-

pitibus rotundis,foliis lenticulæ,tenuibus,puſillis,ad rutę aut pratéſis loti folia accedétibus, ſubhirſutis, odoratis, nó iniucundè olentibus. Muria códitur, antequã ſpinoſa fiat, cibis gratiſsima. Rami acutioribus ſpinis,& veluti ſpiculis firmioribus horrét: radicé mittit candidam,quæ excalfacit,& extenuat:huius cortex ex vino potus, vrinã ciet: calculos cõminuit,margines vlcerum erodit. Radix cũ decoquitur in poſca, dolorem dentium collutione mitigat. Decoctum eius potu hęmorrhoidas ſanare creditur.

Leucacantha. Cap. XXII.

Leucacantha prædita eſt radice cyperi, valida & amara quæ mãducata dolorem dentium ſedat: veteri laterũ dolori, atq; iſchiadicis prodeſt, decocto cyathis tribus ex vino poto. Eadé ruptis & conuulſis medetur. Radicis epotus ſuccus eoſdé præbet effectus.

Tragacantha. Cap. XXIII.

Tragacanthæ radix lata & lignoſa, ſummo ceſpite nititur, vnde ſurculos humiles, robuſtos, latiſsimè fundit, in quibus minuta folia, multa, nonnunquam tenuia exoriuntur, quæ ſub ſe ſpinas albas, rectas,

rectas & firmas occulunt. Eſt etiamnum tragacantha, lachryma: quæ, vulnerata radice manans, concreuit. Præſtat pellucens, gracilis, læuis, ſyncera & ſubdulcis. Cutis ſpiracula, vt gummi, obſtruit. Huius increbuit vſus ad oculorum medicamenta, ad tuſsim, exaſperatas fauces, retuſas voces, cæteráſque deſtillationes, cum melle in delinctu: ſubdita quoque linguę liqueſcit, & in paſſo madefacta, drachmæ pondere bibitur, contra renum dolorem, & veſicæ roſiones, mixto cornu cerui vſto & eloto, aut ſciſſi aluminis momento.

Eryngium. Cap. XXIIII.

Eryngium aculeatarum generis eſt. Cuius folia in principio, ſale condita, in cibos recipiuntur. lata autem ſunt, & extremo ambitu aſpera, guſtu aromatica. Sed vbi adoleuerũt circa cõplures cauliũ eminentias in ſpinas aculeãtur. in quorũ ſummitatibus globoſa capitula, durarũ acutiſsimarúmque ſpinarũ ambitu ſtellatim circũuallantur, quorũ colos aliâs viridis, aliâs albus: interdũ cœruleꝰ inuenitur. Radix oblõga, lata, foris nigra, internè cãdida, pollicis craſsitudine, odorata.

Naſci-

ἰσχυρὰς, ὀρθάς. ἔστι δὲ ἡ τραγάκανθα, δάκρυον τῆς ῥίζης ἀποτμηθείσης ἐπισυνιστάμενον, ἧς διαφέρει ἡ διαυγὴς καὶ λεία καὶ ἰσχνὴ καὶ καθαρὰ καὶ ὑπόγλυκυς. Δύναμιν δὲ ἔχει ὁμοίαν κόμμει παρεμπλαστικήν. χρῆσις δ᾽ αὐτῆς εἰς τὰ ὀφθαλμικὰ, καὶ πρὸς βῆχας, καὶ πρὸς τὰς περὶ ἀρτηρίαν τραχύτητας, καὶ φωνῆς ἀποκοπὰς, καὶ ἐπισταγμοῖς ἐν ἐκλεικτῷ σὺν μέλιτι· ἀποχυλίζεταί τε ὑποτεθεῖσα τῇ γλώσσῃ, καὶ πίνεται τε ἀποβραχεῖσα ἐν γλυκεῖ < ά. πλῆθος, πρὸς νεφρῶν ὀδύνην καὶ κύστεως δῆξιν, μιγνύτος αὐτῇ κέρατος ἐλαφείου κεκαυμένου καὶ πεπλυμένου, ἢ στυπτηρίας σχιστῆς ὀλίγης.

Περὶ Ἠρυγγίου. Κεφ. κδʹ.

Ἠρύγγιον τῶν ἀκανθωδῶν ἐστιν, ἧς ἐν ἀρχῇ τὰ φύλλα λαχανεύεται εἰς δι᾽ ἁλμαίας συντιθέμενα. ἔστι δὲ πλατέα, *τραχέα τοῖς πέριξ, ἀρωματίζοντα τῇ γεύσει, αὐξανόμενα δὲ ἀκανθοῦνται κατὰ πλείονας ἐξοχὰς καυλῶν, ἐφ᾽ ὧν κατὰ τὰ ἄκρα κεφάλια ἐπισφαιροειδῆ, ἀκάνθας περικείμενα ὥσπερ ἀστὴρ ὀξυτάτας κύκλῳ, σκληρὰς, ὧν τὸ χρῶμα χλωρὸν ἢ λευκὸν, ἐνίοτε δὲ καὶ κυανοῦν εὑρίσκεται. ῥίζα δὲ ἐπιμήκης, πλατεῖα, μέλαινα κατὰ τὴν ἐπιφάνειαν, ἔνδοθεν λευκὴ, δακτύλου μεγάλου τὸ πάχος, καὶ αὕτη εὐώδης καὶ ἀρωματίζουσα.

φύεται

φύεται δὲ ἐν πεδίοις καὶ τραχέσι τόποις. Δύναμιν δὲ ἔχει θερμαντικήν· * πινομένη ἄγει καὶ οὖρα καὶ ἔμμηνα, στρόφους τε καὶ ἐμπνευματώσεις λύει· ἡπατικοῖς δὲ καὶ θηριοδήκτοις, καὶ θανάσιμον εἰληφόσιν, ἁρμόζει σὺν οἴνῳ. πίνεται δὲ πρὸς τὰ πλεῖστα σὺν σταφυλίνου σπέρματι, < α. τὸ πλῆθος. ἱστορεῖται δὲ ὅτι περιαπτομένη καὶ καταπλασσομένη, φύματα διαφορεῖ. ῥίζα δὲ αὐτῆς πινομένη μετὰ ὑδρομέλιτος, ὀπισθοτονικοὺς ἰᾶται καὶ ἐπιληπτικούς.

Περὶ Αλόης. Κεφ. κέ.

Αλόη φύλλον ἔχει σκύλλῃ παραπλήσιον, παχὺ λιπαρὸν, ὑπόπλατυ, περιφερὲς, εἰς τοὐπίσω* κλώμενον, παρ' ἑκάτερα δὲ τὰ μέρη ἔχει τὰ φύλλα ἐκ πλαγίων ἀκανθώδη, ἀραιῶς ἐξέχοντα, κολοβὰ, καυλὸν δὲ ἀνίησιν ἀνθερικῷ ὅμοιον· ἄνθος δὲ λευκόν· καὶ καρπὸν ἀσφοδέλῳ ἐοικότα, βαρύοσμος δὲ ὅλη, καὶ ἀπογευομένῳ πικροτάτη· ἔστι δὲ μονόρριζος ὥσπερ πάσσαλον ἔχουσα τὴν ῥίζαν. γεννᾶται δὲ ἐν τῇ ἰνδίᾳ πλείστη λιπαρὰ, ἐξ ἧς καὶ τὸ ὄπισμα κομίζεται. φύεται δὲ καὶ ἐν ἀραβίᾳ καὶ ἀσίᾳ, καὶ ἔν τισι παραθαλασσίοις τόποις καὶ νήσοις, ὡς ἐν ἄνδρῳ οὐκ εὔχρηστος εἰς ὀπισμὸν, πρὸς δὲ κόλλησιν τραυμάτων ἐπιτήδειος, λεία καταπλασσομένη.

Naſcitur in aſperis & campeſtribus. Vim habet calfactoriam: pota menſes & vrinas pellit, tormina inflationéſque diſcutit: contra iocinerum vitia, ſerpentiũ morſus, & hauſta venena, cũ vino prodeſt. Bibitur aduerſus plurima cũ ſeminis paſtinacæ drachma vna: appenſa illitáve, tubercula diſcutere proditur. Pota cum hydromelite radix, opiſthotonicis & comitialibus medetur.

Aloë. Cap. XXV.

Aloës folium ſcillæ ſimilitudinem habet, craſſum, pingue, modicè latũ, rotũdũ, retrorſus pandũ: folia vtrinq; ex obliquo longioribus interuallis ſtriantur, & in ſpinulas deſinunt retuſas truncáſq;. Caulis emittitur nõ diſsimilis antherico: flos albus: fructus haſtulæ regiæ cognatus: graui tota eſt odore, & guſtu amariſsima: radice vna, ceu palo, in terrã depacta. Plurima præpinguíſq; in India gignitur, ex qua coactꝰ ſuccꝰ affertur. Naſcit̃ etiã in Aſia & Arabia, ĩ locis q̃buſdã maritimis: & in inſulis (vt in Andro) non valde ſucco extrahendo idonea, ſed ad glutinanda vulnera ſanè, q̃ vtilis, ſi detrita illinatur.

Duo ſuo ſucci genera:quoddã arenoſum,quod ſedimentũ puriſsimæ eſſe videtur. Alterũ ad iocineris imaginẽ vergit. Eligi debet, ſyncera, quæ nihil doli ſenſit,nitida, calculorũ expers, rufi coloris,friabilis,ac iocineris modo coacta, facile liqueſcens,eximię amaritudinis:improbatur nigra & fractu cõtumax.Gummi eam adulterãt: quod deprehenditur guſtu, amaritudine, & valido odore: eóq; argumento, quòd digitis friata non ad minima vſq; fruſta reſoluitur. Nec deſunt qui acaciã immiſceant. Natura eius eſt ſpiſſare,exiccare,ſomnũ allicere,& corpora denſare,aluum reſoluere. Stomachũ repurgat binûm cochleariũ mẽſura, in aqua frigida aut egelida pota: ſanguinis reiectiones ſiſtit: regiũ morbũ purgat, tribus obolis ex aqua, aut drachmę põdere in potu:deuorata cum reſina, aut cũ aqua,vel melle cocto ſumpta, aluũ ſoluit:purgationis perfectę cauſa, tribus drachmis ſumit:aliis purgatoriis medicaminibus admiſta præſtat vt minus ſtomachũ infeſtent:ſicca glutinãdis vulneribus inſpargitur, vlcera ad cicatricẽ perducit, cohibetque: eadem

δῆλον δέ ἐστι τὸ εἶδος τοῦ χυλίσματος· τὸ μέν τοι ψαμμῶδες, ὅ περ ὑποστάθμη τῆς καθαρωτάτης ἔοικεν εἶναι· τὸ δὲ, ἡπατίζον. ἐκλέγου δὲ τὴν καθαρὰν καὶ * ἄδολον καὶ ἄλιθον, στίλβουσαν, ὑπόξανθον, εὔθρυπτον, ἡπατίζουσαν, ῥαδίως ὑγραινομένην, ἐπιτεταμένην τῇ πικρίᾳ· τὴν μέντοι μέλαιναν καὶ δυσκάτακτον ἀποκλέγου. δολίζουσι δὲ αὐτὴν κόμμει· ὅ περ ἐλέγχεται γεύσει καὶ πικρίᾳ καὶ ὀσμῆς ἐπιτάσει· καὶ τῷ μὴ διαλύεσθαι μέχρις ἐλαχίστου ψήγματος θλιβομένην ὑπὸ τῶν δακτύλων. ἔνιοι δὲ καὶ ἀκακίαν μίσγουσι. Δύναμιν δὲ ἔχει συπτικὴν, ὑπνωτικὴν, ξηραντικὴν, πυκνωτικὴν τῶν σωμάτων, κοιλίας τε λυτικὴν, καὶ στομάχου ἀποκαθαρτικὴν, κοχλιαρίων β΄. πλῆθος, μεθ' ὕδατος ψυχροῦ, ἢ γαλακτώδους πινομένη· αἵματός τε ἀναγωγὰς ἐπέχει. καὶ ἴκτερον ἀποκαθαίρει, μεθ' ὕδατος τριωβόλου, ἢ < α. ὁλκῆς ἐν ποτῷ, καὶ μετὰ ῥητίνης δὲ καταπινομένη ἢ ὕδατος ἢ μέλιτος ἑφθοῦ ἀναληφθεῖσα κοιλίαν λύει· δραχμῶν δὲ τριῶν πλῆθος τελείως καθαίρει· μιγεῖσα δὲ τοῖς ἄλλοις καθαρτικοῖς, ἧσσον αὐτὰ κακοστόμαχα ποιεῖ, ξηρὰν δὲ ἐμπλασθὲν, τραύματα κολλᾷ, καὶ ἐπουλοῖ ἕλκη καὶ καταστέλλει.

αἰδοῖα

αἰδοῖα δὲ εἱλκωμένα ἰδίως θεραπεύει, καὶ ἐπαγώγια παίδων ῥηχθέντα παρακολλᾷ· θεραπεύει δὲ καὶ κονδυλώματα καὶ ῥαγάδας κεκραμένη σὺν γλυκεῖ οἴνῳ· αἱμορραγίας τε ἵστησι τὰς ἐξ αἱμορροΐδων, καὶ πτερύγια ἀπουλοῖ, αἴρει τὰ πελιώματα καὶ ὑπώπια σὺν μέλιτι· ψωροφθαλμίας τε καὶ ἀκανθῶν κνησμοὺς παρηγορεῖ· καὶ κεφαλαλγίαν μετ' ὄξους καὶ ῥοδίνου, μετώπῳ καὶ κροτάφοις ἐπιχριομένη· ἐπέχει καὶ ῥεούσας τρίχας σὺν οἴνῳ· καὶ πρὸς παρίσθμια δὲ καὶ οὖλα, καὶ πάντα τὰ ἐν τῷ στόματι ἁρμόζει σὺν μέλιτι καὶ οἴνῳ· φώγνυται δὲ καὶ εἰς τὰ ὀφθαλμικὰ ἐπὶ καθαροῦ καὶ διαπύρου ὀστράκου, μεταβαλλόμενον μύστρῳ, μέχρις ἂν ὁμαλῶς πυρωθῇ. πλύνεται δὲ χωριζομένου τοῦ ψαμμώδους ὡς ἀχρήστου, * λαμβανομένου δὲ τοῦ λιπαρωτάτου, καὶ λείου.

Περὶ Ἀψινθίου. Κεφ. κϛʹ.

Ἀψίνθιον, βαθύπικρον, γνώριμος ἡ πόα. ἔστι δὲ αὐτῆς βελτίων τὸ ἐν πόντῳ καὶ καππαδοκίᾳ, ἐν ὄρει τῷ καλουμένῳ ταύρῳ γινόμενον. Δύναμιν δὲ ἔχει θερμαντικὴν, συπτικὴν, καὶ ἀποκαθαρτικὴν τῶν ἐνηρκότων στομάχῳ καὶ κοιλίᾳ χολωδῶν. ἔστι δὲ καὶ οὐρητικὸν καὶ ἀκραίπαλον, προπινόμενον. καὶ πρὸς ἐμπνευματώσεις δὲ ἁρμόζει, καὶ κοιλίας

καὶ στο-

eadem peculiariter exulceratis genitalibus medetur, & diſrupta puerorum præputia iungit: condylomata, rimáſque ſedis ex paſſo ſanat: hæmorrhoidum abundantiam & ſanguinis eruptiones ſiſtit, pterygia ad cicatricem ducit, liuores & inſignita ex melle tollit: priuatim ſcabras lippitudines, pruriginéſq; angulorum, permulcet: dolorem capitis ſedat, temporibus & fronti illita, ex aceto & roſaceo: capillum fluentem continet, cum vino: tonſillis, gingiuis, & omnibus oris vlceribus, cũ melle & vino proficit: oculorum medicamentis torretur, in munda & cãdenti teſta, pennáque ſubinde verſatur, vt poſsit æqualiter torreri. Lauatur, vt quod ſit arenoſiſsimũ, tanquã inutile ſubſidat, & leue ac pinguiſsimũ aſſumatur.

Abſinthium. Cap. XXVI.

Abſinthium, aliqui bathypicron, herba vulgò cognita. Præſtantius in Ponto & Cappadocia, in monte Tauro naſcitur. Vim habet calfaciẽdi & adſtringendi: bilem expurgat, quæ & ſtomacho & ventri inhæſit: vrinam cit, & crapulam præſumptum arcet. Ad inflationes ventris, & ſtomachi

chi dolores prodeſt, cum ſeſeli & nardo gallico potum: faſtidia diſcutit, & arquatos ſanat madefacti dilutum, aut decocti ius, quotidie tribus cyathis hauſtum: menſes cit potum, aut cum melle appoſitum. Contra fungorum ſtrangulationes conuenienter ex aceto bibitur. Aduerſatur ixiæ venenis cum vino, item cicutæ, & muris aranei morſibus, & draconi marino. Anginæ eo cum melle & nitro perunguntur, & epinyctides ex aqua. Ad ſugillata & oculorum caligines ex melle illinitur: item auribus, ſi manat ſanies. Dentium auriúmque dolores decoctum vaporis ſuffitu compeſcit. Decoctum in paſſo dolentibus oculis oblinitur: item præcordiis & iocineris, tritum cum cerato cyprino ſtomacho quoque longa valetudine laboranti, cum roſaceo: cum ficis autẽ, aceto & loliacea farina, aquæ inter cutẽ lienoſisq; ſubuenit. Vinũ ex eo fit, quod abſinthen vocãt, pręſertim in Propontide & Thracia, quoad ante dicta vtũtur, cũ febri carent: alioquin in æſtate ꝓpinãt, & acceptã huic vino incolumitatem referunt. Inſpar-

καὶ στομάχου δήγματα, πινόμενον μετὰ σεσέλεως ἢ νάρδου κελτικῆς· καὶ ἀνορεξίας καὶ ἰκτερικοὺς θεραπεύει, τὸ ἀπόβρεγμα αὐτοῦ ἢ τὸ ἀφέψημα, καθ᾽ ἑκάστην ἡμέραν λαμβανόμενον εἰς πλῆθος κυάθων τριῶν· ἄγει δὲ καὶ ἔμμηνα, πινόμενόν τε καὶ προστιθέμενον μετὰ μέλιτος. πρὸς δὲ τοὺς ἀπὸ μυκήτων πνιγμοὺς, ἁρμόζει σὺν ὄξει πινόμενον, σὺν οἴνῳ δὲ πρὸς ἰξίαν καὶ κώνειον καὶ μυγαλῆς δήγματα, καὶ δράκοντα θαλάσσιον. συναγχικοῖς δὲ διάχρισμα σὺν μέλιτι καὶ νίτρῳ καὶ πρὸς ἐπινυκτίδας σὺν ὕδατι. πρὸς δὲ ὑπώπια σὺν μέλιτι, καὶ πρὸς ἀμβλυωπίας, καὶ πρὸς ἰχωροῦντα ὦτα ὁμοίως. καὶ ὁ ὑπαθυμιασμὸς δι᾽ αὐτοῦ τοῦ ἀφεψήματος πρὸς ὠταλγίαν καὶ ὀδονταλγίαν. ἀφεψόμενόν τε σὺν γλυκεῖ, κατάπλασμα ὀφθαλμῶν περιωδυνώντων ἐστί· καταπλάσσεται δὲ καὶ πρὸς ὑποχόνδρια, καὶ ἧπαρ καὶ στόμαχον ἐπιδηγῆ καὶ χρονίως πάσχοντα, συνεκλεαινόμενον κηρωτῇ κυπρίνῃ· πρὸς δὲ στόμαχον ῥοδίνῃ· ἁρμόζει καὶ ὑδρωπικοῖς, καὶ σπληνικοῖς, μιγνύντων αὐτῷ σύκων, καὶ νίτρου, καὶ αἰρίνου ἀλεύρου. Σκευάζεται δὲ ἐξ αὐτοῦ καὶ οἶνος ὁ λεγόμενος ἀψινθίτης, μάλιστα περὶ τὴν Προποντίδα καὶ Θρᾴκην, ᾧ πρὸς τὰ προειρημένα χρῶνται ἐν ἀπυρεξίᾳ· καὶ ἄλλως δὲ, προπίνουσιν ἐξ αὐτοῦ θέρους ὑγείας ποιητικὸν εἶναι νομίζοντες. δοκεῖ

δοκεῖ δὲ καὶ περιπλαττόμενον εἰς τὰς κιβωτοὺς ἄβρωτα τηρεῖν τὰ ἱμάτια. διαχριόμενόν τε μετ᾽ ἐλαίου, κώνωπας κωλύειν ἅπτεσθαι τοῦ σώματος· τὸ δὲ μέλαν ᾧ γράφομεν τῷ ἀποβρέγματι αὐτοῦ * γραφὲν, ἄβρωτα μυσὶ τηρεῖ τὰ γράμματα. ἔοικε δὲ καὶ τὸ τοῦ χυλίσματος ἔργα ποιεῖν τὰ αὐτά. πλὴν εἰς τὰς πόσεις οὐ δοκιμάζομεν αὐτὸ, κακοστόμαχον καὶ κεφαλαλγὲς ὄν. τὸ δὲ χύλισμα ἀμόργῃ ἑψηθείσῃ καὶ μιγνυμένῃ δολοῦσί τινες.

Περὶ Ἀψινθίου θαλασσίου.

Κεφ. κζ΄.

Ἀψίνθιον θαλάσσιον τινὲς δὲ καὶ σερίφιον καλοῦσι, ὅπερ πλεῖστον ἐν τῷ περὶ καππαδοκίαν ταύρῳ ὄρει γεννᾶται, καὶ ἐν ταφοσίρει τῆς αἰγύπτου· ᾧ ἀντὶ θαλλοῦ οἱ ἰσιακοὶ χρῶνται. ἔστι δὲ ἡ πόα λεπτόκαρφος, ἐοικυῖα ἀβροτόνῳ μικρῷ, περιπληθὴς σπερματίων, ὑπόπικρος, κακοστόμαχος, βαρύοσμος, στύφουσα μετὰ ποσῆς θερμασίας· ἥ τις ἑψηθεῖσα καθ᾽ ἑαυτὴν, ἢ μετὰ ὀρύζης καὶ ληφθεῖσα μετὰ μέλιτος, ἀσκαρίδας καὶ ἕλμινθας στρογγύλας κτείνει, ὑπάγουσα κοιλίαν κούφως· δύναται δὲ καὶ ζωμῷ * ἑψήματι, ἢ φακῇ καθεψηθεῖσα τὰ αὐτὰ ποιεῖν. λιπαίνεται δὲ μάλιστα τὰ πρόβατα νεμόμενα.

Inſparſum arcis abſinthiũ, veſtes ab erodentium iniuria vindicat: culices ex oleo perunctum abigit, & à corpore arcet: atramentum librarium diluto eius temperatum, literas à murium eroſione tuetur. Exiſtimatur liquamẽtum eoſdem præſtare effectus. Attamen potionibus improbatur, quoniã ſtomachum malè habet, & capitis ciet dolorem. Sunt qui decocta amurca, liquamentum adulterant.

Marinum abſinthium.

Cap. XXVII.

Abſinthium marinum, quod aliqui ſeriphum vocant, copioſiſsimum in Tauro monte iuxta Cappadociam & in Taphoriſi Ægypti gignitur: quo Iſiaci pro oliuæ ramo vtuntur. Herba eſt tenuis, abrotoni parui ſimilitudine, referta minutulis ſeminibus, ſubamara, ſtomacho inimica. Ea grauiter olet, & cum quadam calfactione adſtringit: per ſeſe aut cum oryza cocta, interaneorum animalia, teretéſque tineas, adiecto melle, enecat, aluum leuigat: cum edulio autẽ vel lenticula decocta, eadem prẹſtare poteſt. Pecora maximè pingueſcunt hoc pabulo.

Abſinthium Santonicũ. Cap. XXVIII.

Tertiũ genus abſinthio aſſignatur, quo Gallia alpibus finitima ſcatet: id patrio nomine Santonicum vocant, regionis in qua naſcitur cognométo, abſinthio non diſsimile, verùm ſubamarum eſt, nõ adeò ſeminis fœcundum. Eadé quæ ſeriphium poteſt.

Abrotonum. Cap. XXIX.

Abrotonum duorum eſt generum. Fœmina quadam arboris ſpecie fruticans, candicat, circum ramulos foliis, ſeriphi modo, minutim inciſis: floribus referta eſt, comantibus in ſummo, fulgore auri, corymbis: quod per æſtaté prodiit, ſuauiter olet, cum grauitate quadam & amaro guſtu: id genus ſiculum eſſe conſtat. Alterum mas vocatur, ſarmentoſum, gracilibus ramulis vti abſinthium. Plurimum in Cappadocia gignitur, & Galatia Aſiatica, atque in Syriæ Herapoli. Crudum ſemen tritum & feruefactum ex aqua, in potu auxiliatur orthopnoicis, cõuulſis, ruptis, coxendicibus, vrinæ anguſtiis, menſibus ſuppreſsis, aut remorantibus.

In vino

Περὶ Ἀψινθίου σαντονίου. Κεφ. κή.

Ἔστι δὲ καὶ τρίτον εἶδος ἀψινθίου, γεννώμενον ἐν τῇ κατὰ τὰς ἄλπεις γαλατίᾳ πλεῖστον· ὃ ἐπιχωρείως σαντίνιον καλοῦσιν ἐπωνύμως τῇ γεννώσῃ αὐτὸ σαρδονίδι χώρᾳ. ἐοικὸς ἀψινθίῳ, οὐ μὴν οὕτω γε ἔνσπερμον, ὑπόπικρον δὲ, καὶ δυνάμενον τὰ αὐτὰ τῷ σεριφίῳ.

Περὶ Ἀβροτόνου. Κεφ. κθ΄.

Ἀβρότονον, ἔστι δὲ αὐτοῦ τὸ μὲν θῆλυ θάμνος δενδροειδὴς, ὑπόλευκος φύλλοις λεπτοσχιδέσιν ὡς τὰ τοῦ σεριφίου· περὶ τὰ κλωνία πλῆρες ἄνθους,* ἐπ᾽ ἄκρου ἔχον κορυμβώδες χρυσοειδές· θερείας γεννώμενον εὐῶδες μετὰ ποσοῦ βάρους, πικρὸν τῇ γεύσει, δοκεῖ δὲ τὸ σικελιωτικὸν εἶναι τοῦτο. τὸ δὲ ἕτερον ἄῤῥεν καλεῖται, κληματῶδες λεπτόκαρπον ὡς ἀψίνθιον. πλεῖστον δὲ ἐν καππαδοκίᾳ γεννᾶται καὶ γαλατίᾳ τῇ κατὰ τὴν ἀσίαν, καὶ ἐν ἱεραπόλει τῇ κατὰ τὴν συρίαν. Τούτων ὁ καρπὸς ἀποζεννύμενος καὶ ὠμὸς τριβεὶς μεθ᾽ ὕδατος πινόμενος, βοηθεῖ ὀρθοπνοίᾳ, ῥήγμασι, σπάσμασιν, ἰσχιάσι, δυσουρίαις, ἐμμηνίων ἐπισχέσει. καὶ θανασίμων φαρμάκων ἐστὶν ἀντίδοτος· ποθὲν σὺν οἴνῳ σύγχρισμά τε ῥιγούντων μετ᾽ ἐλαίου ἐστί. διώκει δὲ καὶ ἑρπετὰ στιβαδευόμενον καὶ θυμιώμενον.

καὶ πι-

καὶ πινόμενον δὲ σὺν οἴνῳ ὠφελεῖ τοὺς δηχθέντας, ἰδίως δὲ ἁρμόζει ἐπὶ φαλαγγίων καὶ σκορπίων· βοηθεῖ δὲ καὶ ὀφθαλμῶν φλεγμοναῖς σὺν ἑφθῷ κυδωνίῳ ἢ μετὰ ἄρτου καταπλασθέν. διαφορεῖ καὶ φύματα μετὰ ὠμῆς λύσεως λεῖον ἑψηθέν. μίγνυται δὲ καὶ εἰς τὴν τοῦ ἰρίνου ἐλαίου σκευασίαν.

Περὶ Ὑσσώπου. Κεφ. λ΄.

Ὕσσωπος πόα γνώριμος, διττή, ἡ μὲν γάρ τίς ἐστιν ὀρεινή, ἡ δὲ κηπευτή. ἀρίστη δέ ἐστιν ἡ ἐν κιλικίᾳ γεννωμένη. Δύναμιν δὲ ἔχει λεπτυντικήν, θερμαντικήν· ἀφεψηθεῖσα δὲ μετὰ σύκων, καὶ ὕδατος, μέλιτός τε καὶ πηγάνου καὶ πινομένη, ἀρήγει περιπνευμονικοῖς, ἀσθματικοῖς, βηχὶ χρονίᾳ, κατάρρῳ, ὀρθοπνοίᾳ· κτείνει δὲ καὶ ἕλμινθας. σὺν μέλιτι δὲ ἐκλειχομένη τὸ αὐτὸ ποιεῖ. ἄγει δὲ καὶ πάχος κατὰ κοιλίαν τὸ ἀφέψημα αὐτῆς σὺν ὀξυμέλιτι πινόμενον· βιβρώσκεται δὲ καὶ μετὰ χλωρῶν σύκων λείων πρὸς ὑπαγωγὴν κοιλίας, σφοδρότερον δὲ καθαίρει μιγέντος αὐτῷ καρδαμώμου, ἢ ἴριδος ἢ ἐρυσίμου· περιποιεῖ δὲ καὶ εὔχροιαν. καταπλάσσεται δὲ μετὰ σύκου καὶ νίτρου πρὸς σπλῆνα καὶ ὕδρωπα, σὺν οἴνῳ δὲ πρὸς φλεγμονάς. διαφορεῖ δὲ καὶ ὑπώπια σὺν ὕδατι ζεστῷ καταπλασθεῖσα.

συνά-

In vino potũ exitialiũ venenorũ antidotũ eſt: horroribus ex oleo illinit: ſerpẽtes & ſubſtratu & nidore fugat: cõtra ictus eorũ cũ vino potũ prodeſt, priuatim efficax cõtra ſcorpionũ & phalãgiorũ venena: oculorũ inflãmationib⁹ cõmodè illinit, cum cotoneo cocto, aut pane: tritũ cũ farina hordeacea, decoctũq́; tubercula diſcutit: irini cõpoſitionibus admiſcetur.

Hyſſopum. Cap. XXX.

Hyſſopum, herba nulli non cognita, duûm generũ eſt, mõtanum & hortenſe. Optimum eſt Cilicium. Vim habet extenuãdi & calfaciendi: decoctũ cum ficis, aqua, melle, & ruta, potúmque, peripneumonicis, diuturnę tuſsi, ſpirioſis, deſtillationibus, & orthopnoicis auxiliatur: tineas enecat. Idẽ facit, ſi cũ melle delingatur. Craſſum humorem per aluum extrahit, decoctũ ex aceto mulſo epotũ: & ad ſubducendam aluum cũ ficis viridibus detritis manditur, vehemẽtiusq́; addita iri, cardamomo, aut irione, deiicit: colorẽ in corpore fouet: lieni, & aquę inter cutem, cũ fico nitróq́;, inflãmationibus quoq́; ex vino illinitur: cũ feruẽte aqua impoſitũ, ſugillata diſcutit:

cum decocto ficorum, optimè anginis gargarizatur. Decoctum cum aceto, dentiũ dolorem in collutione ſedat: inflationes auricularum vaporis ſuffitu diſcutit.

Stœchas. Cap. XXXI.

Stœchas, iuxta Galliã in inſulis eiuſdem nominis è regione Maſſiliæ gignitur, vnde cognomentũ accepit. Herba tenuibus ſurculis, coma thymi, lõgiore folio ſubamara guſtu, & aliquantum acris. Cuius decoctum, hyſſopi modo, ad pectoris vitia efficax eſt. Antidotis miſcetur. Viſcera omnia & vniuerſum animantis habitum extenuat, ab obſtructionibus & farctu liberat.

Origanum. Cap. XXXII.

Origanum Heracleoticum, quod & cuniculã vocant, foliũ habet hyſſopo non diſsimile: vmbellam autem non in rotæ ſpeciẽ orbiculatam, ſed veluti multifidã, ſemine in ſummis virgis haudquaquã denſo. Excalfacit: vnde decoctum cum vino potũ, demorſis à ſerpente conuenit. Si cicutã aut meconion hauſerunt, ex paſſo: ſi gypſum aut ephemeron, ex aceto mulſo propinatur. Ruptis, cõuulſis, hydropicis, cũ fico eſui datur.

Aridũ

συνάγχοις δὲ ἀναγαργάρισμα μετὰ σύκων ἀφεψήματος ἄριστον. ὀδόντων τε πόνον πραΰνει σὺν ὄξει ἑψηθεῖσα καὶ διακλυζομένη. λύει δὲ καὶ τὰς περὶ τὰ ὦτα ἐμπνευματώσεις ὑποθυμιαθεῖσα.

Περὶ Στοιχάδος. Κεφ. λα.

Στοῖχας, γεννᾶται μὲν ἐν ταῖς κατὰ γαλατίαν νήσοις ἀντικρὺ μασσαλίας, καλουμέναις δὲ στοιχάσιν, ὅθεν καὶ τὴν ἐπωνυμίαν ἔσχηκε. πόα λεπτόκαρπός ἐστιν, ὁμοίαν ἔχουσα κόμην θύμῳ, μακροφυλλοτέρα μέντοι γε καὶ δριμεῖα ἐν τῇ γεύσει, καὶ ὑπόπικρος πως. ποιεῖ δὲ τὸ ἀφέψημα αὐτῆς καθὼς ὁ ὕσσωπος πρὸς τὰ ἐν θώρακι. μίγνυται δὲ καὶ ἀντιδότοις χρησίμως.*

Περὶ Ὀριγάνου. Κεφ. λβ.

Ὀρίγανος ἡρακλεωτική, οἱ δὲ κονίλην καλοῦσι, φύλλον ἔχει ἐμφερὲς ὑσσώπῳ· σκιάδιον δὲ οὐ τροχοειδὲς, ἀλλ᾽ ὥσπερ διῃρημένον, καὶ ἐπ᾽ ἄκρων τῶν ῥάβδων τὸ σπέρμα οὐ πυκνόν. Ἔστι δὲ θερμαντική· ὅθεν τὸ ἀφέψημα αὐτῆς σὺν οἴνῳ ποθὲν, ἁρμόζει θηριοδήκτοις. σὺν γλυκεῖ δὲ τοῖς κώνειον ἢ μηκώνειον πεπωκόσι. σὺν ὀξυμέλιτι δὲ τοῖς πεπωκόσι γύψον ἢ ἐφήμερον. πρὸς δὲ τὰ σπάσματα, καὶ ῥήγματα καὶ ὑδρωπας μετὰ σύκου βιβρωσκομένη.

ξηρὰ

ξηρὰ δὲ ποθεῖσα ὀξυβάφου πλῆθος, σὺν μελικράτῳ μέλανα κατὰ κοιλίαν ἄγει· ἔμμηνά τε κινεῖ καὶ βῆχας θεραπεύει σὺν μέλιτι ἐκλειχομένη· κνησμοὺς δὲ καὶ ψώρας καὶ ἴκτερον τὸ ἀφέψημα αὐτῆς ἐν λουτρῷ ὠφελεῖ. ὁ δὲ χυλὸς αὐτῆς χλωρᾶς οὔσης, καὶ παρίσθμια καὶ κιονίδας καὶ ἄφθας θεραπεύει, καὶ διὰ ῥινὸς ἄγει σὺν ἐλαίῳ ἰρίνῳ ἐγχυματιζόμενος· σὺν γάλακτι δὲ καὶ ὠταλγίας παρηγορεῖ. ἐμετικόν τε φάρμακον σκευάζεται δι' αὐτῆς καὶ κρομμύων, καὶ ῥοὸς τῆς ἐπὶ τὰ ὄψα, πάντων ἐν χαλκῷ κυπρίῳ, ἐν τοῖς ὑπὸ κύνα καύμασιν ἡλιασθέντων, ἐπὶ ἡμέρας μ'. ὑποστρωννυμένη δὲ ἡ πόα, ἑρπετὰ διώκει.

Περὶ Ὀνίτιδος. Κεφ. λγ'.

Ἡ δὲ ὀνῖτις καλουμένη, λευκοτέρα τοῖς φύλλοις ἐστὶ, καὶ μᾶλλον ἐοικυῖα ὑσσώπῳ. καὶ τὸ σπέρμα ὥσπερ κορύμβους συνεχεῖς ἐπικειμένους ἔχει. δύναται μὲν τοι τὰ αὐτὰ τῇ ἡρακλεωτικῇ, οὐχ οὕτω μέντοι δραστικὴ καθέστηκεν.

Περὶ Ἀγριοριγάνου. Κεφ. λδ'.

Ἡ δὲ ἀγριορίγανος ἣν πάνακες ἡράκλειον, οἱ δὲ κονύλην καλοῦσιν, ὧν ἐστι καὶ Νίκανδρος ὁ Κολοφώνιος, ἔχει τὰ μὲν φύλλα ὅμοια ὀριγάνῳ, ῥαβδία δὲ σπιθαμιαῖα λεπτὰ, ἐφ' ὧν σκιάδια ὅμοια ἀνήθῳ, ἄνθη δὲ λευκὰ,

ῥίζα

Aridum acetabuli menſura potum in aqua mulſa, atros humores per aluum extrahit:mẽſes ciet,& tuſsi cum melle linctum medetur:ad pruriginem, pſoras,regiúmque morbũ, decocti ius in balneis ꝓdeſt. Succus virentis tonſillas,vuam, & oris vlcera ſanat, & per nares, ex oleo irino infuſum, trahit: auriũ dolores cum lacte mulcet,Cõficitur ex eo,& cepis & rhois frutice quo ad obſonia vtuntur: vomitorium medicamẽtum,his omnibus in cupreo vaſe per dies bis vicenos inſolatis,dum caniculæ ſydus flagrat.Herbæ autẽ ſubſtratu ſerpentes fugantur.

Ouitis. Cap. XXXIII.

QVÆ ouitis appellatur, candidiore eſt folio, & hyſſopo ſimilior. Semen veluti coniunctos corymbos habet. Vis ei origani Heraclei, ſed multò inefficacior.

Origanum ſylueſtre.
Cap. XXXIIII.

Sylueſtre origanum, aliqui panaces Heraclion, alij cunilam vocant, ex quibus eſt Nicander Colophonius.Foliis eſt origani,ramis tenuibus, dodrãtem altis, in quibus vmbellæ anethi inſunt, flores candidi:

radix

radix tenuis, ſuperuacua. Peculiariter pcuſsis à ſerpente, folia & flores ex vino poti auxiliãt.

Tragoriganum.
Cap. XXXV.

Tragoriganũ tenuis frutex, eſt, ſylueſtri ſerpillo aut origano ſimilis, folio & ramulis. Quibuſdam in locis lætius virentiúsque inuenitur, & latiorib⁹ foliis, ſatis glutinoſum. Alterũ exilibus ſurculis, ac tenuib⁹ foliis, qđ aliqui praſiũ vocauere. Optimũ eſt Cilicium, & Cretẽſe, & Smyrneum, & in Chio Chooq; pueniens. Omnia excalfaciũt, vrinã cient, aluo accõmodantur, decocto poto bilem deiiciũt, lienoſis ex aceto bibere prodeſt, cõtra pota ixię venena in vino bibuntur, menſes trahunt: peripneumonicis, tuſsiẽtib⁹, ex melle in eclegmate dantur. Grata ac mitis eorũ potio eſt: quare cibum faſtidientibus & ſtomacho acida ructãti, imbecillóque traditur. Item ſi à maritima iactatione nauſea, & æſtus præcordiorũ excitetur: tumores verò cum polenta illita diſcutiunt.

Pulegium. Cap. XXXVI.

Pulegiũ herba vulgaris notitię. Extenuat, calfacit, decoquit: menſtrua, ſecundas ac partus eiicit:

ῥίζα λεπτὴ ἄχρηστος. ἰδίως δὲ βοηθεῖ θηριοδήκτοις τὰ φύλλα καὶ τὰ ἄνθη σὺν οἴνῳ πινόμενα.

Περὶ Τραγοριγάνου.
Κεφ. λέ.

Τραγορίγανος θαμνίσκος ἐστὶν, ὀριγάνῳ ἢ ἑρπύλλῳ ἀγρίῳ ὅμοιος, τὰ φύλλα καὶ τὰ κλωνία· ἡ μέν τις εὑρίσκεται κατὰ τόπους εὐερνεστέρα, καὶ πλατύφυλλος, κολλώδης ἱκανῶς. ἡ δέ τις λεπτόκαρφος καὶ λεπτόφυλλος, ἣν καὶ πράσιον ἔνιοι καλοῦσιν. ἀρίστη δὲ ἡ κιλίκιος, καὶ ἡ ἐν κῷ καὶ χίῳ καὶ σμύρνῃ καὶ κρήτῃ. θερμαντικαὶ δὲ πᾶσαι καὶ οὐρητικαὶ καὶ εὐκοίλιοι, πινομένου τοῦ ἀφεψήματος. ὑποβιβάζουσι γὰρ τὰ χολώδη, εὔθετοι καὶ σπληνικοῖς πινόμεναι μετ' ὄξους, καὶ τοῖς ἰξίαν πεπωκόσι μετ' οἴνου, καὶ ἔμμηνα δὲ ἄγουσι· βηξί τε καὶ περιπνευμονίαις, σὺν μέλιτι ἐν ἐκλεικτῷ δίδονται. ἔστι δὲ καὶ τὸ πότημα ἐπιεικές· ὅθεν τοῖς ἀσώδεσι καὶ κακοστομάχοις καὶ ὀξυρεγμιῶσι δίδοται· καὶ ἐφ' ὧν ἁλισμὸς καὶ ναυτία καὶ θέρμη ὑποχονδρίων παρακολουθεῖ· διαφορεῖ δὲ καὶ οἰδήματα καταπλασθεῖσα μετὰ ἀλφίτων.

Περὶ Γλήχωνος. Κεφ. λϛ΄.

Γλήχων πόα γνώριμος, λεπτυντικὴ, θερμαντικὴ, πεπτική. ποθεῖσα δὲ ἔμμηνα καὶ δεύτερα καὶ ἔμβρυα ἄγει·

ἄγει· ἀνάγει δὲ καὶ τὰ ἐκ πνεύμονος μετὰ ἀλόης καὶ μέλιτος ποθεῖσα, καὶ σπωμένοις βοηθεῖ· ναυτίας τε καὶ δηγμοὺς στομάχου μετὰ ὀξυκράτου ποθεῖσα παραμυθεῖται· ἄγει δὲ καὶ κατὰ κοιλίαν μέλαινα. βοηθεῖ δὲ καὶ θηριοδήκτοις πινομένη μετ' οἴνου. λειποθυμοῦντας ἐξ ἀνακτᾶται σὺν ὄξει τῇ ῥινὶ προσφερομένη· κρατύνει δὲ καὶ οὖλα ξηρὰ λεῖα κεκαυμένη, ἐπιπλασθεῖσα δὲ πραΰνει πᾶσαν φλεγμονὴν σὺν ἀλφίτῳ, καθ' ἑαυτὴν δὲ ποδαγρικοῖς ἁρμόζει, ἄχρι φοινίξεως τῆς ἐπιφανείας· σὺν κηρωτῇ δὲ ἰόνθους σβέννυσιν, ὠφελεῖ δὲ καὶ σπληνικοὺς μεθ' ἁλὸς καταπλασσομένη. τὸ δὲ ἀφέψημα αὐτῆς κνησμοὺς λουομένων παύει, καὶ εἰς ἐγκάθισμα, καὶ πρὸς ἐμπνευματώσεις καὶ σκληρίας καὶ ἀποστροφὰς ὑστέρας ἁρμόζει. καλοῦσι δέ τινες αὐτὴν βλήχωνα, ἐπειδὴ τὰ γευσάμενα κατὰ τὴν ἄνθησιν τῶν ποιμνίων, βληχῆς ὑποπίμπλανται.

Περὶ Δικτάμνου. Κεφ. λζ.

Δίκταμνος ἣν καλοῦσί τινες γλήχωνα ἀγρίαν. πόα ἐστὶ κρητική, δριμεῖα, λεία, ὁμοία γλήχωνι, μείζω δὲ καὶ γναφαλώδη τὰ φύλλα ἔχει, καὶ ἐριώδη τινὰ ἐπίφυσιν· οὔτε δὲ ἄνθος οὔτε καρπὸν φέρει. ποιεῖ δὲ πάντα ὅσα καὶ ἡ ἥμερος γλήχων, ἐνεργέστερον

eiicit: pulmonis vitia ex melle & aloë potum extrahit, & conuulſis auxiliatur: nauſeas ſtomachíque interciſiones, ex poſca permulcet: atram bilem per aluum exigit. Bibitur in vino vtiliſsimè contra ſerpentium morſus. Defectos animo recreat, cum aceto naribus obiectum: gingiuas areſacti cinere corroborat, illitum cum polenta inflammationes omneis ſedat, podagris per ſe ſubuenit, impoſitum vſq; dum rubeſcat locus: cum cærato varos extinguit, lienoſis cum ſale vtiliter illinitur: decoctum eius ablutas prurigines mitigat, conuerſas vuluas corrigit, contra inflationes duririáſque vuluæ, in deſeſsione couuenienter adiicitur. Vocāt aliqui blechona, quoniam dum floret guſtatum à pecoribus, balatum cōcitat.

Dictamnũ. Cap. XXXVII.

Dictamnum aliquibus ſyluestre pulegiũ vocatur. Cretenſis herba eſt, acris, leuis, pulegio ſimilis, ſed maioribꝰ foliis, quæ tomento quodam ſpiſſáque lanugine pubeſcunt. Florē nullũ aut ſemen profert. Præſtat omnia quæ ſatiuum pulegium, ſed

ſed efficacius multò: nam non potum modò, ſed appoſitum quoque aut ſuffitum, defunctos partus eiicit. Produnt in Creta capras ſagittis percuſſas, huius herbæ paſtu, eas excutere. Purgandi vim habet ſuccus illitus, aut cum polenta tritus. Herba impactos pedibus reliquóve corpori aculeos, illitu refigit. Ad lienis dolorem efficax habetur: ſiquidem ipſum imminuit. Metunt æſtate & autumno. Radix eius guſtu calfacit, partus accelerat. Succus cum vino potus, cótra ſerpentium morſus præſidio eſt. Tanta herbæ facultas eſt, vt olfacta abigat beſtias, quæ venenato ictu ſæuiant, appenſáque contactu exanimet. Vulneribus ferro illatis, & venenatis morſibus, infuſus ſuccus præſentaneo eſt remedio, ſi etiam ab inſtillatione ſtatim in potu aſſumatur.

Pſeudodictamnum. Cap. XXXVIII.

Quod pſeudodictamnum vocant, multis in terris naſcitur, antè dicto ſimile, ſed minus quàm illud acre. Eoſdem effectus præbet, ſed inefficacius multò.

Dictamnum

ἐνεργέστερον δὲ πολλῷ· οὐ μόνον γὰρ πινομένη ἀλλὰ καὶ προστιθεμένη καὶ ὑποθυμιωμένη, τὰ τεθνηκότα ἔμβρυα ἐκτινάσσει. φασὶ δὲ καὶ τὰς αἶγας ἐν κρήτῃ* τοξευθείσας καὶ νεμηθείσας τὴν πόαν ἐκβάλλειν τὰ τοξεύματα. ἔχει δὲ καὶ καθαρτικὴν δύναμιν ὁ χυλὸς αὐτῆς, καταχριόμενος ἢ τριβόμενος μετὰ ἀλφίτων. καταπλασσομένη δὲ ἡ βοτάνη τοὺς ὑποκάτω τῶν ποδῶν ἢ τοῦ λοιποῦ σώματος θεραπεύει σκόλοπας. ποιεῖ δὲ καὶ πρὸς πόνον σπληνός, μειοῖ γὰρ αὐτόν. καρπίζουσι δὲ αὐτὴν ἐν θέρει καὶ φθινοπώρῳ. ἡ δὲ ῥίζα αὐτοῦ γευομένους θερμαίνει, ἔστι δὲ καὶ ὀξυτόκιον. βοηθεῖ δὲ καὶ θηριοδήκτοις ὁ χυλὸς αὐτῆς μετ᾽ οἴνου πινόμενος. τοιαύτη δὲ τῆς βοτάνης ἡ δύναμις, ὡς καὶ ὀσφραινομένη διώκειν, καὶ προσαπτομένη ἀναιρεῖν τὰ ἰοβόλα θηρία. τὸ δὲ αὐτῆς χύλισμα ἐπιχεόμενον πληγῇ σιδήρου ἢ ἰοβόλου δήγματι, καὶ πρὸς τῷ ἐπιχυθῆναι καὶ λαμβανόμενον πόσει, εὐθέως ὑγιάζει.

Περὶ Ψευδοδικτάμνου. Κεφ. λή.

Τὸ δὲ ψευδοδίκταμνον καλούμενον, φύεται ἐν πολλοῖς τόποις, ἐμφερὲς δὲ τῷ προειρημένῳ, ἔλαττον δὲ δριμύ. ποιεῖ δὲ τὰ αὐτὰ τῷ δικτάμνῳ οὐχ ὁμοίως ἐνεργοῦν.

Περὶ

Περὶ τοῦ ἀπὸ κρήτης δικτάμνου. Κεφ. λθ.

Φέρεται δὲ καὶ ἀπὸ κρήτης ἕτερον εἶδος δικτάμνου, φύλλοις ἐοικὸς σισυμβρίου, κλωσὶ δὲ μεῖζον· ἐφ᾽ ὧν ἄνθος ὀριγάνῳ ἀγρίῳ ἐοικὸς, μέλαν, μαλακόν· ὀσμὴ δὲ τῶν φύλλων μεταξὺ σισυμβρίου, καὶ ἐλελισφάκου, ἡδίστη. ποιεῖ δὲ πρὸς ὅσα καὶ ἡ πρὸ αὐτοῦ, ἧσσον πληκτικὴ ὑπάρχουσα. μίγνυται δὲ καὶ ἐμπλάστροις καὶ θηριακοῖς.

Περὶ Ἐλελισφάκου. Κεφ. μ΄.

Ἐλελίσφακον, οἱ δὲ ἐλαφόβοσκον, οἱ δὲ σφακὸν, θάμνος ἐστὶν ἐπιμήκης, πολύκλονος, ῥάβδους τετραγώνους καὶ ὑπολεύκους ἔχων, φύλλα δὲ μηλέᾳ κυδωνίᾳ ἐοικότα, ἐπιμηκέστερα μέντοι καὶ τραχύτερα. * καὶ παχύτερα λεληθότως ὥσπερ τὰ ἀνάβιπτα τῶν ἱματίων, δασέα, ὑπόλευκα, σφοδρῶς εὐώδη, βρωμώδη· καρπὸν δὲ ἐπ᾽ ἄκρων τῶν καυλῶν ὥσπερ ὁρμίνου ἀγρίου ἔχει. φύεται δὲ ἐν τραχέσι χωρίοις. Δύναμιν δὲ ἔχει τὸ ἀφέψημα τῶν φύλλων καὶ τῶν κλάδων οὖρα ἄγειν πινόμενον, καὶ ἔμμηνα καὶ ἔμβρυα κατασπᾶν, καὶ τρυγόνος πληγαῖς ἀρήγειν. μελαίνει δὲ καὶ τρίχας, καὶ τραυματικὸν, καὶ ἴσχαιμος, καὶ ἀποκαθαρτικὸν τῶν θηριωδῶν ἐστιν ἑλκῶν. παύει δὲ σὺν οἴνῳ τὸ ἀφέψημα τῶν φύλλων καὶ τῶν κλάδων αὐτοῦ προσκλυζόμενον, τοὺς περὶ τὰ αἰδοῖα κνησμούς.

Περὶ

Dictamuum creticum. Cap. XXXIX.

Defertur á Creta alterum dictamni genus, foliis ſiſymbrij, ramis maiorib⁹: in qbus flores ſyluestris origani, nigri, molles: odor foliorũ inter ſiſymbrium & ſaluiam iucundiſsimus. Efficax ad eadem, ſed minus nares ferit. Miſcetur emplaſtris & medicaminibus quæ aduerſus ſerpentium iniurias conſiguntur, theriaca vocant.

Saluia. Cap. XL.

Saluia ſiue eleliſphacon, frutex eſt ramoſus, longus, virgas habens quadrangulas, & cauas: folia mali cotonei effigie, ſed longiora, aſperiora, craſſiora, & quę ſenſim attritarum quaſi veſtium ſcabritiem referant, hirſuta, ſubalbida, perquàm iucundo odore, ſed graui: ſemen ſummis in caulibus ſyluestri hormino ſimile gerit. In aſperis naſcitur. Menſes cit & vrinas, decoctum foliorum ramorúmque potus, & partus extrahit, & paſtinacæ marinæ ictibus auxiliatur. Capillos denigrat, vulnerum ſanguinem cohibet, tetra vlcera purgat: teſtium pruritus ſedãt rami foliáque, ſi decocto eorum foueantur.

Métha.

Mentha. Cap. XLI.

Mentha, cognita herba eſt. Calfaciendi, adſtringendi, atque exiccandi vim habet. Siſtit ſanguinem, poto ex aceto ſucco: tineas in ventre teretes enecat, venerem ſtimulat, ſingultus, vomitiones, colerásque ſedant terni ramuli cum acidi granati ſucco poti. Suppurationes diſcutit, ſi cū polenta illinatur. Impoſita fronti, capitis dolores mulcet: mãmas ſi tendantur, aut lacte turgeant, cõpeſcit: cum ſale canum morſibus illinitur: aurium doloribꝰ cum aqua mulſa ſubuenit: vuluæ ante coitum admota, conceptioni reſiſtit: linguæ ſcabritiē confricta læuigat: coire lac, denſariq; in caſeū nō patitur, ſi folia potionibꝰ lactis immergãtur. In ſumma, ſtomacho vtilis eſt, & in condimentis peculiarem gratiam habet.

Menthaſtrum. Cap. XLII.

Syluestris mētha, Latini mēthaſtrū vocãt, hirſutiore eſt folio, & prorſus maiore, q̃ ſiſymbrij, odore magis viroſo. quare minus ad ſanorū vſus expetit.

Calamintha. Cap. XLIII.

EX calaminthæ generibus quædam montibus familiaris,

Περὶ Ἡδυόσμου ἡμέρου. Κεφ. μα.

Ἡδύοσμος, οἱ δὲ, μίνθην, γνώριμον βοτάνιον. δύναμιν ἔχον θερμαντικὴν, συπτικὴν, ξηραντικήν· ὅθεν αἷμα ἵστησι πινόμενος ὁ χυλὸς αὐτοῦ μετ᾽ ὄξους· καὶ ἕλμινθας κτείνει στρογγύλας, ἀφροδίσια τε ἐρεθίζει, καὶ λυγμοὺς, καὶ ἐμέτους, καὶ χολέραν παύει δύο ἢ τρία κλωνάρια σὺν ῥοᾶς ὀξείας χυλῷ ποθέντα. διαφορεῖ δὲ καὶ αποστήματα μετὰ ἀλφίτου καταπλασθέν. καὶ κεφαλαλγίας παρηγορεῖ ἐπιτεθὲν τῷ μετώπῳ· μαστῶν τε περίτασιν καὶ σπάργωσιν πραΰνει· σὺν ἁλσὶ δὲ τοῖς κυνοδήκτοις καταπλασμα· ὠταλγίαις δὲ ὁ χυλὸς σὺν μελικράτῳ ἀρήγει· γυναιξὶ δὲ πρὸ τοῦ πλησιάζειν προστεθέμενον, ἀσυλληψίαν ἐργάζεται· γλῶσσάν τε τραχεῖαν παρατριβόμενον λεαίνει· καὶ γάλα ἀτύρωτον φυλάσσει ἐναποκλυσθέντων αὐτῷ τῶν φύλλων. καὶ καθόλου ἐστὶν εὐστόμαχον καὶ ἀρτυματῶδες.

Περὶ Ἡδυόσμου ἀγρίου. Κεφ. μβ.

*Τὸ δὲ ἄγριον ἡδύοσμον γίνεται δασύτερον τοῖς φύλλοις, καὶ πάντη μεῖζον σισυμβρίου, ἐν ὀσμῇ δὲ βρωμωδέστερον, καὶ ἧττον εἰς τὴν ἐν ὑγείᾳ χρῆσιν εὔθετον.

Περὶ Καλαμίνθης. Κεφ. μγ.

Καλαμίνθη, ἡ μέν τις ὀρεινοτέρα ἐστὶν, ἔχει δὲ φύλλα ὅμοια ὠκίμῳ

ὑπόλευκα, κλωνία δὲ καὶ κάρφη γεγωνιωμένα, ἄνθος πορφυροῦν. Ἡ δέ τις γλήχωνι ἔοικε, μείζων δέ· ὅθεν τινὲς ἀγρίαν αὐτὴν γλήχωνα ἐκάλεσαν, διότι τῇ ὀσμῇ παρέοικε, ταύτην ῥωμαῖοι νεπέταν καλοῦσιν. Ἡ δὲ τρίτη ἔοικεν ἡδυόσμῳ ἀγρίῳ. ἐπιμηκέστερα τοῖς φύλλοις, καυλῷ καὶ κλάδῳ μείζων τῶν προειρημένων, καὶ ἧττον ἐνεργής. Πασῶν δὲ τὰ φύλλα γευομένων, πυρωτικὰ ἰσχυρῶς καὶ δριμέα· ῥίζα ἄχρηστος. φύεται δὲ ἐν πεδίοις καὶ ἐν τραχέσι τόποις καὶ καθύγροις. πινομένη δὲ καὶ καταπλασσομένη, ἀρήγει ἑρπετοδήκτοις. ἄγει δὲ καὶ οὖρα τὸ ἀφέψημα πινόμενον· βοηθεῖ δὲ καὶ ῥήγμασι, σπάσμασιν, ὀρθοπνοίαις, στρόφοις, χολέρα, καὶ ῥίγει· καὶ πρὸς τὰ θανάσιμα προπινομένη ποιεῖ σὺν οἴνῳ, καὶ ἴκτερον ἀποκαθαίρει· ἕλμινθάς τε κτείνει καὶ ἀσκαρίδας σὺν ἁλσὶ καὶ μέλιτι πινομένη· ἑφθή τε καὶ ὠμὴ τετριμμένη. ὠφελεῖ καὶ ἐλεφαντιῶντας βρωθεῖσα, ἐπιπινομένου ὀρροῦ γάλακτος. φθείρει δὲ καὶ ἔμβρυα, καὶ ἔμμηνα ἄγει τὰ φύλλα λεῖα ἐν προσθέτῳ. θυμιαθέντα δὲ ἑρπετὰ διώκει καὶ ὑποστρωννύμενα· λευκαίνει τε τὰς μελαίνας οὐλὰς ἑψηθεῖσα ἐν οἴνῳ καὶ καταπλασθεῖσα, καθαίρει καὶ ὑπώπια. ἰσχιαδικοῖς τε ἐπιτίθεται

folia ocimi habẽs, incana, ſurculos, & caules anguloſos, purpureum florem. Altera pulegio ſimilis eſt, ſed maior: quam ſylueſtre pulegium ideo appellarũt, quòd odore ipſum æmuletur: nepetam Latini vocitãt. Tertia méthaſtro cognata eſt, foliis oblongioribus, caule & ramis maioribus, quàm ſuperiora, ſed viribus inefficacior. Omnium folia guſtu impenſe feruentia, & acria: radix ſuperuacua. Naſcitur in campeſtribꝰ, aſperis, & aquoſis. Potu aut illito demorſis à ſerpente opitulatur. Decoctum potu menſes, & vrinas expellit: ruptis, cõuulſis, orthopnœæ, torminibꝰ, choleris, horroribúſque auxiliatur: regium morbum expurgat: præſumpta in vino venenis reſiſtit: tineas cæteráque interaneorũ animalia, cum ſale & melle pota, enecat: nec ſecus cocta crudáve, ſi teratur. Elephanticos eſitata adiuuat, ſi poſtea ſerũ lactis ebibatur. Folia detrita ſi in vellere ſubiiciãtur, mẽſes extrahunt, & partus enecãt. Accenſa aut ſubſtrata, ſerpentes fugant: nigris cicatricibus candorem reddunt: in vino cocta, & illita, & ſugillata tollunt. Calamintha iſchiadicis imponitur,

imponitur, vt ex alto humores euocet, ſummam cutem exurens. Vermes necat, ſuccus auribus inſtillatus.

Thymum. Cap. XLIIII.

Thymum ab omnibus cognoſcitur, ſurculoſus frutex, exilibus foliis multis & anguſtis circundatus: capitulis in cacumine, flore purpuraſcente refertis. Gracili ſolo, & petroſo prouenit. Vim habet hāc, vt cum ſale, & aceto potum, pituitam per aluum detrahat. Decocti ius prodeſt orthopnoicis, & anhelatoribus: tineas ventris exigit: menſes, partus, & ſecundas pellit: vrinas ciet: cum melle in eclegmate, faciles facit excreationes: recentes tumores diſcutit, cum aceto illitum: concretum ſanguinem diſſoluit: verrucas thymi colorem reddentes, penſiléſque tollit, iſchiadicis cum vino, & polenta impoſitū ſubuenit: hebetibus oculis in cibo prodeſt. Perquàm vtile pro condimento, duntaxat ad vſus eorum, qui rectè valent.

Satureia. Cap. XLV.

SATVREIA triuialis notitiæ eſt: gignitur in aſperis locis, & tenui ſolo, thymo ſimilis, minor tamen, & tenerior: defert

ἐπιτίθεται εἰς μετασύγκρισιν, ἐπικαίουσα τὴν ἐπιφάνειαν. καὶ σκώληκας τοὺς ἐν ὠσὶ κτείνει ὁ χυλὸς ἐνσταζόμενος.

Περὶ Θύμου. Κεφ. μδ.

Θύμος γινώσκεται ὑπὸ πάντων θαμνίσκιον φρυγανῶδες, φυλλαρίοις πολλοῖς καὶ στενοῖς περιειλημμένον· ἔχον ἐπ' ἄκρου κεφάλια ἀνθῶν πορφυρίζοντα. μάλιστα δὲ φύεται ἐν πετρώδεσι καὶ λεπτογείοις τόποις. Δύναμιν δὲ ἔχει πινόμενον μετὰ ἁλῶν καὶ ὄξους, ἄγειν φλεγματώδη κατὰ κοιλίαν. τὸ δὲ ἀφέψημα αὐτοῦ μετὰ μέλιτος ὀρθοπνοϊκοῖς καὶ ἀσθματικοῖς βοηθεῖ· ἕλμινθάς τε ἐξάγει καὶ ἔμμηνα, καὶ ἔμβρυα, καὶ δεύτερα· ἔστι δὲ καὶ οὐρητικόν· μιγὲν δὲ μέλιτι καὶ ἐκλειχθὲν, εὐανάγωγα τὰ ἐκ θώρακος ποιεῖ· διαφορεῖ δὲ οἰδήματα πρόσφατα καταπλασθὲν μετ' ὄξους· αἵματος θρόμβους διαλύει, καὶ θύμους καὶ ἀκροχορδόνας αἴρει· καὶ ἰσχιαδικοῖς μετ' οἴνου καὶ ἀλφίτων ἐπιτεθὲν ἁρμόζει· ἀμβλυωποῦντας ἐσθιόμενον σὺν τροφῇ ὠφελεῖ. εὔχρηστον δὲ καὶ πρὸς τὴν ἐν ὑγείᾳ χρῆσιν ἀντὶ ἀρτύματος.

Περὶ Θύμβρας. Κεφ. με.

Θύμβρα, καὶ αὐτὴ γνώριμος· γινομένη ἐν λεπτογείοις, καὶ τραχέσι τόποις, ὁμοία θύμῳ, ἐλάσσων μέν τοι καὶ ἁπαλωτέρα, φέρουσα

ἐρυθρὰ στάχυν ἀνθοῦς μεστὸν, ἔγχλωρον. δύναται δὲ τὰ αὐτὰ τῷ θύμῳ ὁμοίως λαμβανομένη. καὶ πρὸς τὴν ἐν ὑγείᾳ χρῆσιν εὔθετεῖ. γίνεται δὲ καὶ σπαρτὴ θύμβρα, κατὰ πάντα τῆς ἀγρίας ἐλάσσων, εὐχρηστοτέρα δὲ πρὸς βρῶσιν διὰ τὸ μὴ ἐπιτετάσθαι τὴν δριμύτητα.

Περὶ Ἑρπύλλου. Κεφ. μϛ΄.

Ἕρπυλλος ὁ μέν τίς ἐστι κηπευτὸς, σαμψυχίζων τῇ ὀσμῇ, καὶ στεφανωματικὸς, ὠνόμασται δὲ ἀπὸ τοῦ ἕρπειν τε καὶ ὅ,τι ἂν αὐτοῦ μέρος θίγῃ τῆς γῆς ῥιζοβολεῖν. ἔχει δὲ φύλλα καὶ κλωνία ὀριγάνῳ ἐμφερῆ, πλὴν λευκότερα· ἀπὸ δὲ αἱμασιῶν καθιέμενος, εὐαξέστερος γίνεται. Ὁ δέ τίς ἐστιν ἄγριος, ὃς καὶ ζυγὶς καλεῖται. οὐχ ἕρπων, ἀλλ' ὀρθὸς κλωνία ἀνιεὶς λεπτὰ φρυγανώδη, φύλλων πλέα ὁμοίων πηγάνῳ, στενότερα δέ ἐστι καὶ ἐπιμηκέστερα, καὶ σκληρότερα· ἄνθη γευομένῳ δριμέα, ὀσμὴ ἡδεῖα· ῥίζα ἄχρηστος. φύεται ἐν πέτραις ἐνεργέστερος καὶ θερμαντικώτερος τοῦ κηπευτοῦ ὑπάρχων, καὶ πρὸς τὴν ἰατρικὴν χρῆσιν ἐπιτηδειότερος. ἔμμηνα γὰρ ἄγει καὶ οὖρα κινεῖ πινόμενος· ὠφελεῖ στρόφους, ῥήγματα, σπάσματα, ἥπατος φλεγμονάς· καὶ πρὸς ἑρπετὰ πινόμενός τε καὶ καταπλασσόμενος· κεφαλῆς τε ὀδύνην παραμυθεῖται ἑψηθεὶς

ῥοδίνῳ

defert ſpicam florum plenam, coloris herbacei. Eadē poteſt quæ thymum, ſi modo cōſimili ſumptitetur. Aptus ſanis vſus. Eſt etiamnum quædam ſatiua, ſylueſtri prorſus minor, q̄ propter mitiorem acrimoniā, cōmodius in cibos recepta eſt.

Serpillum. Cap. XLVI.

Serpillum duorum generum eſt: Hortenſe odore ſampſuchum imitatur, atque in coronas addi ſolet, cui à ſerpendo nomē inditum eſt: quoniam ſi qua eius particula terram attingat, inibi radices demittet. Folia & ramulos origani habet, ſed candidiores: in maceriis multò procerius aſſurgit. Syluestre, zygis appellatū, non ſerpit, ſed in altitudinem increſcit, ramulos ædēs tenues, ſurculoſos, foliis refertos lōgioribus quàm rutæ, & durioribus, anguſtis: flores iucundè olent, guſtāti acres: radicis nullus vſus. Naſcit̄ in petris, ſatiuo efficacius, atque magis excalfaciens, & ad medēdi vſum aptiꝰ. Mēſes trahit, vrinam potu ciet torminibus, ruptis, vulſis, & iocineris inflāmationibus, auxiliatur, & aduerſus ſerpētes potu illitúve: capitis dolores mulcet coctum, abiecto roſaceo,

V &

& madefactũ in aceto: maximè vero phreniticis, & lethargicis conuenit. Cruentos vomitus ſedat ſuccus, drachmis quatuor ex aceto potus.

Sampſuchũ. Cap. XLVII.

Sampſuchum in Cypro, & Cyziceno laudatiſsimum: ſecundum ſibi locum vendicauit Ægyptium. Amaracũ gens Sicula, & Cyzicena appellat. Herba eſt ramoſa, per terram repens, foliis eius calaminthe, quæ tenui folio conſtat, hirſutis, & rotundis, ſuauiſsimũ odorem ſpirat, ideo coronis inſeritur. Vis eius excalfaciens. Succus decocti potus, cõuenit incipientibus hydropicis, & iis quos vrinæ difficultas, aut tormina excruciant. Illita ex melle arida folia, ſugillata tollunt: menſes ſubdita in peſſo trahũt: contra ſcorpionis ictum ex aceto, & ſale illinuntur: luxatis tumoribúsque, cerato excepta imponuntur: aduerſus oculorum inflammationes, tumoréſque cum polline polentæ illini prodeſt. Acopis malagmatiſque, calfaciendi gratia, commiſcetur.

Melilotos, ſiue ſertula Cãpana. Cap. XLVIII.

Sertula Cãpana laudatiſsima in

ῥοδίνου μιχθέντος αὐτῷ, σὺν ὄξει καὶ καταβραχεὶς μάλιστα δὲ ἐπὶ ληθάργου καὶ φρενίτιδος ἁρμόζει. παύει δὲ καὶ ἔμετον αἵματος < δ΄. πλῆθος μετ᾽ ὄξους ποθεὶς ὁ χυλὸς αὐτοῦ.

*Περὶ Σαμψύχου. Κεφ. μζ΄.

Σάμψυχον κράτιστον τὸ κυζικηνὸν καὶ κύπριον· δευτερεύει δὲ τούτου τὸ αἰγύπτιον. καλεῖται δὲ ὑπὸ κυζικηνῶν καὶ τῶν ἐν σικελίᾳ ἀμάρακον. πόα δέ ἐστι πολύκλονος, ἕρπουσα ἐπὶ τῆς γῆς. φύλλα δασέα καὶ περιφερῆ ἔχουσα, ὅμοια τῆς λεπτοφύλλου καλαμίνθης, σφόδρα εὐώδης, καὶ θερμαντική, πλεκομένη καὶ εἰς στεφάνους. Αρμόζει δὲ τὸ ἀφέψημα αὐτῆς πινόμενον ἐπὶ ἀρχομένων ὑδρωπικῶν, καὶ δυσουρούντων καὶ στροφουμένων. ξηρὰ δὲ τὰ φύλλα ἐπιπλασθέντα μετὰ μέλιτος, αἴρει ὑπώπια· καὶ ἔμμηνα ἄγει ἐν προσθέτῳ· πρὸς δὲ σκορπίου πληγὴν μετὰ ἁλῶν καὶ ὄξους καταπλάσσεται· πρὸς δὲ στρέμματα μετὰ κηρωτῆς ἀναληφθέντα ἐπιτίθεται· καὶ πρὸς οἰδήματα ὁμοίως ἀναληφθέντα κηρωτῇ, καὶ πρὸς ὀφθαλμῶν φλεγμονὰς καταπλάσσεται μετὰ παιπάλης ἀλφίτου. μίγνυται δὲ καὶ ἀκόποις καὶ μαλάγμασι πρὸς τὸ θερμαίνειν.

Περὶ Μελιλώτου. Κεφ. μη΄.

ΜΕΛΙΛΩΤΟΣ κράτιστος, ὁ ἀττικὸς

ὁ ἀττικὸς καὶ ὁ ἐν κυζίκῳ, καὶ ὁ ἐν χαλκηδόνι γινόμενος· κροκίζων καὶ εὐώδης. φύεται δὲ καὶ ἐν καμπανίᾳ περὶ νῶλαν, μηλίζων, καὶ ἄτονος κατὰ τὴν εὐωδίαν. Δύναμιν δὲ ἔχει στυπτικὴν, μαλακτικὴν, πάσης φλεγμονῆς, μάλιστα δὲ τῆς περὶ ὀφθαλμοὺς καὶ μήτραν καὶ δακτύλιον καὶ διδύμοις μετὰ γλυκέος ἑψηθεὶς καὶ καταπλασθείς· ἐνίοτε δὲ καὶ ὠοῦ λεκύθου ὀπτῆς παραμιγείσης, ἢ τηλίνου ἀλεύρου, ἢ λινοσπέρμου, ἢ γύρεως ἢ κωδιῶν, ἢ σέρεως. θεραπεύει καὶ μελικηρίδας προσφάτους καθ᾽ ἑαυτὸν ἐν ὕδατι, καὶ ἀχῶρας σὺν γῇ χίᾳ καὶ οἴνῳ ἢ κηκίδι καταχριόμενος. ἀλγήματά τε στομάχου μετ᾽ οἴνου ἑφθὸς καὶ ὠμὸς σύν τινι τῶν προειρημένων· καὶ ὠταλγίας παύει σὺν γλυκεῖ ὠμὸς χυλισθεὶς καὶ ἐνσταζόμενος· καὶ κεφαλαλγίαν πραΰνει ἐμβρεχόμενος μετ᾽ ὄξους καὶ ῥοδίνου.

Περὶ Μάρου. Κεφ. μθʹ.

Μάρον, ἢ ὑσόβειον, πόα γνώριμος, φρυγανώδης, ὁμοία τῷ ἄνθει ὀριγάνῳ, τὰ μέντοι φύλλα τούτου λευκότερα πολλῷ καὶ τὸ ἄνθος εὐωδέστερον. Ἔχει δὲ δύναμιν ὁμοίαν σισυμβρίῳ, ὑπόστυφον καὶ θερμαῖνον ἠρέμα· ὅθεν νομάς τε ἵστησι καταπλασσόμενον, καὶ εἰς τὰ θερμὰ τῶν συγχρισμάτων μίγνυται. γίνεται δὲ καὶ κατὰ μαγνησίαν καὶ τράλλεις πλεῖστον.

Περὶ

in Attica,& Cyzico, & Chalcedone nata: cuius color vicinus eſt croco,boni odoris. Naſcitur & in Cāpania circa Nolam, colore in luteum langueſcente,odore infirmo.Vim habet adſtrictoriam, inflāmatiotionem omnē emollit, præſertim: quæ in oculis,vulua, ſede aut teſtibus erumpat, ſi ex paſſo cocta illinatur:interdū autē addito oui luteo aſſato,aut fœnigræci farina,lini ſemine, aut polline, aut capitulis papaueris,intybóve. Recētes meliceridas per ſe cū aqua, & vlcera manantia in capite,illita cum creta Chia, vino aut galla ſanat.Stomachi dolores, & cruda,& cocta cū aliquo ex antè dictis leuat:doloribꝰ auriū mitigādis cruda ex paſſo inſtillat: in aceto aut roſaceo madefacta,capitis dolorem lenit.

Marum. Cap. XLIX.

Marum herba cognita vulgò,ſurculoſa,flore origani, foliis multò candidioribus, flore odoratiore. Vim habet, ſiſymbrio cōſimilē. Subſtringit enī, & modicè calfacit:qua de cauſa illitu ſerpētia vlcera ſiſtit, & in calidas illitiones additur.Iuxta magneſiam, & Tralleis copioſiſsima gignitur.

Acinos. Cap. L.

Acinos aut aconos à Græcis dicit̃,tenui ſiccoq; ramulo herba, ocimo ſimilis,odorata , ſed hirſutior:qua coronæ factitãt, à nonnullis olitoribus colitur. Menſes & aluũ pota ſiſtit.Illita panos ignemq; ſacrum ſanat.

Baccharis. Cap. LI.

Baccharis herba fructicoſa,q̃ in coronas additur: cuius folia aſpera ſunt,media violę & verbaſci magnitudine:caulis anguloſus,cubiti altitudinem petẽs, aliquantulũ aſper,nõ ſine appẽdicibus adnatis:flore purpureo,ſubalbicante,odorato: radicib⁹ veratro nigro ſimilibus, quib⁹ odor ineſt cinnamomo ꝓximus. Aſperũ ſqualidũq; ſolũ amat. Radix ĩ aqua decocta ruptis, vulſis,ex alto ꝓcipitatis, ſpirãdi difficultati,ſalutaris. Itẽ diuturnæ tuſsi,& vrinæ difficili:mẽſes pellit: cõtra ſerpentiũ morſus vtiliſsimè dat̃ in vino. Recẽs radix appoſita, partũ extrahit:puerperis eius decoctũ in deſeſsionib⁹ ꝓdeſt:in diapaſmata vtiliter inſeritur,iucundi odoris gratia.Folia,vtpote quę adſtringãt,capitis dolorib⁹ illitu proſunt:oculorum imflãmationibus,mammis tumẽtibus à partu,ægilopiis incipientibus,

ignibúsq;

Περὶ Ἀκίνου. Κεφ. ν'.

Ἄκινος, ἢ ἄκονος, πόα ἐστὶ λεπτόκαρφος, στεφανωματικὴ, παραπλησία ὠκίμῳ, δασυτέρα δὲ καὶ εὐώδης. παρ' ἐνίοις δὲ καὶ κηπεύεται. ἵστησι δὲ κοιλίαν καὶ ἔμμηνα πινομένη· φύγεθλά τε καὶ ἐρυσιπέλατα καταπλασσομένη ἰᾶται.

Περὶ Βακχάρεως. Κεφ. να'.

Βάκχαεις βοτάνη ἐστὶ* εὐώδης καὶ στεφανωματική· ἧς τὰ φύλλα τραχέα, μέγεθος ἔχοντα μεταξὺ ἴου καὶ φλόμου· καυλὸς δὲ γωνιώδης, πήχεως τὸ ὕψος, ὑπότραχυς ἔχων παραφυάδας· ἄνθη δὲ ἐμπόρφυρα, ὑπόλευκα, εὐώδη· ῥίζαι δὲ ὅμοιαι ταῖς τοῦ μέλανος ἐλλεβόρου, ἐοικυῖαι τῇ ὀσμῇ κινναμώμῳ. φιλεῖ δὲ τραχέα χωρία καὶ ἔνικμα. Ταύτης ἡ ῥίζα ἑψηθεῖσα ἐν ὕδατι, βοηθεῖ σπάσμασι, ῥήγμασι, πτώμασι, δυσπνοίαις, βηχὶ χρονίᾳ, δυσουρίᾳ· ἄγει δὲ καὶ ἔμμηνα· καὶ θηριοδήκτοις χρησίμως σὺν οἴνῳ δίδοται. προστεθεῖσα δὲ μία τῶν ἁπαλῶν ῥιζῶν, ἕλκει ἔμβρυα· ταῖς* τελεχοῖς εἰς ἐγκάθισμα τὸ ἀφέψημα αὐτῆς ἁρμόζει· καὶ εἰς διαπάσματα χρησιμεύει, ἱκανὴν ἔχουσα τὴν εὐωδίαν. τὰ δὲ φύλλα στυπτικὰ ὄντα καταπλασσόμενα ὠφελεῖ κεφαλαλγίας, ὀφθαλμῶν φλεγμονὴν, καὶ αἰγίλωπα ἀρχόμενον, καὶ μαστοὺς ἐκ τόκων φλεγμαίνοντας,

καὶ

καὶ ἐρυσιπέλατα. ἔστι δὲ καὶ ὑπνοποιὸς ἡ ὀσμή.

Περὶ Πηγάνου. Κεφ. νβ΄

Πήγανον ὄρεινον καὶ ἄγριον, τοῦ καὶ ἡμέρου κηπευτοῦ δριμύτερον καὶ ἄθετον πρὸς βρῶσιν· τοῦ δὲ κηπευτοῦ ἐδωδιμώτερον τὸ παρὰ ταῖς συκαῖς φυόμενον. Ἀμφότερα δὲ καυστικά, θερμαντικά, ἑλκωτικά, οὐρητικά, ἐμμήνων ἀγωγά, ἐσθιόμενά τε, καὶ πινόμενα, κοιλίαν ἱστῶσι. καὶ τῶν φθαρτικῶν φαρμάκων ἐστὶν ἀντίδοτος, ὅσον ὀξυβάφου τοῦ σπέρματος ποθέντος ἐν οἴνῳ. καὶ προβρωθέντα δὲ τὰ φύλλα καθ' ἑαυτά, καὶ μετὰ καρύων βασιλικῶν καὶ σύκων ξηρῶν, ἄπρακτα καθίστησι τὰ θανάσιμα. καὶ πρὸς ἑρπετὰ ἁρμόζει ὁμοίως λαμβανόμενα· γονήν τε σβέννυσιν ἐσθιόμενον, καὶ πινόμενον· ἑψηθὲν δὲ σὺν ἀνήθῳ ξηρῷ καὶ ποθέν, στρόφους παύει. ποιεῖ δὲ καὶ πρὸς πλευρῶν πόνον καὶ θώρακος, δύσπνοιαν, βῆχας, περιπνευμονίαν, ῥήγματα ἰσχίων, ἄρθρων, ῥίγη περιοδικὰ πινόμενον ὡς προείρηται. καὶ πρὸς ἐμπνευματώσεις δὲ κώλου καὶ ὑστέρας καὶ ἀπευθυσμένου σὺν ἐλαίῳ ἑψηθὲν καὶ ἐνεθέν. πνίγας τε ὑστερικὰς λεῖον μετὰ μέλιτος κατὰ τοῦ αἰδοίου ἄχρι δακτυλίου ἐπιτεθὲν παραιτεῖται. ἀναζεσθὲν δὲ σὺν ἐλαίῳ καὶ ποθέν,

ἕλμινθας

ignibúſque ſacris auxiliantur. Odor ſomnum gignit.

Ruta. Cap. LII.

Ruta montana ſylueſtríſque ſatiua,& hortenſi acrior eſt,& in cibis damnata: ſatiua verò quæ ſub ficu arbore enaſcitur, magis in cibos admittitur. Vtraque vrit, calfacit, exulcerat: vrinam ciet, méſtrua pellit, aluum ſiſtit potu cibóve: lætaliũ medicamentorum antidotum eſt, ſi ſemen ex vino, acetabuli menſura, ebibatur. Folia per ſe præſumpta, aut cũ nuce iuglande, aridíſque ficis, inefficaces venenorum vires reddunt: contra ſerpentes ſimili modo ſumere conuenit: genituram cibo potúve extinguit: cum anetho ſicco decocta, tormina ſedat. Facit ad pectoris laterúmque dolores, difficultatem ſpirandi, tuſſes, pulmonis inflammationem, coxendicum articulorúmque cruciatus, & horrores febrium circuitu repetentes, pota vt antè dictum eſt. Ité ad inflationes coli, vuluæ, rectíque inteſtini, cũ oleo decocta, & infuſa. Fœminas vuluæ ſtrangulatu liberat, ſi à genitali, ſedétenus cum melle ſubiiciat. Feruefacta ex oleo, & pota, ventris tineas excutit:

articulariis doloribus ex melle, aquæ inter cutem cum ficis illinitur. Eiſdem in potu auxiliatur, decocta in vino ad dimidias parteis, & oblita. Cruda conditáque cibo, viſus aciem excitat: dolores oculorum illita cum polenta lenit, doloribus capitis cum roſaceo, & aceto illita auxiliatur: profluentem naribus ſanguinem ſiſtit trita & indita: teſtium inflammationibus cum laureis foliis impoſita, & eruptionibus pabularũ cum myrto, & cerato prodeſt. Cum pipere autem vino, & nitro affricta, albæ vitiligini medetur. Cum eiſdem illita formicationes tollit, & verrucas quæ thymi florem repræſentant: contra impetigines cum alumine, & melle vtiliſſimè imponitur. Succus in mali punici calyce calfactus, aurium dolori efficaciter infunditur: hebetudinem oculi qui ſenſere, ruta cum fœniculi ſucco ac melle peruncti iuuantur: ignem ſacrum, vlcera quæ ſerpunt, aut in capite manant, cum aceto, roſaceo, & ceruſa perſanat: manſa, alliorum ceparũq; acrimoniã domat. Mõtana ſi copioſius eſtur, interficit.

Dum

ἕλμινθας ἐκτινάσσει· καταπλάσσεται δὲ καὶ πρὸς ἄρθρων ἀλγήματα σὺν μέλιτι· σὺν δὲ σύκοις πρὸς ὕδρωπας ὑποσαρκίους. καὶ πινόμενον δὲ βοηθεῖ τούτοις, καὶ καθεψηθὲν ἐν οἴνῳ ἄχρις ἡμίσεως καὶ περισυγχριόμενον. ἔστι δὲ καὶ ὀξυωπὲς ἐσθιόμενον ὠμὸν καὶ ταριχευτόν· καὶ τὰς ἐν ὀφθαλμοῖς περιωδυνίας σὺν ἀλφίτῳ καταπλασθὲν πραΰνει· σὺν ῥοδίνῳ δὲ καὶ ὄξει κεφαλαλγοῦσι βοηθεῖ, καὶ αἱμορραγίας τὰς ἐκ τῶν μυκτήρων λεῖον ἐπιτεθὲν ἵστησι, τὰς δὲ τῶν διδύμων φλεγμονὰς σὺν δάφνης φύλλοις καταπλασθὲν ὠφελεῖ, καὶ τὰ ἐξανθήματα σὺν μυρσίνῃ καὶ κηρωτῇ. σὺν οἴνῳ δὲ καὶ πεπέρει καὶ νίτρῳ περισμώμενον, λευκὸν ἀλφὸν ἰᾶται. καὶ καταπλασθὲν δὲ μετὰ τῶν αὐτῶν, θύμους καὶ μυρμηκίας αἴρει. ὠφελεῖ καὶ λειχῆνας σὺν μέλιτι καὶ στυπτηρίᾳ ἐπιτιθέμενον. ὁ δὲ χυλὸς ποιεῖ πρὸς ὠταλγίας ἐν σιδίῳ θερμαινόμενος καὶ ἐγχεόμενος· καὶ ἀμβλυωπίαις βοηθεῖ μετὰ μαράθρου χυλοῦ καὶ μέλιτος ἐγχριόμενος· ἐρυσιπέλατά τε καὶ ἕρπητας καὶ ἀχῶρας σὺν ὄξει καὶ ψιμμυθίῳ καὶ ῥοδίνῳ καταχριόμενος ἰᾶται· τάς τε ἀπὸ σκορόδων καὶ κρομμύων δριμύτητας, παύει ἐπιμασηθέν. τὸ δὲ ὀρεινὸν πολὺ βρωθὲν κτείνει.

ἀπὸ

ὑπὸ δὲ τὴν ἄνθησιν εἰς τὰς ἀλμεύσεις συλλεγόμενον, φοινίσσει, καὶ φυσᾷ τὸν χρῶτα σὺν κνησμῷ καὶ φλεγμονῇ σφοδρᾷ. δεῖ δὲ προαλειψαμένους τὸ πρόσωπον καὶ τὰς χεῖρας, οὕτω συλλέγειν. φασὶ δὲ τὸν χυλὸν ἐπιρραθέντα* ὀρνιθίοις, ἀπερύκειν τοὺς αἰλούρους. τὸ δὲ ἐν μακεδονίᾳ φυόμενον περὶ τὸν *ὄλκιμον ποταμὸν ἀναιρεῖν φασὶ βρωθέν. ὀρεινὸς δὲ ὁ τόπος ὑπάρχει καὶ ἐχιδνῶν πλήρης. τὸ δὲ σπέρμα αὐτοῦ πινόμενον, πρὸς τὰ ἐντὸς ποιεῖ· καὶ ἀντιδότοις μίγνυται χρησίμως· καὶ φρύξας δὲ τὸ σπέρμα αὐτοῦ, δὸς πίνειν ἐπὶ ἡμέρας ζ. τῷ ἐνουροῦντι καὶ παύσεται. ἡ δὲ ῥίζα αὐτοῦ λέγεται μῶλυ ὀρεινόν. τὸ οὖν ἄγριον πήγανον ὁμοιοῦται τῷ ἡμέρῳ. πινόμενον δὲ ὠφελεῖ ἐπιληπτικοῖς καὶ ἰσχιαδικοῖς· κινεῖ δὲ καὶ καταμήνια, τὰ δὲ ἔμβρυα φθείρει. δριμύτερον δέ ἐστι τοῦ ἡμέρου, καὶ τῇ ἐνεργείᾳ δυνατώτερον. οὐ δεῖ δὲ τὸ ἄγριον ἐσθίειν, διότι ἐπιβλαβής ἐστι.

Περὶ Πηγάνου ἀγρίου. Κεφ. νγ΄.

Καλοῦσι δέ τινες πήγανον ἄγριον, καὶ τὸ ἐν τῇ καππαδοκίᾳ καὶ τὸ ἐν τῇ κατὰ τὴν ἀσίαν γαλατίᾳ λεγόμενον μῶλυ. ἔστι δὲ θάμνος ἀπὸ μιᾶς ῥίζης πλείονας ῥάβδους ἀναφέρων, ἔχον φύλλα μακρότερα πολλῷ τοῦ ἄλλου πηγάνου καὶ τρυφερώτερα, βαρύοσμα, ἄνθος λευκόν,

Dum florem promit, & ad murias colligitur, cutem inflat, & rubore quodam inficit, cũ pruritu ac vehementi inflãmatione. Oportet itaque eam vnctis antea manib⁹, & facie colligere. Tradũt ſuccum gallinaceis pullis inſparſum feles arcere. Adiiciũt eam quæ in Macedonia circa Haliacmon amnem prodeat, comedẽtes interimere. Montoſus autem his locus, viperis ſcatet. Semen eius potum contra inteſtina vitia efficax eſt: in antidota commodè additur: contra incontinentiam vrinæ toſtum, ſemen ſeptenis diebus potui datur. Radix huius montanum moly vocatur. Sylueſtris ruta ſatiuæ ſimilis eſt. Prodeſt comitialib⁹, & coxendicum doloribus: mẽſtrua mouet, partus enecat. Acrior eſt viribus, q̃ hortẽſis, & validior. Sylueſtris, vtpote noxia, cibis abdicatur.

Sylueſtris ruta. Cap. LIII.

Vocant etiamnum ſylueſtrẽ rutam, quod in Cappadocia, & Galatia Aſiæ finitima moly dicitur. Frutex eſt, qui ab vna radice multos emittit cauliculos: foliis multò, quàm alterius rutæ longioribus, teneriorib⁹ſque, odore graui, flore cãdido

candido, capitulis in cacumine paulò maiorib⁹ q̃ ſatiuæ rutæ, quæ trib⁹ maximè partibus cõſtat: in quibus triangulũ ſemẽ, ſubrufum, guſtu amarum recluditur, cuius eſt vſus. Semen autumno matureſcit, quod cum melle, vino, croco, & fœniculi ſucco, ac gallinaceo felle, teritur contra retuſam oculorum aciem. Sũt qui eam harmalam vocẽt, Syri beſaſan. Qui Cappadociam incolũt, moly, quoniam quandam cum moly ſeruet ſimilitudinẽ: radice nigra, flore candido. In collibus, & læto ſolo prouenit.

Moly. Cap. LIIII.

Moly folia habet graminis latiora, humi ſparſa: florem albæ violę ſimilẽ, ſed minorẽ, ac magnitudine violæ purpureæ reſpondentẽ lactei coloris: caulẽ candidum, quaternûm cubitorum, in cuius cacumine ineſt aliq̃d quod allij ſpeciẽ referat. Radix parua bulboſa, quæ mirum in modũ valet ad aperiẽdas vuluas, ſi trita cũ irino vnguento, in peſſo ſubiiciatur.

Panaces. Cap. LV.

Panaces nõnullis heracleum dicit̃: ex quo opopanax colligi ſolet. Plurimum in Bœotia, & in Phocide Arcadiæ naſcitur: ibiq;

λευκὸν, ἐπ' ἄκρου τε κεφάλια ὀλίγῳ μείζονα τοῦ ἡμέρου πηγάνου, ἐκ τριῶν μάλιστα μερῶν συγκείμενα· ἐν οἷς σπέρμα τρίγωνον, ὑπόκιρρον, πικρὸν μάλιστα πρὸς τὴν γεῦσιν, οὗ καὶ ἡ χρῆσις. φθινοπώρου δ' ἐκπεπαίνεται τὸ σπέρμα· ἁρμόζον πρὸς ἀμβλυωπίας, μετὰ μέλιτος λεαινόμενον καὶ οἴνου καὶ χολῆς ἀλεκτορείδων, κρόκου τε καὶ μαράθρου χυλοῦ. καλοῦσι δέ τινες αὐτὸ ἅρμαλα, σύροι βησασᾶ. καππαδόκαι δὲ μῶλυ ἐπεὶ κατὰ πόσον σώζει τὴν πρὸς τὸ μῶλυ ἐμφέρειαν· τῇ ῥίζῃ μέλαν καὶ τῷ ἄνθει λευκὸν ὑπάρχον. φύεται δὲ ἐν γεωλόφοις καὶ εὐγείοις χωρίοις.

Περὶ Μώλεως. Κεφ. νδ'.

Μῶλυ τὰ μὲν φύλλα ἔχει ἀγρώστει ὅμοια, πλατύτερα δὲ ἐπὶ γῆν ὄντα· ἄνθη λευκοίοις ὅμοια, γαλακτόχροα, ἥσσονα δὲ πρὸς τὰ τοῦ ἴου· καυλὸν δὲ λευκὸν, πήχεων τεσσάρων, ἐπ' ἄκρου δὲ ἔχει τι ὡς σκορδοειδές. ἡ ῥίζα δὲ μικρὰ βολβοειδής, αὕτη σφόδρα ἀγαθὴ πρὸς ὑστέρας ἀναστομώσεις, τετριμμένη μετὰ ἰρίνου μύρου καὶ προστιθεμένη ἐν πεσσῷ.

Περὶ Πάνακος. Κεφ. νε'.

ΠΑΝΑΚΕΣ * ἡ ἡράκλειον, ἐξ οὗ ὁ ὀποπάναξ συλλέγεται. πλεῖστον γίνεται ἐν Βοιωτίᾳ καὶ ἐν *Ψωφίδι τῆς ἀρκαδίας, ὡς

ὥς τε, καὶ ἐπιτήδες κηπεύεσθαι διὰ τὴν ἐκ τοῦ ὀποῦ πρόσοδον. φύλλα δὲ ἔχει τραχέα, χαμαιπετῆ, χλωρὰ σφόδρα πρὸς τὰ τῆς συκῆς, ἐν τῷ περιφερεῖ ἐπεσχισμένα πενταμερῶς· καυλὸν δὲ ὥσπερ νάρθηκος ὑψηλότατον, ἔχοντα χνοῦν λευκὸν καὶ φύλλα περὶ αὐτὸν* μικρότερα, σκιάδιον δὲ ἐπ᾽ ἄκρου ὡς ἀνήθου μακρόν· ἄνθος δὲ μήλινον, σπέρμα εὐῶδες καὶ πυρωτικὸν· ῥίζας πλείονας ἐκ μιᾶς ἀρχῆς, λευκὰς, βαρυόσμους, παχὺν ἐχούσας τὸν φλοιὸν, ὑπόπικρον τῇ γεύσει. φύεται δὲ ἐν κυρήνῃ τῆς λιβύης καὶ ἐν μακεδονίᾳ. Ὀπίζεται δὲ ἡ ῥίζα, ἐπιτεμνομένη ἀρτιβλαστῶν ὄντων τῶν καυλῶν. ἀνίησι δὲ λευκὸν ὀπὸν, ὃς ξηρανθεὶς κατὰ τὴν ἐπιφάνειαν κροκίζει. δέχονται δὲ τὸ ῥέον εἰς φύλλα προϋποτιθέντες εἰς* κεκοιλωμένον ἔδαφος, ἀναιροῦνται δὲ ξηρανθέντα. ὀπίζουσι δὲ καὶ τὸν καυλὸν ἐπιτέμνοντες εἰς τὸν πυραμητὸν, ὁμοίως δεχόμενοι τὸ ἀπορρέον. εἰσὶ δὲ τῶν ῥιζῶν βελτίους αἱ τεταναὶ, καὶ λευκαὶ, καὶ ξηραὶ, ἄβρωτοί τε καὶ πυρώδεις ἐν τῇ γεύσει, καὶ ἀρωματίζουσαι. καρπὸς δὲ εὔθετος ὁ ἐκ μέσου τοῦ νάρθηκος, ὁ γὰρ ἐκ τῶν παραφυάδων ἐστὶν ἀτροφώτερος. τοῦ δὲ ὀποῦ διαφέρει ὁ πικρότατος τῇ γεύσει, ἔνδοθεν μὲν λευκὸς καὶ ὑπόκιρρος, ὁ ἔξωθεν

ibíq; cõpendij, & quæſtus, qui ex eo liquore factitatur, gratia ſtudioſe colitur. Foliis eſt aſperis, in terra iacẽtibus, herbacei coloris, multũ ad ficulnea accedẽtibus, in ambitu quinquepartitò diuiſis: caule, vt ferulæ, altiſsimo, qui lanugine quadã incaneſcit, foliis etiã minutiori bus obſitus, muſcariis, ceu anethi, in cacumine: flore luteo, & ſemine odorato feruentéq;: radices habet multas ab origine vna: cãdidas, graueolẽtes, craſsi corticis, & ſubamari guſtus. Naſcitur in Cyrene Lybiæ, & Macedonia. Excipitur ſuccus inciſa radice, recẽti cauliũ pullulatu. Ea cãdidũ ſuccũ emittit, qui ſiccatꝰ, in ſumma cute croceũ colorẽ contrahit. Effluentẽ autem ſuccũ excipiunt, foliis excauato ſolo ſtratis, quæ ſiccata tolluntur. Simili modo caule meſsibus inciſo, profluẽtẽ ſuccũ eximũt. Meliores ex radicibus, albæ, rigentes, diſtẽtæque: ſiccæ, quæ cariem non ſentiãt, aromaticæ, feruẽtes guſtu. Fructus ex media ferula cibo idoneus eſt: ſed ex agnatis ſtolonibus, ab vſu cibario abhorret. Maximè in hoc ſucci genere probatur, quàm amariſsimus, internè albus, aut ſubfuluus, foris

foris ad croci colorem inclinans, læuis, pinguis, friabilis, tener, ſtatim in aqua eliqueſcens, graui odore. Niger improbatur, ac mollis. Adulteratur ammoniaco aut cera: ſed ſynceri experimentum eſt, ſi digitis in aqua friatus reſoluatur, & lacteſcat. Excalfacit, mollit, extenuat: horroribus febrium circuitibusque, vulſis, ruptis, laterum dolori, torminibus, ſtillicidio vrinæ conuenit. Contra veſicæ ſcabiem ex aqua mulſa aut vino bibitur: menſes trahit, fœtum enecat, inflationes quæ vuluã malè habent, duritiasque, ex melle dilutus, diſcutit: iſchiadicis illinitur, acopis & capitis medicaminibus admiſcetur, carbunculos rumpit, podagricis cum vua paſſa illitus ſubuenit: dolore dentium liberat, cauis inditus: oculorum aciem illitu excitat. Ex eo & pice optimũ fit emplaſtrum contra beſtiarum morſus, quæ in rabiem efferantur. Radix in ramenta conſciſſa, vuluæ admota, partus extrahit: ad vetera vlcera efficax eſt, nudata oſſa corpore operit, ſi trita cum melle illinatur. Semẽ cum abſinthio ſumptum, mẽſes pellit, cum

ὁ ἔξωθεν δὲ κροκίζων, λεῖος, λιπαρὸς, εὔθρυπτος, εὔθετος, ταχέως δὲ διϊέμενος, βαρύοσμος. ὁ δὲ μέλας φαῦλος καὶ μαλακός. δολοῦται γὰρ ἀμμωνιακῷ, ἢ κηρῷ· δοκιμάζεται δὲ ὕδατι διατειβόμενος τοῖς δακτύλοις, ὁ γὰρ ἄδολος ἀνίεται καὶ γαλακτοῦται. Δύναμις δὲ αὐτοῦ ἐστὶ θερμαντικὴ, μαλακτικὴ, λεπτυντική· ὅθεν ἁρμόζει πρὸς περιόδους καὶ ῥίγη, σπάσματα, ῥήγματα, πλευρᾶς ἀλγήματα, βῆχας, στρόφους, στραγγουρίας. ψώρας τὰς ἐν κύστει σὺν μελικράτῳ, ἢ οἴνῳ ποτιζόμενος· ἔμμηνά τε ἄγει, καὶ ἔμβρυα φθείρει, καὶ ἐμπνευματώσεις τὰς ἐν ὑστέρᾳ, καὶ σκληρίας διαφορεῖ σὺν μέλιτι ἀνεθείς· ἔστι δὲ καὶ σύγχρισμα ἰσχιάδος, μίγνυται δὲ καὶ ἀκόποις καὶ κεφαλικαῖς δυνάμεσι, περιρρήττει δὲ καὶ ἄνθρακας, ἁρμόζει καὶ ποδαγρικοῖς μετὰ σταφίδος ἡμέρου καταπλασσόμενος· παρηγορεῖται δὲ καὶ τὰ τῶν ὀδόντων ἀλγήματα, ἐντιθέμενος τοῖς βρώμασιν· ὀφθαλμῶν τε ἐστὶ ὀξυδερκὲς ἔγχριστον. μιγεὶς δὲ πίσσῃ ἔμπλαστρός ἐστι πρὸς τοὺς λυσσοδήκτους ἀρίστη. καὶ ἡ ῥίζα δὲ ξυσθεῖσα καὶ προστεθεῖσα μήτρᾳ, ἄγει ἔμβρυα· πρός τε ἕλκη ποιεῖ παλαιὰ, καὶ τὰ ἐψιλωμένα τῶν ὀστέων σαρκοῖ, λεῖα καταπλασσομένη καὶ σὺν μέλιτι ἐγχριομένη. ὁ δὲ καρπὸς αὐτοῦ σὺν ἀψινθίῳ ληφθεὶς ἄγει ἔμμηνα· σὺν

σὺν ἀριστολοχίᾳ δὲ πρὸς τὰ ἰοβόλα ἁρμόζει, καὶ πρὸς τὰς ὑστερικὰς πνίγας, σὺν οἴνῳ ποτιζόμενος.

Περὶ Πάνακος ἀσκληπιοῦ.

Κεφ. νϛʹ.

Πάνακες* ἀσκληπιοῦ ἀνίησιν ἀπὸ γῆς καυλὸν λεπτὸν, πηχυαῖον, γόνασι διειλημμένον, περὶ ὃν τὰ φύλλα ὅμοια μαράθρῳ, μείζονα δὲ, καὶ δασύτερα,* εὐώδη· καὶ ἐπ' ἄκρου σκιάδιον, ἐφ' οὗ τὰ ἄνθη χρυσοειδῆ, δριμέα, εὐώδη· ῥίζα δὲ μικρά. Δύναμιν δὲ ἔχει σύνθετον τὸ ἄνθος καὶ ὁ καρπὸς πρὸς ἕλκη καὶ φύματα καὶ φαγέδαιναν, λεῖος σὺν μέλιτι ἐπιτιθέμενος· καὶ πρὸς ἑρπετὰ πινόμενος σὺν οἴνῳ, καὶ συναλειφόμενος σὺν ἐλαίῳ. καλοῦσι δέ τινες πάνακες καὶ τὴν ἀγρίαν ὀρίγανον, οἱ δὲ, κονίλην περὶ ἧς εἴρηται ἐν τοῖς περὶ ὀριγάνου.

Περὶ Πάνακος χειρωνίου.

Κεφ. νζʹ.

Πάνακες χειρώνιον φύεται μάλιστα ἐν τῷ πηλείῳ ὄρει· φύλλα δὲ ἔχει ἀμαράκῳ ἐμφερῆ· ἄνθη χρυσοειδῆ· ῥίζαν λεπτὴν, καὶ οὐ βαθεῖαν, γευομένῳ δὲ δριμεῖαν. Δύναμιν δὲ ἔχει ἡ ῥίζα πρὸς ἑρπετὰ πινομένη. καὶ ἡ κόμη δὲ ἐπιπλαττομένη πρὸς τὰ αὐτὰ ποιεῖ.

Περὶ Λι-

cum ariſtolochia, prodeſt aduerſus animalia quæ venenum eiaculantur & contra vuluæ ſtrangulatus in vino bibitur.

Panaces Aſclepij.

Cap. LVI.

Panaces Aſclepij caulem à ſolo emittit tenuem, cubitalem, geniculatum, circa quem folia fœniculi funduntur, ſed maiora tamẽ hirſutioraque odorata: in cacumine vmbella, vbi flores emicant aurei, odorati & acris guſtus: radix parua eſt & tenuis. Auxiliarem vim habent flores & ſemina, contra vlcera, phagedænas, & tubercula, ſi trita cum melle imponantur: aduerſus ſerpentes ex vino bibuntur, & cum oleo illinuntur. Aliqui panaces ſylueſtre origanum vocãt, alij cunilã, de qua in origani mentione diximus.

Panaces chironium.

Cap. LVII.

Panaces Chironium in Pelio monte maximè prouenit: foliũ eius amaraco ſimile: flos aureus: radix parua, quæ non altè demittitur, guſtu acris.

Pota radix ſerpẽtiũ veneno reſiſtit. Illita coma eadẽ præſtat.

Ligu-

Liguſticum. Cap. LVIII.

Liguſticum, quod alij panaceã, alij panaces vocant, plurimũ in Liguria naſcitur, in mõte Apennino, Alpibus contermino: vnde nomẽ traxit. Panaces incolæ nõ ab re appellant: quoniã & radice & caule, heracleotico panaci ſimile ſit, & viribus eiſdem præditũ. Gignitur in altiſsimis aſperiſq; mõtibus, ac vmbroſis, maximè verò iuxta fluenta. Caliculũ fert anethi, geniculatum, tenuem, & in circuitu folia ſertulæ cãpanæ, molliora, odorata, prope verticẽ graciliora, & longè magis diuiſa: in cacumine muſcarium, in quo ſemen dependet nigrũ, ſolidum & oblongũ, fœniculo proximũ, guſtanti acre, & aroma olens: radix candida, heracleotici panacis ſimilis, odorata. Radicis ſeminiſque vis excalfactoria, cõcoquens: prodeſt ad inteſtinos dolores, tumores, concoctiones. Item ad inflationes, præſertim quibus ſtomachus turgeat: & cõtra ſerpentium ictus: vrinas & menſes potu trahit. Eoſdem præſtat effectus appoſita radix. Semen cum radice oxyporis & medicamentis decoquentibus admiſcetur: ori perquàm vtile: quare

Περὶ Λιγυστικοῦ. Κεφ. νη.

Λιγυστικὸν φύεται μὲν πλεῖστον ἐν Λιγυρίᾳ· ὅθεν καὶ τὴν προσωνυμίαν ἔσχηκεν ἐν τῷ καλουμένῳ Ἀπεννίνῳ, ὄρος δέ ἐστιν ὁμοροῦν ταῖς Ἄλπεσι. πάνακες δὲ αὐτὸ καλοῦσιν οἱ ἐπιχώριοι οὐκ ἀλόγως· ἐπεὶ ἡ ῥίζα καὶ ὁ καυλὸς ἔοικε τῇ τοῦ ἡρακλεωτικοῦ πάνακος, καὶ ἡ δύναμις ὁμοία καθέστηκε. φύεται δὲ ἐν τοῖς ὑψηλοτάτοις καὶ τραχυτέροις καὶ συσκίοις ὄρεσι, μάλιστα δὲ παρὰ τοῖς διώρυξι. καυλίον δὲ φέρει λεπτὸν, ὅμοιον ἀνήθῳ, γεγονατωμένον, περὶ ὃ φύλλα ἐοικότα τοῖς τοῦ μελιλώτου, τρυφερώτερα δὲ καὶ εὐώδη, ἰσχνότερα δὲ τὰ πρὸς ἄκρῳ τῷ καυλῷ, καὶ μᾶλλον ἐσχισμένα. ἐπ' ἄκρου δὲ σκιάδιον, ἐφ' οὗ καὶ τὸ σπέρμα μέλαν, ναστὸν, ὑπόμηκες πρὸς τὸ τοῦ μαράθρου, γευομένῳ δὲ δριμὺ καὶ ἀρωματίζον· ῥίζα λευκὴ, ὁμοία τῇ τοῦ ἡρακλεωτικοῦ πάνακος εὐώδης. Δύναμις δὲ τοῦ σπέρματος καὶ τῆς ῥίζης θερμαντικὴ, πεπτικὴ ἁρμόζουσα πρὸς τὰ ἐντὸς ἀλγήματα καὶ πέψεις καὶ οἰδήματα, καὶ ἐμπνευματώσεις καὶ μάλιστα τὰς περὶ στόμαχον, καὶ πρὸς θηρίων πληγάς· ἄγει δὲ καὶ οὖρα, καὶ ἔμμηνα πινομένη. καὶ ἡ ῥίζα δὲ προστιθεμένη τὸ αὐτὸ ποιεῖ. μίγνυται δὲ ἡ ῥίζα καὶ τὸ σπέρμα χρησίμως καὶ τοῖς ὀξυπόροις καὶ ταῖς πεπτικαῖς δυνάμεσιν. ἱκανῶς δὲ εὐστόμαχόν ἐστιν. ὅθεν

ὅθεν καὶ ἀντὶ πεπέρεως αὐτῷ χρῶνται οἱ ἐπιχώριοι, μιγνύντες τοῖς προσοψήμασι. δολοῦται δὲ σπέρματί τινι παρομοίῳ ὃ διακρινεῖς τῇ γεύσει· πικρὸν γάρ ἐστιν. ἔνιοι δὲ καὶ σπέρμα μαράθρου ἢ σεσέλεως συμμίσγοντες, δολοῦσιν αὐτό.

Περὶ Σταφυλίνου. Κεφ. νθ'.

Σταφυλῖνος ἄγριος φύλλα ἔχει ὅμοια γιγγιδίῳ, πλατύτερα δὲ καὶ ὑπόπικρα· καυλὸν δὲ ὄρθιον, τραχύν, σκιάδιον ἔχοντα ἀνήθῳ παραπλήσιον, ἐφ' οὗ ἄνθη λευκά, ἐν μέσῳ δὲ πορφυροειδές τι μικρόν, καὶ οἱονεὶ κροκίζον· ῥίζα δὲ δακτύλου τὸ πάχος, σπιθαμιαία, εὐώδης, ἐδώδιμη, ἑφθή. Τούτου ὁ καρπὸς ποθεὶς ἢ προστεθεὶς, ἔμμηνα κινεῖ. ἁρμόζει καὶ δυσουροῦσι καὶ ὑδρωπικοῖς, καὶ πλευριτικοῖς ἐν πόμασι, καὶ πρὸς θηρίων δὲ δήγματα καὶ πληγάς· τοὺς δὲ προλαβόντας φασὶ μὴ ἀδικεῖσθαι ὑπὸ θηρίων· συνεργεῖ δὲ καὶ συλλήψει. ἡ δὲ ῥίζα καὶ αὐτὴ οὐρητικὴ οὖσα συνουσίαν τε παρορμᾷ καὶ ἔμβρυα ἐκβάλλει προστιθεμένη. τὰ δὲ φύλλα λεῖα μετὰ μέλιτος ἐπιτιθέμενα, τὰ φαγεδαινικὰ ἕλκη ἀνακαθαίρει. Ὁ δὲ κηπευτὸς σταφυλῖνος ἐδωδιμώτερος ὢν ἁρμόζει πρὸς τὰ αὐτὰ ἐνδεέστερον ἐνεργῶν.

Περὶ Σεσέ-

quare pro pipere vtuntur eo indigenæ, ad obſonia. Adulteratur ſemine quodam ſimili, quod facilè guſtu diſcernitur: amarum enim eſt. Alij ſemen fœniculi aut ſeſelis admiſcentes, liguſticum dolo vitiant.

Paſtinaca. Cap. LIX.

Paſtinaca ſylueſtris folia gingidij habet, latiora, ſubamara: caulem rectum, ſcabrum: vmbellam ſimilem anethi, in qua flores inſunt candidi, & in medio exiguũ quiddam cernitur colore purpureo, ferè ad croceũ accedẽte: radix digiti craſſitudine, dodrantalis, odorata, quæ cocta mãditur. Semen potum vel impoſitũ, mẽſtrua mouet. Is cõuenit in potione, quos vrinæ difficultas torquet, aut lateralis dolor excruciat, aut ſi aqua cutem ſubiit: ſerpentium morſibus ictibusque prodeſt: præſumentes id nulla affici iniuria à ſerpentibus traduntur: conceptus adiuuat. Radix vrinam pellit, venerem ſtimulat, partus appoſita eiicit. Folia trita, & cum melle impoſita, phagedænas vlcerum purgant. Satiua ad eadem pollet, inefficacior tamen, & cibo aptior.

Seſeli

Seſeli Maſsilienſe. Cap. LX.

Seſeli Maſsilienſe folia fœniculi habet, craſsiora: caulem vegetiorem: vmbellam anethi, in qua ſemen oblongum, anguloſum, deguſtanti ſtatim acre: radix longa eſt, iucundi odoris. Semen & radix excalfaciendi vim habet: potu ſtranguriæ & orthopnœæ medentur, ſuffocationibus mulierum comitialibusque proſunt, menſes & partus trahunt: ad omnia interna mala pollent, tuſſim veterẽ ſanant. Semen cum vino potũ, cõcoquit, & tormina diſcutit: epialis febribus vtile, & cõtra perfrictiones in itineribus, cum pipere & vino bibitur: capris, cæteriſque pecudibus, datur in potu, quò facilius ſuos fœtus enitantur.

Seſeli Æthiopicum. Cap. LXI.

Æthiopicum ſeſeli, folia habet hederæ, minora, & ad periclimeni modũ oblonga: frutex nigricat, palmitibus in bina cubita extenſis, ramis ſeſquipedalibus, capitulo anethi: ſemine in tritici morem déſo, nigro, amaro, Maſsilienſi odoratiore, & acriore, multum ſuaui.

Seſeli Pelo-

Περὶ Σεσέλεως μασσαλεωτικοῦ. Κεφ. ξ'.

Σέσελι τὸ μασσαλεωτικὸν, φύλλα ἔχει ἐοικότα μαράθρῳ, παχύτερα δὲ καὶ τὸν καυλὸν εὐσθενέστερον ἔχει· ἔχει δὲ σκιάδιον ἀνήθῳ ὅμοιον, ἐφ' οὗ ὁ καρπὸς ἐπιμήκεις γεγωνιωμένος, δριμὺς βιβρωσκόμενος ταχέως· ῥίζα μακρὰ εὐώδης. Δύναμιν δὲ ἔχει ὁ καρπὸς καὶ ἡ ῥίζα θερμαντικήν, πινόμενα δὲ στραγγουρίαν ἰᾶται, καὶ ὀρθόπνοιαν· ὠφελεῖ δὲ καὶ ὑστερικὰς πνίγας καὶ ἐπιληπτικούς, ἔμμηνά τε ἄγει καὶ ἔμβρυα, καὶ πρὸς τὰ ἐντὸς πάντα ποιεῖ, καὶ βῆχας ἰᾶται παλαιάς, πινόμενός τε μετ' οἴνου ὁ καρπός, πεπτικός ἐστι, καὶ στρόφων λυτικός· ἠπιάλοις τε χρήσιμος καὶ πρὸς τοὺς ἐν ὁδοῖς κρυμοῖς σὺν πεπέρει καὶ οἴνῳ πίνεται. δίδοται δὲ καὶ αἰξὶ καὶ τοῖς λοιποῖς κτήνεσι πρὸς εὐτοκίαν ποτόν.

Περὶ Σεσέλεως αἰθιοπικοῦ. Κεφ. ξα'.

Τὸ δὲ αἰθιοπικὸν λεγόμενον σέσελι, φύλλα μὲν ἔχει ὅμοια κισσῷ, ἐλάσσονα δὲ καὶ ἐπιμήκη πρὸς τὰ τοῦ περικλυμένου, θάμνος δὲ* μέλας ἐστὶ, κλήματα ὡς διπήχη ἔχων, ἐφ' οὗ κλάδοι διπιθαμιαῖοι, κεφάλια δὲ ὡς ἀνήθου. σπέρμα δὲ μέλαν πυκνὸν ὡς πυρὸς, δριμύτερον δὲ, καὶ εὐωδέστερον τοῦ μασσαλεωτικοῦ. ἡδὺ ἰσχυρῶς.*

Περὶ

Περὶ Σεσέλεως πελοποννησιακοῦ. Κεφ. ξβ'.

Τὸ δὲ ἐν πελοποννήσῳ γινόμενον, φύλλα ἔχει κωνείῳ παραπλήσια, πλατύτερα δὲ καὶ παχύτερα, καυλὸν μείζονα τοῦ μασσαλεωτικοῦ, ναρθηκοειδῆ, ἐπ' ἄκρῳ δὲ τούτου σκιάδιον πλατύ. ἐν δὲ τούτῳ καρπὸς πλατύτερος καὶ εὐώδης * καὶ σαρκωδέστερος. δύναμιν δὲ τὴν αὐτὴν ἔχει. φύεται ἐν τόποις τραχέσι καὶ ἐφύδροις καὶ γεωλόφοις. φύεται δὲ καὶ ἐν ἴδῃ.*

Seſeli Peloponnenſe.
Cap. LXII.

Peloponnéſe folia habet cicutæ, latiora, & craſsiora: caulē ſupra Maſsilienſis magnitudinem, ferulaceū, & latam in cacumine vmbellam, in qua ſemen latius, odoratum, & carnoſius pendet. Eiſdem viribus præditum eſt: naſcitur in aſperis, riguis & collibus. inuenitur & in inſulis.

Περὶ Τορδυλίου. Κεφ. ξγ'.

Τορδύλιον, ἔνιοι δὲ σέσελι κρητικὸν καλοῦσι. φύεται ἐν τῷ κατὰ κιλικίαν* ἀμανῷ. ἔστι δὲ βοτάνιον φρυγανῶδες, ἔχον σπερμάτιον περιφερὲς, διπλοῦν, ὅμοιον ἀσπιδίσκοις ὑπόδριμυ, καὶ ἀρωματίζον· πινόμενον πρὸς δυσουρίαν, καὶ ἐμμήνων ἀγωγήν. ὁ δὲ χυλὸς τοῦ καυλοῦ καὶ τοῦ σπέρματος ἔτι χλωροῦ ὄντος, ὅσον τριώβολον ποθεὶς σὺν γλυκεῖ ἐν ἡμέραις δέκα, νεφριτικοὺς ὑγιάζει. ἡ δὲ ῥίζα προακτική. ἀνάγουσα καὶ τὰ ἐκ θώρακος ἐκλειχομένη μετὰ μέλιτος.*

Creticum Seſeli.
Cap. LXIII.

Tordyliū, quod aliqui Creticum ſeſeli vocant, iuxta Ciliciam in Amano monte naſcitur, herbula ſurculoſa, ſemine duplici, rotundo, ſcutulorum effigie, odorato, ſubacri. Contra vrinæ difficultatem bibitur, potu cit menſes. Succo ſeminis cauliſque virentis, ternis obolis ex paſſo decem diebus hauſto, renes ſanātur. Efficax eſt radix ad ciendas pectoris excreationes, in delinctu cum melle.

Περὶ Σίσωνος. Κεφ. ξδ'.

Σίσων σπερμάτιόν ἐστιν ἐν συρίᾳ γινόμενον, παρεοικὸς σελίνῳ, ἐπιμηκες, μέλαν, πυρωτικόν. πινόμενον πρὸς σπλῆνα καὶ δυσουρίαν, καὶ ἐμμήνων ἐποχήν. χρῶνται δὲ αὐτῷ οἱ ἐπιχώριοι ἀρτύματι

μετὰ

Siſon. Cap. LXIIII.

Siſon exiguum ſemen eſt, in Syria natū, apio ſimile, nigrū, ferués, oblongum. Contra lienis vitia bibitur, vrinæ difficultaté potu emendat, remoratos méſes citat. Quo in códimétis

cū cu-

cum cucurbita, & aceto, indigenæ vtũtur. In cacumine granula multa gerit.

Aniſum. Cap. LXV.

Aniſum in ſumma excalfacit, exiccat: oris halitum iucundiorem facit, doloris leuamẽtum præſtat, vrinam ciet, aquam quæ ſubiit cutem diſſipat, potum ſitim cohibet, animalium venenis aduerſatur: valet ad inflationes, aluum & alba fœminarum profluuia ſiſtit, lac ad mammas elicit, venerem ſtimulat: dolores capitis leuat, ſuffitum naribus: cum roſaceo tritum, inſtillatumque, fractis auribus medetur. Melius ſemper recens, plenũ non furfuroſum, odore præſtans. Inter prima laudatũ eſt Creticum, proximo loco Ægyptium.

Carum. Cap. LXVI.

Carum, ſemen eſt vulgaris notitiæ. Excalfacit, vrinam cõcitat, ſtomacho vtile, os commendat, concoctionem adiuuat, vtiliter miſcetur antidotis & oxyporis: aniſi vicem præbet. Radix cocta, paſtinacę modo, manditur.

Anethum.

μετὰ κολοκύνθης ἑφθῆς σὺν ὄξει λαμβάνοντες. ἔχει δὲ ὡς κοκκία πολλὰ ἐπ' ἄκρων.

Περὶ Ἀνίσου. Κεφ. ξε´.

Ἄνισον* σπερμάτιόν ἐστιν ἐν συρίᾳ γινόμενον, ἐοικὸς σελίνῳ περίμηκες, μέγα, πυρωτικόν. πινόμενον δὲ πρὸς σπλῆνα, καὶ δυσουρίαν ἢ ἐμμήνων ἐποχήν. χρῶνται δὲ αὐτῷ οἱ ἐπιχώριοι ἀρτύματι μετὰ κολοκύνθης ἑφθῆς σὺν ὄξει λαμβάνοντες. τοῦτο δὴ τὸ ἄνισον, τὴν μὲν καθόλου δύναμιν ἔχει θερμαντικήν, ξηραντικήν, εὔπνουν, ἀνώδυνον, διαφορητικήν, οὐρητικήν, διαχυτικήν, ὑδρωπικοῖς ἄδιψον πινόμενον· ἁρμόζει δὲ πρός τε τὰ ἰοβόλα τῶν ζώων καὶ πρὸς ἐμπνευματώσεις, κοιλίαν τε ἵστησι, καὶ λευκὸν ῥοῦν, καὶ γάλα κατασπᾷ, καὶ συνουσίας παρορμᾷ· ὑποθυμιώμενον δὲ τῇ ῥισὶ κεφαλαλγίαν παύει· καὶ τὰς ῥήξεις δὲ τῶν ὤτων, λεῖον σὺν ῥοδίνῳ ἐνσταζόμενον ἰᾶται. ἔστι δὲ αὐτοῦ κρεῖσσον τὸ νέον καὶ ἁδρὸν, καὶ μὴ πιτυρῶδες, εὔτονον τῇ ὀσμῇ. προφέρεται δὲ τὸ κρητικόν, ἔπειτα δὲ καὶ τὸ αἰγύπτιον.

Περὶ Κάρου. Κεφ. ξϛ´.

Κάρος* σπερμάτιόν ἐστι γνώριμον οὐρητικόν, θερμαντικόν, εὐστόμαχον, εὔστομον, πεπτικόν, μιγνύμενον ἐν τοῖς ἀντιδότοις καὶ ὀξυπόροις χρησίμως· ἀναλογοῦν ἀνίσῳ. ἡ δὲ ῥίζα ἑφθὴ ἐδώδιμος ὥσπερ σταφυλῖνος.

Περὶ Ἀνήθου.

Περὶ Ἀνήθου. Κεφ. ξζ'.

Ἀνήθου* ξηροῦ τῆς κόμης καὶ τοῦ καρποῦ τὸ ἀφέψημα πινόμενον, γάλα κατασπᾷ, στρόφους τε καὶ ἐμπνευματώσεις παύει, κοιλίαν τε καὶ τοὺς ἐπιπολαίως ἐμέτους ἵστησι, οὖρά τε κινεῖ, λυγμοὺς παρηγορεῖ, ἀμβλύνει τε τὰς ὄψεις, καὶ γονὴν σβέννυσι συνεχῶς πινόμενον. χρήσιμον δὲ τὸ ἀφέψημα αὐτοῦ καὶ γυναιξὶν ὑστερικαῖς εἰς ἐγκάθισμα. τὸ δὲ σπέρμα καὲν καὶ καταπλασθὲν, κονδυλώματα αἴρει.

Περὶ Κυμίνου ἡμέρου. Κεφ. ξη'.

Κύμινον τὸ ἥμερον εὔστομον· καὶ τούτου μᾶλλον τὸ αἰθιοπικὸν, ὅπερ Ἱπποκράτης βασιλικὸν ἐκάλεσε. δεύτερον τὸ αἰγύπτιον· εἶτα τὸ λοιπόν. φύεται ἐν γαλατίᾳ καὶ ἐν ἀσίᾳ καὶ κιλικίᾳ καὶ τερεντίᾳ, καὶ ἐν ἄλλοις πλείοσι τόποις. Ἔστι δὲ θερμαντικὸν, στυπτικὸν, ξηραντικόν· ἁρμόζον πρὸς στρόφους, καὶ ἐμπνευματώσεις. ἐγκλυζόμενον ἑφθὸν σὺν ἐλαίῳ καὶ καταπλασσόμενον σὺν ὠμηλύσει. δίδοται δὲ καὶ ὀρθοπνοϊκοῖς σὺν ὀξυκράτῳ· θηριοδήκτοις δὲ σὺν οἴνῳ. διδύμων τε φλεγμονὰς ἀρήγει σταφίδι καὶ αἰρίνῳ ἀλεύρῳ, ἢ κηρωτῇ ἐπιτεθέν. ἐπέχει δὲ καὶ ῥοῦν γυναικεῖον, καὶ τὰς ἐκ μυκτήρων αἱμορραγίας. σὺν ὄξει λεῖον προσενεχθὲν, τρέπει δὲ καὶ χρῶτα ἐπὶ τὸ ὠχρότερον πινόμενόν τε καὶ συγχριόμενον.

Περὶ

Anethum. Cap. LXVII.

Aridi anethi comæ ſeminíſque decoctum, potu lac euocat, inflationes & tormina ſedat, aluum vomitionéſque ſiſtit, vrinas ciet, ſingultus lenit, oculorũ aciem hebetat & genitura͂ reſtinguit aſsiduè potũ. Fœminis vuluę malo opportunis, ad deſeſsiones vtile. cõdylomata illitus eius cinis tollit.

Cuminum ſatiuum.

Cap. LXVIII.

Cuminũ ſatiuũ ori gratũ eſt: ſed multò magis Æthiopicum, quod Hippocrates regiũ appellauit. Secundũ locũ tenet Ægyptium: reliqua ſequuntur. Prouenit in Galatia, in Aſia, Cilicia, & Terentia, & pleriſq; aliis tractibus. Excalfacit, adſtringit, exiccat: ad tormina inflationéſq; conuenit, coctum & cũ oleo inditum, aut cũ hordeacea farina illitum. Orthopnoicis datur in poſca: demorſis à ſerpente, in vino. Teſtium collectionibus auxiliatur, impoſitum cum vua paſſa, aut lolij farina cæratóve. Menſium abundantiam inhibet. Contritũ autẽ in aceto, & naribꝰ obiectũ, ſanguinis profluuia ſiſtit. Colorem bibentiũ aut perunctorum mutat in pallorem.

Syluestre cuminum.
Cap. LXIX.

Syluestre cuminum, plurimum efficaciúſq; in Lycia & Galatiæ Aſia, atq; Carthagine Hiſpaniæ gignitur: frutice paruo: dodrantali caule, ac tenui, quaternis, aut quinis foliis tenuibus, veluti ſerratis, & gingidij diuiſura. In cacumine capitula quina, aut ſena habet, mollia, rotunda: in quibus eſt ſemē acerosum, guſtu ſatiuo acriore. naſcitur in collibus. Bibitur ſemen ex aqua, aduerſus tormina inflationéſq;: itē contra venenatas beſtias, ex vino: ſingultus ex aceto ſedat: ſtomacho vtile, quē humor vexat. ſugillata tollit, ſi manducatū cū melle & vua paſſa illinatur: teſtiū inflammationibus, adiectis eiſdem illitum medetur. Eſt & aliud ſylueſtris cumini genus, ſatiuo non diſsimile, quod à ſingulis floribus promit cornicula in ſublime exerta, in quibus ſemē eſt melāthio ſimile: quod potū omnium ſerpentiū morſibus pręſidio eſt. Calculoſis & iis qui vrinæ ſtillicidio vexantur, aut concretum ſanguinem cum lotio reddunt, auxiliatur: ſed apij ſemen ferueſactum poſtea bibendum eſt.

Ammi

Περὶ Κυμίνου ἀγρίου.
Κεφ. ξθ'.

Κύμινον ἄγριον, φύεται μὲν πλεῖστον καὶ ἐνεργέστερον ἐν λυκίᾳ καὶ ἀσίᾳ τῆς γαλατίας, καὶ ἐν καρχηδόνι τῆς ἱσπανίας· ἔστι δὲ θαμνίον ἔχον καυλὸν σπιθαμιαῖον, λεπτὸν, ἐφ' οὗ φυλλάρια δ'. ἢ ε'. λεπτὰ, οἱονεὶ πεπρισμένα, τὴν κατάσχισιν ὡς γιγγίδιον. κεφάλια δὲ ἔχει ἐπ' ἄκρου ε'. ἢ ς'. στρογγύλα, μαλακὰ· ἐν οἷς ὁ καρπὸς ἀχυρώδης, γευομένῳ δὲ δριμύτερος τοῦ ἡμέρου. φύεται δὲ ἐν γεωλόφοις. πίνεται δὲ τὸ σπέρμα πρὸς στρόφους καὶ ἐμπνευματώσεις σὺν ὕδατι· σὺν ὄξει δὲ λυγμοὺς παύει. πρὸς δὲ τὰ ἰοβόλα καὶ πλάδον στομάχου σὺν οἴνῳ· αἴρει δὲ καὶ ὑπώπια μασσηθὲν καὶ καταπλασθὲν σὺν μέλιτι καὶ σταφίδι. φλεγμονάς τε διδύμων ἰᾶται μετὰ τῶν αὐτῶν καταπλασσόμενον. Ἔστι καὶ ἕτερον γένος ἀγρίου κυμίνου ἐμφερὲς τῷ ἡμέρῳ, ἐξ ἑκάστου δ' ἄνθους * ἀφίησι κεράτια μετέωρα, ἐν οἷς ἐστι σπέρμα ὅμοιον μελανθίῳ· τοῦτο πινόμενον, πρὸς ἑρπετοδήκτους ἄριστον ἀλέξημα. βοηθεῖ καὶ στραγγουροῦσι καὶ λιθιῶσι καὶ αἵματος θρόμβους οὐροῦσιν. ἐπιπινέτωσαν δὲ σελίνου σπέρμα ἀποζεσθέν.

Περὶ Αμ-

Περὶ Ἄμμιος. Κεφ. ο'.

Ἄμμι, ἔνιοι καὶ τοῦτο αἰθιοπικὸν, οἱ δὲ, βασιλικὸν κύμινον καλοῦσιν. ἔνιοι δὲ ἑτέρας φύσεως τὸ αἰθιοπικὸν κύμινον ἔφασαν εἶναι, καὶ ἑτέρας τὸ ἄμμι. γνώριμον δὲ τὸ σπερμάτιον, μικρότερον πολλῷ τοῦ κυμίνου, καὶ ὀριγανίζον τῇ γεύσει. ἐκλέγου δὲ τὸ καθαρὸν καὶ μὴ πιτυρῶδες. Δύναμιν δὲ ἔχει καὶ τοῦτο θερμαντικήν, πυρωτικὴν καὶ ξηραντικήν· ποιοῦν πρὸς στρόφους, δυσουρίας, καὶ θηριοδήκτοις πινόμενον σὺν οἴνῳ· ἄγει δὲ καὶ ἔμμηνα. μίγνυται καὶ τοῖς διὰ κανθαρίδος ἐκδορίοις πρὸς τὸ ἀντιπράττειν ταῖς ἐπιγινομέναις δυσουρίαις. καὶ ὑπώπια καταπλασθὲν σὺν μέλιτι αἴρει· τρέπει δὲ καὶ χρόαν πινόμενον καὶ συγχριόμενον ἐπὶ τὸ χλωρότερον. καὶ μετὰ σταφίδος ἢ ῥητίνης ὑποθυμιώμενον, ὑστέραν ἀποκαθαίρει.

Περὶ Κορίου. Κεφ. οα'.

Κόριον ἢ κορίαννον γνώριμον, δύναμιν ἔχον ψυκτικήν. ὅθεν καταπλασσόμενον μετὰ ἄρτων ἢ ἀλφίτων, ἐρυσιπέλατα καὶ ἕρπητας ἰᾶται· σὺν μέλιτι δὲ καὶ σταφίδι ἐπινυκτίδας, καὶ διδύμων φλεγμονὰς καὶ ἄνθρακας θεραπεύει· μετὰ ἐρεγμοῦ δὲ χοιράδας καὶ φύματα διαλύει. τὸ δὲ σπέρμα ὀλίγον μὲν ποθὲν μετὰ γλυκέος ἕλμινθας ἐκβάλλει,

καὶ

Ammi. Cap. LXX.

Ammi Æthiopicum cuminum appellant. plerique hoc natura diuerſum eſſe ab illo exiſtimant. Vulgo notum eſt: ſemen exile, multò minus cumino, origanum reſipiens. Eligendum eſt purum, minimè furfuroſum. Vis ei excalfactoria, feruens, & exiccans: facit ad tormina, vrinæ difficultatem, ſerpentium ictus, cum vino potum: menſtrua ciet. Miſcetur derodentibus cantharidum medicamentis, quæ ecdoria vocant: vt inde exortis vrinæ difficultatibus reſiſtat. Sugillata cum melle tollit, colorem potu aut illitu mutat in pallorem. Suffitum cum vua paſſa aut reſina, vuluas purgat.

Coriandrum. Cap. LXXI.

Corindrũ aut corianũ vulgaris eſt notitiæ, vim refrigeratoriã habẽs. Quare illitũ cũ pane aut poléta, ignibus ſacris: & vlceribus quæ ſerpunt, medetur: epinyctidas cũ melle vel vua paſſa, teſtiũ inflãmationes, carbunculóſq; ſanat: cũ faba freſa, ſtrumas & tuberculas diſcutit: tineas interaneorum expellit ſemen cum paſſo potum,

& genituram adauget. largius autem ſumptum, mentem non ſine periculo mouet: quare cõtinuo, & copioſiore vſu abſtinendum. Succus cum ceruſſa, ſpumáve argenti, necnon aceto & roſaceo illitus, ardentes ſummæ cutis inflammationes emendat.

Hieracium magnum. Cap. LXXII.

Hieracium magnum, caulem emittit aſperum, ſubrubrum, ſpinoſum, cauum: folia ex interuallis rariuſculè diuiſa, ſimilia ſoncho per ambitum: luteos flores in oblongis capitulis. Vim refrigerandi habet, & modicè ſubſtringendi: vnde illitum ſtomacho æſtuanti, inflammationibúſq; prodeſt. Succus eroſionem ſtomachi ſorbitione mitigat. Herba cum radice illita, uibratis à ſcorpione ictibus auxiliatur.

Hieracium paruum. Cap. LXXIII

Hieracium paruum, folia eodem modo obtinet ex interuallis diuiſa per ambitum: cauliculos teneros, virentes, in quibus lutei flores, orbem circinantes, emicant. Vim ſuã ad eadem ad quæ ſuperior impendit.

Apium.

καὶ σπέρματός ἐστι γεννητικόν. πλεῖον δὲ ληφθὲν κινεῖ τὴν διάνοιαν ἐπικινδύνως· ὅθεν δεῖ φυλάττεσθαι τὴν πλείονα καὶ συνεχῆ χρῆσιν αὐτοῦ. ὁ δὲ χυλὸς σὺν ψιμμυθίῳ ἢ λιθαργύρῳ καὶ ὄξει καὶ ῥοδίνῳ καταχριόμενος, ὠφελεῖ τὰς κατὰ τὴν ἐπιφάνειαν φλεγμονὰς τὰς πυρώδεις.

Περὶ Ἱερακίου τοῦ μεγάλου. Κεφ. οβʹ.

Ἱεράκιον τὸ μέγα, καυλὸν ἀνίησι τραχὺν, ὑπέρυθρον, ἀκανθώδη, ὑπόκενον· φύλλα ἔχει ἐκ διαστημάτων ἐπεσχισμένα ἀραιῶς, σόγχῳ ἐμφερῆ τὴν περιφέρειαν· ἄνθη μήλινα ἐν κεφαλίοις ὑπομήκεσι. δύναμιν ἔχει ψυκτικὴν, μετρίως ὑποστύφουσαν· ὅθεν στομάχῳ καυσουμένῳ καὶ φλεγμοναῖς καταπλασσόμενον ἁρμόζει. ὁ δὲ χυλὸς καταρροφούμενος, δηγμὸν* πραΰνει. ἡ δὲ πόα σὺν τῇ ῥίζῃ καταπλασθεῖσα, σκορπιοπλήκτοις ἀρήγει.

Περὶ Ἱερακίου τοῦ μικροῦ. Κεφ. ογʹ.

Ἱεράκιον τὸ μικρὸν, φύλλα ἔχει καὶ αὐτὸ ἐκ διαστημάτων ἐπεσχισμένα τὴν περιφέρειαν· καυλία δὲ ἀνίησι τρυφερὰ καὶ χλωρὰ, ἐν οἷς ἄνθη μήλινα, κύκλον περιγράφοντα. Δύναμιν δὲ ἔχει καὶ αὐτὸ τὴν αὐτὴν τῷ προειρημένῳ.

Περὶ Σελί-

Περὶ Σελίνου. Κεφ. οδʹ.

Σέλινον κηπαῖον, ἁρμόζει ἥπερ πρὸς ἃ καὶ τὸ κόριον· καὶ πρὸς ὀφθαλμῶν φλεγμονὰς μετὰ ἄρτου, ἢ παιπάλης ἀλφίτου καταπλασσόμενον, καὶ καῦσον στομάχου παρηγορεῖ· μαστούς τε χονδριῶντας ἀνίησι· κινεῖ τε οὖρα ἑφθόν τε καὶ ὠμὸν ἐσθιόμενον. καὶ τὸ ἀφέψημα αὐτοῦ τε καὶ τῶν ῥιζῶν πινόμενα. ἀντιπάσχει θανασίμοις φαρμάκοις· ἐμέτους κινοῦν· κοιλίαν τε ἐπέχει. τὸ δὲ σπέρμα ἐστὶν οὐρητικώτερον, βοηθοῦν καὶ θηριοδήκτοις, καὶ τοῖς λιθάργυρον πεπωκόσι. πνευμάτων τέ ἐστι διαλυτικόν. μίγνυται δὲ καὶ ἀνωδύνοις καὶ θηριακαῖς καὶ βηχικαῖς χρησίμως.

Apium. Cap. LXXIIII.

Hortenſis apij herba ad eadem ad quæ corianum conuenit: inflammationibus oculorum, cū pane aut polenta illinitur: æſtuantem ſtomachum mulcet: mammarū duritiā ex lacte concreto contractā reprimit: vrinā ciet, ſiue crudum ſiue coctum edatur. Decoctū eius radicíſque potum, venenorum noxæ reſiſtit, quum vomitiones excitet: aluum cohibet. Semen vehementius vrinā pellit: cōtra ſerpentiū venena, aut epotā argenti ſpumā auxiliatur: inflationes diſcutit. Admiſcetur medicamētis quæ dolorū leuamenta prēſtāt: theriacis quoq;, ac tuſsis remediis.

Περὶ Ἐλαιοσελίνου. Κεφ. οεʹ.

Ἐλαιοσέλινον γινόμενον ἐν τοῖς ἐφύδροις τόποις, μεῖζον τοῦ ἡμέρου σελίνου· ποιεῖ δὲ ὅσα καὶ τὸ κηπευτόν.

Eleoſelinum. Cap. LXXV.

Eleoſelinum in humidis naſcitur, ſatiuo grādius, & ad eadem efficax.

Περὶ Ὀρεοσελίνου. Κεφ. οςʹ.

Ὀρεοσέλινον καυλός ἐστι σπιθαμιαῖος εἷς ἐκ ῥίζης λεπτῆς, περὶ δὲ αὐτὸν κλωνάρια καὶ κεφάλια κωνείῳ παρεμφερῆ, λεπτότερα μέντοι ἱκανῶς, ἐφ' ὧν ὁ καρπὸς ἐπιμήκης, δριμύς, λεπτός, εὐώδης, ἐοικὼς κυμίνῳ· φύεται δὲ ἐν τόποις πετρώδεσι καὶ ὀρεινοῖς.

Oreoſelinum. Cap. LXXVI.

Oreoſelinum, caule eſt dodrantem alto, ab radice tenui exeunte: per cuius ambitum ramuli, & capitula cicutæ, multò tamen tenuiora: ſemine cumini oblongo, acri, & odorato, tenui: naſcitur in petroſis & montibus.

Vrinam ciet, ſemine ac radice in vino potis: menſes trahit. Antidotis, nec nõ medicamẽtis vrinam cientibus, & excalfactoriis, inſeritur. Nec hallucinari nos oportet, exiſtimantes oreoſelinum eſſe, quod in ſaxis prouenit: aliud enim eſt petroſelinum.

Δύναμιν δὲ ἔχει ὁ καρπὸς καὶ ἡ ῥίζα οὐρητικήν, ποθέντες ἐν οἴνῳ. ἄγει δὲ καὶ ἔμμηνα. μίγνυται δὲ καὶ ἀντιδότοις καὶ ταῖς διουρητικαῖς καὶ θερμαντικαῖς δυνάμεσιν. οὐ δεῖ δὲ πλανᾶσθαι νομίζοντας τὸ ὀρεοσέλινον εἶναι τὸ ἐν πέτραις φυόμενον· ἄλλο γάρ ἐστι τὸ πετροσέλινον.

Petroſelinum. Cap. LXXVII.

Περὶ Πετροσελίνου. Κεφ. οζ.

Petroſelinum in Macedonia prouenit, in præruptis locis: ſemine ammij, odoratiore, ſapore acri, aroma olente. Vrinam cit ac menſtrua: contra ſtomachi & coli inflationes, & tormina prodeſt: laterũ, renum, & veſicæ doloribus in potu ſubuenit. Admiſcetur antidotis vrinam cientibus.

Σέλινον τὸ καὶ πετροσέλινον, τοῦτο φύεται ἐν μακεδονίᾳ, ἐν ἀποκρήμνοις τόποις· σπέρμα ἔχον ἐοικὸς ἄμμει, εὐωδέστερον ἐστὶ καὶ δριμὺ καὶ ἀρωματίζον. οὐρητικόν, ἐμμήνων ἀγωγόν· ἁρμόζει δὲ καὶ πρὸς στομάχου καὶ κώλου ἐμπνευματώσεις καὶ στρόφους· πρός τε πλευρᾶς πόνους καὶ νεφρῶν καὶ κύστεως ἐν ποτῷ λαμβανόμενον. μίγνυται δὲ καὶ ταῖς οὐρητικαῖς ἀντιδότοις.

Hippoſelinum. Cap. LXXVIII.

Περὶ Ἱπποσελίνου. Κεφ. οη.

Hippoſelinũ, Latini oluſatrũ appellãt, aliqui ſmyrnion, quãuis aliud ſit, quod propriè ſmyrnion dicitur, vt paulò poſt referemus. Eſt autẽ maius & ſatiuo apio candidius: caule alto, cauo, molli, habẽte veluti lineas: foliis latioribus, in puniceũ vergentibus: coma roriſmarini, florũ plena, depẽdẽtibus in cacumine corymbis, antè q̃ defloreſcat: ea ſemine turget nigro, oblon

Ἱπποσέλινον, οἱ μὲν, γρίηλον, οἱ δὲ, ἀγριοσέλινον, οἱ δὲ, σμύρνιον καλοῦσι, ἑτέρου τοῦ κυρίως λεγομένου σμυρνίου ὑπάρχοντος ὡς αὐτίκα ἱστορήσομεν. ἔστι μεῖζον καὶ λευκότερον τοῦ κηπευτοῦ σελίνου· καυλὸς κοῖλος, ὑψηλός, τρυφερός, οἱονεὶ γραμμὰς ἔχων· φύλλα πλατύτερα, ὑποφοινισσόμενα, ἐν οἷς ἐστιν ὡς λιβανωτίδος κόμη μεστὴ ἄνθοις, κατὰ κορύμβοις πρὶν ἐξανθῆσαι συνεστῶσα· σπέρμα δὲ μέλαν, ἐπι-

ἐπιμήκης, ναστόν, δριμὺ ἀρωματίζον· ῥίζα εὐώδης, λευκή, εὔστομος, οὐ παχεῖα. φύεται ἐν συσκίοις καὶ παρ' ἕλεσι. λαχανεύεται δὲ ὥσπερ τὸ σέλινον. καὶ ἡ ῥίζα δὲ ἑφθὴ καὶ ὠμὴ ἐσθίεται. τά τε φύλλα καὶ οἱ καυλοὶ ἐσθίονται ἑφθά, καθ' ἑαυτά τε καὶ μετ' ἰχθύων σκευάζεται καὶ ὠμὰ δὲ ταριχεύεται εἰς δι' ἁμαίας. Δύναμιν δὲ ἔχει ὁ καρπὸς πινόμενος ἐν οἰνομέλιτι, ἐμμηνίων ἀγωγόν· θερμαίνει τε τοὺς ῥιγοῦντας πινόμενος καὶ συγχριόμενος· στραγγουρίαις τε βοηθεῖ. καὶ ἡ ῥίζα δὲ τὰ αὐτὰ ποιεῖ.

Περὶ Σμυρνίου. Κεφ. οθ'.

Σμύρνιον ὅπερ ἐν κιλικίᾳ πετροσέλινον καλοῦσι γινώμενον πλεῖστον ἐν τῷ λεγομένῳ ἀμανῷ ὄρει. καὶ τοῦτο καυλὸν μὲν ἔχει ὅμοιον σελίνῳ, παραφυάδας ἔχοντα πολλάς· φύλλα δὲ πλατύτερα πρὸς τὴν γῆν, καὶ ὑποπεκλᾶται, ὑπολίπαρα, ῥωμαλέα καὶ εὐώδη σὺν δριμύτητι, φαρμακώδη τε καὶ ὑπομηλίζοντα τῇ χρόᾳ· σκιάδιον δὲ ἐπὶ τῷ καυλῷ ἀνηθοειδές· σπέρμα στρογγύλον, ὅμοιον τῷ τῆς κράμβης, μέλαν, δριμύ, γευομένῳ ὡς σμύρνη, ἐν αὐτῇ ἑνὸς ποιοῦν· ἡ δὲ ῥίζα δριμεῖα, εὐώδης, ἁπαλή, πολύχυλος, δάκνουσα τὴν φάρυγγα· φλοιὸν ἔχουσα, ἔξωθεν μὲν μέλανα, ἔνδοθεν δὲ χλωρὸν ἢ ὑπόλευκον. φύεται δὲ ἐν πετρώδεσι τόποις καὶ γεωλόφοις,

καὶ

oblongo, acri, ſolido, aromatico: radix dimittitur odorata, candida nec craſſa, quæ os cõmendat. In vmbroſis & paluſtribus naſcitur. olerum generis, vt apium. radix cruda coctáue eſtur. Folia cum caulibus decocta mãduntur, & per ſe aut cũ piſcibus præparãtur, crudáq; muria cõdiuntur. Vim hanc habet, vt poto ſemine ex mulſo vino mẽſes cieat: algentes calfacit potu aut illitu: vrinæ ſtillicidio auxiliatur. Radix eoſdem præſtat effectus.

Smyrnium. Cap. LXXIX.

Smyrnion, quod in Cilicia petroſelinum vocant, plurimũ in amano mõte gignitur. Caulé habet apij, & ſtolones multos: folia latiora, ſubpinguia, ad terram infracta, robuſta, odore medicato, cum quadam acrimonia, iucunda, colore in luteum langueſcente: capitibus caulium orbiculatis, vt anethi: ſemine braſsicæ, rotundo, nigro, ſapore aſpero, ſicut myrrha, ita vt alterum alterius loco cadat. radix quoque odorata, guſtu acri, fauces mordet, ſuccoſa, mollis: cortex eius foris niger, intus viridis, aut ſubalbidus. Naſcitur in ſaxoſis, & collibus, at-

que ſqualidis, & limitibus terrenis. Vis radicis, herbæ, & ſeminis excalfacere. Foliis muria maceratis ad obſonia vtuntur, aluum ſiſtunt, radicem contra ſerpentiũ ictus bibere conuenit, tuſſes & orthopnœas mitigat, vrinæ difficultati medetur: recentes tumores, collectiones, duritiasque diſcutit, illita, & vulnera ad cicatricem perducit: partus abortu vitiat, ſi feruefacta ſubiiciatur. Semen, lienis, renum & veſicæ vitiis prodeſt: menſes & ſecundas pellit: commodè datur iſchiadicis in vino, inflationes ſtomachi lenit, ſudores ciet, & ructus. Peculiariter datur hydropicis in potu, & contra febrium circuitus.

Elaphoboſcum. Cap. LXXX.

Elaphoboſco fœniculaceus caulis eſt, aut rorimarino ſimilis, geniculatus: foliis duûm digitorum latitudine, vt terebinthi, prælongis, aliquantum aſperis, circumfractis: adnata multa habet, ferentia vmbellas anethi ſimiles, & ſemina eiuſdem: florem ſubluteum: radice ternûm digitorum longitudinis, & craſsitudinis vnius, candida, dulci, eſui apta.

Caulis

καὶ ἀνίκμοις καὶ γωνίαις χερσευούσαις. Δύναμιν δὲ ἔχει ἡ ῥίζα καὶ ἡ πόα καὶ ὁ καρπὸς θερμαντικήν. λαχανεύεται δὲ καὶ εἰς τὰς ἁλμαίας τὰ φύλλα, κοιλίαν τε ἵστησιν· ἡ δὲ ῥίζα πινομένη ἑρπετοδήκτοις ἁρμόζει, πραΰνει δὲ καὶ βῆχας καὶ ὀρθοπνοίας, καὶ δυσουρίας ἰᾶται· καταπλασσομένη δὲ τὰ πρόσφατα οἰδήματα, καὶ φλεγμονὰς καὶ σκληρίας διαφορεῖ, τραύματά τε ἄχρις ἐπουλώσεως ἄγει· ζεσθεῖσα δὲ καὶ προστεθεῖσα ἐξαμβλώσκει. καὶ τὸ σπέρμα δὲ αὐτῆς, πρὸς νεφροὺς καὶ σπλῆνα καὶ κύστιν ἁρμόζει· ἄγει δὲ καὶ ἔμμηνα καὶ δεύτερα· πρὸς τὰς ἰσχιάδας μετ' οἴνου πινόμενον ἁρμόζει, καὶ στομάχου ἐμπνευματώσεις πραΰνει, ἔστι δὲ καὶ ἱδροποιὸν, ἐρευκτικόν. ἰδίως πινόμενον πρὸς ὑδρωπας καὶ περιόδοις.

Περὶ Ἐλαφοβόσκου. Κεφ. π'.

Ἐλαφόβοσκον καυλός ἐστι λιβανωτίδι ἢ μαράθρῳ ἐμφερὴς γεγωνιωμένος· φύλλα δὲ δάκτυλα τὸ πλάτος, ἱκανῶς ἐπιμήκη ὡς τερεβίνθου, περικεκλασμένα τραχέα ποσῶς. ἔχει δὲ παραφυάδας ἱκανὰς ὁ καυλὸς, σκιάδια ἐχούσας ὅμοια ἀνήθῳ, ἄνθη ὑπόμηλινα, καὶ τὸ σπέρμα ἀνήθῳ ἐμφερές· ῥίζα ὡς τριδάκτυλος τὸ μῆκος, πάχος δακτύλου, λευκὴ, γλυκεῖα, ἐδώδιμος.

καὶ ὁ

καὶ ὁ καυλὸς δὲ λαχανεύεται ἀρτιφυὴς ὤν. ταύτην φασὶ τὴν πόαν τὰς ἐλάφους νεμηθείσας, ἀντέχειν τοῖς τῶν ἑρπετῶν δήγμασι· ὅθεν καὶ τὸ σπέρμα δίδοται τοῖς ἑρπετοδήκτοις σὺν οἴνῳ.

Περὶ Μαράθρου. Κεφ. πα.

Μάραθρον, αὐτὴ ἐσθιομένη ἡ πόα, δύναται γάλα κατασπᾷν, καὶ τὸ σπέρμα δὲ πινόμενον ἢ συνεψόμενον πτισάνῃ. τὸ δὲ ἀφέψημα τῆς κόμης ὑποτεθὲν, νεφριτικοῖς τοῖς περὶ κύστιν χρήσιμον, διουρητικὸν ὑπάρχον· ἁρμόζει δὲ ἑρπετοδήκτοις σὺν οἴνῳ πινόμενον, καὶ καταμήνια ἄγει· ἐν πυρετοῖς τὴν ναυτίαν καὶ καῦσον στομάχου παρηγορεῖται μετὰ ψυχροῦ ὕδατος πινόμενον. αἱ δὲ ῥίζαι λεῖαι σὺν μέλιτι καταπλασθεῖσαι, κυνόδηκτα θεραπεύουσιν. ὁ δὲ χυλὸς ἐκθλιβέντων τῶν καυλῶν καὶ τῶν φύλλων ἐν ἡλίῳ ξηρανθεὶς, εἰς τὰ ὀφθαλμικὰ ὅσα πρὸς ὀξυδορκίαν σκευάζεται χρησίμως. χυλίζεται δὲ καὶ τὸ σπέρμα πρὸς τὰ αὐτὰ χλωρὸν, ἔτι σὺν τοῖς φύλλοις καὶ τοῖς ἀκρέμοσι, καὶ ἡ ῥίζα κατὰ τὴν πρώτην ἐκβλάστησιν. Ἐν δὲ τῇ πρὸς ἑσπέραν Ἰβηρίᾳ, καὶ ὀπὸν ἀνίησιν ὅμοιον κόμμι· ἀποθεριζόντων ἐν τῇ ἀνθήσει μέσον τὸν καυλὸν τῶν ἐπιχωρίων, καὶ πυρὶ παρατιθέντων, ἵνα ὑπὸ τῆς θερμασίας οἱονεὶ ἀφιδρῶσαν ἐκβάλῃ τὸ κόμμι. ἔστι δὲ ἐνεργέστερον τοῦ χυλοῦ πρὸς τὰ ὀφθαλμικὰ τοῦτο.

Περὶ

Caulis tener pro olere manditur. Contra ſerpentium ictus, datur ſemen in vino. Fama autem eſt, hoc pabulo, ceruas ſerpentium morſibus reſiſtere.

Fœniculum. Cap. LXXXI.

Fœniculum ſi herba edatur, aut ſemen cũ ptiſana bibatur, mammas lacte replet. Comæ decoctum in renum doloribꝰ ſubditũ proficit, quippe quòd vrinam excitet: contra ſerpentium ictus in vino conuenienter bibitur, mẽſes ciet: in febribus nauſeam & ſtomachi feruorem, ex aqua frigida potum ſedat. Cõtritæ radices & cum melle illitæ, morſibꝰ canũ medentur. Succus caule & foliis exprimitur, & in ſole ſiccatus, in medicaměta adiicitur, quæ ad excitandam oculorum aciem commodè temperantur. Extrahitur ſuccus ad eadẽ valens, etiam ſemine viridi, ramulíſque & radicibus prima germinatione inciſis. In Iberia quæ ad occidentem ſpectat, ſuccum reddit gũmi ſimilem. Caulem medium, dum herba floret ruſtici demetunt, igniq́; admouent, quò facilius vi coloris exudans, gummi remittat: quod efficacius ſucco eſt, ad medicamenta oculorum.

Fœniculũ

Fœniculū erraticū,ſiue hippomarathrū. Cap.LXXXII.

Eſt & ſylueſtre fœniculum, magnū:fert autē ſemē cachryi ſimile,cuius radix iucūdè olet, potaq; ſtranguriæ medet̄: mēſes impoſita ciet: ventrē ſiſtit, radice aut ſemine poto, & cōtra ſerpentium morſus auxiliatur, calculóſque cōminuit, & regium morbum expurgat:lactis abundantiā facit decoctū foliorū hauſtū & fœminas à partu purgat. Traditur aliud hippomarathri genus, longo, exili,& anguſto folio: ſemine coriādri,rotundo,acri,& odorato.Excalfaciendi naturā habet,& viribus fœniculo reſpōdet,ſed ad omnia infirmius.

Daucum. Cap. LXXXIII.

Daucum aliqui Dauciū vocant.Creticum foliis fœniculo ſimile, minoribus & tenuioribus:caule dodrantali, vmbella coriandri,flore albo:ſemine acri,cādido, hirſuto, ſuauiſſimi odoris in mandendo:radix digitali craſſitudine, & dodrātis longitudine adoleſcit:in ſaxoſis naſcitur,& locis ſole illuſtratis.Aliud eius genns, ſylueſtri apio ſimile, acre,odoratum,aroma olens, feruentis guſtus. Probatiſſimum Creticum.

Tertium

Περὶ Ἱππομαράθρου. Κεφ. πβ΄.

Ἱππομάραθρον μάραθρόν ἐστιν ἄγριον μέγα· φέρει δὲ σπέρμα κάχρυϊ ὅμοιον, ῥίζα δ᾽ ὕπεστιν εὐώδης, ἥτις πινομένη στραγγουρίας ἰᾶται· ἔμμηνά τε ἄγει προστιθεμένη· τὸ δὲ σπέρμα καὶ ἡ ῥίζα κοιλίαν ἵστησι πινόμενα θηριοδήκτοις τε βοηθεῖ, καὶ λίθους θρύπτει καὶ ἴκτερον ἀποκαθαίρει. τῶν δὲ φύλλων τὸ ἀφέψημα πινόμενον γάλα ἄγει, καὶ τὰς ἐκ τοκετῶν γυναῖκας ἀποκαθαίρει. καλεῖται καὶ ἕτερον ἱππομάραθρον, φύλλα ἔχον στενὰ, μικρὰ, προμήκη· καρπὸν δὲ στρογγύλον περὶ τὸν τοῦ κορίου, δριμὺν, εὐώδη, θερμαντικόν· ἀναλογεῖ δὲ αὐτοῦ ἡ δύναμις τῷ προειρημένῳ, ἀσθενέστερον ἐνεργοῦσα.

Περὶ Δαύκου. Κεφ. πγ΄.

Δαῦκος, οἱ δὲ, δαύκιον καλοῦσιν. ὁ μὲν τις ἐστὶ κρητικὸς, μαράθρῳ ἔχον τὰ φύλλα ὅμοια, μικρότερα δὲ καὶ λεπτότερα· καυλὸν σπιθαμιαῖον, σκιάδιον ὅμοιον κοριάννῳ, ἄνθη λευκά· ἐν δὲ τούτοις ὁ καρπὸς δριμὺς, λευκὸς, δασὺς ἐν τῷ διαμασᾶσθαι εὐώδης· ῥίζα δακτύλου τὸ πάχος. τὸ δὲ μῆκος σπιθαμῆς· γίνεται δ᾽ ἐν πετρώδεσι τόποις, καὶ εὐηλίοις. Ὁ δέ τις αὐτοῦ ἐστι σελίνῳ ἀγρίῳ παραπλήσιος ἀρωματώδης δριμὺς καὶ εὐώδης γευομένῳ καὶ πυρώδης διαφέρει δ᾽ ὁ κρητικός.

Τὸ

Τὸ δὲ τρίτον εἶδος κορίῳ φύλλα ἔοικε. καὶ τὰ ἄνθη λευκά, κεφαλὴν δὲ ἔχει καὶ καρπὸν ὅμοια ἀνήθῳ, ἐφ' ἧ σκιάδιον ἐμφερὲς σταφυλίνῳ· σπέρματος ἐπιμήκους πλήρες ὡς κυμίνου δριμέως. Τὸ δὲ σπέρμα πάντων δύναμιν ἔχει θερμαντικὴν πινόμενον ἐμμήνων, ἐμβρύων, καὶ οὔρων ἀγωγόν, καὶ στρόφων ἀπαλλακτικόν, βηχῶν χρονίων πραϋντικόν· ἀρήγει δὲ καὶ φαλαγγιοδήκτοις ποθὲν σὺν οἴνῳ· διαφορεῖ δὲ καὶ οἰδήματα καταπλασθέν· ἡ δὲ χρῆσις τῶν μὲν ἄλλων τοῦ σπέρματος μόνον. τοῦ δὲ κρητικοῦ καὶ τῆς ῥίζης, ἥ τις μάλιστα πρὸς τὰ θηρία πίνεται μετ' οἴνου.

Περὶ Δελφινίου. Κεφ. πδ'.

Δελφίνιον κλῶνας ἀνίησι διπιθάμους ἢ καὶ μείζονας ἀπὸ μιᾶς ῥίζης περὶ οὓς φυλλάρια ἐπικεχισμένα λεπτά, ἐπιμήκη, δελφινοειδῆ· ὅθεν καὶ ὠνόμασται. ἄνθος δὲ ὅμοιον λευκοΐῳ, ἐμπόρφυρον· σπέρμα ἐν λοβοῖς κέγχρῳ ἐμφερές, ὃ βοηθεῖ ποθὲν ἐπὶ οἴνῳ σκορπιοπλήκτοις, ὡς οὐδὲν ἕτερον. φασὶ δὲ καὶ τοὺς σκορπίους παρατεθείσης τῆς πόας παραλύεσθαι· ἀπράκτους τε καὶ ναρκώδεις γίνεσθαι, ὑφαιρουμένης δὲ εἰς τὸ αὐτὸ καθεστάναι. φύεται δὲ ἐν τραχέσι καὶ εὐηλίοις τόποις.

Περὶ Δελφινίου ἑτέρου.

Κεφ. πε'.

Δελφίνιον ἕτερον, οἱ δὲ ὑάκινθον,

ῥωμαῖοι

Tertium aſsignatur genus foliis coriandri, floribus albis, capite & ſemine anethi, muſcario paſtinacæ: ſemine oblõgo, ceu cumini, acri. Omnium ſemen excalfacit: potũ vrinam, menſes, & partus extrahit, torminibus liberat, veterem tuſſim mitigat: phalangiorũ morſibus potum in vino auxiliatur: tumores illitu diſcutit. Seminis duntaxat in aliis generibus inualuit vſus: in Cretico, etiam radicis, quæ maximè contra venenatorum iniuriam in vino bibitur.

Delphiniũ. Cap. LXXXIIII.

Delphinium, ſurculos emittit à radice vna ſeſquipedales, aut maiores, à quibus folia exeunt parua, tenuia, diuiſa, prælonga, quæ delphinorũ effigiẽ repræſentant: vnde tractũ nomen eſt. Flos violæ albæ non diſsimilis, purpureus: & ſemen in ſiliquis, milio proximũ, quo nõ aliud vtilius bibi poteſt, ab ſcorpione percuſsis. Aiũt enim obiecta herba, ſcorpiões reſolui, atq; ignauos torpeſcere: ſemota verò ea, ſeſe recolligere. Prouenit in aſperis & apricis.

Delphinium alterum.

Cap. LXXXV.

ALTErum eſt delphinium,

quod

quod Romani bucinū vocāt, ſuperiori ſimile, ſed foliis & ramis longè gracilius. Viribus eiſdem pollet, ſed non ita efficacibus.

Pyrethrū. Cap. LXXXVI.

Pyrethrum Romani ſalinarem vocant, folia caulémque emittit vt daucum ſylueſtre & fœniculū: vmbellámq; anethi, circinatæ rotunditatis. Radix longa eſt, pollicis craſsitudine, guſtu feruidiſſimo. Pituitatem elicit: ideo in dolore dentium, decocta in aceto, colluto inde ore, auxiliatur: manſa pituitam extrahit: ſudores ciet, perunĉto ex oleo corpore: diuturnis horrorib⁹ efficax eſt & cōtra perfrictiones membrorum, reſolutionésque eximiè conducit.

Roſmarin⁹. Cap. LXXXVII.

Duo roſmarini genera: vnū fœcundum frugiferúmque, cuius ſemē canchrys vocatur: folia fœniculi habet, craſsiora & latiora, in rotæ ſpeciem, humi ſparſa, iucundè olentia: caulem cubiti altitudine, aut maiorem, multis concauum alis: in cacumine vmbellā, in qua ſemen copioſum, candidū, ſphōdylo ſimile, rotundum, anguloſum, acre, reſinaceū, quod in mandendo linguam exurit:

radix

ῥωμαῖοι βουκίνους, καὶ αὐτὸ ἐμφερὲς τῷ πρὸ αὐτοῦ, τοῖς δὲ φύλλοις καὶ τοῖς κλωνίοις ἰσχνότερον πολλῷ. δύναμιν ἔχον καὶ αὐτὸ τὴν αὐτὴν τῷ προειρημένῳ, οὐχ οὕτω δὲ ἐνεργές.

Περὶ Πυρέθρου. Κεφ. πς΄.

Πύρεθρον πόα ἐστὶ καυλὸν ἀνιεῖσα καὶ φύλλα ὥσπερ δαῦκος ἄγριος καὶ μάραθρον· σκιάδιον δὲ ὡς ἀνήθου τροχοειδές. ῥίζα δακτύλου μεγάλου τὸ πάχος μακρά, γευσαμένῳ πυρωτικωτάτη. φλέγματος ἐστὶν ἐπισπαστική, διὸ καὶ ταῖς ὀδονταλγίαις βοηθεῖ μετ' ὄξους ἑψηθεῖσα καὶ διακλυζομένη· ἄγει δὲ καὶ φλέγμα διαμασσηθεῖσα· συγχριομένη δὲ μετ' ἐλαίου, ἱδρῶτας κινεῖ ποιοῦσα πρὸς τὰ χρόνια ῥίγη, καὶ πρὸς ἐψυγμένα δὲ ἢ παρειμένα μέρη τοῦ σώματος, ἄκρως ἁρμόζει.

Περὶ Λιβανωτίδος. Κεφ. πζ΄.

Λιβανωτὶς διοσσή, ἡ μέν τις κάρπιμος, ὑπ' ἐνίων δὲ ζέα, ἢ καμψάνεμα καλουμένη, ἧς ὁ καρπὸς κάγχρυς καλεῖται· φύλλα δὲ ἔχει μαράθρῳ ὅμοια, παχύτερα δὲ καὶ πλατύτερα τροχοειδῶς, ἐπὶ τῆς γῆς ἐστρωμένα, εὐώδη· καυλὸν δὲ ὅσον πήχεως καὶ μείζονα, μασχάλας ἔχοντα πολλάς, καὶ ἐπ' ἄκρου σκιάδιον ἐφ' οὗ καρπὸς πολύς, λευκός, ἐοικὼς σφονδύλῳ, περιφερής, γωνίας ἔχων, δριμύς, ῥητινίζων, ἐν δὲ τῷ διαμασᾶσθαι ἐπικαίων τὴν γεῦσιν.

ῥίζα

ῥίζα δὲ λευκὴ ἐν μεγέθεσιν, ὄζουσα λιβανωτοῦ. Η δὲ ἑτέρα κατὰ πάντα ἐοικυῖα τῇ προειρημένῃ, αὐτῆς σπέρμα φέρει πλατὺ, μέλαν, ὡς σφονδύλιον, εὐῶδες, οὐ πυρωτικὸν, ῥίζαν ἐκ μὲν τῶν ἐκτὸς, μέλαιναν, θλασθεῖσαν δὲ λευκήν. Η δὲ λεγομένη ἄκαρπος κατὰ πάντα ὁμοία οὖσα ταῖς προειρημέναις, οὔτε καυλὸν ἀνίησιν οὔτε ἄνθος οὔτε σπέρμα. φύεται δὲ ἐν πετρώδεσι καὶ τραχέσι τόποις. πασῶν δὲ κοινῶς ἡ πόα καταπλασθεῖσα λεία αἱμορροΐδας στέλλει, φλεγμονάς τε τὰς κατὰ * δακτύλιον πραΰνει, καὶ κονδυλώματα καὶ χοιράδας, καὶ τὰ δυσπέπτα τῶν ἀποστημάτων συμπέπτει. αἱ δὲ ῥίζαι ξηραὶ σὺν μέλιτι ἕλκη ἀνακαθαίρουσι, καὶ στρόφους ἰῶνται· καὶ θηριοδήκτοις ἁρμόζουσι σὺν οἴνῳ πινόμεναι· ἐμμηνά τε ἄγουσι καὶ οὖρα, διαφοροῦσι δὲ καὶ οἰδήματα παλαιὰ καταπλασσόμεναι. ὁ δὲ χυλὸς τῆς ῥίζης καὶ τῆς πόας ὀξυδερκὴς, μιγνύμενος μέλιτι καὶ ἐγχριόμενος. ὁ δὲ καρπὸς πινόμενος, τὰ αὐτὰ ποιεῖ. βοηθεῖ καὶ ἐπιληψίαις καὶ ταῖς ἐν θώρακι παλαιαῖς διαθέσεσιν· ἰκτερικοῖς τε μετὰ πεπέρεως καὶ οἴνου διδόμενος· ἔστι δὲ καὶ ἱδρωτικὸς σὺν ἐλαίῳ ἀλειφόμενος· ἁρμόζει καὶ ῥήγμασι, καὶ σπάσμασι· ποδάγραις τε καταπλασσόμενος λεῖος σὺν αἰρίνῳ ἀλεύρῳ καὶ ὄξει

δρυφύς

radix thus redolet, candida, prægrādis. Eſt & alterum omnino conſimile, ſemen ferens latum, nigrum vti ſphondylion, odoratum, minimè exurens, radice foris nigra, intus ſi frāgatur, alba. Verùm id quod ſterile dicitur, illorum planè ſimilitudinē refert: ſed neque caulem, neque florem, neque ſemen promit. Naſcitur in ſaxoſis & aſperis. Trita omnium herba communiter hæmorrhoidum profluuia ſiſtit, ſedis inflammationes & condylomata mitigat, cōcoquit ſtrumas & abſceſſus, qui ad maturationē ægrè perducuntur. Siccæ radices cum melle vlcera purgant: torminibus medentur cum vino potę, & contra ſerpentium morſus conueniunt: menſes & vrinas cient, ueteres tumores illitu diſcutiunt. Tam radicis quàm herbæ ſuccus, adiecto melle illitus, oculorum aciem exacuit. Potum ſemen ad eadem pollet: ſi comitiale malum ſentiatur, aut vetus pectoris vitium, auxilio eſt: regio morbo laborantibus cū vino & pipere datur: ſudores mouet, cum oleo perūctum: ruptis & conuulſis prodeſt: podagris, cū loliacea farina, & aceto tritū illinitur,

purgat

purgat vitiligines, addito aceto quàm acerrimo, Semine in potionibus vtendum, eius quidem quod Canchryn non ferat, quippe illud ſua acrimonia arteriam exaſperat. Roſmarinum cum erica naſci, foliis lactucæ ſylueſtris amaræ aſperioribus, candidioribúſque, radice breui, Theophraſtus author eſt: potúq; idipſũ alterutra parte purgare.

Cãchrys. Cap. LXXXVIII.

Canchrys vim habet excalfaciendi, & vehementer exiccandi: quare abſtergentibus medicamẽtis inſeritur. Contra oculorum fluxiones capiti illinitur: ita vt tertio die ſoluatur.

Roſmarinũ coronarium. Cap. LXXXIX.

Roſmarinum quo coronarij vtuntur, ramos mittit tenues, & circa eos folia minuta, denſa, longa, exilia, ſubter incana, ſupernè virentia, graui odore. Excalfactoria vi præditum eſt: regium ſanat morbum, ſi decoctum in aqua ante exercitationes bibatur: & vbi laborãs exercitationi ſe crediderit, in balnea deſcendat, & merum potet. Acopis, gleucinóq; vnguẽto admiſceri ſolet.

Sphondyliũ.

ἀλφούς τε σμήχει, μιγνύμενος ὄξει δριμυτάτῳ. τῷ σπέρματι δὲ εἰς τὰ ἀποσήματα χρῆσθαι δεῖ τῆς μὴ τὸ κάγχρυ φερούσης λιβανωτίδος, δριμὺ γὰρ ἐκεῖνο καὶ τραχυντικὸν τῆς ἀρτηρίας. Θεόφραστος δὲ ἱστορεῖ μετὰ τῆς ἐρείκης λιβανωτίδα θρίδακι ἀγρίᾳ τῇ πικρᾷ ὅμοια φύλλα ἔχουσαν φύεσθαι, ῥίζαν δὲ βραχεῖαν· καθαίρειν δὲ ἄνω καὶ κάτω ταύτην ποθεῖσαν λευκότερα μέν τοι καὶ τραχύτερα τὰ φύλλα τῶν τῆς θρίδακος.

Περὶ Κάγχρυος. Κεφ. πη΄.

Τὸ μὲν κάγχρυ δύναμιν ἔχει θερμαντικὴν, ἀναξηραντικὴν σφόδρα· ὅθεν ἁρμόζει σμήγμασι μιγνύμενον πρὸς ῥευματιζομένους ὀφθαλμοὺς, ἐπὶ τῆς κεφαλῆς ἐμπλασσόμενον, καὶ ἀποσμώμενον μετ' ἡμέρας τρεῖς.*

Περὶ Λιβανωτίδος. Κεφ. πθ΄.

Λιβανωτὶς ἣν ῥωμαῖοι καλοῦσιν ῥοσμαρῖνουμ, καὶ οἱ στεφανοπλόκοι χρῶνται, ῥάβδοι εἰσὶ λεπταὶ, περὶ ἃς τὰ φύλλα λεπτὰ, πυκνὰ, ἐπιμήκη καὶ ἰσχνὰ, ἔνδοθεν λευκὰ, ἐκ δὲ τοῦ ἐκτὸς χλωρὰ βαρύοσμα. Δύναμιν δὲ ἔχει θερμαντικὴν· ἰκτέρου ἰατικὴν, ἐάν τις αὐτὴν ἑψήσας ἐν ὕδατι δῶ πρὸ τῶν γυμνασίων πιεῖν. εἶτα γυμνάζων λούῃ καὶ οἴνῳ ποτίζῃ, μίγνυται δὲ καὶ ἀκόποις καὶ τῷ γλευκίνῳ χρίσματι.

Περὶ

Περὶ Σφονδυλίου. Κεφ. ϟ'.

Σφονδύλιον φύλλα μὲν ἔχει κατά πως ἐοικότα πλατάνῳ * πρὸς τὰ τοῦ πάνακος· καυλοὺς δὲ πηχυαίους ἢ καὶ μείζονας, ἐοικότας μαράθρῳ, σπέρμα δὲ ἐπ᾽ ἄκρῳ ὅμοιον σεσέλει, διπλοῦν, πλατύτερον δὲ καὶ λευκότερον καὶ ἀχυρωδέστερον, βαρύοσμον· ἄνθη λευκά· ῥίζαν λευκὴν, ῥαφάνῳ ἐμφερῆ. φύεται δὲ ἐν ἑλώδεσι καὶ ἐνύδροις χωρίοις. Ὁ δὲ καρπὸς αὐτοῦ ποθεὶς, ἐκκρίνει κατὰ κοιλίαν φλεγματώδη· ἰᾶται δὲ πινομένη ἡπατικοὺς, ἰκτερικοὺς, ὀρθοπνοϊκοὺς, ἐπιληπτικοὺς, καὶ ὑστερικὴν πνίγα. ὑποθυμιώμενος δὲ ἀνακαλεῖται τοὺς καταφερομένους. σὺν ἐλαίῳ δὲ ἐμβρεχομένης τῆς κεφαλῆς, ἁρμόζει φρενιτικοῖς, ληθαργικοῖς, κεφαλαλγοῦσι· ἐπέχει δὲ καὶ ἕρπητας σὺν πηγάνῳ καταπλασθείς. ἡ δὲ ῥίζα δίδοται ἰκτεριῶσι καὶ ἡπατικοῖς. περιξυσθεῖσα δὲ καὶ ἐντεθεῖσα περιτήκει τύλους τοὺς ἐν σύριγξι· τοῦ δὲ ἄνθους χλωροῦ ὁ χυλὸς πρὸς ἑλκούμενα ὦτα καὶ πυορροοῦντα ἁρμόζει· ἀποτίθεται δὲ ὑλιαζόμενος ὡς τὰ λοιπὰ χυλίσματα.

Περὶ Νάρθηκος. Κεφ. ϟα'.

Νάρθηξ, τούτου χλωροῦ ὄντος ἡ ἐντεριώνη πινομένη αἱμοπτοϊκοὺς καὶ κοιλιακοὺς ὠφελεῖ, καὶ ἐχιοδήκτοις δίδοται σὺν οἴνῳ,

καὶ

Shpondylium. Cap. XC.

Sphondyliũ folia quadámtenꝰ platani & panacis habet: caules fœniculaceos, cubitali altitudine, aut amplius aſſurgẽtes, in quorum cacumine ſemẽ duplex, ſeſeli ſimile, ſed latius, cãdidius, & magis paleaceum, grauis odoris: flores eius albi, aut pallentes: radice raphani, candida. Naſcitur in paluſtribus & aquoſis. Potum ſemen pituitam per aluum extrahit: medetur iocineris vitiis, regio morbo, comitialibus, orthopnoicis, vuluarum ſtrangulationi. Veternoſos ſuffitu reuocat: cum oleo commodè infunditur capitibus phreneticorum, & lethargicorum, item capitis doloribꝰ: cum ruta illitũ, ſerpentia vlcera cohibet. Datur radix contra regium morbum, & iocineris vitia: circumraſa eadem & iniecta callos fiſtularum derodit. Recentis floris ſuccus exulceratis auribus, purulẽtiſque accommodatur: qui cæterorum ſuccorum more exprimi, dein recondi ſolet.

Ferula. Cap. XCI.

E viridi ferula medulla pota vtilis eſt ad cruentas excreationes, cœliacoſq;, & cõtra viperarũ morſus in vino datur,

erũpentéq;

erumpentémque naribus ſanguinem indita ſiſtit. Semen potum torminoſis auxiliatur: ſudores ciet, vncto ex oleo corpore. Caules, ſi edantur, capitis dolores faciunt: muria conduntur. Ferula itaque caulem profert ternûm ſæpe cubitorum: folia fœniculi, longè aſperiora, & latiora. qua ab imo caule vulnerata ſagapenum efficitur.

Peucedanũ. Cap. XCII.

Peucedanum, caulem mittit tenuem, gracilétum, fœniculo ſimilem: comam habet ſtatim ab terra copioſam, ſpiſſamq́;: flore luteo: radice nigra, craſſa, graui odore, ſuccoſa, gignitur in montibus opacis. Tenera radix cultello conciditur, profluenſque è plaga ſuccus vmbræ mandatur: in ſole ſiquidẽ confeſtim euaneſcit. Colligitur capite prius & naribus roſaceo perfuſis, ne capitis dolor premat, & vertigo ſentiatur. Aſſatione radix inutilis fit. Tam lac q̃ ſuccus radice & caulib⁹ extrahi ſolet, ſicuti è mãdragora: verũ inefficacior ſucco lachryma habet, & velocius expirat. Interdũ etiã cõcreta inuenitur lachryma, thuris ſimilitudine, caulibus radicibuſq́; adhærẽs.

Præfertur

καὶ τὰς ἐκ ῥινῶν αἱμοῤῥαγίας ἐπέχει ἐντεθεῖσα. τὸ δὲ σπέρμα ςροφουμένους πινόμενον ὠφελεῖ. καὶ ἱδρῶτας κινεῖ χριόμενον μετ᾽ ἐλαίου. οἱ δὲ καυλοὶ βρωθέντες κεφαλαλγεῖς εἰσί· ταριχεύονται δὲ καὶ εἰς τὰς ἁλμεύσεις. ὁ γοῦν νάρθηξ καυλὸν ἀναφέρει τρίπηχυν πολλάκις. φύλλα δὲ ἔχει μαράθρῳ ἐμφερῆ, τραχύτερα δὲ πολὺ καὶ μείζονα. ἐξ οὗ καὶ τὸ σαγάπηνον γίνεται, κολαπτομένου πρὸς τῇ ῥίζῃ.

Περὶ Πευκεδάνου. Κεφ. ϟβʹ.

Πευκέδανος καυλὸν ἀνίησι λεπτὸν, ἰσχνὸν, μαράθρῳ ὅμοιον· κόμην δὲ ἔχει περὶ τὴν ῥίζαν ἱκανὴν καὶ πυκνήν· ἄνθος μήλινον, ῥίζαν μέλαιναν, βαρύοσμον, ἁδρὰν, μεστὴν ὀποῦ, φύεται ἐν ὄρεσι συσκίοις. Ὀπίζεται δὲ τῆς ῥίζης ἁπαλῆς ἀποτεμνομένης μαχαίρᾳ, καὶ τὸ ἀποῤῥέον εὐθὺς ἐν σκιᾷ τίθεται· ὑπὸ γὰρ τοῦ ἡλίου ἀνίεται, ἐν δὲ τῷ συλλέγεσθαι κεφαλαλγίαν ποιεῖ καὶ σκοτώματα. ἐὰν μή τις προδιαχρίσῃ αὐτοῦ τὰς ῥῖνας ῥοδίνῳ καὶ τὴν κεφαλὴν προκαταβρέξῃ, ἄχρηστος δὲ γίνεται ὀπτηθεῖσα ἡ ῥίζα. ὀπίζονται δὲ καὶ οἱ καυλοὶ καὶ χυλίζονται, καὶ ἡ ῥίζα ὡς μανδραγόρας· ἧττον δὲ ἐνεργεῖ τοῦ χυλοῦ, ὁ ὀπὸς καὶ τάχιον ἐκπνεῖ. ἐνίοτε δὲ εὑρίσκεται προσπεπηγὸς δάκρυον, ὅμοιον λιβανωτῷ τοῖς καυλοῖς καὶ ταῖς ῥίζαις προσπεπλασμένον.

Τοῦ

Τοῦ δὲ ὀποῦ διαφέρει ὁ ἐν σαρδονίᾳ καὶ σαμοθράκῃ γινόμενος, βαρύοσμος, ἔτι κιρρὸς, θερμαίνων τὴν γεῦσιν· ἁρμόζει δὲ σὺν ὄξει καὶ ῥοδίνῳ καταχριόμενος, ληθαργικοῖς, φρενιτικοῖς, σκοτωματικοῖς, ἐπιληπτικοῖς, κεφαλαλγοῦσι χρονίως, παραλυτικοῖς, ἰσχιαδικοῖς, σπωμένοις. καὶ καθόλου τοῖς περὶ νεῦρα πάθεσι συγχριόμενος μετ᾽ ἐλαίου καὶ ὄξους. ἔστι δὲ καὶ ὀσφραντικὸς πνιγμοῖς ὑστερικῆς, καὶ τῶν καταφερομένων ἀνακλητικός· διώκει δὲ θηρία θυμιώμενος· ἁρμόζει δὲ καὶ πρὸς ὠταλγίαν ἐνσταζόμενος σὺν ῥοδίνῳ καὶ πρὸς ὀδονταλγίαν ἐντιθέμενος βρώμασι. ποιεῖ δὲ καὶ πρὸς βῆχας μετ᾽ ᾠοῦ λαμβανόμενος δυσπνοίαις τὲ καὶ στρόφοις καὶ πνευματικαῖς διαθέσεσιν ἁρμόζει, κοιλίαν τὲ ἠπίως μαλάσσει, καὶ σπλῆνα τήκει, καὶ δυστοκίαις ἐξόχως ἀρήγει· πρός τε πόνους καὶ διατάσεις κύστεως καὶ νεφρῶν πινόμενος ποιεῖ· ἀναστομοῖ δὲ καὶ ὑστέραν. χρησίμη δὲ καὶ ἡ ῥίζα πρὸς τὰ αὐτὰ, ἔλαττον ἐνεργοῦσα. πίνεται δὲ αὐτῆς τὸ ἀφέψημα, καθαίρει δὲ λεία ξηρὰ τὰ ῥυπαρὰ ἕλκη, καὶ λεπίδας ἀπὸ ὀστέων ἀφίστησι, καὶ ἐπουλοῖ τὰ παλαιά· μίγνυται δὲ καὶ κηρωταῖς καὶ μαλάγμασι θερμαντικαῖς. ἐκλέγου δὲ τὴν πρόσφατον, ἄβρωτον, στερεὰν, πλήρη ὀσμῆς.

λύεται

Præfertur ſuccus è Sardinia & Samothrace, colore rufo, odore graui, feruens guſtu. Ex oleo & roſaceo illitum peucedanum prodeſt lethargicis, phreniticis, vertiginoſis, comitialibus, & longis capitis doloribus, reſolutis, iſchiadicis, conuulſis: omnibus, in vniuerſum, vitiis neruorum, ex oleo & aceto illitum, prodeſt. Eius olfactu reſpirant vuluæ ſtrangulatus, & veternoſi reuocantur: incenſum ſerpentes abigit. Aurium doloribus conuenienter ex roſaceo inſtillatur, cauernis dentium inditum, mitigat dolorem: contra tuſsim efficaciſsimè ex ouo aſſumitur, ſuſpiriiſque, & torminibus, & inflationibus ſubuenit: ventrem leuiter emollit, lienem abſumit, difficiles partus mirè adiuuat. Facit ad veſicæ cruciatus, & renum diſtétiones potum & vuluam aperit. Radix ad eadé vtilis eſt, ſed inefficacior: eius decoctũ bibitur. Farina eius, ſordida vlcera purgat, & vetera cicatrice obducit: ſquamas oſsiũ extrahit. In cerata, & calfacientia malagmata addit. Radix eligi debet recens, quæ cariem non ſenſerit, firma, odoris plena.

Y Succus

Succus ad potiones amaris nucib⁹, aut ruta, aut pane calido, aut anetho reſoluitur.

Gith, ſeu Melanthium. Cap. XCIII.

Gith exilibus ſurculis fruticat, ſæpe binos dodrantes excedens: foliis vt ſenecionis minutis, ſed multò tenuioribus: capitulo in cacumine tenui, paruo ceu papaueris, oblongo, intercurſantibus intus mébranis: quibus ſemen includitur nigrum, acre, odoratum, quod panibus inſpargitur. Capitis doloribus illitum fronti, ſubuenit: diſcutit recentes oculorum ſuffuſiones, tritum ex irino, & infuſum naribus: tollit lepras, lentigines, duritias, tumoréſque vetuſtos, cum aceto illitum: circumſcarificatos clauos excutit, cum vetere vrina impoſitum: dentium doloribus, decoctum cum aceto & teda, prodeſt: teretes ventris tineas expellit, perunćto ex aqua vmbilico: deſtillatione laborantes adiuuat, tritum in linteo, & olfactum: vrinam & menſtrua ciet, multis diebus ſumptum, & lac extrahit: difficultatem ſpirandi cum vino potum leuat: phalangiorũ

λύεται δὲ ὁ ὀπὸς εἰς τὰ πτίσματα ἀμυγδάλοις πικροῖς, ἢ πηγάνῳ, ἢ ἄρτῳ θερμῷ, ἢ ἀνήθῳ.

Περὶ Μελανθίου. Κεφ. ϟγ΄.

Μελάνθιον θαμνίσκος ἐστὶ λεπτόκαρφος διασπίθαμος ἢ καὶ μείζων, φύλλα ἔχων μικρὰ ὥσπερ ἠριγέροντος, λεπτότερα δὲ πολλῷ· καὶ κεφάλιον ἐπ᾽ ἄκρου ἔχων, μικρὸν, *ὡς μήκωνος, ἐπιμήκες, ἔχον κατὰ τὰ ἐντὸς διαφράγματα, ἐν οἷς καὶ τὸ σπέρμα μέλαν, δριμὺ, εὐῶδες, καταπλασσόμενον εἰς ἄρτους. Ἁρμόζει δὲ καὶ κεφαλαλγοῦσι καταπλασσόμενον τῷ μετώπῳ, καὶ τοῖς ἀρχομένοις ὑποχεῖσθαι ἐγχεόμενον εἰς τὰς ῥῖνας μετὰ ἰρίνου λεῖον· αἴρει δὲ καὶ φακοὺς, καὶ λέπρας καὶ οἰδήματα παλαιὰ καὶ σκληρίας σὺν ὄξει καταπλασθέν· καὶ ἥλους *περιχαραχθέντας ἐκτινάσσει, σὺν οἴνῳ παλαιῷ ἐπιτεθέν· ὠφελεῖ δὲ καὶ ὀδονταλγίαν μετὰ ὄξους καὶ δαδίου ἑψηθὲν καὶ διακλυζόμενον· ἐκτινάσσει δὲ καὶ ἕλμινθας στρογγύλας καταπλασσομένου τοῦ ὀμφαλοῦ μεθ᾽ ὕδατος, λεανθὲν δὲ καὶ ἐν ἀποδέσμῳ δεθὲν καὶ ὀσφραινόμενον, τοὺς καταρροιζομένους ὠφελεῖ· πινόμενον δὲ πλείους ἡμέρας, ἔμμηνα καὶ οὖρα καὶ γάλα ἄγει. παύει καὶ δύσπνοιαν μετὰ οἴνου ποθέν· βοηθεῖ

βοηθεῖ δὲ καὶ φαλαγγιοδήκτοις ὅσον < α. μεθ' ὕδατος ποθέν· διώκει δὲ καὶ ἑρπετὰ θυμιώμενον. φασὶ δὲ καὶ ἀναιρεῖν αὐτὸ πλεῖον ποθέν.

Περὶ Σιλφίου. Κεφ. ϙδ'.

Σίλφιον γεννᾶται ἐν τοῖς κατὰ Συρίαν καὶ Ἀρμενίαν καὶ Μηδείαν τόποις καὶ Λιβύην, οὗ ὁ καυλὸς μάσπετον* καλεῖται, ἐμφερὴς νάρθηκι, φύλλα δὲ ἔχει σελίνῳ ὅμοια, σπέρμα πλατύ. ῥίζα δὲ θερμαντική* δύσπεπτος, κύστεως κακωτική· ἰᾶται δὲ χοιράδας καὶ φύματα ἀναληφθεῖσα κηρωτῇ, ἢ καὶ ὑπώπια σὺν ἐλαίῳ καταπλασθεῖσα· σὺν ἰρίνῃ δὲ κηρωτῇ ἢ κυπρίνῃ ἰσχιαδικοῖς ἁρμόζει· τὰς περὶ δακτύλιον τε ἐξοχὰς, αἴρει σιδίῳ σὺν ὄξει ἑψηθεῖσα καὶ καταπλασθεῖσα· θανασίμων τέ ἐστιν ἀντιφάρμακον πινομένη· εὔστομός τε ἐστὶ μιγνυμένη καὶ εἰς βάμματα καὶ ἅλας. συλλέγεται δὲ ὁ ὀπὸς* ἐγχαρασσομένων τῆς ῥίζης καὶ τοῦ καυλοῦ. διαφέρει δὲ αὐτοῦ ὁ ὑπέρυθρος καὶ διαυγὴς, σμυρνίζων καὶ ἐν τῇ ὀσμῇ εὔτονος, μὴ πρασίζων, μὴ δὲ ἀπηνὴς πρὸς τὴν γεῦσιν τῇ γεύσει εὐχερῶς τε διειμένος ἐπὶ τὸ λευκὸν χρῶμα. ὁ μέντοι Κυρηναϊκὸς κἂν ἐπ' ὀλίγον τις αὐτοῦ γεύσηται, ἰκμάδα κινεῖ καθ' ὅλον τὸ σῶμα. τῇ δὲ ὀσμῇ προσηνέστατος. ὥστε γευσαμένῳ τὸ στόμα, μὴ δὲ πνεῖν εἰ μὴ ἐπ' ὀλίγον,

ὁ δὲ

langiorum morſibus ex aqua, drachmæ pondere, hauſtũ auxiliatur: incenſo ſerpentes fugantur. Tradunt largius epotum enecare.

Laſerpitium, & Laſer.
Cap. XCIIII.

Laſerpitium in Syria, Armenia, Media, & Libya naſcitur, caule ferulaceo, quem maſpetum vocant: foliis apio ſimilibus: lato ſemine. Radix excalfacit, in cibis ægrè concoquitur, veſicæ noxia: ſugillatis illita cum oleo, & ſtrumis, ac tuberculis cum cerato, medetur: iſchiadicis conuenit cum irino aut cyprino cerato: excreſcentibus circa ſedem tollendis illinitur, cum putamine mali punici, & aceto decocta: venenis pota reſiſtit: os commendat, cibis aut ſali permiſta. Laſer è radice atque caule ſcarificatis colligitur: pręfertur autem rufum, tranſlucens, myrrhæ æmulum non porraceum, odore valens, ſuaui guſtu: quod dilutum facilè albeſcit. Cyrenaicum ſi quis deguſtarit, humorem toto corpore ciet, blandiſsimo odore, adeò vt ne os quidem guſtanti niſi paululum ſpiret.

Medicum & Syriacum minus viribus valent, & magis viroſum reddunt odorem. Laſer omne antequam ſiccefcat, adulteratur ſagapeno, aut fabæ lomento: quod maleficium deprehenditur, guſtu, odore, viſu, & dilutione. Caulem aliqui ſilphion, radicem magudarim, & folia maſpeton vocauere. Efficaciſsimum laſer, mox folia, poſtremò caulis. Acrem vim habet, inflationes facit: perunctas cum aceto, pipere & vino alopecias ſanat: oculorum aciem exacuit, & incipientes ſuffuſiones, illitum cum melle, diſsipat: cauernis dentium in dolore inditur, aut cum thure in linteo circumligatur, aut cum hyſſopo, ficis coctis in poſca, os colluitur: iis prodeſt, quos beſtia in rabiem efferata momorderit, vulneribus immiſſum: valet aduerſus venena telorum, & animalia omnia, quæ virus eiaculantur, potum aut illitum: ſcorpionum plagis oleo dilutum circumlinitur: gangrænis præcoërcitis immittitur: & cum ruta, nitro & melle, vel per ſe, carbunculis: clauos callóſq; prius circumraſos vellit:

cerato

ὁ δὲ μηδικὸς καὶ συριακὸς τῇ δυνάμει εἰσὶν ἀσθενέστεροι, καὶ βρωμωδεστέραν ἔχουσι τὴν ὀσμήν. δολοῦται δὲ πᾶς ὀπὸς πρὸ τοῦ ξηρανθῆναι, σαγαπηνοῦ μιγνυμένου, ἢ ἀλεύρου ἐρεγμίνου· ὅπερ διακρινεῖς τῇ γεύσει καὶ τῇ ὀσμῇ καὶ τῇ ὄψει καὶ τῇ διέσει. ἔνιοι δὲ τὸν μὲν καυλὸν σίλφιον ἐκάλεσαν. τὴν δὲ ῥίζαν μαγύδαριν, τὰ δὲ φύλλα μάσπετα. πρακτικώτατος δέ ἐστιν ὁ ὀπὸς, εἶτα τὰ φύλλα, εἶτα ὁ καυλός. ἔστι δὲ φυσώδης, καὶ δριμὺς, ἀλωπεκίας θεραπεύων, σὺν οἴνῳ καὶ πεπέρει καὶ ὄξει καταχριόμενος· ὀξυδερκίας τε ποιητικὸς, καὶ ἀρχομένης ὑποχύσεως διασκεδαστικὸς σὺν μέλιτι ἐγχριόμενος· πρὸς ὀδονταλγίας τε ἐντίθεται εἰς τὰ βρώματα, καὶ περιτίθεται σὺν λιβανωτῷ ἐγχρισθεὶς εἰς ὀθόνιον, καὶ διακλύζεται σὺν ὑσσώπῳ, καὶ σύκοις ἀφεψημένοις σὺν ὀξυκράτῳ, καὶ ἐπὶ λυσσοδήκτων δὲ ὠφελεῖ ἐπιτιθέμενος τοῖς τραύμασι, καὶ ἐπὶ τῶν ἰοβόλων ζώων πάντων καὶ τῶν φαρμακωδῶν τοξευμάτων, ἐγχριόμενος καὶ πινόμενος· ἐπὶ δὲ σκορπιοπλήκτων ἐλαίῳ διεθεὶς περιαλείφεται, καὶ ἐπὶ γαγγραινουμένων προκαταχαραχθέντων ἐνίεται· πρός τε ἄνθρακας μετὰ πηγάνου καὶ νίτρου καὶ μέλιτος, ἢ καθ' ἑαυτὸν, ἥλους τε καὶ τύλους αἴρει προπεριχαραχθέντας.

προμαλα-

προμαλαχθεὶς κηρωτῇ, ἢ σύκων ξηρῶν τῷ ἐντὸς, θεραπεύει καὶ λειχῆνας προσφάτους σὺν ὄξει, σαρκώματα δὲ πολύποδας μετὰ χαλκάνθης ἢ ἰοῦ διαχριόμενος ἐπὶ ἡμέρας τινὰς, ἐπισπᾶται τὰς ἐξοχὰς σὺν σαρκολαβίδι. ἀρήγει δὲ καὶ βρόγχων χρονίαις τραχύτησι· φωνήν τε αἰφνιδίως δασυνθεῖσαν ὕδατι διεθεὶς καὶ ἐπιῤῥοφηθεὶς, αὐτίκα ἀποκαθαίρει· κονίδας τε στέλλει σὺν μέλιτι διαχριόμενος· συναγχικοῖς τε ἀναγαργάρισμα μετὰ μελικράτου ὠφέλιμον· εὐχρουστέρους ποιεῖ λαμβανόμενος ἐν διαίτῃ· βηχί τε ἁρμόζει ἐν ᾠῷ ῥοφητῷ διδόμενος· πλευριτικοῖς τε ἐν ῥοφήμασιν· ἰκτερικοῖς τε καὶ ὑδρωπικοῖς ὠφελίμως δίδοται μετὰ σύκων ξηρῶν. λύει καὶ ῥίγη σὺν πεπέρει καὶ λιβάνῳ ποθεὶς καὶ οἴνῳ· τετανικοῖς τε καὶ ὀπισθοτονικοῖς ὀβολοῦ ὁλκὴν περιπλάσας, δίδου καταπίνειν. βδέλλας δὲ τὰς προσισχομένας τῇ καταπόσει, ἀναγαργαριζόμενος μετ᾽ ὄξους ἀποβάλλει· καὶ τοῖς γάλα τεθρομβωμένον ἔνδον ποιοῦσι καὶ ἐπιληπτικοῖς μετ᾽ ὀξυμέλιτος ληφθεὶς βοηθεῖ· ποθεὶς δὲ σὺν πεπέρει καὶ σμύρνῃ καταμήνια ἄγει· κοιλιακοῖς τε ἐν ῥαγὶ λαμβανόμενος σταφυλῆς ὠφελεῖ· μετὰ δὲ κονίας ποθεὶς, ὠφελεῖ τὰ ἀφνίδια σπάσματα, ῥήγματα.

διαλύεται

cerato aut aridorum ficuum carne præmollitum, recentes lichenas ex aceto ſanat. Et excreſcentia in carne, polipóſque, ſi aliquot diebus cum atramento ſutorio, aut ærugine illinatur: extuberantia cum forfice extrahit. Veteribus faucium ſcabritiis opitulatur: grauem, ſubitóque irraueſcentem vocem, dilutum aqua, ſorbitione confeſtim expedit: vuam illitum cum melle reprimit: anginis ex aqua mulſa vtiliſsimè gargarizatur: veſcentes lætiore colore mangonizat: tuſsi commodè in ſorbili ouo datur, & pleuriticis, in ſorbitionibus: in fellis ſuffuſione, & aqua inter cutem, cum aridis ficis: horrores diſcutit cum vino, pipere, & thure potum: neruorum contractionibus, opiſthotonicíſque datur oboli pondere deuorandum: hærentes gulæ hirudines, gargarizatum cum aceto decutit: ad lac intus coagulatum bibitur: comitialibus ex aceto mulſo proficit: menſes ciet, cum pipere & myrrha potum: cœliacos adiuuat, in acino vuæ ſumptum: cum lixiuio autem potui datum, repētè cōuulſis ruptíſque prodeſt,

 ad

ad potiones reſoluitur, nucibus amaris, aut ruta aut calido pane. Foliorũ ſucco ad eadem proficitur, ſed multò inefficacius: cum aceto mulſo manditur, ad expediendam arteriam, maximè cum vox retunditur: eo cum lactucis vtuntur, exítque in vicem erucæ. Fertur & altera magudaris in Libya naſci, radix laſerpitio ſimilis, ſed minus craſſa, acris & fungoſa, ex qua non profluit ſuccus: eiuſdem cum laſere facultatis.

Sagapenum. Cap. XCV.

Sagapenum ferulaceæ herbæ ſuccus eſt, quæ in Media naſcitur. Optimum eſt tranſlucens, fuluo forinſecus colore, & intus albo, neſcio quid inter laſer, & galbanum redolens, guſtu acri. Prodeſt laterum, & pectoris doloribus, tuſſibus vetuſtis, conuulſis, & ruptis. Craſſam pulmonis pituitã expurgat. Datur comitialibus, opiſthotonicis, lienoſis: itẽ contra neruorum reſolutionem, perfrictiones, & febrium circuitus in potu: in vnguenta ꝓbè admittitur: mẽſes pellit, ſed fœtum exanimat, cum hydromelite potum: prodeſt ex vino hauſtum, ſerpentium ictibus: olfactum

διαλύεται δὲ εἰς τὰ ποτήματα ἀμυγδάλοις πικροῖς, ἢ πηγάνῳ, ἢ ἄρτῳ θερμῷ. ὁ δὲ ὀπὸς τῶν φύλλων τὰ αὐτὰ μὲν ποιεῖ, παραπολὺ δὲ ἔλασσον· ἐσθίεται δὲ μετ᾽ ὀξυμέλιτος ἀρμόζων* πρὸς ἀρτηρίαν, μάλιστα δὲ ἀποκοπεῖσιν ἤχοις· χρῶνται δὲ αὐτῷ καὶ μετὰ θριδάκων ἐσθίοντες ἀντὶ εὐζώμου. Λέγεται δὲ καὶ ἑτέρα μαγύδαρις γεννωμένη ἐν λιβύῃ, ῥίζα παρομοία σιλφίῳ ἧττον δὲ παχεῖα, δριμεῖα καὶ χαύνη καὶ ὀπὸν μὴ ἔχουσα· ποιεῖ δὲ τὰ αὐτὰ τῷ σιλφίῳ. •

Περὶ Σαγαπήνου. Κεφ. ϛε΄.

Σαγάπηνον ὀπός ἐστι πόας ναρθηκοειδοῦς γεννωμένης ἐν μηδείᾳ. διαφέρει δὲ αὐτοῦ τὸ διαυγὲς, ἔξωθεν μὲν κιῤῥὸν, ἐκ δὲ τῶν ἐντὸς λευκὸν, ὄζον μεταξὺ ὀποῦ σιλφίου καὶ χαλβάνης δριμὺ ἐν τῇ γεύσει. ποιεῖ δὲ πρὸς θώρακος καὶ πλευρᾶς πόνον, ῥήγματα, σπάσματα, βῆχας χρονίους, πάχη τὰ ἐν πνεύμονι ἀνακαθαίρει. δίδοται δὲ καὶ ἐπιληπτικοῖς, ὀπισθοτονικοῖς, σπληνικοῖς παραλυτικοῖς, κατεψυγμένοις, περιοδικοῖς πυρετοῖς ἐν ποτήμασι, καὶ ἐν συγχρίσμασι δὲ ὠφελίμως προσάγεται· ἄγει καὶ ἔμμηνα καὶ ἔμβρυα φθείρει πινόμενον μεθ᾽ ὑδρομέλιτος ἀρήγει καὶ θηριοδήκτοις μετ᾽ οἴνου λαμβανόμενον·

διεγείρει καὶ ὑστερικῶς πνιγομένας μετ' ὄξους ὀσφραινόμενον. οὐλάς τε ἀποσμήχει τὰς ἐν ὀφθαλμῷ, καὶ ἀμβλυωπίας καὶ τὰ ἐπισκοτοῦντα ταῖς κόραις καὶ ὑποχύματα. διαλύεται δὲ ὥσπερ ὀπός, πηγάνῳ καὶ ὕδατι καὶ πικροῖς ἀμυγδάλοις ἢ μέλιτι ἢ ἄρτῳ θερμῷ.

Περὶ Εὐφορβίου. Κεφ. ϟϛʹ.

Εὐφόρβιον δένδρον ἐστὶ ναρθηκῶδες λιβυκὸν, γεννώμενον ἐν τῷ κατὰ μαυρουσιάδα τμώλῳ. ὀποῦ μεστὸν δριμυτάτου· ὃν δεδοικότες οἱ τῇδε ἄνθρωποι συλλέγουσι διὰ τὸ ἐπιτεταμένον τῆς πυρώσεως, κοιλίας γοῦν προβατίας πεπλυμένας περιδήσαντες τὸ δένδρον, μακρόθεν ἀκοντίοις διαιροῦσιν αὐτοῦ τὸν καυλόν. εὐθέως δὲ ὡς ἔκ τινος ἀγγείου πολὺς ἀποχεῖται ὀπὸς εἰς τὰς κοιλίας καὶ ἀπορραίνεται δὲ καὶ εἰς τὴν γῆν ἐξακοντιζόμενος. ἔστι δὲ δύο γένη τοῦ ὀποῦ· τὸ μὲν, διαυγὲς ὡς σαρκοκόλλα, κατὰ μέγεθος ὀρόβου· τὸ δέ τι ἐν ταῖς κοιλίαις ὑελῶδες καὶ συνεστώς. δολοῦται δὲ καὶ τῇ σαρκοκόλλῃ καὶ κόλλῃ μιγνυμέναις. ἐκλέγου δὲ τὸν διαυγῆ καὶ δριμύν· δυσδοκίμαστος δέ ἐστιν ὁ τῇ γεύσει λαμβανόμενος, διὰ τὸ ἅπαξ διχθείσης τῆς γλώττης ἐπιμένειν τὴν πύρωσιν ἐφ' ἱκανὸν χρόνον, ὥς τε πᾶν τὸ προσφερόμενον εὐφόρβιον δοκεῖν εἶναι.

ἡ μὲν

olfactum ex aceto vuluarum ſtrangulatus excitat, oculorum cicatrices, offuſam caliginem, hebetudines, ſuffuſiónesque detergit. Reſoluitur vt laſer, ruta, aqua, & amaris nucib⁹, aut melle, aut callido pane.

Euphorbium. Cap. XCVI.

Euphorbium Libyca arbor eſt, ferulæ ſpeciem habens, quæ in mõte Atlãte iuxta Mauritaniam inuenitur. Ea acerrimo ſucco turget. cuius eximiũ feruorem expaueſcentes incolæ, ouillos ventres elutos, arbori circumligant, & eminus caulem contis incidunt, confeſtímque è plaga, perinde atque vaſe quodam, in ventriculos copioſus lactis humor effluit, præter id quod humi ſparſum, vulnus eiaculatur. Duo ſucci genera: vnum orobi magnitudine, ſarcocollæ modo emicat: alterum in ventriculis concreſcit, atque vitreum ſpectatur. Eligendum eſt tranſlucens, & acre. Euphorbium adulteratur ſarcocollæ, & glutini miſtione, ſed difficile quidẽ experimentum: quippe cũ leui guſtu, os accenſũ diu detineat, adeo vt quicquid ori obijciatur, planè euphorbiũ reſipiat.

Eius inuentio tempore Iubæ regis Libyæ cognita extitit. Succus illitu ſuffuſiones diſcutit, potus tota die exurit: quare melli collyriiſque pro acrimoniæ ratione admiſceri debet. Coxarum doloribus prodeſt in odorifera potione hauſtus: ſquamas oſsium eadem die eximit: verùm eo vtentes, neceſſe eſt linamentis aut ceratis communire corpus, quo oſſa conueſtiuntur. Aliqui memoriæ prodiderunt, percuſſos à ſerpente nihil moleſti paſſuros, ſi inciſa oſſe tenus capitis cute, intritus ſuccus infundatur, vulnúſque poſtea conſuatur.

Galbanũ. Cap. XCVII.

GALBANVM ſuccus eſt naſcẽtis in Syria ferulæ, quod nonnulli metopium vocant. Maximè laudatur cartilaginoſum, merum, thuris effigiem præbens, pingue, minimè lignoſum, retinens nonnihil adiecti ſeminis, & ferulæ, graui odore, neque valde humidum, neque nimis aridum. Adulteratur faba freſa, reſina & ammoniaco. Galbanum excalfacit, vrit, extrahit, diſcutit: menſes ac partus trahit appoſitu vel ſuffitu: lentigines a-

ἡ μέν τοι εὕρεσις αὐτοῦ κατὰ ἰόβαν τὸν βασιλέα τῆς λιβύης ἐπεγνώσθη. Δύναμιν δὲ ἔχει ὁ ὀπὸς, διαφορητικὴν ὑποχυμάτων ἐγχριόμενος, πυροῖ μέν τοι δι᾽ ὅλης τῆς ἡμέρας ποθείς· ὅθεν μέλιτι μίγνυται, καὶ κολλυρίοις κατὰ ἀναλογίαν τῆς δριμύτητος. ἁρμόζει καὶ ἰσχίων ἀλγήμασι, μιγεὶς ἀρωματικῷ ποτήματι καὶ πινόμενος· ἀφίστησι δὲ καὶ λεπίδας αὐθημερόν· δεῖ μέν τοι χρωμένους ἀσφαλίζεσθαι τὴν περικειμένην τοῖς ὀστοῖς σάρκα, μοτοῖς ἢ κηρωταῖς. ἱστοροῦσι δέ τινες μηδὲν παρακολουθεῖν δυσχερὲς τοῖς ἑρπετοδήκτοις, ἐάν τις ἐκκόψας ἄχρις ὀστέου τὸ δέρμα τῆς κεφαλῆς, ἐγχέῃ τὸν ὀπὸν λεῖον καὶ ῥάψῃ τὸ τραῦμα.

Περὶ Χαλβάνης. Κεφ. ϛζʹ.

Χαλβάνη ὀπός ἐστιν νάρθηκος ἐν συρίᾳ γινομένου, ἣν ἔνιοι μετώπιον καλοῦσιν. ἔστι δὲ αὐτῆς ἀρίστη λιβανοειδὴς, χονδρώδης, καθαρὰ, λιπαρὰ, ἄξυλος ἔχουσα δέ τι τοῦ σπέρματος καὶ τοῦ νάρθηκος μεμιγμένου, ὀσμὴ βαρεῖα. οὔτ᾽ ἄγαν ὑγρὰ, οὔτε πάλιν κατάξηρος. δολοῦσι δὲ αὐτὴν μιγνύντες ῥητίνην, καὶ ἐρεγμὸν καὶ ἀμμωνιακόν. Δύναμιν δὲ ἔχει θερμαντικὴν, πυρωτικὴν, ἐπισπαστικὴν, διαφορητικὴν περιθεμένη δὲ καὶ ὑποθυμιωμένη, ἔμμηνα καὶ ἔμβρυα ἄγει· φακοὺς

τι αἴρει μετ' ὄξους καὶ νίτρου ἐπιπλασθεῖσα· καταπίνεται δὲ πρὸς παλαιὰν βῆχα, δύσπνοιαν, ἄσθματα, ῥήγματα, σπάσματα· ἀντιπάσχει δὲ καὶ τοξικῷ σὺν * ὄξει καὶ σμύρνῃ ποθεῖσα. ἐκβάλλει καὶ τεθνηκότα ἔμβρυα ὁμοίως ληφθεῖσα· ἐπιτίθεται δὲ καὶ πρὸς ὀδύνην πλευρᾶς, καὶ πρὸς δοθιῆνας· ἐπιληπτικούς τε καὶ ὑστερικὰς πνίγας καὶ σκοτωματικοὺς ὀσφραινομένη διεγείρει, θηρία τε θυμιωμένη διώκει, τούς τε συγχριομένους ἀδήκτους τηρεῖ, σὺν σφονδύλῳ δὲ καὶ ἐλαίῳ περιτεθεῖσα, ἑρπετὰ* κτείνει· ὀδόντος τε πόνον περιπλασθεῖσα ἢ ἐντεθεῖσα εἰς τὸ βρῶμα, παύει· δοκεῖ δὲ καὶ δυσουροῦσι ποιεῖν. λύεται δὲ καὶ εἰς τὰ ποτήματα, πικροῖς ἀμυγδάλοις καὶ ὕδατι ἢ πηγάνῳ ἢ μελικράτῳ ἢ ἄρτῳ θερμῷ. ἄλλως δὲ μηκωνείῳ ἢ χαλκῷ κεκαυμένῳ, ἢ χολῇ ὑγρᾷ. καθαίρειν δὲ αὐτὴν βουλόμενος, κάθες εἰς ζεστὸν ὕδωρ· τακείσης γὰρ αὐτῆς, ἐπιπλεύσει τὸ ῥυπαρόν· ὅπερ χωρίσεις οὕτως· εἰς ὀθόνιον καθαρὸν ἀραιὸν ἐνδήσας ἀποκρέμασον εἰς χαλκῆν πυξίδα ἢ ὀστράκινον ἀγγεῖον, ὡς μὴ ἅπτεσθαι τοῦ πυθμένος τοῦ ἀγγείου τὸν ἔνδεσμον· καὶ πωμάσας, εἰς ἀναβραστὸν ὕδωρ κάθες· οὕτω γὰρ τὸ μὲν χρήσιμον ἀποτακήσεται ὡς δι' ἠθμοῦ. τὸ δὲ ξυλῶδες ἐν τῷ ὀθονίῳ μένει.

Περὶ Αμ-

ceto & nitro perunctas tollit: deuoratur ad tuſsim veterem, difficultatem ſpirandi, ſuſpiria, rupta, conuulſa: aduerſatur toxicis, potum cum vino & myrrha. ſimili modo ſumptum mortuos partus extrahit: imponitur lateris doloribus, & furunculis: comitiales, & vuluæ ſtrangulatus, & vertiginoſos olfactu ſuſcitat: ſi vratur, fugat nidore ſerpentes, & perunctos feriri non patitur: ſerpentes cum oleo & ſphondylo circumpoſitum, necat: dentium dolorem oblitum, aut cauernis inditum, mitigat: vrinæ difficili prodeſſe exiſtimatur. Reſoluitur ad potiones amaris nucibus, aqua, aut ruta, aut calido pane, mulſáve. aliâs meconio, ære vſto, felle liquido. Si purgare Galbanum voles, in feruentem aquam demittito: nanque cum liquefactum fuerit, eius ſordes fluitabunt: quas hoc modo facile ſeparabis: mundo linteo raróque alligatū in fictili aut ærea pyxide ita pendeat, vt imum vaſis ne tangat: opertóque vaſe in feruidam aquam demittito: ſic enim ſyncerū, veluti per colum eliqueſcet, & lignoſum in linteo remanebit.

Ammo-

Ammoniacum. Cap. XCVIII.

Ammoniacum, ferulæ ſuccus eſt, quam iuxta Cyrenem Aphrica gignit: cuius fruticem cum radice agaſyllim vocant. Probatur bene coloratum, ligni & calculorum expers, thuris ſimilitudine, minutis glebis, denſum, ſyncerum, nulla ſorde ſpurcatum, caſtoreum odore imitans, guſtu amarum. hoc genus thrauſma, id eſt, friaturam appellant· quod verò terram, & calculos collegit, phyrama. gignitur in Aphrica iuxta Ammonis oraculum, ſuccum ſtillante ferulacea arbore. Mollit, extrahit, calfacit: tubercula duritiáſque diſcutit: potum, aluum ſoluit: partus extrahit, lienẽ cõſumit, drachmæ põdere hauſtum: articulorum coxendicúmq; doloribus liberat: auxilio eſt anhelatoribus, orthopnoicis, comitialibus. Itẽ quibus humor in pectore coit, ſi cum melle delingatur, aut cũ ptiſanæ ſucco ſorbeatur: cruentam vrinã pellit: albugines oculorum abſterget: genarum ſcabritiã abſumit: tritũ autem cũ aceto, & impoſitũ, iocineris lienísq; duritias ſedat: diſcutit tofos, qui in artubus cõcalluerũt,

cum

Περὶ Ἀμμωνιακοῦ. Κεφ. ϟη'.

Ἀμμωνιακὸν, καὶ τοῦτο ὀπός ἐστι ναρθηκος, γινομένου ἐν τῇ κατὰ κυρήνην λιβύῃ· καλεῖται δὲ αὐτῷ ὅλος ὁ θάμνος σὺν τῇ ῥίζῃ, ἀγασυλλίς. ἐγκριτέον δὲ αὐτοῦ τὸ εὔχρουν καὶ ἄξυλον καὶ ἀλιθες, λιβανωτίζον τοῖς χόνδροις, καθαρὸν καὶ πυκνὸν, μηδεμίαν ἔχον ῥυπαρείαν, καστορίζον τῇ ὀσμῇ, πικρὸν δὲ τῇ γεύσει. καλεῖται δὲ τὸ τοιοῦτον, θραῦσμα· τὸ δὲ γεῶδες ἢ λιθῶδες, φύραμα. γίνεται δὲ ἐν λιβύῃ κατὰ ἄμμωνα. χυλὸς ὢν δένδρου ναρθηκοειδοῦς. Δύναμιν δὲ ἔχει μαλακτικὴν, ἐπισπαστικὴν, θερμαντικὴν, διαφορητικὴν σκληρωμάτων τε καὶ φυμάτων· κοιλίαν τε ὑπάγει ποθέν· καὶ ἔμβρυα κατασπᾷ. σπλῆνα τήκει μεθ' ὄξους < α' ποθέν· καὶ ἄρθρων καὶ ἰσχίων ἀλγήματα παρηγορεῖται· βοηθεῖ δὲ καὶ ἀσθματικοῖς, ὀρθοπνοϊκοῖς, ἐπιληπτικοῖς, καὶ τοῖς ὑγρασίαν ἐν θώρακι ἔχουσιν, ἐκλειχόμενον μετὰ μέλιτος, ἢ πτισάνης ῥοφούμενον χυλῷ· ἄγει δὲ καὶ οὖρα αἱματώδη· σμήχει δὲ καὶ τὰ ἐν ὀφθαλμοῖς λευκώματα· καὶ τραχύτητας βλεφάρων τήκει. λειωθὲν δὲ σὺν ὄξει καὶ ἐπιτεθὲν, παύει τὰς περὶ σπλῆνα καὶ ἧπαρ σκληρείας· λύει καὶ τοὺς περὶ τὰ ἄρθρα πώρους

μετὰ μέλιτος καταπλασσόμενον, ἢ καὶ πίσσῃ μιχθέν· ποιεῖ καὶ πρὸς κόποις καὶ ἰσχιάδας συγχριόμενον, μιχθὲν ὄξει καὶ νίτρῳ καὶ κυπρίνῳ ἐλαίῳ ἀντὶ ἀκόπου.

cum melle aut cum pice illitum. laſsitudines, & coxendicum dolores eo perungi vtile eſt, cum nitro, & cyprino oleo, vice acopi.

Περὶ σαρκοκόλλας.

Κεφ. ϙθʹ.

Ἡ δὲ σαρκοκόλλα ἐστὶ δάκρυον δένδρου γεννωμένου ἐν Περσίδι, ἐοικὸς λιβανωτῷ λεπτῷ, ὑπόκιρρον, ἔμπικρον τῇ γεύσει. Δύναμιν δὲ ἔχει κολλητικὴν τραυμάτων καὶ ἐφεκτικὴν τῶν ἐν ὀφθαλμοῖς ῥευμάτων· μίγνυται δὲ καὶ ἐμπλάστροις. δολοῦται δὲ κόμμεως αὐτῇ μιγνυμένου.

Sarcocolla.

Cap. XCIX.

Sarcocolla, lachrima eſt arboris in Perſide naſcentis, pollini thuris ſimilis, rufa, guſtu amara. Vulnera glutinat, oculorum fluxiones inhibet: emplaſtris inſeritur. Adulteratur admiſto gummi.

Περὶ Γλαυκίου. Κεφ. ϙʹ.

Γλαύκιον χυλός ἐστι βοτάνης κατὰ Ἱεράπολιν τῆς Συρίας γεννωμένης, ἔοικε δὲ αὐτῆς τὰ φύλλα τῆς κερατίτιδος μήκωνος, λιπαρώτερα δὲ καὶ χαμαίζηλα, καὶ βαρύοσμα καὶ πικρότερα ἐν τῇ γεύσει· χυλὸν δὲ ἔχει πολὺν κροκίζοντα. ταύτης τὰ φύλλα βάλλοντες οἱ ἐπιχώριοι εἰς χύτραν, θερμαίνουσιν ἐν κλιβάνοις ἡμιψυχέσιν ἄχρι μαρασμοῦ, εἶτα ἐκκόψαντες ἐκθλίβουσι τὸν χυλόν· ἔστι δὲ ἡ χρῆσις αὐτοῦ πρὸς τὰ ὀφθαλμικά, ἐν ἀρχῇ ψυκτικοῦ ὄντος.

Glaucium. Cap. C.

Glaucium, ſuccus eſt herbæ quæ ad Hierapolim Syriæ naſcitur, foliis ferè corniculati papaueris, pinguioribus tamen, in terram ſparſis, odoris tetri, guſtus amari: tota croceo ſucco madet. Folia in olla fictili ſemifrigidis clibanis calfaciunt indigenæ, vſque dum flacceſcant, deinde contuſis ſuccum exprimunt: cuius eſt vſus ad oculorum medicamenta, vtpote cum inter initia refrigeret.

Περὶ Κόλλης. Κεφ. ϙαʹ.

Κόλλα ἣν ἔνιοι ξυλοκόλλαν καλοῦσιν ἢ ταυροκόλλαν, καλλίστη ἐστὶν ἡ ῥοδιακή, ἐκ τῶν βοείων βυρσῶν σκευα-

Glutinum. Cap. CI.

GLVTINVM, quod xylocollan, alij taurocollã vocãt, præſtantiſsimum Rhodiacum, quod

quod ex bubulis coriis conficitur, id candidũ eſt, & tranſlucés. Nigrũ verò minus probatur. Reſolutũ in aceto, impetigines lepráſq; cutis delet: ambuſtis igni ex aqua calida dilutũ illitúmque, puſtulas erumpere nõ patitur. vulneribus prodeſt, melle aut aceto madefactum.

Glutinum piſcium.
Cap. CII.

Ichthyocolla, gluten piſciũ, vẽter eſt piſcis cetacei. Præſtat candicans, natione Ponticum, ſubaſperum, minimè ſcabrũ, & quod celerrimè liqueſcit. Vtile emplaſtris, capitis & leprarum medicaminibus, & tetanothris, quæ cutem faciei erugant, & extendunt.

Viſcum. Cap. CIII.

Viſcum optimum eſt recés, intus porraceum, extra fuluũ, quod aſperi nihil, aut furfuroſi conceperit. Fit acinis in robore naſcentibus, buxeo fruticis folio: contuſum acinum lauãt, & poſtea in aqua decoquunt. ſunt qui commanducando ipſum efficiant. Gignitur quoq; in mâlo, pyro, & pleriſque aliis arboribus: quinetiã inuenitur in quorundam fruticũ radicibus. Emollit, diſcutit, extrahit: paro-

σκευαζομένη· ἔστι δὲ λευκὴ καὶ διαυγὴς ἡ τοιαύτη· ἡ δὲ μέλαινα ἧττον. Δύναμιν δὲ ἔχει λυθεῖσα ὄξει, λειχῆνας καὶ λέπρας τὰς ἐπιπολαίους ἀφιστάνειν. πυρίκαυστά τε οὐκ ἐᾷ φλυκταινοῦσθαι μεθ' ὕδατος θερμοῦ ἐνεθεῖσα καὶ καταχριομένη. ἔστι δὲ καὶ τραυματικὴ, διεθεῖσα μέλιτι καὶ ὄξει.

Περὶ Ἰχθυοκόλλης.
Κεφ. ρβ'.

Ἡ δὲ ἰχθυόκολλα λεγομένη κοιλία ἐστὶν ἰχθύος κητώδου. διαφέρει δὲ ἡ ἐν πόντῳ γινομένη οὖσα λευκὴ, ὑπότραχυς, οὐ ψαφαρώδης, τάχιστα τηκομένη· ὠφελεῖ δὲ εἰς τὰς κεφαλικὰς ἐμπλάστρους καὶ λεπρικὰς δυνάμεις, καὶ εἰς τετάνωθρα τῶν προσώπων.

Περὶ Ἰξοῦ. Κεφ. ργ'.

Ἰξὸς καλός ἐστιν ὁ νέος καὶ πρασίζων τῷ χρώματι κατὰ τὰ ἐντὸς, ἐκτὸς δὲ ὑπόξανθος, μηδὲν ἔχων τραχὺ ἢ πιτυρῶδες. γίνεται δὲ ἔκ τινος καρποῦ περιφερῆς γινομένου ἐν δρυῒ τῇ ἐχούσῃ τὰ φύλλα ὅμοια πύξῳ· κόπτεται δὲ ὁ καρπὸς, εἶτα πλύνεται, εἶτα ἐν ὕδατι ἕψεται. ἔνιοι δὲ μασσώμενοι αὐτὸν ἐργάζονται. γίνεται δὲ καὶ ἐν μηλέας καὶ ἀπίου καὶ ἐξ ἄλλων δένδρων· εὑρίσκεται δὲ καὶ πρὸς ῥίζαις θάμνων τινῶν. Δύναται δὲ διαφορεῖν, μαλάσσειν, ἐπισπᾶσθαι, συμ-

συμπέττειν φύματα, παρωτίδας, καὶ τὰς ἄλλας ἀποστάσεις· μιγεὶς ῥητίνῃ καὶ κηρῷ ἴσῳ, ἐπινυκτίδας τε ἐν σπληνίῳ ἰᾶται· σὺν λιβανωτῷ δὲ ἕλκη παλαιὰ καὶ κακοήθεις ἀποστάσεις μαλάσσει· καὶ σπλῆνας τήκει σὺν ἀσβέστῳ ἢ γαγάτῃ λίθῳ ἢ ἀσίῳ ἑψηθεὶς καὶ ἐπιτεθείς. ἕλκει δὲ καὶ ὄνυχας σὺν ἀρσενικῷ ἢ σανδαράχῃ ἐπιπλασθείς· μιγεὶς δὲ ἀσβέστῳ καὶ τρυγὶ, ἐπιτείνει τὴν δύναμιν αὐτοῦ.

Περὶ Ἀπαρίνης. Κεφ. ρδ΄.

Ἀπαρίνη, οἱ δὲ, ἀμπελόκαρπον, οἱ δὲ, ὀμφαλόκαρπον, οἱ δὲ, φιλάνθρωπον καλοῦσιν, οἱ δὲ, ἰξόν· κλῶνες πολλοὶ, μικροὶ, τετράγωνοι, τραχεῖς· φύλλα δὲ ἐκ διαστήματος κυκλοτερῶς περικείμενα ὥσπερ τὰ τοῦ ἐρυθροδάνου· ἄνθη λευκά· σπέρμα σκληρὸν, λευκὸν, στρογγύλον, ὑπόκοιλον ἐκ μέσου ὡς ὀμφαλός, προσέρχεται δὲ καὶ ἱματίοις ἡ πόα. χρῶνται δὲ αὐτῇ καὶ οἱ ποιμένες ἀντὶ ἠθμοῦ ἐπὶ τοῦ γάλακτος, πρὸς ἔκληψιν τῶν ἐν αὐτῷ τειχῶν. Ταύτης τὸ σπέρμα καὶ οἱ καυλοὶ καὶ τὰ φύλλα χυλισθέντα, φαλαγγιοδήκτοις καὶ ἐχιοδήκτοις βοηθεῖ πινόμενον μετὰ οἴνου· καὶ ὠταλγίας ἰᾶται ὁ χυλὸς ἐγχυματιζόμενος. ἡ δὲ πόα ἀναληφθεῖσα ὀξυγγίῳ λείῳ, διαφορεῖ χοιράδας.

Περὶ Ἀλύ-

parotidas, tubercula, cæteráſq; collectiones ad maturationem perducit: cum reſina autem, & cera pari, epinyctidas in ſplenio ſanat: vetera vlcera abſceſſusq; quos cachoëthes vocant, ex thure mollit: lienem cũ calce, gagate, aut Aſio lapide coctum & impoſitum abſumit: cũ ſandaracha, aut auripigmẽto illitum, vngues extrahit: miſtum cum calce, & vini fæce, ſuam vim intendit.

Aparine. Cap. CIIII.

Aparine ramis multis, & paruis fruticat, aſperis, quadrangulis, per interualla orbiculato foliorum ambitu, vt in rubia: flos albus: ſemen durum, rotundum, concauum, album, vmbilici figura, aſperitate veſtium tenaci. Ea paſtores coli vice vtuntur, ad eximendos è lacte pilos. Seminis, caulium, ac foliorum ſuccus, potu contra viperarum phalangiorúmque morſus auxiliatur: infuſu aurium dolori medetur. Herba cum axungia trita ſtrumas diſcutit.

Alyſſum.

Alyſſum. Cap. CV.

Alyſſon exiguus frutex eſt, vnicaulis, ſubaſper, rotundis foliis: fructu duplicium ſcutorum effigie, in quo eſt ſemen, quadamtenus latũ, in montibus, & aſperis locis emicat. Eius decoctum ſingultus ſine febri, potu diſcutit: idẽ efficit, ſi quis eã aut teneat, aut odoretur: cũ melle trita, vitia cutis in facie, & lentigines emẽdat. contuſa in edulio, rabiei canis mederi putatur. domibus appenſa ſalutaris eſſe creditur, & hominibus atque animalibus faſcini amuletum. Purpureo linteo circumligata, pecorũ morbos abigit.

Aſclepias. Cap. CVI.

Aſclepias ramos emittit longos: folia hederæ, longa: radices numeroſas, tenues, odoratas: floris virus graue: ſemen ſecuridacæ. naſcitur in mõtibus. Radices ex vino potę torminibus auxiliãtur, & contra ſerpẽtiũ ictus. Folia aduerſus vuluæ mammarúmq; vlcera, quæ cacoëthe vocant, illinuntur.

Atractylis. Cap. CVII.

Atractylis, ſpina eſt cnico ſimilis, folia multò longiora ferens in ſummis virgis, magna parte nuda, aſperáque, qua fœminę pro fuſis vtuntur: capi-

Περὶ Ἀλύσσου. Κεφ. ρε.

Ἄλυσσον φρυγάνιόν ἐστιν, ὑπότραχυ, φύλλα ἔχον στρογγύλα· παρ' οἷς ὁ καρπὸς ὡς ἀσπιδίσκια διάδιπλα, ἐν οἷς τὸ σπέρμα ὑπόπλατυ. φύεται ἐν ὀρεινοῖς καὶ τραχέσι τόποις. Ταύτης τὸ ἀφέψημα ποθὲν, λυγμοὺς τοὺς δίχα πυρετοῦ λύει· καὶ κρατηθὲν δὲ ἢ ὀσφρανθὲν, τὸ αὐτὸ δρᾷ· σὺν μέλιτι δὲ λεῖον, φακοὺς καὶ ἔφηλιν ἀποκαθαίρει· δοκεῖ δὲ καὶ λύσσαν κυνὸς ἰᾶσθαι. συγκοπὲν ἐδέσματι καὶ δοθὲν, καὶ κρεμάμενον δὲ ἐν οἰκίᾳ, ὑγιεινὸν λέγεται εἶναι καὶ ἀνθρώποις καὶ ζώοις ἀβάσκαντον. περιαφθὲν δὲ φοινικῷ ῥάκει, θρεμμάτων νόσους ἀπελαύνει.

Περὶ Ἀσκληπιάδος. Κεφ. ρς.

Ἀσκληπιὰς κλωνία ἀνίησι μακρά· ἐφ' ὧν φύλλα μακρὰ κισσῷ ὅμοια· ῥίζας πολλὰς καὶ λεπτὰς εὐώδεις· ἄνθος βαρύοσμον· σπέρμα δὲ ὡς πελεκίνου. φύεται ἐν ὄρεσι. βοηθοῦσι δὲ αἱ ῥίζαι ἐν οἴνῳ πινόμεναι, στροφουμένοις καὶ θηριοδήκτοις. καὶ τὰ φύλλα καταπλαττόμενα, ἁρμόζει πρὸς τὰς ἐν μαστοῖς καὶ μήτραις κακοηθείας.

Περὶ Ἀτρακτυλίδος. Κεφ. ρζ.

Ἀτρακτυλὶς ἄκανθά ἐστιν ἐοικυῖα κνίκῳ, μακρότερα δὲ πολλῷ φύλλα ἔχουσα ἐπ' ἄκρου τῶν ῥαβδίων· τὸ δὲ πλεῖον γυμνὸν τραχύ, ᾧ καὶ αἱ γυναῖκες χρῶνται ἀντὶ ἀτράκτου.

ἔχει

ἔχει δὲ καὶ* κεφάλια ἐπ' ἄκρου ἀκανθώδη· ἄνθος ὠχρόν· ῥίζα δὲ λεπτὴ ἄχρηστος. ταύτης τὰ φύλλα καὶ ἡ κόμη καὶ ὁ καρπὸς λεῖα ποθέντα σὺν πεπέρει καὶ οἴνῳ, σκορπιοπλήκτοις ὠφελεῖ. ἔνιοι δ' ἱστοροῦσι τοὺς πεπληγότας, ἄχριπερ ἂν κρατῶσι τὴν πόαν ἀνωδύνους εἶναι. ἀποθεμένοις δὲ ἀλγεῖν.

Περὶ πολυκνήμου.

Κεφ. ρή.

Πολύκνημον θάμνος ἐστὶ φρυγανώδης, ἔχων φύλλα ὀριγάνῳ ἐμφερῆ· τὸν δὲ καυλὸν πολυγόνατον ὥσπερ γλήχωνος, οὐκ ἔχει μέντοι τὸ σκιάδιον, μικρὰ δ' ἐπ' ἄκρῳ κορύμβια μετ' εὐωδίας τινὸς δριμείας. Ποιεῖ δὲ καταπλαττόμενον χλωρὸν ἢ ξηρὸν μεθ' ὕδατος, πρὸς τραύματα, κολλῶσα· δεῖ δὲ πεμπταῖον λύειν. πίνεται καὶ πρὸς στραγγουρίαν καὶ ῥήγματα σὺν οἴνῳ.

Περὶ Κλινοποδίου. Κεφ. ρθ'.

Κλινοπόδιον θαμνίον ἐστὶ καὶ τοῦτο φρυγανῶδες διπίθαμον, φυόμενον ἐν πέτραις, ἔχον φύλλα ἑρπύλῳ παραπλήσια. καὶ τὰ ἄνθη ὅμοια ὡς κλίνης ποσὶν, ἐκ διαστημάτων ἐμφερῆ πρασίῳ. Πίνεται δὲ ἡ πόα καὶ τὸ ἀφέψημα αὐτῆς, πρὸς θηρίων δήγματα καὶ σπάσματα, καὶ ῥήγματα καὶ στραγγουρίαν· ἄγει καὶ ἔμμηνα, καὶ ἔμβρυα, καὶ ἀκροχορδόνας ἀπο-

capitula in cacumine ſpinis horrent: flos luteus: quibuſdam in locis purpureus inuenitur: radix tenuis, ſuperuacua. Coma, ſemẽ & folia cũ pipere, & vino teruntur vtiliſsimè cõtra ſcorpionũ ictus. percuſſos tradũt quãdiu ea teneatur herba, nullũ experiri dolorẽ, ipſumq́; depoſita ſtatim recrudeſcere.

Polycnemum.

Cap. CVIII.

Polycnemon, frutex eſt ſurculoſus, foliis origani: caule, vt pulegij, geniculis multis intercepto, ſine vmbella, tenui tamẽ in cacumine corymbo, boni odoris, & acris. Vulneribus agglutinandis recens, aut aridum cum aqua, efficaciter illinitur: ſed quinto die ſolui debet. Ad vrinæ ſtillicidia ruptáque, cum vino bibitur.

Clinopodiũ. Cap. CIX.

Clinopodion frutex eſt foliis ſerpillo ſimilis, ſurculoſus, duûm dodrantũ altitudine. naſcitur in petroſis. Flores, marrubij modo, ex interuallis diſtincti ſpeciẽ lecti pedũ præbẽt. Bibitur herba & ſucci eiꝰ decoctũ, ad conuulſa, rupta, ſtrãgurias, ſerpentiũ ictus: menſes & partus pellit: & penſiles verrucas, quas acrochordonas vocant, eiicit,

eiicit, aliquod diebus potũ. aluum ſiſtit decoctũ ad tertias, potúmque, ſi febrim ſentiunt, ex aqua, alioquin ex vino.

Leontopetalum.
Cap. CX.

Leontopetalon caulem emittit dodrantalem, aut altiorem, plurimis alis concauum, & in cacumine ſemina parua duo aut tria, in ſiliquis, ciceris modo: flores anemonæ ſimiles, punicei coloris: folia braſsicæ, ſed papaueris diuiſura: radicibus nigris, rapæ ſimilibus, ſtrumoſis. naſcitur in aruis & ſegetibus. Radix auxiliatur ſerpẽtium ictibus, ex vino pota. nec alia res celerius dolorem finit. Miſcetur iſchiadicorum clyſteribus.

Teucrium.
Cap. CXI.

Teucrion, ſiue vt aliis placet teucris, herba eſt virgæ referens effigiem, triſſaginis ſimilitudine, tenui folio, non multum à cicere alieno. hæc in Cilicia iuxta Gentiadem Ciſſadémque vbertim prouenit. Recens cum poſca, aut aridæ feruefactæ ius, potu lienem potenter abſumit: lienoſis cum aceto & ficis illinitur: item

ἀποβάλλει ἐφ' ἱκανὰς ἡμέρας πινόμενον. κοιλίαν τε ἵστησιν ἐπὶ βίτον ἑψόμενον καὶ πινόμενον, ἀπυρέτοις ἐν οἴνῳ, πυρέττουσι δὲ δι' ὕδατος.

Περὶ Λεοντοπετάλου. Κεφ. ρι.

Λεοντοπέταλον καυλὸν ἀνίησι σπιθαμιαῖον, ἢ καὶ μείζονα, ἔχοντα μασχάλας πλείστας, ἐφ' ὧν ἄκρων λοβοὶ ὅμοιοι ἐρεβίνθοις, ἐν δὲ τούτοις δύο ἢ τρία σπερμάτια· ἄνθη φοινικᾶ, ἐοικότα ἀνεμώνῃ· φύλλα δὲ ὅμοια κράμβῃ, ἐντετμημένα ὡς τὰ τῆς μήκωνος· ῥίζα μέλαινα ὥσπερ γογγύλη, ἐξοχὰς ἔχουσα καθάπερ κονδύλους τινάς. φύεται δ' ἐν ἀρούραις καὶ ἐν τῷ σίτῳ. ταύτης ἡ ῥίζα σὺν οἴνῳ πινομένη, βοηθεῖ ἑρπετοδήκτοις. ταχέως ἀπόνους ποιοῦσα. μίσγεται δὲ καὶ εἰς τοὺς ἰσχιαδικοὺς κλυσμούς.

Περὶ Τευκρίου. Κεφ. ρια.

Τεύκριον, οἱ δὲ καὶ τοῦτο χαμαίδρυν καλοῦσι, πόα ῥαβδοειδὴς ἐοικυῖα χαμαίδρυϊ, λεπτόφυλλος, ἔχουσα ἐρεβίνθῳ πέταλον ὅμοιον. φύεται δὲ πλεῖστον ἐν Κιλικίᾳ τῇ κατὰ* Γεντιάδα καὶ Κισσάδα καλουμένη. Δύναμιν δὲ ἔχει χλωρὰ μετ' ὀξυκράτου ποθεῖσα ἢ ξηρὰ ἀποζεσθεῖσα καὶ πινομένη, σπλῆνα τήκειν ἰσχυρῶς. καταπλάσσεται δὲ μετὰ σύκων καὶ ὄξους ἐπὶ σπληνικῶν.

ἐπὶ

ἐπὶ θηριοδήκτων δὲ μετ᾽ ὄξους μόνου χωρὶς σύκων.

Περὶ Χαμαίδρυος. Κεφ. ριβ΄.

Χαμαίδρυς, οἱ δὲ χαμαίδρωψ, ἢ λινόδρυς. διὰ δὲ τὸ σώζειν τινὰ ἐμφέρειαν τῷ τευκρίῳ, καὶ ταύτην τινὲς τεύκριον ἐκάλεσαν. φύεται ἐν τραχέσι καὶ πετρώδεσι τόποις· ἔστι δὲ θαμνίσκος σπιθαμιαῖος, φύλλα ἔχων μικρὰ τῷ σχήματι καὶ τῇ σχίσει δρυῒ ὅμοια, πικρά· ἄνθος ὑποπόρφυρον, μικρόν. συλλέγειν δὲ αὐτὴν δεῖ ἐγκύμονα τοῦ καρποῦ. Δύναμιν δὲ ἔχει χλωρὰ ἀφεψηθεῖσα σὺν ὕδατι καὶ ποτιζομένη, βοηθεῖν σπάσμασι, βηχὶ, σπληνὶ ἐσκιρρωμένῳ, δυσουροῦσιν, ὑδρωπικοῖς ἐν ἀρχαῖς· ἄγει καὶ ἔμμηνα καὶ ἔμβρυα, σπλῆνα τήκει σὺν ὄξει ποθεῖσα· πρὸς δὲ τὰ θηρεῖα σὺν οἴνῳ πινομένη, καὶ καταπλασσομένη ποιεῖ. λεία δὲ δύναται καὶ εἰς καταπότια ἀναπλάσσεσθαι πρὸς τὰ εἰρημένα· καὶ ἀνακαθαίρειν ἕλκη παλαιὰ σὺν μέλιτι· αἴρει δὲ ἀχλῦς τὰς ἐν ὀφθαλμοῖς σὺν ἐλαίῳ λεία ἐγχριομένη καὶ ἀλειφομένη. ἔστι δὲ θερμαντική.

Περὶ Λευκάδος. Κεφ. ριγ΄.

Λευκὰς ὀρεινή, πλατυφυλλοτέρα τῆς ἡμέρου ἐστὶ, δριμύτερόν τε καὶ πικρότερον ἔχουσα τὸν καρπὸν καὶ ἀστομώτερον, δραστικωτέρα μέντοι τυγχάνει τῆς ἡμέρου. ἐπι-

item ſerpentium morſibus ex aceto ſolo, ſine ficis.

Triſſago. Cap. CXII.

Chamædris Græcis, aliis chamædrops: Latinis triſſago dicitur. ſunt qui eam teucrion appellauere, propter eā quam cum teucrio ſeruat ſimilitudinem. Naſcitur in petroſis & aſperis: frutex dodrantalis, folia habens exigua, amara, effigie & diuiſura quercus: flore paruo, penè purpureo. Carpitur ſemine prægnans. Recens in aqua decocta, potu tuſsibus, indurato lieni, vrinæ difficultati, incipientibus hydropicis, auxiliatur: cit menſes: partus extrahit, lienem ex aceto pota conſumit: aduerſus ſerpentium venena ex vino, potu, illitúque efficaciſsima. Trita digeritur in paſtillos ad ſupradicta: purgat vetera vlcera, cum melle: cum oleo illita, caliginem oculorum diſcutit: natura eius eſt calfacere.

Leucas. Cap. CXIII.

Leucas montana, latioribus q̃ vrbana foliis, ſemine acriore, amariore, ori ingrato, efficacior tamen q̃ ſatiua habetur.

Vtraque ex vino cõtra animalium venena, præcipuè marinorum opitulatur.

Lychnis coronaria. Cap. CXIIII.

Lychnis coronaria, flore eſt albæ violæ ſimili, ſed purpureo quo corollæ factitantur. Contra ſcorpionum ictus ſemen in vino potum auxiliatur.

Lychnis ſylueſtris. Cap. CXV.

Lychnis ſylueſtris, omnia vrbanæ ſimilis. Bilem per aluum detrahit, ſemine duabus drachmis poto: ictis à ſcorpione ſubuenit. Aiunt huius herbæ appoſitu, ſcorpiones torpeſcere, & inertes prorſus reddi.

Lilium. Cap. CXVI.

LILIA coronamentis ſe dedunt, Liria à quibuſdam vocata. E quibus vnguẽtum temperatur quod aliqui lirinum, alij ſuſinum appellant, neruos & priuatim vuluæ duritias emolliens. Folia herbæ illita, contra ſerpentium ictus auxiliantur: feruefacta, ambuſtis proficiunt: aceto condita, vulneribus opitulantur.

Succus

ἐπιπλασσόμεναι δὲ ἀμφότεραι καὶ πινόμεναι, ἁρμόζουσι μετ' οἴνου ἐπὶ τῶν ἰοβόλων, καὶ μάλιστα τῶν θαλασσίων.

Περὶ Λυχνίδος στεφανωματικῆς. Κεφ. ριδ'.

Λυχνὶς στεφανωματική, ἄνθος ἐστὶν ὅμοιον λευκοΐῳ, ἐμπόρφυρον δὲ πλεκόμενον εἰς τὰ στεφάνια. ἧς τὸ σπέρμα βοηθεῖ σὺν οἴνῳ ποθὲν σκορπιοπλήκτοις.

Περὶ Λυχνίδος ἀγρίας. Κεφ. ριέ.

Λυχνὶς ἀγρία ὁμοία τῇ ἡμέρῳ κατὰ πάντα. τὸ δὲ σπέρμα αὐτῆς ∠ β'. πλῆθος ποθὲν ἄγει κατὰ κοιλίαν χολώδη· καὶ σκορπιοπλήκτοις ἁρμόζει. φασὶ δὲ καὶ τοὺς σκορπίους ναρκώδεις καὶ ἀπράκτους γίνεσθαι παρατεθείσης αὐτοῖς τῆς πόας.

Περὶ Κρίνου. Κεφ. ρις'.

Κρίνον βασιλικὸν, τούτου τὸ ἄνθος στεφανωματικόν ἐστι. καλούμενον ὑπ' ἐνίων λείριον. ἀφ' οὗ καὶ τὸ χρῖσμα κατασκευάζεται ὅ τινες λείρινον, οἱ δὲ σούσινον καλοῦσι, μαλακτικὸν ὂν τῶν νεύρων, καὶ ἰδίως τῶν περὶ μήτραν σκληριῶν. τῆς δὲ πόας τὰ φύλλα καταπλασσόμενα, ἑρπετοδήκτοις βοηθεῖ· ποιεῖ δὲ καὶ πρὸς τὰ καύματα ζεσθέντα· ταριχευθέντα δὲ ἐν ὄξει τραυματικὰ γίνεται.

ὁ δὲ

ὁ δὲ χυλὸς αὐτῶν μιγεὶς ὄξει ἢ μέλιτι, ἑψηθείς τε ἐν χαλκώματι ὑγρῶν γίνεται φάρμακον πρὸς τὰ παλαιὰ ἕλκη, καὶ πρόσφατα τραύματα. ἡ δὲ ῥίζα ὀπτὴ λεία σὺν ῥοδίνῳ, πυρίκαυτα ἰᾶται, καὶ ὑστέραν μαλάσσει καὶ ἔμμηνα ἄγει καὶ ἕλκη ἐπουλοῖ· σὺν μέλιτι δὲ λεανθεῖσα νεύρων διακοπὰς καὶ στρέμματα ἰᾶται· ἀλφούς τε ἀποκαθαίρει καὶ λέπρας, καὶ πίτυρα· καὶ ἀχῶρας σμήχει, τά τε πρόσωπα καθαίρει καὶ ἀρρυτίδωτα ποιεῖ· σὺν ὄξει δὲ λεία ἢ σὺν ὑοσκυάμου φύλλοις, καὶ ἀλεύρῳ πυρίνῳ, ὄρχεων φλεγμονὰς παραιτεῖται. τὸ δὲ σπέρμα ἑρπετῶν δήγμασιν ἀντιφάρμακον ποθέν· ἐρυσιπελάτων δὲ κατάπλασμα σὺν οἴνῳ λεανθέντα, τό, τε σπέρμα καὶ τὰ φύλλα. Φασὶ δέ τινες καὶ πορφυρᾶ ἄνθη κρίνου γίνεσθαι. ἐναργέστατα δὲ γίνεται ἐν τῇ συρίᾳ καὶ πισιδίᾳ τῆς παμφυλίας πρὸς τὴν τοῦ χρίσματος κατασκευήν.

Περὶ Βαλλωτῆς.

Κεφ. ριζ'.

Βαλλωτὴ ἢ μέλαν πράσιον· καυλοὺς ἀνίησι τετραγώνους, μέλανας, ὑποδάσεας, ἐκ μιᾶς ῥίζης πλείονας· φύλλα δὲ πρασίῳ ὅμοια, μείζονα δὲ καὶ στρογγυλότερα καὶ δασέα διαστημάτων τοῦ καυλοῦ παραπλήσια μελισσοφύλλου, δυσώδη.

ὅθεν

Succus adiecto melle aut aceto, in æreo vaſe coquitur, conuenienti medicamento vetuſtati vlcerum, & ad recentia vulnera. Inaſſata radix & ex roſaceo trita, igni ambuſta ſanat, vuluam emollit, menſes ciet, vlcera cicatrice obducit: cum melle detrita, neruis præciſis, luxatiſque medetur: vitiligines, furfures, & lepras emendat: vlceráque in capite manantia expurgat: abſtergit faciem & erugat: teritur in aceto cum hyoſcyami foliis, & farina tritici, mulcendis teſtium inflammationibus. Semen potum morſibus ſerpentium aduerſatur: ignibus ſacris ſemen & folia cum vino illinuntur. Tradunt & rubra eſſe lilia. In Syria autem & Piſidia Páphiliæ, efficaciſsima vnguentis naſcuntur.

Ballote. Cap. CXVII.

Balloten, nomine alio nigrũ marrubiũ vocant: caules ædit quadrangulos, nigros, ſubhirſutos, cõplures ex vna radice: foliis maioribus quàm marrubij, hiſpidis, cingentibus per interualla caulẽ, ſubrotundis graueolẽtibus, apiaſtro proximis:

vnde aliqui apiaſtrum eam vocauerũt: candidi flores vniuerſi verticillato ambitu caulem coronant. Vis eius efficax aduerſus canis morſus, foliis ex ſale illitis: feruenti cinere flacceſcunt folia, vt condylomata reprimant. purgant & ſordida vlcera cum melle.

Apiaſtrum. Cap. CXVIII.

Meliſſophyllon ſiue melittęna, id eſt, apiaſtrum, id ſibi nomen vſurpauit, quoniam apes ipſa herba delectantur, cauliculi & folia ballotæ, de qua paulò antè diximus, ſimilia eſſent, niſi maiora, tenuiorâque, nec ita hirſuta ſpectarentur: citreum malum olent. Folia cũ vino pota aut illita proſunt contra ictus phalangiorum, ſcorpionumque: item aduerſus canis morſum. Decoctum eorundem gratia, foueri prodeſt: deſeſsionibus fœminarum ad ciundos mẽſes conuenit, dentes eodem in dolore colluuntur, dyſentericis infunditur. Fungorum ſtrangulationibus folia, addito nitro, potu auxiliantur: torminibus & orthopnoicis, delinctu. Illita cum ſale ſtrumas diſcutiũt, vlcera purgant, articularios dolores illita ſedant.

Marru-

ὅθεν καὶ τοῦτο μελισσόφυλλον ἐκάλεσαν· καὶ τὰ ἄνθη δὲ ἅμα περιείκεται λευκοῖς τοῖς καυλοῖς. τροχοειδῶς. Ταύτης τὰ φύλλα καταπλασσόμενα μετ' ἁλῶν, ποιεῖ πρὸς τὰ κυνόδηκτα· μαρανθέντα δὲ ἐν θερμοσποδιᾷ, κονδυλώματα στέλλει· ῥυπαρά τε ἕλκη σὺν μέλιτι ἀποκαθαίρει.

Περὶ Μελισσοφύλλου. Κεφ. ριή.

Μελισσόφυλλον, ὃ ἔνιοι μελίτταιναν καλοῦσι, διὰ τὸ ἥδεσθαι τῇ πόᾳ τὰς μελίττας, ἔοικε δὲ αὐτῆς τὰ φύλλα καὶ τὰ καυλία, τῇ προειρημένῃ βαλλωτῇ, μείζονα δὲ ταῦτα καὶ λεπτότερα, οὐχ οὕτω δασέα· ὄζοντα δὲ κιτρομήλου. Ἁρμόζει δὲ τὰ φύλλα ποτιζόμενα σὺν οἴνῳ, καὶ καταπλασσόμενα πρὸς σκορπιοπλήκτοις, καὶ φαλαγγιοδήκτοις, καὶ κυνοδήκτοις. καὶ τὸ ἀφέψημα δὲ αὐτῶν καταντλούμενον πρὸς τὰ αὐτὰ ποιεῖ· εἴς τε ἐγκαθίσματα, πρὸς ἐμμήνων ἀγωγὴν εὐθετεῖ. ὀδονταλγίαις τε διάκλυσμα, ἔγκλυσμά τε δυσεντερικοῖς· βοηθεῖ καὶ τοῖς ὑπὸ μυκήτων πνιγομένοις σὺν νίτρῳ τὰ φύλλα πινόμενα· καὶ στροφουμένοις, καὶ ἐκλεικτὸν ὀρθοπνοϊκοῖς. καταπλασσόμενα δὲ σὺν ἁλσὶ, διαφορεῖ χοιράδας, καὶ ἕλκη ἀνακαθαίρει, τά τε ἐπὶ τῶν ἀρθριτικῶν ἀλγήματα παρηγορεῖται καταπλασθέντα.

Περὶ

Περὶ Πρασίου. Κεφ. ριθ΄.

Πράσιον θάμνος ἐστὶν ἀπὸ μιᾶς ῥίζης πολύκλαδος, ὑπόδασυς, λευκὸς, τετράγωνος τοῖς ῥάβδοις· φύλλον δὲ τῷ μεγάλῳ δακτύλῳ ἴσον, ὑποστρόγγυλον, δασὺ, ἐρισσὸν, πικρὸν τῇ γεύσει· ἐκ διαστημάτων δὲ ἐπὶ τῶν καυλῶν τὸ σπέρμα· καὶ ἄνθη οἱονεὶ σπόνδυλοι τραχέα. φύεται περὶ τὰ οἰκόπεδα, καὶ *ἐρείπια. Τούτου τὰ φύλλα ξηρὰ σὺν τῷ σπέρματι ἑψόμενα σὺν ὕδατι ἢ χυλιζόμενα χλωρὰ, δίδοται μετὰ μέλιτος φθισικοῖς, ἀσθματικοῖς, βήσσουσιν. ἀνάγει καὶ πάχος ἐκ θώρακος ἴριδος ξηρᾶς μιγείσης. δίδοται καὶ ταῖς μὴ καθαιρομέναις γυναιξὶ πρὸς ἀγωγὴν ἐμμηνίων καὶ δευτέρων, καὶ δυστοκούσαις, καὶ θηριοδήκτοις, καὶ τοῖς θανάσιμον πεπωκόσι· κύστει μέντοι καὶ νεφροῖς ἄθετοι. τὰ δὲ φύλλα καταπλασσόμενα σὺν μέλιτι, ῥυπαρὰ ἕλκη ἀνακαθαίρει. πτερύγιά τε καὶ νομὰς ἀφίστησι, καὶ ὀδύνας πλευρῶν παρηγορεῖται. καὶ τὸ ἐξ αὐτῶν δὲ σκευαζόμενον χύλισμα ἐκθλιβομένων τῶν φύλλων, καὶ συστρεφόμενον ἐν ἡλίῳ πρὸς τὰ αὐτὰ ποιεῖ· ἔστι δὲ καὶ ὀξυδερκὲς σὺν οἴνῳ καὶ μέλιτι ἐγχριόμενον· ἀποκαθαίρει δὲ καὶ ἴκτερον διὰ τῶν ῥινῶν· ὠταλγίαις τε ἁρμόζει ἐγχυματιζόμενον καθ᾽ ἑαυτὸ καὶ μετὰ ῥοδίνου.

Περὶ Στα-

Maraubium. Cap. CXIX.

Marrubium, frutex eſt ab radice ramoſus, candicans, ſubhirſutus, quadrangularibus ramis: folium pollicē æquat: ſubrotūdum, hiſpidum, rugoſum, guſtu amaro: ſemen in caulibus, & ex interuallis: flores verticillato ambitu aſperi. Naſcitur propter ædificia, ruinas, & rudera. Huius folia ſicca, cum ſemine decocta in aqua aut viridium ſuccus datur cum melle ſuſpirioſis, tuſsientibus, & ad tabitudinem redactis. Craſſam è pectore pituitam, cum ſicca iri eiicit. Mulieribus à partu non purgatis datur, vt menſtrua & ſecundas extrahat: item in difficili partu, & his qui venena hauſerunt, aut à ſerpentibns demorſi ſunt: veſicam renéſqne lædit. Folia cum melle illinuntur ſordidis vlceribus purgandis: pterygia nomáſque ſiſtunt, laterum dolores mitigant. Succus foliis contuſis expreſſus, & ſole coactus, ad eadem pollet: cum vino & melle illitus oculorum claritatem adiuuat: naribus regium morbum expurgat: aurium doloribus conuenienter inſtillatur, per ſe aut cum roſaceo.

 Sta-

Stachys. Cap. CXX.

Stachys frutex eſt, marrubio ſimilis, ſed longior: folia ferens numeroſa, hirſuta, rara, prædura, cana, odoris iucundi, & complures virgas ab radice exeuntes, marrubio candidiores: naſcitur in montibus & aſperis. Vim habet excalfactoriam & acrem: foliorũ decoctum potu pellit menſtrua & ſecundas.

Phyllitis. Cap. CXXI.

Phyllitis, folia promit rumici ſimilia, longiora, & viridiora, ſena aut ſeptena, recta, quæ parte anteriore læuia cernuntur, à tergo autem penſiles quaſi vermiculos tenues oſtendunt: in vmbroſis & opacis hortorum locis emicat, guſtu acerbo: neque caulem, neque florem, neque ſemen profert. Folia in vino pota ſerpentium morſibus aduerſantur: quadrupedibus per os infuſa auxilio ſunt: & ſi dyſenteria aut reſoluta aluus exarcet, potui datur.

Phalangiũ. Cap. CXXII.

Phalangiũ à quibuſdam phalãgites vocatur. ramuli ſunt ei duo, aut tres, pluréſve, in diuerſa tendẽtes: flos candidus, lilio ſimilis, multas inciſuras habẽs: ſemine

Περὶ Στάχυος. Κεφ. ρκ΄.

Στάχυς θάμνος ἐμφερὴς πρασίῳ, ὑπομηκέστερος δὲ καὶ πλεῖστα φύλλα ἀραιὰ ἔχων ὑποδάσεα, σκληρὰ, εὐώδη, λευκὰ, ῥαβδία ἢ πλείονα ἀπὸ τῆς αὐτῆς ῥίζης, λευκότερα τῶν τοῦ πρασίου. φύεται ἐν ὀρεινοῖς, καὶ τραχέσι χωρίοις. Δύναμιν δὲ ἔχει θερμαντικὴν, δριμεῖαν· ὅθεν τὸ ἀπόζεμα τῶν φύλλων ἔμμηνα καὶ δεύτερα ἄγει πινόμενον.

Περὶ φυλλίτιδος. Κεφ. ρκα΄.

Φυλλῖτις φύλλα ἀνίησιν ὅμοια λαπάθῳ, ἐπιμηκέστερα δὲ καὶ εὐθαλέστερα ϛ΄. ἢ ζ΄. ὀρθὰ, λεῖα ἐκ τῶν ἔμπροσθεν, ἐκ τῶν ὄπισθεν δὲ καθάπερ σκώληκας ἔχοντα, ἀπηρτημένους, λεπτούς· φύεται ἐν κατασκίοις καὶ παραδείσοις, γευσαμένῳ στρυφνὴ, οὔτε δὲ καυλὸν οὔτε καρπὸν οὔτε ἄνθος φέρει. Ταύτης τὰ φύλλα μετ᾽ οἴνου πινόμενα, πρὸς ἑρπετοδήκτους ποιεῖ· ἐπὶ τετραπόδων τε διὰ στόματος ἐγχυματισθεῖσα βοηθεῖ· πίνεται καὶ πρὸς δυσεντερείαν καὶ διάῤῥοιαν.

Περὶ Φαλαγγίου. Κεφ. ρκβ΄.

Φαλάγγιον, οἱ δὲ φαλαγγίτιον. οἱ δὲ καὶ ταύτην λευκάκανθαν καλοῦσι· κλῶνές εἰσι δύο ἢ τρεῖς ἢ πλείονες, διεστῶτες ἀπ᾽ ἀλλήλων· ἄνθη λευκὰ, παραπλήσια κρίνῳ, ἐντομὰς πολλὰς ἔχοντα· σπέρμα

σπέρμα δὲ παχὺ μέλαν, ὥσπερ φακοῦ ἥμισυ, ἰσχνότερον μέν τοι πολλῷ· ῥίζιον μικρὸν, λεπτὸν, χλωρὸν ἅμα τῷ ἑλκυσθῆναι ἐκ τῆς γῆς. ὕστερον γὰρ συνέλκεται· φύεται δὲ ἐν γεωλόφοις. Ταύτης τὰ φύλλα καὶ τὸ σπέρμα καὶ τὸ ἄνθος πινόμενον μετ᾽ οἴνου, σκορπιοπλήκτοις βοηθεῖ, καὶ φαλαγγιοδήκτοις· λύει δὲ καὶ στρόφους.

Περὶ Τριφύλλου. Κεφ. ρκγ΄.

Τρίφυλλον οἱ δὲ ὀξύφυλλον, οἱ δὲ, μηνυανθὲς, οἱ δὲ ἀσφάλτιον, οἱ δὲ κνίκιον καλοῦσι, θάμνος ἐστὶ πήχεως μείζων, ῥάβδους ἔχων λεπτὰς, μελαίνας, σχινώδεις, παραφυάδας ἐχούσας, ἐφ᾽ ὧν φύλλα ὅμοια λωτῷ τῷ δένδρῳ, τρία καθ᾽ ἑκάστην βλάστησιν· ὀσμὴ δὲ αὐτῶν ἄρτι μὲν φυομένων πηγάνου, αὐξηθέντων δὲ ἀσφάλτου· ἄνθος δὲ ἀνίησι πορφυροῦν· σπέρμα δὲ ὑπόπλατυ καὶ ὑπόδασυ, ἐκ τοῦ ἑτέρου πέρατος ὥσπερ * κεραίαν ἔχον, ῥίζα δὲ λεπτὴ, μακρὰ, * ἰσχυρά. Βοηθεῖ δὲ τὸ σπέρμα καὶ τὰ φύλλα πινόμενα ἐν ὕδατι πλευριτικοῖς, δυσουροῦσιν. ἐπιληπτικοῖς, ἀρχομένοις ὑδρωπιᾷν, ὑστερικαῖς· ἄγει δὲ καὶ καταμήνια· δεῖ δὲ διδόναι τοῦ μὲν σπέρματος < γ΄. τῶν δὲ φύλλων < δ΄.

ἀρήγει

ſemine nigro, lato, ad lenticulæ dimidiatæ figuram, multo tenuiore: radice parua, tenui, herbacei coloris, dum à terra eruitur: prouenit in collibus. Huius folia, ſemen, flos cũ vino pota, auxiliantur contra ſcorpionum phalangiorúmque ictus: tormina quoque diſcutiunt.

Trifoliũ. Cap. CXXIII.

Trifoliũ, Gręci triphyllon, alij ocytriphyllon, alij menyanthes, alij aſphaltion, vocãt. Frutex ſupra cubiti altitudiné attollitur, virgas habens tenues, iũceas & nigras, vnde ramulares enaſcũtur appendiculæ, in quibus terna ſingulis germinationibus exeũt folia, loto arbori ſimilia: iis recéter enatis rutę odor ineſt: vbi aũt adoleuerũt, bitumé olét. Floré ædit purpureũ. ſemé quadáten⁹ latũ, ſubhirſutũ, ex altera extremitate exertũ, antennæ modo corniculũ gerés. Radix tenuis, lóga, valida. Semé & folia in aqua pota pleuriticis, vrinæ difficultati, comitialib⁹, & iis qui aquę inter cuté prícipia ſentiũt, fœminis quoq; vulvę vitio opportunis, auxiliantur: méſes ciunt: ternæ drachmæ è ſemine dari debent, è foliis verò quaternæ.

Contra ſerpentium ictus trita folia, & ex aceto mulſo pota, præſidio ſunt. Tradũt aliqui, totius fruticis, radicis, foliorumq; decoctũ fotu dolores eorũ finire, quos ſerpentes percuſſerint: qua aũt aqua ſanatus quis fuerit, ſi ea quiſpiã alius foueatur, qui vlcus habuerit, perinde afficitur vt à ſerpẽte demorſus. Quidã terna folia aut ſemina in tertianis, cũ vino potui dedere: & in quartanis, quaterna, vt quæ febriũ circuitus diſcuterẽt. Radix antidotis inſeritur.

Polium. Cap. CXXIIII.

Duo genera polij: montanũ, cui theuthrio nomẽ eſt, & cuiꝰ eſt vſus. Tenuis frutex eſt, cãdidus, dodrantalis, ſemine refertus: capitulo in cacumine quãdam corymborũ ſpeciẽ præ ſe ferẽte, paruo, cano hominis capillo ſimili, grauiter olente, nõ ſine quadam ſuauitate. Alterũ fruticoſius, non vſqueadeò valẽs odore, & viribus infirmius. Potũ feruefacti ius auxiliatur ſerpentiũ ictibus, hydropicis, morbo regio: & lienoſis ex aceto: ſtomachũ malè habet: caput doloribus afficit, aluum & menſes ciet: ſubſtratũ ſuffitúmve ſerpentes abigit: illitum vulnera conglutinat.

Scor-

ἀρήγει δὲ καὶ θηριοδήκτοις τὰ φύλλα λεῖα σὺν ὀξυμέλιτι πινόμενα· ἱστοροῦσι δὲ ἔνιοι ὅτι τὸ ἀφέψημα ὅλον τοῦ θάμνου καὶ τῆς ῥίζης καὶ τῶν φύλλων καταντλούμενον ἐπὶ τῶν ἑρπετοδήκτων παραιτεῖται τοὺς πόνους, ᾧ δ' ἂν θεραπευθῇ τις ὕδατι, ἂν ἕτερος ἕλκος ἔχων καταντληθῇ, τὰ αὐτὰ πάσχει τοῖς δηχθεῖσι. ποτίζουσι δέ τινες ἐπὶ μὲν τριταίου τρία φύλλα ἢ τρία σπέρματα σὺν οἴνῳ· ἐπὶ δὲ τεταρταίου δ'. ὡς λύοντα τὰς περιόδους. μίγνυται δὲ αὐτῆς ἡ ῥίζα καὶ ἀντιδότοις.

Περὶ Πολίου ὀρεινοῦ. Κεφ. ρκδ'.

Πόλιον τὸ μὲν, ἔστιν ὀρεινὸν, ὃ καὶ τεύθριον καλεῖται, οὗ καὶ ἡ χρῆσις· θαμνίον δέ ἐστι λεπτὸν, λευκὸν, σπιθαμιαῖον, καρποῦ πλῆρες, ἔχον κεφάλιον ἐπ' ἄκρου κορυμβοειδὲς μικρὸν ὡς πολιὰν τρίχα, βαρύοσμον μετὰ ποσῆς εὐωδίας. Τὸ δὲ ἕτερον θαμνωδέστερον, οὐχ οὕτως εὔτονον τῇ ὀσμῇ, καὶ ἀδρανέστερον κατὰ τὴν δύναμιν. Δύναται δὲ αὐτῶν τὸ ἀπόζεμα πινόμενον, θηριοδήκτοις ἀρήγειν, ὑδρωπικοῖς, ἰκτερώδεσι, σπληνικοῖς δὲ σὺν ὄξει· ἔστι δὲ καὶ κεφαλαλγὲς καὶ κακοστόμαχον· ἄγει δὲ καὶ κοιλίαν καὶ ἔμμηνα· ὑποστρωννύμενον δὲ καὶ θυμιώμενον, θηρία διώκει. καταπλασσόμενον δὲ τραύματα κολλᾷ.

Περὶ

Περὶ σκορδίου. Κεφ. ρκέ.

Σκόρδιον φύεται ἐν ὀρεινοῖς τόποις καὶ ἑλώδεσι, φύλλα ἔχον ἐοικότα χαμαίδρυϊ, μείζονα δὲ καὶ οὐχ οὕτως ἐντετμημένα τὴν περιφέρειαν, ποσῶς δὲ τῇ ὀσμῇ σκορδίζοντα, στυπτικὰ δὲ καὶ ἔμπικρα κατὰ τὴν γεῦσιν· καυλία δὲ τετράγωνα· ἀφ' ὧν ἄνθος ὑπέρυθρον. Δύναμιν δὲ ἔχει ἡ πόα θερμαντικὴν, διουρητικήν· ποτιζομένη χλωρὰ, λεία, καὶ ξηρὰ ἀφεψομένη σὺν οἴνῳ πρὸς ἑρπετῶν δήγματα καὶ θανάσιμα· πρός τε δηγμὸν στομάχου καὶ δυσεντερίαν, καὶ δυσουρίαν < β΄. σὺν ὑδρομέλιτι· καθαίρει καὶ πάχος πυῶδες ἐκ θώρακος. ποιεῖ καὶ πρὸς παλαιὰν βῆχα καὶ ῥήγματα, καὶ σπάσματα σὺν καρδάμῳ καὶ μέλιτι καὶ ῥητίνῃ μιγεῖσα ξηρὰ ἐν ἐκλεικτῷ· καὶ ὑποχόνδριον χρονίως φλεγμαῖνον, ἀναληφθεῖσα κηρωτῇ παρηγορεῖ· ποιεῖ δὲ καὶ πρὸς ποδάγραν μετ' ὄξους δριμέος περιχριομένη, ἢ μεθ' ὕδατος καταπλασσομένη· προστεθεῖσα δὲ ἔμμηνα κινεῖ· καὶ τραύματα κολλᾷ· ἕλκη παλαιὰ ἀνακαθαίρει, καὶ ἀπουλεῖ σὺν μέλιτι· ξηρὰ δὲ ὑπερσαρκώματα στέλλει. πίνεται δὲ καὶ τὸ ἐξ αὐτῆς χύλισμα πρὸς τὰ εἰρημένα πάθη. ἐναργέστατον δέ ἐστι τὸ ποντικὸν καὶ τὸ κρητικόν.

Περὶ

Scordium. Cap. CXXV.

SCORDIVM, in montibus & paluſtribus naſcitur, foliis triſſaginis, maioribus, nō ſic in ambitu diuiſis, aliquantum allia redolentibus, guſtu amaris & adſtringētibus: quadrangulis caulibus: ſubrubro flore. herba vim excalfactoriam habet: vrinam cit. Cocta recens aridáve cum vino, aduerſus venenatos ſerpentium morſus bibitur: ad ſtomachi quoque roſiones, dyſenteriam, & vrinæ difficultatem, binis drachmis cum hydromelite: craſſamen purulētum pectore expellit. Facit aridæ farina ad veterem tuſsim, rupta, conuulſa, ſi cum naſturtio melle & reſina miſceatur in eclegmate: inflammata modicè præcordia, cerato excepta, recreat: cum aceto acri aut aqua, podagris conueniēter illinitur: menſes impoſita mouet: vulnera conglutinat: vetera vlcera purgat, & ex melle ad cicatricem perducit, ſicca excreſcētias in carne cohibet. Succus ad eadem vitia bibitur. Inter prima efficax Ponticum natione, Creticúmq;.

Tuſsilago.

Tuſsilago. Cap. CXXVI.

Tuſsilagini folia ſunt maiuſcula quàm hederæ, ſex aut ſeptem à radice ſubalbida à terra, ſupernè virentia, in plures angulos exeuntia: caulis palmum altus: flos luteus, vere prodit, quo vnà cum caule confeſtim exuitur: inde nõnulli his vacare exiſtimauerunt. Radix tenuis eſt & ſuperuacua: naſcitur in amœnis & riguis. Folia ex melle trita igni ſacro, & omnibus inflammationibus illitu medentur. Aridæ fumus per infundibulum hianti ore raptus, hos ſanat qui ſicca tuſsi atque orthopnœa infeſtantur: pectoris vomicas rumpit. Eundem effectum præbet ſuffita radix. Decocta in hydromelite, & pota emortuos partus eiicit.

Artemiſia. Cap. CXXVII

Artemiſia magna ex parte in maritimis naſcitur, abſinthij modo fruticoſa, maioribus & pinguioribus foliis, ramíſque huius quidem genera duo, vnum lætius habitiúſque, foliis virgíſque latioribus. Alterum tenuius, flore paruo, tenui, candido, graueolente: æſtate

Περὶ Βηχίου. Κεφ. ρκϛ'.

Βήχιον φύλλα ἔχει ὅμοια κισσῷ, μείζονα δὲ ϛ' ἢ ζ'. ἀπὸ τῆς ῥίζης, ἐκ μὲν τῶν πρὸς τὰ ἄνω λευκά, ἐκ δὲ τῶν πρὸς τὰ κάτω χλωρά, γωνίας πλείους ἔχοντα· καυλὸν σπιθαμιαῖον· ἄνθος ὠχρὸν κατὰ τὸ ἔαρ, ὀξέως δὲ ἀποβάλλει τό, τε ἄνθος καὶ τὸν καυλόν· ὅθεν τινὲς ὑπέλαβον ἄκαυλον καὶ ἀνανθῆ ὑπάρχειν τὴν πόαν. ῥίζα λεπτή, ἄχρηστος· φύεται περὶ λιβάδας καὶ ἐνύδρους τόπους. Ταύτης τὰ φύλλα λεῖα σὺν μέλιτι καταπλασσόμενα, ἐρυσιπέλατα καὶ πᾶσαν φλεγμονὴν ἰᾶται. ὑποθυμιώμενα δὲ ξηρὰ εἰς ἀποκαπνισμόν, τοὺς ὑπὸ ξηρᾶς βηχὸς καὶ ὀρθοπνοίας ὀχλουμένους θεραπεύει, ὅταν χανόντες, τὸν καπνὸν τῷ στόματι δέξωνται, καὶ καταπίωσι· ῥήσσει δὲ καὶ τὰ ἐν θώρακι ἀποστήματα. τὸ δ' αὐτὸ ποιεῖ καὶ ἡ ῥίζα ὑποθυμιωμένη. ἔμβρυον τὸ τεθνηκὸς ἐκβάλλει ἐν ὑδρομέλιτι ἑφθὴ πινομένη.

Περὶ Ἀρτεμισίας πολυκλώνου. Κεφ. ρκζ'.

Ἀρτεμισία φύεται ἐν παραθαλασσίοις τόποις ὡς τὸ πολύ, ποία θαμνοειδὴς παρόμοιος ἀψινθίῳ, μείζω δὲ καὶ λιπαρώτερα τὰ φύλλα ἔχουσα. καὶ ἡ μέν τις ἐστιν αὐτῆς εὐφυὴς πλατύτερα ἔχουσα τὰ φύλλα καὶ τὰς ῥάβδους. ἡ δὲ, λεπτοτέρα, ἄνθη μικρά, λεπτά, λευκά, βαρύοσμα·

μα· θέρους δὲ ἀνθεῖ. Ἔνιοι δὲ τὸ ἐν μεσογείοις λεπτόκαρφον βοτάνιον ἁπλοῦν τῷ καυλῷ, σφόδρα μικρὸν, ἄνθους περίπλεων, κιρροειδὲς τῇ χροιᾷ, λεπτὸν, καλοῦσιν ἀρτεμισίαν μονόκλωνον· ἔστι δὲ εὐωδεστέρα τῆς πρὸ αὐτῆς. Ἀμφότεραι δὲ θερμαίνουσι καὶ λεπτύνουσιν. ἀποζεννύμεναι δὲ ἁρμόζουσιν εἰς γυναικεῖα ἐγκαθίσματα, πρὸς ἀγωγὴν ἐμμηνίων καὶ δευτέρων καὶ ἐμβρύων, μύσιν τε καὶ φλεγμονὴν τῆς ὑστέρας καὶ θρύψιν λίθων, καὶ ἐποχὴν οὔρων. ἡ δὲ πόα κατὰ τοῦ ἤτρου καταπλασθεῖσα πολλὴ, ἔμμηνα κινεῖ. ὁ δὲ ἐξ αὐτῆς χυλὸς λεανθεὶς σμύρνῃ καὶ προστεθεὶς, ἄγει ἀπὸ μήτρας ὅσα καὶ τὸ ἐγκάθισμα. καὶ ποτίζεται δὲ ἡ κόμη πρὸς ἀγωγὴν τῶν αὐτῶν, πλῆθος < γ΄.

Περὶ Ἀρτεμισίας λεπτοφύλλου. Κεφ. ρκή.

Ἀρτεμισία λεπτόφυλλος, ἥ τις γεννᾶται περὶ ὀχετοὺς καὶ φραγμοὺς καὶ εἰς χώρας σπορίμους. τὸ ἄνθος οὖν αὐτῆς καὶ τὰ φύλλα τριβόμενα, ὀσμὴν ἀποδίδωσι σαμψύχου. εἰ οὖν τις πονεῖ τὸν στόμαχον καὶ κόψει τὴν βοτάνην ταύτην μετὰ ἀμυγδαλίνου ἐλαίου καλῶς, καὶ ποιήσει ὡς μάλαγμα καὶ θήσει ἐπὶ τὸν στόμαχον, θεραπευθήσεται. εἰ δὲ καὶ τὰ νεῦρα τις πονεῖ, τὸν χυλὸν ταύτης μετὰ ῥοδίνου ἐλαίου μίξας χρίει, θεραπευθήσεται.

Περὶ

æſtate floret. Sunt qui in mediterraneis vnicaulis nomine appellant, tenuem herbulam, ſimplici caule & minuto, floribus ſcatéte tenuibns, flauo colore: hæc iucundiorem quàm præcedens efflat odoré. Vtraque excalfacit, extenuat: ferueſactæ conuenienter in muliebres deſeſſus adiiciuntur, ad detrahendos menſes, partus, ſecundáſque: item ad præcluſiones vuluæ, & eiuſdem inflammationes: calculos cõminuũt: remoratam vrinam cient: menſes pellunt pubi illitæ. Succus vuluæ inditus ex myrrha, eadẽ quæ inſeſſo trahit. Coma tribꝰ drachmis eorundem educendorum gratia bibitur.

Artemiſia.
Cap. CXXVIII.

Habetur & Artemiſiæ genus aliud, q̃ minutis foliis circa riuulos aggeréſque. Item in agris frumentariis naſcitur. floribus & foliis odoré Sampſuchi referentibus. ſi quis ex ea diligenter tuſa cum oleo amygdalarum malagma ſtomacho imponat: vexationem partis eius ſanabit. Neruorum dolores ſucco huius cum roſaceo inunctis curãtur.

Ambroſia.

Ambroſia. Cap. CXXIX.

Ambroſia puſillus frutex eſt, ramoſus altitudine trium palmorum: foliis rutæ, circa imum caulem exiguis, cauliculi ſeminibus, perinde quaſi racemulis grauidi, qui nunquam florem pariunt, odore vinoſo, ſuaui: radice tenui, ſeſquipedali. Coronantur ea Cappadoces. Vis eius reprimere ac repellere, & illitu adſtringere humores, qui in aliquam partem incumbunt.

Περὶ Ἀμβροσίας. Κεφ. ρκθ'.

Ἀμβροσία, οἱ δὲ βότρυς, οἱ δὲ βότρυς ἀρτεμισία, θαμνίσκος ἐστὶ τρισπίθαμος τὸ ὕψος, πολύκλαδος· φύλλα ἔχων περὶ τὴν ἐκβολὴν τοῦ καυλοῦ μικρὰ ὡς πηγάνου· τὰ δὲ καυλία περιπλέα σπέρματος, ἐοικότων βοτρυδίοις μηδέποτε ἀνθοῦσι, τῇ ὀσμῇ οἰνώδης, ἡδεῖα· ἡ δὲ ῥίζα λεπτή, διπίθαμος. καταπλέκεται δὲ ἐν Καππαδοκίᾳ τοῖς στεφάνοις. Δύναμιν δὲ ἔχει σταλτικὴν τῶν ἐπιφερομένων καὶ ἀποκρουστικήν, καταπλασσομένη στύφουσα.

Botrys. Cap. CXXX.

BOTRYS fruticoſa herba eſt, lutea tota, & in multas alas ſparſa: ſemen circa totos ramulos prouenit: folia cichorio ſimilia: tota ſuauē odorem ſpirat: quare veſtimentis interponitur: inuenitur in torrentium ripis, & conuallibus. Pota orthopnœas mulcet. Hāc Cappadoces Ambroſiam vocant, alij artemiſiam.

Περὶ Βότρυος. Κεφ. ρλ.

Βότρυς πόα ἐστὶν ὅλη μηλίνη, θαμνοειδής, διακεχυμένη, πολλὰς ἔχουσα μασχάλας. τὸ δὲ σπέρμα ὅλοις τοῖς κλωνίοις περιπέφυκε· φύλλα κιχωρείῳ ἐμφερῆ, καὶ τὸ σύμπαν εὐῶδες ἱκανῶς· διὸ καὶ ἱματίοις συντίθεται. φύεται δὲ μάλιστα περὶ χαράδρας καὶ χειμάρρους. Δύναμιν δὲ ἔχει σὺν οἴνῳ πινομένη ὀρθοπνοίας παρηγορεῖν. καὶ ταύτην ἀμβροσίαν Καππαδόκαι καλοῦσι, τινὲς δὲ ἀρτεμισίαν.

Geranium. Cap. CXXXI.

GERANION foliis anemones, diuiſuris longioribus: radice ſubrotunda, cum eſtur dulci. Quæ drachmæ pondere in vino pota, vuluæ inflationes diſcutit. Geranium alterum, caulibus minu-

tis

Περὶ Γερανίου. Κεφ. ρλα'.

Γεράνιον, τὸ μὲν φύλλον ἔχει ὅμοιον ἀνεμώνῃ, ἐσχισμένον, μακρότερον· ῥίζαν δὲ ὑποστρόγγυλον, γλυκεῖαν, ἐσθιομένην, ἥ τις ποθεῖσα ἐν οἴνῳ ἄχρι < πλῆθος, ὑστέρας ἐμπνευματώσεις λύει. καλεῖται ὑπὸ ἐνίων καὶ ἕτερον γεράνιον, ἔχον καυλία

λεπτὰ

λεπτὰ χνοώδη, διαστήματα· φύλλα μαλάχῃ ἐμφερῆ, καὶ ἐπὶ ἄκρων τῶν μασχαλῶν ἐξοχάς τινας ἀνανενευκυίας ὡς γεράνων κεφαλὰς σὺν τοῖς ῥάμφεσιν, ἢ κυνῶν ὀδόντας. χρῆσις δὲ αὐτῆς ἐν ἰατρικῇ οὐδεμία.

Περὶ Γναφαλίου. Κεφ. ρλβ΄.

Γναφάλιον, τούτου τοῖς φύλλοις τινὲς ἀντὶ γναφάλου χρῶνται λευκοῖς οὖσι καὶ μαλακοῖς. ποιεῖ δὲ σὺν οἴνῳ αὐστηρῷ πινόμενα τὰ φύλλα πρὸς δυσεντερείαν.

Περὶ Τύφης. Κεφ. ρλγ΄.

Τύφη, φύλλον ἀνίησι κυπερίδι ὅμοιον· καυλὸν λεῖον, ὁμαλόν, ἐπ' ἄκρῳ περικείμενον· ἄνθος πυκνὸν καὶ ἐκπαππούμενον, ὃ καλοῦσιν ἔνιοι ἀνθήλην. ταύτης τὸ ἄνθος ἀναληφθὲν στέατι παλαιῷ ὑείῳ πεπλυμένῳ, κατακαύματα θεραπεύει. φύεται δὲ ἐν ἕλεσι καὶ ὑδροστασίμοις τόποις.

Περὶ Κιρκαίας. Κεφ. ρλδ΄.

Κιρκαία, οἱ δὲ διρκαίαν καλοῦσι· τὰ μὲν φύλλα ἔχει στρύχνῳ ὅμοια κηπαίῳ, παραφυάδας δὲ πολλάς. ἄνθη μέλανα, μικρά, πολλά· καρπὸν δὲ κεγχροειδῆ ἔν τισιν οἱονεὶ κερατίοις· ῥίζας σπιθαμιαίας γ΄ ἢ δ΄. λευκάς, εὐώδεις, θερμαντικάς, μάλιστα δὲ ἔν τισι πετρώδεσι φύεται τόποις καὶ εὐπνοίαις εὐηλίοις. ταύτης ἡ ῥίζα ὅσον μναῖ δ΄. θλασθεῖσα καὶ βραχεῖσα ἡμέραν

tis & piloſis ſeſquipedalib⁹: foliis maluæ, in ſummis alis ſurſum ſpectantia gruum capitula inſunt, cum ſuis roſtris, aut canini dentes. Nullius in medicina vſus.

Gnaphaliū. Cap. CXXXII.

GNAPHALII foliis mollibus ac albis pro tomento vtuntur. Bibuntur efficaciter folia in vino auſtero, ad dyſenteriam.

Typha. Cap. CXXXIII.

Typha folium ædit cyperidi ſimile: caulē album, læuē, æquabilem: florē in cacumine ambientem, dēſum, qui in pappos ſoluitur, quod paniculā aliqui nominant. Huius herbæ flos, ſuillo adipe eloto except⁹ ambuſtis medetur. Gignitur in paluſtribus & aquis ſtagnātibus.

Circæa. Cap. CXXXIIII.

CIrcæa, quam & dircæam aliqui vocant, foliis eſt hortēſis ſolani, agnatis crebris: flore nigro, puſillo, copioſo: ſemine milij, naſcente in quibuſdam veluti corniculis: dodrantali radice, triplici fermè aut quadruplici, candida, odorata, excalfaciēte. Naſcitur in apricis, ſaxis, & vento perflatis. Radicis tuſæ pondo quatuor, in ſextariis tribus vini dulcis,

per

per diem & noctem maceran tur, potúque triduo vuluas expurgant. Semen in ſorbitionibus datum, lacte mammas nutricum explet.

OEnanthe. Cap. CXXXV.

OENANTHE folia habet paſtinacæ: florem candidum: caulem craſſum, palmi altitudine: ſemen atriplicis: radicem magnam, in multa ro tunda capitula extuberantem: naſcitur in petris. Caulis eius & folia, cum mulſo vino po ta ſecundas eiiciunt. Radix è vino, vrinæ ſtillicidio conuenit.

Conyza. Cap. CXXXVI.

CONYZÆ duo genera: quæ parua vocatur, odore præſtantior eſt: maior verò frutice altior eſt & foliis latioribus, graui odore. Vtriuſque folia oleæ ſimilia, hirſuta, pinguia. In maiore caulis binûm cubitorum altitudine attollitur. in minore pedem æquat. Flos fragilis, lutei coloris, ſubamarus qui in pappum abit: radices ſuperuacuæ. Suffitu ſubſtratúque frutex totus ſerpentes fugat, culices abigit, & pulices necat. Folia conueniēter illinuntur ſerpentium plagis, & tuberculis, ac vulnerib⁹.

Flores

ἡμέραν καὶ νύκτα ἐν οἴνου γλυκέως κοτύλαις ϛʹ. καὶ ποθεῖσα ἡμέρας γʹ. ὑστέραν ἀποκαθαίρει. ὁ δὲ καρπὸς γάλα κατασπᾷ, ἐν ῥοφήμασι λαμβανόμενος.

Περὶ Οἰνάνθης. Κεφ. ρλεʹ.

Οἰνάνθη, οἱ δὲ λεύκανθον καλοῦσι· τὰ μὲν φύλλα ἔχει ὥσπερ σταφυλῖνος. ἄνθη δὲ λευκά. καὶ καυλὸν παχύν, σπιθαμιαῖον· καρπὸν δὲ ὥσπερ ἀτραφάξιος· ῥίζαν μεγάλην κεφαλὰς ἔχουσαν πλείονας, στρογγύλας. φύεται ἐν πέτραις. ταύτης ὁ καρπὸς καὶ ὁ καυλὸς καὶ τὰ φύλλα, ποτίζεται πρὸς δευτέρων ἐκβολὴν σὺν οἰνομέλιτι. ἡ δὲ ῥίζα σὺν οἴνῳ πρὸς στραγγουρίας ἁρμόζει.

Περὶ Κονύζης. Κεφ. ρλϛʹ.

Κόνυζα, ἡ μὲν τις μικρὰ καλεῖται, εὐωδεστέρα οὖσα, ἡ δὲ μείζων, ὑπερέχουσα τῷ θάμνῳ καὶ τοῖς φύλλοις, πλατυτέρα καὶ βαρύοσμος. ἀμφότεραι δὲ προσεοίκασι τοῖς φύλλοις ἐλαίας. ἔστι δὲ δασέα ταῦτα καὶ λιπαρά. ὕψος δὲ τοῦ καυλοῦ ἡ μὲν μείζων, δύο πήχεων ἔχει, ἡ δὲ ἐλάττων ποδός· ἄνθος ψαφαρόν, μήλινον, ὑπόπικρον, ἐκπαππούμενον· ῥίζαι δὲ ἄχρηστοι. Δύναται δὲ ὁ θάμνος ὑποστρωννύμενος σὺν τοῖς φύλλοις καὶ θυμιώμενος, θηρία διώκειν, καὶ κώνωπας ἀπελαύνειν· κτείνει δὲ καὶ ψύλλας· καταπλάσσεται δὲ τὰ φύλλα ὠφελίμως ἐπὶ ἑρπετοδήκτων καὶ φυμάτων, καὶ τραυμάτων.

μάτων. καὶ πίνεται σὺν οἴνῳ τὸ ἄνθος καὶ τὰ φύλλα πρὸς καταμηνίων ἀγωγὴν καὶ ἐμβρύων ἐκβολὴν, καὶ στραγγουρίαν, καὶ στρόφους καὶ ἴκτερον· μετ' ὄξους δὲ ἐπιληπτικοὺς πινόμενα ὠφελεῖ. καὶ τὸ ἀφέψημα δὲ αὐτῆς ἐγκαθίσματι, τὰ ἐν μήτρᾳ θεραπεύει. ὁ δὲ χυλὸς προστεθεὶς ἐκτρωσμοὺς ποιεῖ· ποιεῖ δὲ καὶ πρὸς ῥίγη συγχριομένη ἡ πόα μετ' ἐλαίου. ἡ δὲ λεπτὴ καὶ κεφαλαλγίας καταπλασσομένη ἰᾶται. Γίνεται καὶ τρίτον εἶδος κονύζης· ἔστι δὲ καυλῷ παχυτέρα καὶ μαλακωτέρα, τοῖς δὲ φύλλοις μείζων τῆς λεπτῆς, ἐλάσσων δὲ τῆς μείζονος, οὐ λιπαρὰ, βαρυοσμοτέρα δὲ πολλῷ καὶ ἀηδεστέρα καὶ ἀπρακτοτέρα. φύεται δὲ ἐν ἐφύδροις.

Περὶ Ἡμεροκαλλίδος. Κεφ. ρλζ΄.

Ἡμεροκαλλὶς, φύλλα ἔχει καὶ καυλὸν ὅμοια κρίνῳ, χλωρὰ δὲ ὥσπερ πράσα. ἄνθη δὲ ἐν αὐτῷ καθ' ἑκάστην ἀπόφυσιν γ΄. ἢ δ΄. τὴν σχίσιν τῷ κρίνῳ ἐοικότα ὅταν ἄρξηται χαίνειν· τὴν δὲ χρόαν ἰσχυρῶς ὠχρὰν, ῥίζαν ὁμοίαν βολβῷ εὐμεγέθει, ἣ πις λεία ποθεῖσα καὶ σὺν μέλιτι ἐν ἐρίῳ προστεθεῖσα πεσσός ἐστιν ὑδραγωγὸς καὶ αἱμαγωγός. τὰ δὲ φύλλα λεῖα καταπλασσόμενα φλεγμονὰς μαστῶν τὰς ἐκ τοκετῶν καὶ ὀφθαλμῶν θεραπεύει·

καὶ

Flores & folia cũ vino ad mẽſes partúſque eiiciendos bibũtur: item contra vrinæ ſtillicidia, arquatum morbum, & tormina: comitiales pota ex aceto adiuuant. Decoctum in deſeſsionib⁹ medetur vuluæ malis. Impoſitus ſuccus abortum facit. Ex oleo efficaciter horroribus oblinitur. Capitis dolores tenuis illita ſanat. Eſt & tertium conyzæ genus, caule craſſiore, ac molliore: foliis mediæ inter maiorem ac minorem amplitudinis, minimè autem pinguibus: multò grauioris hæc eſt odoris & iniucundioris, ſed inefficacior. Prouenit locis non riguis.

Hemerocallis, ſiue lilium ſylueſtre. Cap. CXXXVII.

HEMEROCALLIS folium & caulem habet lilij, porraceo colore: flores in caule per ſingulos exortus, terni aut quaterni erumpunt, lilij diuiſura, quoties dehiſcere cœperũt. colore perquàm pallido: radix magna eſt atque bulboſa: quæ pota, aut cum melle & lana in peſſo appoſita, aquam educit & ſanguinem. Folia trita mammarum inflammationes à partu contractas, oculorúmque collectiones mitigãt.

Radi

Radix & folia igni ambuſtis vtiliſsimè illinuntur.

Leucoiũ, ſiue viola alba. Cap. CXXXVIII.

Leucoion vulgaris eſt notitiæ, ſed in floribus differentia quædam: nanque aut cœrulei, aut albi, aut purpurei, aut lutei inueniuntur. Lutea verò præcipui in medicina vſus. Hui⁹ aridi flores ferueſacti in deſeſsionibus, valent contra vuluæ inflammationes, & mẽſtrua expellunt: ſanãt oris vlcera, cum melle: cum cerato, rimas ſedis. Semen duûm drachmarũ pondere ex vino potum, aut cum melle inditum, menſes, ſecundas & partus extrahit. Radices cum aceto illitæ, lienẽ reprimunt, & podagricos iuuant.

Cratæogonum. Cap. CXXXIX.

Cratæogonum, ſiue vt aliis placet crateonõ, foliis melampyro ſimile eſt, multis calamis ex vna radice emicãtibus, multorũq; geniculorũ: ſemine milij: naſcitur magna ex parte in opacis & frutetoſis, ſũmopere acre. Traditũ eſt à quibuſdam, hoc ſi bibat ieiuno ore, ter die poſt mẽſes purgatos, trib⁹ obolis in cyatis aquæ duob⁹ mulier,

καὶ καταπλασθεῖσα δὲ ἡ ῥίζα καὶ τὰ φύλλα ὠφελίμως ἐπὶ τῶν πυρικαύτων.

Περὶ λευκοΐου. Κεφ. ρλη΄.

Λευκόϊον γνώριμόν ἐστιν, ἔστι δὲ αὐτῆς διαφορὰ ἐν τῷ ἄνθει. ἢ γὰρ λευκόν ἐστιν ἢ μήλινον ἢ κυανοῦν ἢ πορφυροῦν εὑρίσκεται. Ἔστι δὲ αὐτῶν εὔχρηστον πρὸς τὴν ἰατρικὴν χρῆσιν τὸ μήλινον, οὗ τὰ ἄνθη ξηρὰ ἀποζεσθέντα εἰς ἐγκάθισμα ποιεῖ πρὸς τὰς περὶ ὑστέραν φλεγμονὰς καὶ ἀγωγὰς ἐμμηνίων· ἀναληφθέντα δὲ κηρωτῇ ῥαγάδας τὰς ἐν δακτύλῳ θεραπεύει· σὺν δὲ μέλιτι ἄφθας. ὁ δὲ καρπὸς αὐτοῦ σὺν οἴνῳ ποθεὶς δραχμῶν δυοῖν πλῆθος, ἢ προστεθεὶς σὺν μέλιτι, ἔμμηνα καὶ δεύτερα καὶ ἔμβρυα ἄγει. αἱ δὲ ῥίζαι καταπλασθεῖσαι σὺν ὄξει, στέλλουσι σπλῆνα, καὶ ποδαγρικοὺς ὠφελοῦσι.

Περὶ Κραταιογόνου. Κεφ. ρλθ΄.

Κραταιόγονον, οἱ δὲ κραταίονον, φύλλα ἔχει ὅμοια τοῖς τοῦ μελαμπύρου, πλείους δὲ ἀπὸ μιᾶς ῥίζης φύονται βλαστοὶ γονατώδεις. καρπὸν δὲ ὅμοιον κέγχρῳ. φύεται ἐν συσκίοις καὶ φρυγανώδεσιν ὡς ἐπιτοπολὺ τόποις, ἰσχυρῶς δὲ δριμύ.

Ἱστορεῖται δὲ ὑπό τινων ἡ πόσις τοῦ καρποῦ γυναῖκα ἀρρενοτόκον ποιεῖν, ἐάν τις μετὰ τὴν κάθαρσιν τῶν καταμηνίων πρὸ τοῦ πλησιάσαι

σιάσω πίνη νῆστις τρεῖς τ ἡμέρας, ὁλκὴν τριωβόλου μετ᾽ ὕδατος κυάθων β´. ἐπὶ ἡμέρας μ´. ὡσαύτως δὲ καὶ ὁ ἀνὴρ πινέτω τὰς ἴσας ἡμέρας καὶ πλησιαζέτω.

Περὶ Φύλλου. Κεφ. ρμ´.

Φύλλον, οἱ δὲ ἐλαιόφυλλον, οἱ δὲ βρυονίαν καλοῦσι. φύεται ἐν πέτραις, τὸ μὲν θηλυγόνον λεγόμενον, ὥσπερεὶ βρύον. ἔχον χλωρότερον ἐλαίας τὸ φύλλον· καυλὸν λεπτὸν, βραχύν· ῥίζαν λεπτήν· ἄνθος λευκόν· καρπὸν μείζονα ὥσπερ μήκωνος. τὸ δὲ ἀρρενογόνον, τὰ μὲν ἄλλα ὅμοιον τῷ προειρημένῳ· καρπῷ δὲ διαφέρει· ἔχει γὰρ ὅμοιον ἄνθει ἐξηνθηκυίας ἐλαίας βοτρυώδεα. λέγεται δὲ τὸ ἀρρενογόνον ποθὲν, ἀρρενοτοκεῖν, τὸ δὲ θηλυγόνον θηλυτοκεῖν. ἱστορεῖ περὶ τούτων Κρατεύας, ἐμοὶ δὲ δοκεῖ τὰ τοιαῦτα μέχρι τῆς περὶ αὐτῶν ἱστορίας παράγειν.

Περὶ Ὄρχεως. Κεφ. ρμα´.

Ὄρχις, οἱ δὲ κυνὸς ὄρχιν καλοῦσι, φύλλα ἔχει κατὰ γῆς ἐστρωμένα περὶ τὸν καυλὸν καὶ τὸν πυθμένα, ἐλαίᾳ μαλακῇ ὅμοια, στενώτερα δὲ καὶ λεῖα μακρότερα· καυλὸν σπιθαμῆς τὸ μῆκος, ἐφ᾽ οὗ ἄνθη πορφυροειδῆ· ῥίζαν βολβοειδῆ, ἐπιμήκη, διπλῆν, στενὴν ὡς ἐλαίας· τὴν μὲν ἄνω, τὴν δὲ κατωτέρω, καὶ τὴν μὲν, πλήρη·

τὴν

lier, cute conceptum quadraginta diebus, & vir modo cõſimili totidem diebꝰ ante coitum hauriat, virilis ſexus partum futurum.

Phyllum. Cap. CXL.

Phyllum, quod & elæophyllon vocatur, duûm generum eſt, quod autem thelygonum appellant, in ſaxoſis muſci modo gignitur, folio oleæ, ſed magis herbaceo: caule tenui, breui: radice exili: florem albũ profert: ſemen papaueris maiuſculũ. Sed arrhenogonũ cætera huic ſimile, ſolo fructu diſtat: habet enim racemoſum quiddã deflorentibus oleis nõ diſsimile. Arrhenogonõ potu, maſculi ſexus facere partus, vt thelygonõ fœminei, proditur. Horũ Crateuas author eſt: ſed huiuſmodi hiſtoria tenus, mihi produxiſſe viſum eſt.

Teſticulus. Cap. CXLI.

Teſticulus, quem Græci cynoſorchin vocant, foliis circa imam caulis partem in terra ſtratis, oleæ molli ſimilibus, longioribus, anguſtioribꝰ, læuibus: caule dodrantali: floribus purpureis: radice bulboſa, oblonga, oliuæ modo anguſta, duplici ordine: ſuperiore, quæ plenior eſt: inferiore,

quæ mollior ac rugoſior. Eduntur radices coctæ, vt bulbi: ex quibus ſi maiorem edant viri, mares generari dicuntur: ſi minorem fœminæ, alterum ſexum. Addunt, in Theſſalia mollem mulieres in lacte caprino bibere, ad ſtimulandos coitus: aridam verò, ad inhibendos: & alterũ alterius potu reſolui. Naſcitur in petroſis & ſabuletis.

Teſticulus alter. Cap. CXLII.

Teſticulus alio nomine ſerapias, Andrea authore vocatur, quoniam radix ad multa vtilis ſit, foliis eſt porri, latioribus, oblongis, pinguibus, ex alarum ſinu inflexis: caule palmeo: floribus penè purpureis: radice teſticulis ſimili: quæ illita tumores diſcutit, vlcera purgat, & ſerpere eadem non patitur. Abolet fiſtulas, & illitu inflammationes lenit. Aridæ radices nomas inhibent: ſanántq; putredines, & oris vlcera cacoëthe: aluum ſiſtunt è vino potæ. De hac, eadem quæ de teſticulo canis produntur.

τὴν δὲ μαλακὴν. καὶ ῥυσήν. ἐσθίεται δὲ ἡ ῥίζα ὡς βολβὸς ἑψηθεῖσα. καὶ περὶ ταύτης δὲ ἱστορεῖται, τὴν μὲν μείζονα ῥίζαν ὑπὸ ἀνδρῶν ἐσθιομένην, ἀρρενογόνον εἶναι. τὴν δὲ ἐλάττονα ὑπὸ γυναικῶν, θηλυγόνον. προσιστορεῖται δὲ καὶ τὰς ἐν θετταλίᾳ γυναῖκας, τὸν μὲν ἁπαλὸν μετ᾽ αἰγείου γάλακτος ποτίζειν, ὡς παρεῖσαι τὰ ἀφροδίσια· τὸν δὲ ξηρὸν πρὸς ἐπίσχεσιν καὶ ἔκλυσιν τῶν ἀφροδισίων, ἀναλύεσθαί τε τὸν ἕτερον ὑπὸ τοῦ ἑτέρου πινόμενον. φύεται δὲ ἐν λιθώδεσι καὶ ἀμμώδεσι τόποις.

Περὶ Ορχεως ἑτέρου. Κεφ. ρμβ΄.

Ορχις ἕτερος, ὃν σεραπιάδα ἕτεροι καλοῦσιν, ὡς καὶ ἀνδρέας διὰ τὸ πολύχρηστον τῆς ῥίζης. φύλλα ἔχει ἐοικότα πράσῳ ἐπιμήκη, πλατύτερα δὲ καὶ λιπαρά, ἐπικαμπῆ ἐν ταῖς μασχάλαις· καυλία σπιθαμιαῖα· ἄνθη δὲ ὑποπόρφυρα· ῥίζα δὲ ὕπεστιν ὀρχιδίοις ὁμοία. Η τις δύναμιν ἔχει καταπλαττομένη, οἰδημάτων σκεδαστικὴν, καὶ ἑλκῶν ἀνακαθαρτικὴν, καὶ ἕρπητος ἐφεκτικὴν, ἀνασκευάζει δὲ καὶ σύριγγας, καὶ τὰ φλεγμαίνοντα παρηγορεῖ καταπλασσομένη. ξηρὰ δὲ νομὰς ἵστησι· καὶ τὰ ἐν σηπεδόνι καὶ στόματι κακοήθη ἰᾶται· ἵστησι δὲ καὶ κοιλίαν σὺν οἴνῳ ποθεῖσα. ἱστορεῖται δὲ καὶ περὶ ταύτης, ὅσα, καὶ περὶ τοῦ κυνὸς ὄρχεως.

Satyrium. Περὶ

Περὶ Σατυρίου. Κεφ. ρμγ'.

Σατύριον, οἱ δὲ τρίφυλλον καλοῦσιν, ἐπειδὴ ὡς ἐπὶ τὴν γῆν φύλλα τρία φέρει κεκλασμένα λαπάθῳ ἢ κρίνῳ ὅμοια ἐλάττονα μέντοι καὶ ἐνερευθῆ· καυλὸν δὲ ψιλόν, μακρόν, ὡς πήχεως, ἄνθος *κριθοειδὲς, λευκόν· ῥίζαν βολβοειδῆ ὅσον μῆλον, πυῤῥάν, τὰ δὲ ἐντὸς λευκὴν ὥσπερ ὠόν· γευομένῳ γλυκεῖαν καὶ εὔστομον· ταύτην δεῖ πίνειν ἐν οἴνῳ μέλανι αὐστηρῷ πρὸς ὀπισθότονον. καὶ εἰ βούλει γυναικὶ συνουσιάσαι, χρῆσαι, φασὶ γὰρ αὐτὴν καὶ ὁρμὴν κινεῖν τὴν ἐπὶ συνουσίᾳ.

Περὶ Σατυρίου ἐρυθρονίου. Κεφ. ρμδ'.

Σατύριον τὸ ἐρυθρόνιον, οἱ δὲ σατύριον ἐρυθραϊκόν, ἔχει σπέρμα λινοσπέρμῳ ἐμφερές, μεῖζον δὲ καὶ ῥωμαλέον, καὶ στίλβον, καὶ λεῖον· ὅπερ ἱστορεῖται καὶ αὐτὸ συνουσίας ἐγείρειν ὥσπερ καὶ ὁ σκίγκος. ἔστι δὲ τῆς ῥίζης αὐτοῦ, ὁ μὲν φλοιὸς ὕπισχνος καὶ πυῤῥός· τὸ δὲ ἔνδοθεν λευκόν, γευομένῳ εὔστομον, καὶ γλυκύ. φύεται ἐν εὐηλίοις καὶ ὀρεινοῖς τόποις. ἱστορεῖται δὲ ὅτι καὶ εἰς τὴν χεῖρα ληφθεῖσα ἡ ῥίζα ἐρεθίζει πρὸς ἀφροδίσια· σὺν οἴνῳ δὲ ποθεῖσα μᾶλλον.

Περὶ Ὁρμίνου ἡμέρου. Κεφ. ρμε'.

ΟΡΜΙΝΟΝ ἥμερον πόα ἐστὶν ἐμφερὴς πρασίῳ τοῖς φύλλοις.

καυλὸς

Satyrium. Cap. CXLIII.

Satyrium aliqui trifoliũ vocant, quoniã tria fert folia, ad terram infracta, rumici aut lilio ſimilia, minora tamẽ, ac rubra: caulem cubitalẽ, nudũ: florem lilij effigie, candidum: radicem bulboſam, mâli magnitudine, fuluã, intus vt ouum, candidam, guſtanti dulcem, & ori non ingratã: quam in vino nigro auſtero bibere conuenit, contra opiſthotonum. Vtendũ ea dum concumbendi inceſsit cupiditas, ſiquidẽ ea proniores ad venerem fieri affirmãt.

Satyrium erythronium. Cap. CXLIIII.

Eſt & alterum ſatyrium erythronium ſiue erythraicon, id eſt rubrum, ſemine lini, maiore, duro, læui, ſplendente: quod fertur, non ſecus atque ſcincus, libidinẽ excitare. Cortice radicis gracili, rufo: intus autem album includitur, ſapore dulci, non ingrato ori: in montoſis & apricis enaſcitur. Venerem, vt produnt, ſi omnino manu teneatur radix, ſtimulat, eóque magis, ſi bibatur in vino.

Horminũ. Cap. CXLV.

HORMINVM HERba eſt, foliis marrubio ſimilis:

 caule

caule ſemicubitali, quadrangulo, circa quem eminentiæ ſiliquis ſimiles prodeunt, quæ ad radicem ſpectant, in quibus diuerſum ſemen recluditur: ſiquidem in ſylueſtri rotundum, fuſcúmque inuenitur: in altero, nigrum & oblongũ, cuius eſt vſus. Ad venerem ſtimulandã, cum vino bibi volũt. Purgat cum melle argemas albugineſq;, & illitũ ex aqua tumores diſcutit. Eo etiã extrahũtur aculei ex corpore. Idem effectus eſt illitæ herbæ. Sylueſtre magis viribus pollet: quare vnguentis, præſertim gleucino, permiſcetur.

Securidaca. Cap. CXLVI.

Hedyſaron, quod vnguétarij pelecium, id eſt ſecuridacã vocant, frutex eſt, foliis ciceris: ſemen rufũ in ſiliquis fert: corniculorũ modo aduncis, quod ancipitem ſecurim æmulatur, vnde nomen accepit amarum guſtu. Stomacho vtile in potu. Additur in antidota. Cũ melle ante coitus ſubditum, concipiẽdi ſpem adimit. Naſcitur in ſegetibus & hordeis.

Onoſma. Cap. CXLVII.

Onoſma, oblonga folia habet ad ſimilitudinem anchuſæ, longitudine

καυλὸς δὲ τετράγωνος ἡμιπηχυαῖος, περὶ ὃν ἐξοχαὶ ὅμοιαι λοβοῖς ὡς ἐπὶ τὴν ῥίζαν νενευκυῖαι, ἐν αἷς σπέρμα διάφορον· ἐπὶ μὲν γὰρ τοῦ ἀγρίου στρογγύλον εὑρίσκεται φαιόν· ἐπὶ δὲ τοῦ ἑτέρου ἐπιμήκες καὶ μέλαν, οὗ περ ἡ χρῆσις. δοκεῖ δὲ καὶ τοῦτο σὺν οἴνῳ πινόμενον, συνουσίαν παρορμᾶν. ἀποκαθαίρει δὲ σὺν μέλιτι ἄργεμα, λευκώματα, καταπλασθὲν δὲ μεθ' ὕδατος καὶ οἰδήματα διαφορεῖ, καὶ σκόλοπας ἐπισπᾶται. καὶ ἡ πόα δὲ καταπλασθεῖσα, τὰ αὐτὰ ποιεῖ. τὸ δὲ ἄγριον ἰσχυρότεραν ἔχει τὴν δύναμιν. ὅθεν μίγνυται καὶ συγχρίσμασι, μάλιστα δὲ τῷ γλευκίνῳ.

Περὶ Ἡδυσάρου. Κεφ. ρμϛ´.

Ἡδύσαρον τὸ ὑπὸ τῶν μυρεψῶν καλούμενον πελεκῖνος, θάμνος ἐστὶ φυλλαρία ἔχων ἐρεβίνθῳ ὅμοια, λοβοὺς δὲ κερατίοις ἐοικότας· ἐν οἷς τὸ σπέρμα πυῤῥὸν, ὅμοιον πελέκει ἀμφιστόμῳ, ὅθεν καὶ ὠνόμασται· πικρὸν γευσαμένῳ. εὐστόμαχον ποθέν. μίγνυται δὲ καὶ ἀντιδότοις. σὺν μέλιτι δὲ προστεθὲν πρὸ τῆς μίξεως, ἀτόκιον εἶναι δοκεῖ. φύεται δὲ ἐν κριθαῖς καὶ πυροῖς.

Περὶ Ονόσματος. Κεφ. ρμζ´.

Ονοσμα, οἱ δὲ ὀσμάδα, οἱ δὲ φλογῖτιν, οἱ δὲ ὄνογιν καλοῦσι, τὰ μὲν φύλλα ἔχει ὅμοια τοῖς τῆς ἀγχούσης,

ὄνης, περιμήκη, μαλακὰ ὡς τέτταρα δάκτυλα τὸ μῆκος, τὸ δὲ πλάτος δακτύλου, ἐπὶ γῆς κατεστρωμένα, ἐμφερέστατα τοῖς τῆς ἀγχούσης, ἔστι δὲ ἄκαυλος, ἄκαρπος, ἀνάνθης· ῥίζιον δὲ ὕπεστιν ὑπόμηκες, ἀσθενὲς, λεπτὸν, ἐνερευθὲς ἡσυχῆ· φύεται δὲ ἐν τραχέσι τόποις. Τούτου τὰ φύλλα ἐν οἴνῳ ποθέντα, ἔμβρυα ἄγει· φασὶ δὲ ὅτι κἂν ἔγκυος ὑπερβῇ τὴν πόαν ἐκτιτρώσκει.

Περὶ Νυμφαίας. Κεφ. ρμή.

Νυμφαία φύεται ἐν ἕλεσι καὶ ὕδασι στασίμοις, φύλλα δὲ ἔχει ὅμοια κιβωρίῳ σμικρότερα δὲ καὶ ἐπιμηκέστερα, ποσῶς ὑπερέχοντα τοῦ ὕδατος, τὰ δὲ καὶ ἐν αὐτῷ τῷ ὕδατι πλείονα ἐκ τῆς αὐτῆς ῥίζης· ἄνθος δὲ λευκὸν, ὅμοιον κρίνῳ, ἔχον κροκῶδες τὸ μέσον· ὅταν δὲ ἀπανθήσῃ, στρογγύλον, μήλῳ παραπλήσιον τῇ περιφερείᾳ γίνεται, ἢ μήκωνος κεφαλῇ, μέλαν· ἐν ᾧ καρπὸς μέλας, πλατὺς, πυκνὸς, γευομένῳ γλίσχρος· ὁ δ' καυλὸς λεῖος, οὐ παχὺς, μέλας, ὅμοιος τῷ τοῦ κιβωρίου· ῥίζα μέλαινα, τραχεῖα, ῥοπαλοειδὴς, ἥ τις τέμνεται φθινοπώρῳ. Ξηρὰ οὖν σὺν οἴνῳ ποθεῖσα, κοιλιακοὺς ὠφελεῖ, δυσεντερικοὺς, καὶ σπλῆνα τήκει. καταπλάσσεται δὲ πρὸς στομάχου καὶ κύστεως ἀλγήματα ἡ ῥίζα, καὶ ἀλφοὺς σμήχει σὺν ὕδατι. ἀλωπεκίας τε σὺν πίσσῃ ἐπιτεθεῖσα ἰᾶται

πίνεται.

longitudine quatuor digitorum, & vnius latitudine, mollia, in terra iacentia, ſine caule, ſine ſemine, ſine flore: radice nititur longa, tenui, infirma, rubeſcente: gignitur in aſperis. Folia in vino pota partus extrahunt. Prægnans ſi eam ſupergrediatur, abortum facere dicitur.

Nymphęa. Cap. CXLVIII.

Nymphæa naſcitur in paludibus & ſtagnantibus aquis, foliis fabæ Ægyptiæ, minoribus, & longioribus, aliis in ſumma aqua, aliis demerſis pluribꝰ ex radice eadem prodeuntibus: flore lilio ſimili, albo, & in medio crocos habente: cum defloruerit, vt rotundum malum, aut papaueris caput, extuberat: nigro ſemine, denſo & lato, lenti guſtus: caulis eſt læuis, niger, minimè craſſus, Ægyptiæ fabæ cognatus: radix nigra, ſcabra, clauæ ſimilis, quæ autumno ſecatur. Sicca cum vino pota cœliacis, dyſentericiſque auxiliatur, & lienem abſumit. Radix ſtomachi ac veſicæ doloribus illinitur, vitiligines ex aqua emendat: impoſita cum pice, alopeciis medetur. Eadem

dem contra veneris inſomnia bibitur, ſiquidem ea prorſus adimit, pota aſsiduè aliquot diebus, genitaléque infirmat. Idem ſemen potum efficit. Nymphææ nomen ſibi vendicaſſe videtur, quoniam aquoſa amet. Plurima inuenitur in Elide, in Anygro amne, & in Bœotiæ Aliarto.

Nymphæa altera.
Cap. CXLIX.

Eſt & altera nymphæa, cuius flos blephara dicitur, foliis antè dictæ, radice alba, ſcabra, flore luteo, nitente, roſæ ſimili. Huius ſemen & radix, contra fœminarũ profluuia efficaciter ex vino nigro bibuntur. Naſcitur in Theſſalia, amne Peneo.

Androſaces.
Cap. CL.

ANDROSACES herba eſt amara, tenues ſpargens iuncos, ſine foliis, folliculos in capitulis habens: in quibus ſemen continetur: gignitur in Syriæ maritimis. Ea drachmis duabus in vino pota, copioſam hydropicis vrinam ciet. Idem effectus eſt ſemini poto, & herbę decocto: podagris vtiliter illinitur.

Aſplenum.

πίνεται δὲ ἡ ῥίζα καὶ πρὸς ὀνειρωγμούς, παραιτεῖται γὰρ τούτους, ἀτονίαν τε ἐργάζεται αἰδοίου πρὸς ὀλίγας ἡμέρας, εἴ τις ἐνδελεχῶς πίνοι. τὸ αὐτὸ δὲ ποιεῖ καὶ τὸ σπέρμα ποθέν. δοκεῖ δὲ ὠνόμασθαι νυμφαία, διὰ τὸ ἔνυδρον φιλεῖν τόπον. εὑρίσκεται δὲ πολλὴ ἐν ἤλιδι ἐπὶ τοῦ ἀνύγρου ποταμοῦ, καὶ τῆς βοιωτίας ἐν ἀλιάρτῳ.

Περὶ Νυμφαίας ἄλλης.
Κεφ. ρμθʹ.

Γίνεται καὶ ἄλλη νυμφαία, ἧς τὸ ἄνθος βλέφαρα λέγεται, φύλλα ἔχουσα ὅμοια τῇ προειρημένῃ, ῥίζαν μέντοι λευκὴν καὶ τραχεῖαν ἔχει, ἄνθος μήλινον, στίλβον, ὅμοιον ῥόδῳ. ποιεῖ δὲ ἡ ῥίζα καὶ τὸ σπέρμα πρὸς ῥοῦν γυναικεῖον ἐν οἴνῳ μέλανι πινόμενον. φύεται ἐν τοῖς περὶ θεσσαλίαν τόποις κατὰ τὸν πηνειὸν ποταμόν.

Περὶ Ανδροσάκους. Κεφ. ρνʹ.

Ανδρόσακες γίνεται μὲν ἐν συρίᾳ ἐν παραθαλασσίοις τόποις, πόα δέ ἐστι λεπτή, λεπτόκαρφος, πικρά, ἄφυλλος, θυλάκιον ἐπὶ τῆς κεφαλῆς ἔχουσα περιεκτικὸν σπέρματος. Δύναμιν δὲ ἔχει ποθεῖσα σὺν οἴνῳ < β. πλῆθος, οὖρα πολλὰ ἐπὶ ὑδρωπικῶν ἄγειν. καὶ τὸ ἀφέψημα δὲ τῆς πόας καὶ ὁ καρπὸς πινόμενος, τὸ αὐτὸ ποιεῖ. καταπλάσσεται δὲ καὶ ἐπὶ ποδαλγικῶν ὠφελίμως.

Περὶ

Περὶ Ἀσπλήνου. Κεφ. ρνά.

Ἄσπληνον, οἱ δὲ σκολοπένδριον, οἱ δὲ σπλήνιον, οἱ δὲ ἡμιόνιον, οἱ δὲ πτέρυξ, φύλλα ἔχει σκολοπένδρᾳ τῷ θηρίῳ ὅμοια, πλείονα ἀπὸ μιᾶς ῥίζης προερχόμενα. φύεται ἐν τοίχοις καὶ πέτραις ταῖς ἀπὸ κοχλάκων παλισκίοις· ἄκαυλα, ἀνανθῆ, ἄκαρπα, ἐντετμημένα ὡς τὰ τοῦ πολυποδίου, κάτωθεν ὑπόξανθα, καὶ δασέα, ἄνωθεν δὲ χλωρά. Δύναμιν δὲ ἔχει τὰ φύλλα ἀποζεσθέντα σὺν ὄξει καὶ πινόμενα ἐπὶ ἡμέρας μ΄. σπλῆνα τήκειν· δεῖ δὲ καταπλάσσειν καὶ τὸν σπλῆνα τοῖς φύλλοις λείοις σὺν οἴνῳ. βοηθεῖ καὶ στραγγουρίᾳ καὶ λυγμῷ, καὶ ἰκτέρῳ, καὶ λίθους τοὺς ἐν κύστει θρύπτει. δοκεῖ δὲ ἀτόκιος εἶναι καθ' ἑαυτὴν, καὶ μετὰ ἡμιόνου σπληνὸς περιαπτομένη· ἀσελήνου δὲ νυκτὸς φασὶ δεῖν αὐτὴν ὀρύσσειν ἀτόκιον.

Περὶ Ἡμιονίτιδος. Κεφ. ρνβ΄.

Ἡμιονῖτις, οἱ δὲ σπλήνιον, φύλλον ἀνίησιν ὅμοιον δρακοντείῳ, μηνοειδές· ῥίζαι δὲ ὕπεισι πολλαὶ, λεπταί· οὔτε δὲ καυλὸν, οὔτε καρπὸν· οὔτε ἄνθος φέρει. φύεται ἐν πετρώδεσι τόποις, γευομένῳ δὲ ἡ πόα στυπτική. ἥ τις σὺν ὄξει ποθεῖσα, τήκει σπλῆνα.

Περὶ Ἀνθυλλίδος. Κεφ. ρνγ΄.

Ἀνθυλλὶς διττή· ἡ μὲν

Aſplenum. Cap. CLI.

Aſplenum, aliqui ſcolopendrion vocant, alij ſplenion, alij Hemionium, foliis eſt multis, ſcolopendræ animali ſimilibus, ab radice vna prodeuntibus. Naſcitur in parietibus, ſaxiſq; ſiliceis, & opacis: nec caulem, nec florem, nec ſemen habet. folia filiculæ modò diuidũtur, ſubter flaueſcẽtia hirſutáq; ſupernè viridia. Vim hanc habent folia in aceto ferueſacta, vt per dies quadraginta pota, lienem abſumãt: quibus etiam contritis lienem ex vino illini oportet. Stranguriæ & regio morbo prodeſt, ſingultũ ſedat, calculos in veſica comminuit. Cõceptum adimere creditur, per ſeſe aut cum muli liene appenſa. Tradũt noctu, ſilente luna, huius rei gratia effodiendã.

Hemionitis. Cap. CLII.

Hemionitis, quam aliqui ſplenion vocant, folium emittit dracunculi, lunæ modò incuruũ, radicibus cohæret multis, tenuibus: nunquam flores, neque ſemẽ, neque caulem gignit: in petroſis naſcens, auſtero ſapore. Ea ex aceto pota lienem abſumit.

Antyllis. Cap. CLIII.

ANTYLLIS duplex eſt

quædam enim lenti ſimillima, foliis mollibus, rectis ramulis, palmi altitudine: radice parua, tenui. Naſcitur in ſalſis terris, & à ſole illuſtratis, non inſulſo guſtu. Altera eſt foliis ramuliſque aiugæ ſimilis, hirſutioribus tamẽ, breuioribus, & aſperioribus, flore purpureo, odoris admodum grauis: radice cichorij. Pota drachmis quatuor vrinæ difficultati, renibúſque plurimum prodeſt. Tritæ, vuluæ pituitas emolliũt, cum roſaceo, & lacte impoſitæ: vulneribus medẽtur. Quæ autem aiugæ ſimilitudinem refert, præter alia, pota cum aceto mulſo comitiales ſanat.

Anthemis. Cap. CLIIII.

Anthemidis genera tria, tantum flore diſtãtia: rami dodrãtales, fruticoſi, alis multis concaui: tenuibus foliolis, paruis, numeroſis: rotundis capitulis: floribus in medio aureis, forinſecus orbiculato ambitu cãdidis, melinis, aut purpureis, magnitudine foliorum rutæ: naſcitur in aſperis, & iuxta ſemitas: colligitur vere. Vim habẽt radices, flores & herba excalfaciẽdi, extenuãdiq;: potu, & inſeſsione, pellũt mẽſtrua, part⁹,

vrinam

γὰρ φακῷ παραπλήσια φύλλα ἔχει καὶ κλωνία, σπιθαμῆς ὕψος, ὀρθὰ δὲ καὶ τὰ φύλλα μαλακά. ῥίζα δὲ λεπτή, μικρά. φύεται ἐν ὑφαλμύροις τόποις καὶ ἐνηλίοις, γινομένη ὕφαλμος. Ἡ δ᾽ ἑτέρα χαμαιπίτυϊ τὰ φύλλα καὶ τὰ κλωνία ἔοικε, δασύτερα μέν τοι καὶ βραχύτερα, καὶ τραχύτερα, τὸ δ᾽ ἄνθος πορφυροῦν, βαρύοσμον ἰσχυρῶς· ῥίζα ὥσπερ κιχωρείου. Δύναται δὲ ἰσχυρῶς δυσουροῦσι καὶ νεφριτικοῖς πινομένη βοηθεῖν, πλῆθος < δʹ. ἐκ μαλάσσουσι δὲ φλέγματα ἐν ὑστέρᾳ λεῖαι. σὺν ῥοδίνῳ καὶ γάλακτι προστιθέμεναι· ἰῶνται δὲ καὶ τραύματα. ἡ δὲ τῇ χαμαιπίτυϊ ὁμοία, μετὰ τῶν ἄλλων καὶ ἐπιληπτικοὺς ἰᾶται σὺν ὀξυμέλιτι πινομένη.

Περὶ Ἀνθέμιδος. Κεφ. ρνδʹ.

Ἀνθεμίς, οἱ δὲ λευκάνθεμον, οἱ δὲ ἠράνθεμον, διὰ τὸ ἀνθεῖν ἐπὶ ἔαρος, οἱ δὲ χαμαίμηλον, διὰ τὴν πρὸς τὰ μῆλα ὁμοιότητα τῆς ὀσμῆς, οἱ δὲ μελάνθεμον, οἱ δὲ χρυσοκόμην, οἱ δὲ καλλίαν καλοῦσι· ταύτης εἴδη τρία ἄνθεσι μόνον διαφέροντα· κλῶνες σπιθαμιαῖοι θαμνοειδεῖς, μασχάλας ἔχοντες πολλάς, κλωνάρια μικρά, λεπτά, πολλά, κεφάλια περιφερῆ· ἔνδοθεν μὲν χρυσίζοντα ἄνθη, ἔξωθεν δὲ περίκειται κυκλοτερῶς λευκά, ἢ μήλινα, ἢ πορφυρᾶ,

κτ

κατὰ μέγεθος πηγάνου φύλλων· φύεται ἐν τόποις τραχέσι καὶ παρὰ τὰς ὁδοὺς· συλλέγεται δὲ ἔαρος. Δύναμιν δὲ ἔχουσι αἱ ῥίζαι καὶ τὰ ἄνθη καὶ ἡ βοτάνη θερμαντικὴν, λεπτυντικήν· πινόμεναι δὲ καὶ ἐγκαθιζόμεναι, καταμήνια ἄγουσι καὶ ἔμβρυα, καὶ λίθους, καὶ οὖρα· ποτίζεται δὲ καὶ πρὸς ἐμπνευματώσεις καὶ εἰλεούς, καὶ ἴκτερον δὲ ἀποκαθαίρουσι καὶ ἡπατικοὺς ἰῶνται. καὶ τὸ ἀφέψημα δὲ αὐτῶν εἰς πυελίας λαμβάνεται πρὸς κύστιν. θεραπευτικώτερον δὲ τοῖς λιθιῶσι τὸ πορφυρανθὲς, ὃ ἐπὶ τοῖς ὅλοις ἐστὶ μεῖζον ἰδίως ἠράνθεμον καλούμενον. τὸ δὲ λευκάνθεμον καλούμενον οὐρητικώτερον καὶ τὸ χρυσάνθεμον. θεραπεύουσι δὲ καὶ αἰγιλώπια καταπλασσόμεναι· διαμασώμεναι δὲ καὶ ἄφθας ἰῶνται. χρῶνται δέ τινες καὶ συγκλύσματι μετ᾽ ἐλαίου, λειοτριβοῦντες αὐτὰ πρὸς ἀνασκευὴν τῶν περιοδικῶν πυρετῶν. ἀποτίθεσθαι δὲ δεῖ τὰ φύλλα καὶ τὰ ἄνθη ἕκαστον αὐτῶν κόπτοντας ἰδίᾳ καὶ ἀναλαμβάνοντας τροχίσκους· τὴν δὲ ῥίζαν ξηραίνοντας· χρείας δὲ ἐπιγινομένης, διδόναι ὁτὲ μὲν τῆς βοτάνης μέρη β΄. ὁτὲ δὲ τοῦ ἄνθους ἢ τῆς ῥίζης μέρος ἕν. ὁτὲ δὲ τοὐναντίον, τοῦ ἄνθους μὲν β΄. τῆς δὲ βοτάνης ἕν, ἐναλλὰξ διπλασιάζοντας παρ᾽ ἡμέραν· πίνειν δὲ δεῖ ἐν οἰνομέλιτι κεκραμένῳ.

Περὶ Παρ-

vrinam, calculoſque: aduerſus inflationes, & ilei tormenta bibuntur: bilem ſuffuſam expurgant: iocinerum vitia ſanant: decocto earum veſicæ fouentur. Ex omnibus his generibus ad calculos efficaciſſima eſt, quæ florem purpureum habet, cuius amplitudo maiuſcula eſt: hanc propriè heranthemon vocant. Ea cui leucanthemo nomen eſt, ité quæ chryſanthemon dicitur, vehementius vrinam ciunt. Ægilopiis illitæ medentur: commanducatæ vlcerum eruptiones in ore, ſanant. Nonnulli in clyſteribus ex oleo vtuntur, teruntúrque in farinam, ad abigendos febrium circuitus. Flores & folia recondi debent, & priuatim tuſa, in paſtillos digeri: radix quoque ſiccari, dumque ingruit neceſsitas, binæ partes herbæ dari, modo floris aut radicis pars vna, modo contrà, floris partes duæ, & herbæ vna, permutatim duplicato pondere, alternis diebus: bibere autem oportet in vino mulſo, diluto.

Par-

Parthenium. Cap. CLV.

Parthenium, aliqui amaracon vocant, foliis eſt coriandri, tenuibus: flore per ambitum albo, intus melino, odore ſubuiroſo, ſapore amaro. Siccatũ, cum aceto mulſo, aut ſale potũ, non ſecus atq; epithymũ, & bilem & pituitã detrahit: ſuſpirioſis prodeſt, & melãcholicis. Herba ſine flore à calculoſis, & anhelatoribus magna vtilitate bibitur. Valet decoctum ad inſidendum in duritia vuluarum, & inflammationibus. Illinitur ſacro igni, & collectionibus, cum flore.

Buphthalmum. Cap. CLVI.

Buphthalmon (quidam cachlam vocant) tenues emittit cauliculos, molléſq;: folia fœniculi: luteum florem, anthemide maiorẽ, oculi ſimilitudine, vnde nomen traxit: circa oppida naſcitur, & in cãpeſtribus: Flores cũ cerato triti, tumores duritiáſque diſcutiunt. Aiunt epotam poſt exitũ à balneis, regio morbo correptis, colorem tractu temporis reddere.

Pæonia. Cap. CLVII.

Pæonia ſiue glycyſide. Græcis aliquibus pentoboron dicitur: ſunt qui idæos dactylos radicẽ

Περὶ Παρθενίου. Κεφ. ρνε΄.

Παρθένιον, οἱ δὲ ἀμάρακον, οἱ δὲ λευκάνθεμον, φύλλα ἔχει ὅμοια κορίῳ λεπτά· ἄνθη λευκὰ κύκλῳ, τὸ δὲ μέσον μήλινον, ὀσμὴ ὑπόβρωμον, τῇ δὲ γεύσει πικρίζον. Δύναται δὲ ξηρὰ σὺν ὀξυμέλιτι ἢ σὺν ἁλσὶ ποθεῖσα ὡς τὸ ἐπίθυμον, φλέγμα, καὶ χολὴν ἄγειν κάτω· καὶ τοὺς ἀσθματικοὺς ὠφελεῖν καὶ μελαγχολικούς. ἡ πόα δὲ χωρὶς τοῦ ἄνθους, ὠφελίμως ἐπὶ λιθιώντων καὶ ἀσθματικῶν ποτίζεται. τὸ δὲ ἀφέψημα αὐτῆς ἐγκάθισμα ὑστέρας ἐσκληρυμμένης καὶ φλεγμαινούσης ἐστί. καταπλάσσεται δὲ καὶ πρὸς ἐρυσιπέλατα καὶ φλεγμονὰς σὺν τοῖς ἄνθεσιν.

Περὶ Βουφθάλμου. Κεφ. ρνς΄.

Βούφθαλμον (οἱ δὲ κάχλαν καλοῦσι) καυλία ἀνίησι τρυφερά, ὑπόλεπτα· φύλλα δὲ μαραθρώδη· ἄνθη μήλινα, μείζονα τῆς ἀνθεμίδος, ὀφθαλμοειδῆ· ὅθεν καὶ ὠνόμασται· φύεται δὲ ἐν πεδίοις· καὶ περὶ τὰς πόλεις. Ταύτης τὰ ἄνθη λεῖα σὺν κηρωτῇ, οἰδήματα καὶ σκληρίας διαφορεῖ· φασὶ δὲ ὅτι ἐν τῷ βαλανείῳ μετὰ τὸ ἐξελθεῖν πινόμενον, εὔχροιαν ποιεῖ πρὸς χρόνον τινὰ τοῖς ἰκτερικοῖς.

Περὶ Παιονίας. Κεφ. ρνζ΄.

Παιονία, ἢ γλυκυσίδη, οἱ δὲ πεντόροβον· οἱ δὲ ἰδαίους δακτύλους τὴν ῥίζαν

τὴν ῥίζαν παιονίαν καλοῦσι. καυλὸς ὅς διὰ σπιθαμιαῖος. φύεται παραφυάδας ἔχων πολλάς· φύλλα δὲ ἡ μὲν ἄρρην βασιλικῇ καρύᾳ ὅμοια· ἡ δὲ θήλεια ἀπέσχισται τὰ φύλλα ὥσπερ σμύρνιον. λοβοὺς δέ τινας ἀνίησιν ἐπ' ἄκρου τοῦ καυλοῦ ἀμυγδάλοις ὁμοίους· ὧν ἀνεῳχθέντων εὑρίσκονται ἐρυθροὶ κόκκοι πολλοί, μικροί, ἐμφερεῖς τοῖς τῆς ῥοιᾶς, ἐν μέσῳ δὲ μέλανες, ὑπόρφυροι ε ἢ ς'. ῥίζα δὲ τῆς μὲν ἄρρενος, περὶ δακτύλου πάχος, μῆκος δὲ σπιθαμῆς, γευομένῳ στύφουσα, λευκή· ἐπὶ δὲ τῆς θηλείας παραφυάδας ὥσπερ βαλάνους ἔχουσα ζ'. ἢ η'. ὥσπερ ἀσφόδελος. Δίδοται δὲ γυναιξὶν ἡ ῥίζα ταῖς ἐκ τόκου μὴ καθαιρομέναις· κινεῖ δὲ καὶ τὰ καταμήνια ἀμυγδάλου μέγεθος πινομένη· τοῖς τε κατὰ γαστέρα ὀδύναις βοηθεῖ ποθεῖσα ἐν οἴνῳ. ὠφελεῖ δὲ καὶ ἰκτερικοῖς, καὶ νεφριτικοῖς, καὶ κύστιν ἀλγοῦντας. ἑψηθεῖσα ἐν οἴνῳ καὶ πινομένη κοιλίαν ἵστησι. τοῦ δὲ καρποῦ ι'. ἢ ιβ'. κόκκοι πυρροὶ ποθέντες ἐν οἴνῳ μέλανι αὐστηρῷ, ῥοῦν ἐρυθρὸν ἱστῶσι· στομαχικοῖς τε δακνομένοις ἐσθιόμενοι βοηθοῦσι. καὶ ὑπὸ τῶν παιδίων πινόμενοι, καὶ ἐσθιόμενοι ἀρχὰς λιθιάσεως παραιτοῦνται. οἱ δὲ μέλανες καὶ πρὸς τοὺς ὑπὸ ἐφιαλτῶν πνιγμοὺς καὶ πρὸς τὰς ὑστερικὰς πνιγὰς

καὶ ὁ-

radicé pæoniam vocant. Caulis altitudine ſeſquipedis adoleſcit, comitātibus multis ſtolonibus. Huius duo genera: mas, folia iuglandis habet: in fœmina verò, ſmyrnij more diuiduntur. Summo caule ſiliquas emittit, veluti græcas nuces: in quibus cùm dehiſcunt, multa granula rubra, acinis punicorum ſimilia, inueniuntur, & in medio nigra, quinque aut ſex, purpurea. Radix maris (tenuis) digitali craſsitudine, & palmi longitudine, guſtu adſtringens, alba: fœminæ radicibus ceu glandes circiter ſeptem aut octo inhærent, vt in haſtula regia. Fœminis à partu non purgatis ſicca radix datur: ciet menſes nucis græcæ magnitudine pota: ſic ventris doloribus cum vino auxiliatur. Valet contra regium morbum, & renum, ac veſicæ dolores. Decocta in vino aluum ſiſtit. Rubra grana rubenteis menſes ſiſtunt, decem vel duodecim pota in vino auſtero & nigro: ſtomachicis & eroſionibus ea eſſe prodeſt: à pueris pota, initia calculorū eximūt. Grana nigra auxiliātur ſuppreſsionibus nocturnis, vuluæ ſtrangulationibus,

&

& matricis doloribus, quindecim numero pota, in aqua mulſa, aut vino. Naſcitur in altiſsimis montibus & præruptis.

Lithoſpermum.
Cap. CLVIII.

Lithoſpermon à ſeminis duritia nomen accepit: foliis eſt oleæ lõgioribus, & latioribus, mollioribus: iacent humi, quæ ab radice exiliunt: ramulis rectis, tenuibus, firmis, craſsitudine acuti iunci, lignoſis, in quorum cacumine bifidi exortus, cauliculorum ſpeciem exhibent: foliis longis, inter quæ paruum ſemen, rotundum, erui magnitudine, duritia lapidea. Naſcitur in aſperis & æditis locis. Vim hanc habet, vt ſemine cum vino albo poto calculos frangat, pellatque vrinam.

Phalaris. Cap. CLIX.

Phalaris cauliculos emittit zeę culmis ſimiles, à minutis ac nullius vſus radicibus, multos, duûm palmorũ, geniculis cinctos, graciliores tamen ac dulces: ſemẽ cãdidũ, oblongũ, milij magnitudine. Tũditur, & in aqua aut vino ſuccus ad veſicæ cruciatus vtiliſsimè bibitur. Semen cochlearis menſura potum, ad eadem efficax eſt.

Rubia.

καὶ ὀδυνώσας μήτρας ἐν μελικράτῳ ἢ οἴνῳ, ὅσον ιέ. κόκκοι πινόμενοι, ποιοῦσι. *

Περὶ Λιθοσπέρμου.
Κεφ. ρνή.

Λιθόσπερμον, οἱ δὲ αἰγώνυχον, οἱ δὲ ἐξώνυχον, οἱ δὲ ἡρακλείαν, διὰ τὴν περὶ τὸ σπέρμα ἰσχύν· ὅθεν καὶ λιθόσπερμον ὠνόμασται· φύλλα ἔχει ὅμοια ἐλαίας, μακρότερα δὲ καὶ πλατύτερα, καὶ μαλακώτερα, καὶ τὰ περὶ τὸν πυθμένα ἐπὶ γῆς κείμενα· κλωνία δὲ ὀρθὰ, λεπτὰ, πάχος ὀξυσχοίνου, στερεὰ, ξυλώδη, ἐπὶ δὲ τῶν ἄκρων αὐτῶν δίσχηλος ἔκφυσις, καυλοειδής· ἔχουσα φύλλα μακρὰ παρ᾽ οἷς σπέρμα λιθῶδες, στρογγύλον, μικρὸν, ὀρέβῳ ἴσον. φύεται ἐν τραχέσι τόποις καὶ ὑψηλοῖς. Δύναμιν δὲ ἔχει τὸ σπέρμα μετ᾽ οἴνου λευκοῦ πινόμενον, λίθους θρύπτειν καὶ οὖρα ἄγειν.

Περὶ φαλάριδος. Κεφ. ρνθ΄.

Φαλάρις, καυλία ἀνίησιν ἐκ ῥιζῶν λεπτῶν καὶ ἀχρήστων πολλὰ, διπάλαιστα γονατώδη καλαμοειδῆ, ἐοικότα τοῖς τῆς ζέας· σπέρμα δὲ ἔπεστι μέγεθος κέγχρου λευκὸν ὑπόμηκες. Δύναμιν δὲ ἔχει κοπτομένη ἡ πόα καὶ χυλιζομένη δι᾽ ὕδατος ἢ οἴνου, πρὸς τὰ τῆς κύστεως ἀλγήματα ποιεῖν πινομένη. καὶ τοῦ σπέρματος δὲ μετὰ κοχλιαρίου ὕδατος πλῆθος πινομένου πρὸς τὰ αὐτὰ ποιεῖ.

Περὶ Ερυ-

Περὶ Ἐρυθροδάνου. Κεφ. ρξʹ.

Ἐρυθρόδανον, ἢ ἐρευθόδανον, ἔνιοι δὲ τεύθριον καλοῦσι, ῥίζα δέ ἐστιν ἐρυθρὰ βαφική· ἡ μέν τις ἀγρία· ἡ δὲ σπαρτή, ὡς ἐν θαβαίνῃ τῆς γαλιλαίας, καὶ ῥαβαίννῃ τῆς ἰταλίας, καὶ ἐν καρίᾳ μεταξὺ τῶν ἐλαιῶν σπειρόμενον ὥσπερ ἐν ταῖς ἀρούραις. ὠφελίμως δὲ σπείρεται, διὰ τὸ γίνεσθαι ἐκ τούτου πλείστην πρόσοδον. εἰσὶ δὲ αὐτοῦ οἱ καυλοὶ τετράγωνοι, μακροί, τραχεῖς, ὅμοιοι τοῖς τῆς ἀπαρίνης, κατὰ πάντα δὲ μείζονες καὶ ῥωμαλεώτεροι· ἔχοντες ἐκ διαστημάτων τὰ φύλλα καθ' ἕκαστον γόνυ, ὥσπερ ἀστέρας εἰς κύκλον περικείμενα. καρπὸν στρογγύλον, τὰ πρῶτα χλωρόν, εἶτα ἐρυθρόν, εἶτα πεπαινόμενον μέλανα, ῥίζα λεπτή, μακρά, ἐρυθρά, διουρητική· ὅθεν ἰκτερικοῖς μετὰ μελικράτου πινομένη βοηθεῖ, ἰσχιαδικοῖς τὲ καὶ παραλελυμένοις· ἄγει δὲ οὖρα πολλὰ καὶ παχέα. ἔσθ' ὅτε δὲ καὶ αἷμα, λούεσθαι μέν τοι δεῖ καθ' ἡμέραν τοὺς πίνοντας. καὶ ὁρᾷν τῶν κενουμένων τὴν διαφοράν· θηριοδήκτοις τὲ βοηθεῖ ὁ χυλὸς μετὰ τῶν φύλλων ποθείς. ὁ δὲ καρπὸς μετ' ὀξυμέλιτος πινόμενος, σπλῆνα τήκει. προστεθεῖσα δὲ ἡ ῥίζα, ἔμβρυα καὶ ἔμμηνα ἄγει καὶ δεύτερα. θεραπεύει δὲ καὶ ἀλφοὺς λευκοὺς μετ' ὄξους καταπλασσομένη.

Περὶ Λογ-

Rubia. Cap. CLX.

Erythrodanum radix rubra eſt, qua tinguntur lanæ. Vna ſponte prouenit, altera ſeritur vt in Thebana Galliæ, & Rauenna Italiæ: in Caria inter oleas, vt in aruis, ſolo creditur. hanc non ſine quæſtu ſerunt: nanque maximum ex ea ſentiunt prouentum. Aſperi caules & quadranguli, longi, aparinæ non diſsimiles, robuſtiores, & multò prorſus maiores: foliis per interualla certa circum articulos, ſtellatim decuſſatis. Semé eius rotundum, inter initia viride, mox rubrú, poſtea cum ematuruit, nigrú: radix tenuis, longa, rubra. Vrinam ciet: qua de cauſa regio morbo opitulatur, pota cum aqua mulſa: item iſchiadicis, & reſolutis. Craſſum, copioſamque vrinam pellit, nónunquam & ſanguinem: bibentes tamen quotidie lauari oportet, & excrementorum quæ redduntur differétiam ſpectare. Aduerſus ſerpentium morſus, ramulos cum foliis, vino bibere prodeſt. Semé ex aceto potum, lienem abſumit. Impoſita radix trahit partus, méſes, ſecundáſque. Albæ vitiligini, illita ex aceto medetur.

Lon-

Lonchitis. Cap. CLXI.

Lonchitis folia habet porri, latiora, rubentia, plurima, ad radicem circumfracta, veluti in terram procumbentia, pauca in caule, in quo flores, ceu galericuli, hiantibus comicis perſonis ſimiles, nigri, & è rictu albam exerentes velut linguam, quæ ad labrum inferius ſpectet: ſemen inuolucris clauſum lanceæ ſimile, triangulum: vnde ſibi cognomentum arrogauit: radix dauci. Naſcitur in ſitientibus, & aſperis. Radix ex vino pota vrinam ciet.

Lonchitis altera. Cap. CLXII.

Altera eſt lonchitis, quam aliqui aſperã lonchitin dicũt: folia ſcolopédrij emittit, ſed aſperiora maioráque, ac multò magis diuiſa. Vulneribus mirũ in modũ prodeſt, in eíſq; inflammationes excitari non patitur. Pota ex aceto lienẽ abſumit.

Althæa. Cap. CLXIII.

Althæa, quam alij ibiſcũ vocãt, in ſylueſtrium maluarum genere eſt, cui folia vt cyclamino, rotunda, lanugine caneſcunt: flore roſaceo: bicubitali caule: radice lenta, intus alba. Althæa appellatur, quòd

inter

Περὶ Λογχίτιδος. Κεφ. ρξά.

Λογχῖτις φύλλα ἔχει πράσῳ κάρτα ὅμοια, πλατύτερα δὲ καὶ ἐρυθρὰ πλεῖστα, πρὸς τὴν ῥίζαν περικλώμενα ὡς ἐπὶ τῆς γῆς, ἔχει δὲ καὶ περὶ τὸν καυλὸν ὀλίγα, ἐφ' οὗ ἄνθη ὅμοια πιλίσκοις, τῷ τύπῳ δὲ κωμικοῖς προσωπείοις κεχηνόσι, μέλανα μὲν, λευκὸν δέ τι ἀπ' αὐτῶν ἐξέχει ἀπὸ τοῦ χάσματος πρὸς τὸ κάτω χεῖλος, ὥσπερ γλωττίδιον· τὸ σπέρμα δὲ ὅμοιον λόγχῃ, τρίγωνον ἐν περικαρπίοις· ὅθεν καὶ τῆς προσωνυμίας ἠξιώθη· ῥίζα δὲ ὁμοία δαύκῳ. φύεται ἐν τραχέσι καὶ ἀνίκμοις τόποις. ταύτης ἡ ῥίζα διουρητικὴ πινομένη σὺν οἴνῳ.

Περὶ Ἑτέρας λογχίτιδος. Κεφ. ρξβ'.

Λογχῖτις ἑτέρα, ἣ δὲ λογχῖτιν τραχεῖαν, φύλλα ἀνίησιν ὅμοια σκολοπενδρείῳ, τραχύτερα δὲ καὶ μείζονα, καὶ μᾶλλον ἐσχισμένα. Δύναμιν δὲ ἔχει τραυματικὴν, ἀφλέγμαντον· τήκει δὲ καὶ σπλῆνα μετ' ὄξους πινομένη.

Περὶ Ἀλθαίας. Κεφ. ρξγ'.

Ἀλθαία, ἔνιοι δὲ ἰβίσκον καλοῦσι, μαλάχης ἐστὶν ἀγρίας εἶδος, φύλλα περιφερῆ ὥσπερ κυκλάμινος, ἔγχνοα· ἔχει δὲ ἄνθος ῥοδοειδές· καυλὸν δίπηχυν, ῥίζαν δὲ γλίσχρον, λευκὴν ἔνδοθεν. Ὠνόμασται δὲ ἀλθαία διὰ τὸ

πολυαλ-

πολυαλθὲς καὶ πολύχρηστον αὐτῆς. ἑψηθεῖσα γὰρ ἐν μελικράτῳ ἢ οἴνῳ, καὶ καθ' ἑαυτὴν τεθεῖσα ποιεῖ πρὸς τραύματα, παρωτίδας, χοιράδας, ἀποστήματα, μαστοὺς φλεγμαίνοντας, δακτυλίων θλάσματα, ἐμφυσήματα, συντάσεις νεύρων· διαφορεῖ γὰρ καὶ ἐκπέσσει, ἢ ῥήγνυσι καὶ ἐπουλεῖ. συμμαλαχθεῖσα δὲ ἑφθὴ ὡς εἴρηται στέατι ὑείνῳ ἢ χηνείῳ ἢ τερεβινθίνῃ, πρὸς ὑστέρας φλεγμονὰς καὶ μύσεις ἐν προσθέματι ποιεῖ. καὶ τὸ ἀφέψημα δ' αὐτῆς τὸ αὐτὸ ποιεῖ, ἄγον καὶ τὰ καλούμενα λόχια. τὸ δὲ τῆς ῥίζης ἀφέψημα σὺν οἴνῳ πινόμενον, ὠφελεῖ δυσουροῦντας, λιθιώντων ὠμότητας, δυσεντερικοὺς, ἰσχιαδικοὺς, τρομώδεις, ῥηγματίας· καὶ πόνους ὀδόντων πραΰνει σὺν ὄξει ἀφεψηθεῖσα καὶ διακλυζομένη. ὁ δὲ καρπὸς χλωρός τε καὶ ξηρὸς λεῖος καταχρισθεὶς σὺν ὄξει ἐν ἡλίῳ, σμηκτικός ἐστιν ἀλφῶν· μετ' ὀξελαίου δὲ συγχριόμενος, προφυλακτικός ἐστιν ἰοβόλων. ποιεῖ δὲ καὶ πρὸς δυσεντερείας καὶ αἵματος ἀναγωγὴν καὶ διάρροιαν. τὸ δὲ ἀφέψημα τοῦ σπέρματος πινόμενον, καὶ πρὸς μελισσῶν καὶ τῶν λεπτῶν θηρίων πληγὰς πάντων, ἐν ὀξυκράτῳ ἢ οἴνῳ ποθέν. καὶ τὰ φύλλα δὲ μετ' ὀλίγου ἐλαίου καταπλάσσεται ἐπὶ τῶν δηγμάτων

καὶ ἐπὶ

inter primas ſit vtilis, & pluribus polleat remediis. Decocta enim in vino aut aqua mulſa, & per ſe cum imponitur tuſa, efficax eſt cōtra vulnera: item ad ſtrumas, parotidas, abſceſſus, māmarum inflāmationes, fracta ſedis, inflationes, neruorũ rigores: ſiquidem diſcutit, & excoquit, rumpit, & ad cicatricem perducit. Cocta, vt dictũ eſt, adiecto ſuillo adipe, aut anſerino, terebinthináve, vt malagmatis létor fiat, facit ad vuluæ inflāmationes, præcluſionéſq; in peſsis ſubdita. Decoctum eodé fungitur munere: onera uuluæ, reliquiáſq; à partu extrahit. decoctæ ſuccus ex vino potus, ſuccurrit vrinæ difficultati, calculoſorũ cruditatibus, dyſentericis, iſchiadicis, tremulis, ruptis: dentiũ mulcet dolorem, cum aceto decocta colluto inde ore. Viride ſemen ſiccúmq; tritum, vitiligines in ſole perunctas emendat: eodé cum oleo & aceto peruncti, à venenatis non feriuntur. Valet cōtra dyſenteriã, & ſanguinis reiectiones, aluíq; profluuiũ. In poſca aut vino decoctũ bibitur, cōtra omnes veſparũ, apũ, ſimiliúmq; aculeatos ictus. Folia cũ olei mométo, morſibus,

&

& igni ambuſtis illinũtur. Conſtat aquam, trita radice addita, ſub diuo addenſari.

Alcea. Cap. CLXIIII.

Alcea ſylueſtrium maluarum generi aſsignatur: folia habet diuiſa, verbenacæ proxima, caules treis aut quatuor, cortice cãnabino veſtitos: florem roſæ, paruum: radices albas, latas, quinque aut ſex, cum plurimum cubitales: quæ cum vino aut aqua potæ, dyſentericis ruptíſque medentur.

Cannabis. Cap. CLXV.

Cannabis ſatiua planta magni in vita vſus ad robuſtiſsimos funes factitandos: foliis fraxini, graui odore: caulibus proceris, inanibus: ſemine rotundo, quod largiore cibo genituram extinguit. Succus ex ea recẽte, conuenienter auriũ doloribꝰ inſtillatur.

Cannabis ſylueſtris. Cap. CLXVI.

Sylueſtris cannabis virgas fert althææ ſimiles, minores, nigriores, & aſperiores, cubiti altitudinem æquantes: folio ſatiuæ, nigriore & aſperiore: flore lychnidis, ſubrubro: ſemine & radice althææ.

Deco-

καὶ ἐπὶ τῶν πυρικαύτων. πήγνυσι δὲ ἡ ῥίζα καὶ ὕδωρ μιγεῖσα λεία καὶ συνεξαιθριασθεῖσα.

Περὶ Ἀλκέας. Κεφ. ρξδʹ.

Ἀλκέα, καὶ αὕτη εἶδός ἐστιν ἀγρίας μαλάχης, ἔχουσα φύλλα ἐσχισμένα πρὸς τὰ τῆς ἱερᾶς βοτάνης· καυλοὺς γʹ. ἢ δʹ· φλοιὸν ἔχοντας καννάβει παραπλήσιον· ἄνθος μικρὸν, ἐμφερὲς ῥόδῳ· ῥίζας λευκὰς, πλατείας εʹ. ἢ ϛʹ. ὅσον πήχεως· αἵ τινες οἴνῳ ἢ ὕδατι πινόμεναι, δυσεντερίαν καὶ ῥήγματα ἰῶνται.

Περὶ Καννάβεως ἡμέρου. Κεφ. ρξεʹ.

Κάνναβις φυτόν ἐστιν εὔχρηστον ἐν τῷ βίῳ πρὸς τὰς τῶν εὐτονωτάτων σχοινίων πλοκάς· φύλλα φέρει παραπλήσια τῇ μελίᾳ, δυσώδη· καυλοὺς μακροὺς, κενούς· καρπὸν στρογγύλον, ὃς ἐσθιόμενος πλείων, σβέννυσι τὴν γονήν. χλωρὸς δὲ χυλισθεὶς, ἁρμόζει πρὸς τὰς τῶν ὤτων ἀλγηδόνας ἐνσταζόμενος.

Περὶ Καννάβεως ἀγρίας. Κεφ. ρξϛʹ.

Κάνναβις ἀγρία ῥαβδία φέρει ὅμοια τοῖς τῆς ἀλθαίας, μελαντερα δὲ καὶ τραχύτερα, καὶ μικρότερα, τὸ ὕψος πήχεως· τὰ δὲ φύλλα ὅμοια τῇ ἡμέρῳ, τραχύτερα δὲ καὶ μελάντερα· ἄνθη ὑπέρυθρα, λυχνίδι ἐμφερῆ· σπέρμα δὲ καὶ ῥίζαν ὅμοια τῇ ἀλθαίᾳ.

Διώα-

Δύναμιν δὲ ἔχει ἡ ῥίζα ἑφθὴ καταπλασθεῖσα, φλεγμονὰς παρηγορεῖν, καὶ οἰδήματα διαφορεῖν, καὶ πώρεις διαχεῖν. καὶ ὁ ἀπὸ ταύτης δὲ φλοιὸς, εὔθετος εἰς πλοκὴν σχοινίων.

Περὶ Ἀναγύρεως. Κεφ. ρξζ΄.

Ἀνάγυρις, οἱ δὲ ἀνάγυρον, οἱ δ' ἄκοπον καλοῦσι, θάμνος ἐστὶ φύλλοις καὶ ταῖς ῥάβδοις προσεμφερὴς ἄγνῳ, δενδρώδης, βαρύοσμος ἰσχυρῶς· ἄνθος κράμβῃ ἐοικός· καρπὸς ἐν κερατίοις μακροῖς, τὸ σχῆμα νεφρῶν, ποικίλος * στερεὸς, σκληρύνεται δὲ περὶ τὸν τῆς σταφυλῆς πεπασμόν. Ταύτης τὰ φύλλα ἁπαλὰ, λεῖα καταπλασσόμενα, οἰδήματα στέλλει. ποτίζεται δὲ < πλῆθος ἐν γλυκεῖ πρὸς ἆσθμα καὶ ἐκβολὴν χορείου, καὶ ἐμμηνίων καὶ ἐμβρύων· πρὸς δὲ κεφαλαλγίαν σὺν οἴνῳ. ἔστι δὲ περίαπτον δυστοκούσαις· δεῖ μέντοι μετὰ τὸ ἀποτεκεῖν εὐθέως ἀφελόντα ῥίπτειν τὸ περίαμμα. τῆς δὲ ῥίζης χυλὸς διαφορεῖ καὶ ἐκπέσσει. ὁ δὲ καρπὸς ἐσθιόμενος, ἔμετον συντόνως κινεῖ.

Περὶ Κηπαίας. Κεφ. ρξη΄.

Κηπαία ἐμφερής ἐστιν ἀνδράχνῃ, μελάντερα δ' ἔχει τὰ φύλλα, ῥίζαν λεπτήν. βοηθεῖ δὲ τὰ φύλλα πινόμενα σὺν οἴνῳ, στραγγουριῶσι καὶ ψωριῶσι τὴν κύστιν· μάλιστα δὲ ποιεῖ μετὰ ἑψήματος ῥιζῶν ἀσπαράγου

Decocta radix, illitu inflãmationes mulcet, tumores diſcutit, tofos articulorum diſsipat. Huius cortex torquendis funibus accommodatus.

Anagyris. Cap. CLXVII.

Anagyris frutex eſt arboris inſtar, perquàm grauis odore: foliis agni, virgíſque: flore braſſicæ: ſemen in ſiliquis non breuibus gignit, ſubrotundum, firmum, verſicolori facie, ſimile renibus, quod dureſcit vna matureſcente. Tenera folia trita tumores illitu reprimunt. ſi partus hæreat, & ſecũdæ menſesque morẽtur, dragmæ pondere bibuntur in paſſo: ſic & ſuſpirioſis dantur, & contra capitis dolores in vino: Difficulter parientibus adalligãtur, ita vt à partu ſtatim auferantur. Radicis cortex concoquendis diſcutiendíſque adhibetur. Semen commanducatum vomitiones vehementer ciet.

Cepæa. Cap. CLXVIII.

Cepæa portulacę ſimilis eſt, ſed nigriora habet folia, & radicem tenuem. Folia in vino pota, vrinæ ſtillicidio, & veſicæ ſcabie laborantibus, opitulantur: maximè id præſtat, ſi cum decocto radicum aſparagi

gi eius quem myacāthon, hoc eſt corrudam vocant, bibatur.

Aliſma. Cap. CLXIX.

Aliſma, alij damaſonion appellant: folia ei plantaginis: niſi anguſtiora eſſent, laciniosa, conuexáque in terram: caule ſimplici, tenui, cubito altiore: capitibus thyrſi: flore tenui, candido, palleſcēte: radicibus tenuibus, vt veratri nigri, acribus, odoratis, modicè pinguibus: aquoſos amat tractus. Radix, ſi drachma vna aut altera bibatur, his conuenit, qui leporem marinum deuorarunt, aut à rubetis ranis demorſi ſunt, aut opium hauſerunt: torminibus atque dyſenteriæ, per ſe, aut cum pari modo ſeminis dauci, potui datur. Conuulſis, & contra vitia vuluæ prodeſt. Herba ſiſtit aluum, menſtrua pellit, tumores illita mitigat.

Onobrychis. Cap. CLXX.

Onobrychis, folia habet lentis, longiora paulò: caulem dodrantalem: florem puniceum: radicem paruā: naſcitur in vliginoſis & incultis. Herba ſuapte vi, ſi trita illinatur, tubercula diſſipat: cum vino pota, ſtrangurias ſanat: illita ex oleo, ſudores mouet.

Hype-

ἀσπαράγου τοῦ μυακάνθου καλουμένου πινομένη.

Περὶ Ἀλίσματος. Κεφ. ρξθ'.

Ἄλισμα, οἱ δὲ ἀλκέαν, οἱ δὲ δαμασώνιον, οἱ δὲ ἄκυρον, οἱ δὲ λύρον καλοῦσι· φύλλα μὲν ἔχει ἀρνογλώσσῳ ὅμοια, στενότερα δὲ καὶ ἐπὶ γῆν κλώμενα· καυλὸς δὲ λεπτὸς, ἁπλοῦς ὑπὲρ πῆχυν ἔχων κεφάλια, θυρσοειδής· ἄνθη λεπτὰ, λευκὰ, ὑπόχλωρα· ῥίζαι ὡς μέλανος ἐλλεβόρου λεπταὶ εὐώδεις, δριμεῖαι, ὑπολίπαροι· ὑδρηλὰ δὲ φιλεῖ χωρία. Ἁρμόζει ἡ ῥίζα πινομένη σὺν οἴνῳ, ὅσον < α. ἢ β. τοῖς λαγωὸν βεβρωκόσι θαλάσσιον, καὶ τοῖς ὑπὸ φρύνου δηχθεῖσι, καὶ τοῖς ὄπιον πεπωκόσι, καὶ στρόφοις καὶ δυσεντερείαν καθ' αὐτὴν, καὶ σὺν ἴσῳ δαύκῳ πινομένη. ἁρμόζει καὶ σπάσμασι καὶ πρὸς τὰ ὑστερικὰ πάθη. ἡ δὲ πόα ἵστησι κοιλίαν, καὶ ἔμμηνα ἄγει, καὶ οἰδήματα καταπλασθεῖσα πραΰνει.

Περὶ Ὀνοβρυχίδος. Κεφ. ρο'.

Ὀνοβρυχὶς φύλλα ἔχει ὅμοια φακῷ, μικρῷ μακρότερα· καυλὸν σπιθαμιαῖον· ἄνθος φοινικοῦν, μικρὰν ῥίζαν. φύεται ἐν καθύγροις καὶ ἀργοῖς τόποις. Δύναμιν δὲ ἔχει ἡ πόα ἐπιπλασθεῖσα λεία διαχεῖν φύματα· μετ' οἴνου δὲ πινομένη στραγγουρίαν θεραπεύει· σὺν ἐλαίῳ δὲ διαχριομένη ἱδρῶτας κινεῖ.

Περὶ Ὑπερ-

Περὶ Ὑπερικοῦ. Κεφ. ροα΄.

Ὑπερικὸν, οἱ δὲ ἀνδρόσαιμον, οἱ δὲ κόριον, οἱ δὲ χαμαιπίτυν, διὰ τὸ τὸ περὶ τὸ σπέρμα ὀσμὴν ἐοικέναι πιτύνῃ ῥητίνῃ· φύλλα ἔχει πηγάνῳ ὅμοια, θάμνος φρυγανοειδὴς, σπιθαμιαῖος ὑπέρυθρος· ἄνθος ἔχον μήλινον, ὃ διαθλιβὲν ἐν τοῖς δακτύλοις αἱματώδη τὸν χυλὸν ἐκκρίνει, ὅθεν καὶ ἀνδρόσαιμον ἐκλήθη. κλωνάρια ὑποδάσεα, προμήκη ἐν τῷ περιφερεῖ, μέγεθος κριθῆς, ἐν ᾧ σπέρμα μέλαν ῥητίνης ὄζον. φύεται δὲ ἐν ἐργασίμοις καὶ τραχέσι τόποις. Δύναμιν δὲ ἔχει διουρητικὴν, καὶ ἐμμήνων ἀγωγὴν προστιθέμενον. τεταρταίους δὲ καὶ τριταίους ἀπαλλάσσει μετ᾽ οἴνου πινόμενον· θεραπεύει δὲ ἰσχιάδας ἐπὶ ἡμέρας μ΄. τὸ σπέρμα πινόμενον. καὶ τὰ φύλλα σὺν τῷ σπέρματι καταπλαττόμενα κατακαύματα ἰᾶται.

Hypericum. Cap. CLXXI.

Hypericũ, alij androſæmon, alij corion, alij chamæpityn appellant, quoniam ſemen odore reſinam imitatur: ſurculaceo frutice, dodrantali, ſubrubro, folio rutæ: flore luteo, qui digitis tritus ſanguineum ſuccum remittit, qua ex cauſa androſæmon cognominatur: ſubhirſuta ſiliqua, & in rotundo oblonga, hordei magnitudine: ſemine intus nigro, reſinoſi odoris: gignitur locis cultis & aſperis. Vrinam cit, menſtrua pellit appoſitum: tertianis, quartaníſque cum vino potum liberat. Semen quadraginta diebus hauſtum, iſchiadicis medetur. Folia cum ſemine illita, ambuſta ſanant.

Περὶ Ἀσκύρου. Κεφ. ροβ΄.

Ἄσκυρον, οἱ δὲ ἀσκυροειδὲς, οἱ δὲ ἀνδρόσαιμον, καὶ τοῦτο εἶδός ἐστιν ὑπερικοῦ, μεγέθει διαφέρον, κλωσὶ μεῖζον, φρυγανωδέστερον δὲ καὶ πεφοινιγμένον τοῖς φύλλοις λεπτοῖς· ἄνθη δὲ μήλινα φέρει· καρπὸν δὲ ὅμοιον ὑπερικῷ, ὄζοντα ῥητίνης, καὶ ἐν τῷ παραθλίβεσθαι οἱονεὶ αἱμάσσοντα τοὺς δακτύλους, ὡς διὰ τοῦτο ἀνδρόσαιμον καλεῖσθαι. Ποιεῖ καὶ ὁ τούτου καρπὸς πρὸς ἰσχιάδας πινόμενος μεθ᾽ ὑδρομέλιτος κοτυλῶν β΄.

ἄγει

Aſcyron. Cap. CLXXII.

ASCYRON ſiue aſcyroides, hyperici genus eſt, magnitudine diſtans, fruticoſius, maiores habens ramos, ſurculoſiores, rubentéſque: folia tenuia: flores luteos, & fructum reſinoſum, hyperico nõ abſimilem: cuius attritu digiti ferè cruentantur, qua de cauſa androſæmon vocauere. Vſus ſeminis ad iſchiadicos, potum in hydromelitis ſextario: nam

nam biliosa recreméta ampliſſimè detrahit: ſed aſsiduè dare oportet, donec ſanitati reſtituantur. Illinitur & ambuſtis efficaciter.

Androſæmum. Cap. CLXXIII.

Androſæmon ab hyperico, aſcyróque differt, quòd fruticet ramulis ſurculoſis, ac tenuibus: rubétibus virgis: & foliis rutæ, triplo aut quadruplo maioribus, quę trita vinoſo ſucco manant: complureis alas habet in cacumine, vtrinque expanſas, pinnatasq;: circa quas, flores puſilli, lutei: & in calyculis ſemé papaueris nigri, inſigne lineis. Huius comæ tritæ reſinoſum odorem reddűt. Semen tritum drachmis duabus potum, biliosa alui excreméta pellit: iſchiadicis maximè medetur: ſed à purgatione aquam exorbere oportet. Herba ambuſtis illita medetur, vulneribus ſanguinem cohibet.

Coris. Cap. CLXXIIII.

Coris, quod aliqui hypericon vocant, frutex eſt folio ericæ, rubro, pinguiore, ac minore, non altior dodrante, ſuauis, odoratus, acris. Potum ſemen menſes trahit, & vrinas: contra

ἄγει γὰρ χολώδη κόπρια πολλά· συνεχῶς δὲ διδόναι χρὴ ἄχρις ἂν ὑγιασθῶσι. ποιεῖ καὶ πρὸς πυρίκαυτα ἐπιπλασθείς.

Περὶ Ἀνδροσαίμου. Κεφ. ρογ'.

Ἀνδρόσαιμον, οἱ δὲ διονυσιάδα, οἱ δὲ καὶ τοῦτο ἄσκυρον καλοῦσι, διαφέρει δὲ τοῦ ὑπερικοῦ καὶ τοῦ ἀσκύρου θάμνος ὢν λεπτόκαρφος, φρυγανώδης· πεφοινιγμένος τὰ ῥαβδία· φύλλα τριπλασίονα ἢ τετραπλασίονα τοῦ πηγάνου, ἃ τριφθέντα οἰνώδη χυλὸν ἀφίησι· μασχάλας δ' ἔχει πλείους ἐπ' ἄκρῳ τεταρσωμένας, περὶ ἃς ἀνθύλλια μικρὰ, μήλινα· καρπὸς ἐν κάλυκι, ὅμοιος τῷ τῆς μελαίνης μήκωνος, οἱονεὶ κατάγραφος. ἀνατριφθεῖσα δὲ ἡ κόμη, ῥητινώδη ὀσμὴν ἀποδίδωσι. Καὶ τούτου ὁ καρπὸς λεῖος δυοῖν < ὁλκὴ ποθεὶς, ἄγει χολώδη κόπρια· θεραπεύει δὲ μάλιστα ἰσχιάδας· δεῖ δὲ μετὰ τὴν κάθαρσιν ὕδατος ἐπιρροφεῖν. καὶ πυρίκαυτα δὲ ἡ πόα καταπλασθεῖσα ἰᾶται. καὶ αἷμα ἐπέχει.

Περὶ Κόρεως. Κεφ. ροδ'.

Κόρις, οἱ δὲ καὶ τοῦτο ὑπερικὸν καλοῦσι, φύλλον ἔχει παραπλήσιον τῷ τῆς ἐρείκης, μικρότερον δὲ καὶ λιπαρώτερον καὶ ἐρυθρὸν, θάμνος δ' ἐστὶ σπιθαμιαῖος, εὔοσμος, δριμὺς καὶ εὐώδης. Τούτου ὁ καρπὸς πινόμενος, οὖρα καὶ καταμήνια ἄγει.

βοηθεῖ

βοηθεῖ καὶ φαλαγγιοδήκτοις, ἰσχιαδικοῖς τε καὶ ὀπισθοτονικοῖς σὺν οἴνῳ πινόμενος· πρὸς δὲ ῥίγη σὺν πεπέρει, ἐπὶ δὲ ὀπισθοτονικῶν καὶ σύγχρισμά ἐστι σὺν ἐλαίῳ ἁρμόδιον.*

Περὶ Χαμαιπίτυος.
Κεφ. ροέ.

Χαμαίπιτυς, ἣν οἱ ἐν πόντῳ ὁλόκυρον καλοῦσι, ἀθήνησιν ἰωνίαν. ἐν δὲ εὐβοίᾳ σιδηρῖτιν, πόα ἕρπουσα ἐπὶ γῆς ὑπόκυρτος· φύλλα δὲ ἔχει ὅμοια ἀειζώῳ μικρῷ, λεπτότερα δὲ πολλῷ καὶ λιπαρώτερα καὶ δασέα, πυκνὰ περὶ τοὺς κλάδους, ὀσμὴν ἔχοντα πίτυος, ἄνθη λεπτὰ μήλινα, ἢ λευκά· ῥίζαν δὲ ὡς κιχωρείου. Ταύτης τὰ φύλλα πινόμενα μετ' οἴνου ἐπὶ ἡμέρας ζ΄. ἴκτερον θεραπεύει· ἐπὶ δὲ μ΄. ἰσχιάδα θεραπεύει μεθ' ὑδρομέλιτος πινόμενα· δίδοται καὶ ἡπατικοῖς καὶ δυσουροῦσι καὶ νεφριτικοῖς ἰδίως, ἁρμόζοντα καὶ στροφουμένοις. χρῶνται δὲ αὐτῇ καὶ οἱ ἐν ἡρακλείᾳ τῇ ποντικῇ, ὡς ἀντιδότῳ πρὸς ἀκόνιτον. ποτίζοντες τὸ ἀφέψημα. καταπλάσσεται δὲ πρὸς τὰ προειρημένα μετ' ἀλφίτων δεδευμένων τῷ ἀφεψήματι τῆς πόας· λεανθεῖσα δὲ σὺν σύκοις καὶ αὐτὶ καταποτίου διδομένη,

cõtra phalangiorũ morſus, iſchiadicos, & opiſthotonicos ex vino potũ auxilio eſt: horroribus ex pipere, ſed opiſthotonicis ex oleo, aptiſsimè illinitur. Radix vino decocta potáque, defectis opem ferre creditur, ſed laboranté inter potandũ quamoptimè cooperiri licet: ſiquidem corpus totũ deſudabit, ex qua repriſtinã agilitatem recuperabit.

Aiuga, ſiue chamæpitys.
Cap. CLXV.

AIVGA herba in terra repens: incuruæ ſimilis: foliis ſemperuiui minoris, multò tenuioribus, hirſutis & pinguioribus, circum ramos denſis, odore pinus: flore tenui, luteo, vel candido: radice cichorij. Folia ſeptem diebus in vino pota, regio morbo medentur: & quadraginta diebus ex hydromelite, iſchiadicos ſanant: dantur peculiariter vrinæ difficultatibus, iocineris, & renum vitiis: torminoſis proſunt. Et apud Heracleam Ponticam, perinde atque antidoto contra aconitũ vtuntur, bibentes decoctum. Ad antedicta illinitur, cum polenta iure decocti ſubacta: trita in farinam & cum fico in pilulis ſumpta, aluum

aluum emollit: excepta melle, cũ æris ſquama & reſina deijcit: appoſita ex melle, vuluæ vitia extrahit: mammarum duritias diſcutit: vulnera glutinat: vlcera quæ ſerpunt, cum melle illita, cohibet.

Aiuga altera. Cap. CLXXVI.

Alterum eſt genus aiugæ, cubitalibus ramis, in anchoræ ſpeciem incuruatis, prætenuibus, coma ſupradictæ: flore candido: ſemine nigro: hæc etiam pinum redolet. Tertia mas nominatur, paruula, folijs exilibus, albis, piloſis, caule aſpero, candido: luteis floſculis, ſemine iuxta alas. Reſipit & hæc pinum. Hæ duæ vim ſuperioris obtinẽt, ſed nõ vſqueadeò efficacem.

TERTII LIBRI FINIS.

μένη, μαλάσσει κοιλίαν· μετὰ μέλιτος δὲ καὶ λεπίδος, καὶ ῥητίνης ἀναληφθεῖσα καθαίρει· ἄγει δὲ καὶ τὰ ἀπὸ ὑστέρας προστεθεῖσα σὺν μέλιτι. διαφορεῖ δὲ καὶ σκληρίας μαστῶν, καὶ τραύματα κολλᾷ. καὶ ἕρπητας ἐπέχει μετὰ μέλιτος καταπλασσομένη.

Περὶ Ἑτέρας χαμαιπίτυος. Κεφ. ρος΄.

Ἔστι καὶ ἑτέρα χαμαίπιτυς. κλάδοις ἔχουσα πηχυαίους, ἀγκυροειδεῖς, λεπτοκάρφους· κόμην δὲ ἐοικυῖαν τῇ πρὸ αὐτῆς, καὶ ἄνθος λευκόν· σπέρμα δὲ μέλαν· ἀπόζει δὲ καὶ αὐτὴ πίτυος. Καὶ τρίτη τίς ἐστιν ἄρρην καλουμένη. ἔστι δὲ βοτάνιον λεῖον. ἔχον φυλλάρια λεπτὰ, λευκὰ, δασέα· καυλὸν δὲ * τραχὺν, λευκόν· ἀνθύλλια μήλινα· σπερμάτιον δὲ παρὰ τὰς μασχάλας. ὄζει δὲ καὶ τοῦτο πίτυος. Δύναμιν δὲ ἔχουσι καὶ αὐτὰ ὁμοίαν τῇ προειρημένῃ, οὐ μὴν οὕτω πρακτικήν.

ΤΕΛΟΣ ΤΟΥ ΛΟΓΟΥ ΤΡΙΤΟΥ.

ΠΕΔΑΚΙΟΥ ΔΙΟΣΚΟΡΙΔΟΥ ΑΝΑΖΑΡΒΕΩΣ ΠΕΡΙ ΥΛΗΣ ΙΑΤΡΙΚΗΣ ΒΙΒΛΙΟΝ ΤΕΤΑΡΤΟΝ.

Ἐν τοῖς πρὸ τούτου τρισὶ βιβλίοις φίλτατ' Ἄρειε, παραδόντες περὶ ἀρωμάτων καὶ ἐλαίων καὶ μύρων καὶ δένδρων καὶ ζώων καὶ σιτηρῶν καὶ λαχάνων καὶ ῥιζῶν καὶ χυλισμάτων καὶ βοτανῶν καὶ σπερμάτων, ἐν τούτῳ τετάρτῳ ὄντι περὶ τῶν λειπομένων βοτανῶν καὶ ῥιζῶν διαλεξόμεθα.

Περὶ Κέστρου. Κεφ. α.

Κέστρον τὸ καλούμενον ψυχότροφον, ἐπειδὴ ἐν τοῖς ψυχροτάτοις εὑρίσκεται τόποις· ὃ ῥωμαῖοι βετονίκην καλοῦσιν, ἢ ῥοσμαρίνουμ. πόα ἐστὶ καυλὸν ἔχουσα λεπτὸν πήχεως τὸ ὕψος, ἢ καὶ μείζονα, τετράγωνον· φύλλα μακρά, μαλακά, ὅμοια δρυΐ, τὴν περιφέρειαν ἐσχισμένα, εὐώδη, μείζονα δὲ τὰ πρὸς τὴν ῥίζαν· ἐπ' ἄκρῳ δὲ τῶν καυλῶν ἔνεστι τὸ σπέρμα ἐσταχυωμένον ὥσπερ θύμβρας. ταύτης τὰ φύλλα δεῖ συλλέγοντας ξηραίνειν. ὧν ἐστι καὶ ἡ πλείων χρῆσις· ῥίζαι δὲ ὕπεισι λεπταὶ ὡς ἐλλεβόρου, αἵ τινες φλεγματώδη προσκαλοῦσιν ἔμετον, μεθ' ὑδρομέλιτος πινόμεναι.

PEDANII DIOSCORIDIS Anazarbei de medicinali materia Liber quartus.

Io. Ruellio Sueßionēſi interprete.

Tribus antè libris, amãtiſsime Aree, tradidimus odoramenta, olea, arbores, vnguenta, animalia, frumenta, olera, radices, ſuccos, herbas, ſemináque. In hoc autem quarto diſſeremus de radicibus, & eis quæ reſtant herbis.

Betonica. Cap. I.

Ceſtron pſycotrophon vocitatur, quoniam frigidis locis inueniatur. Latini betonicam appellant. Herba eſt, caulem ferens tenuem, cubiti altitudine, aut maiorem, quadratum: folia quercus, mollia, longa, in ambitu diuiſa, odorata, prope radicem maiora: in ſummis caulibus, ſemen veluti ſatureiæ ſpicatum ineſt. Decerpta huius folia ſiccantur, plurimos ad vſus. Radicibus nititur, vt veratri, tenuibus. Quæ ex hydromelite in potu, pituitoſam vomitionem euocant.

Folia dari debent ruptis, cōuulſis, mulieribus vuluæ malo oportunis, & ad laxandos vteri ſtrangulatus, denarij pondere cum hydromelite: tres in vini ſextario drachmæ, contra ſerpentiū morſus ebibuntur. Herba magna vtilitate illatis à ſerpēte vulneribus illinitur: aduerſus etiā venena drachma ex vino pota cōuenit: præſumpta ea, ſi venenū hauriatur, nihil nocebit: vrinā ciet: aluum ſubducit: medetur comitialibus & inſanis, pota ex aqua: & iocineris lieníſq; vitiis, drachmæ pondere in aceto mulſo: cōcoctionē adiuuat, ſi quis eā fabæ magnitudine ſecundū cœnam cum melle cocto deuorarit: modo cōſimili acida ructātibus propinatur. Stomachicis eā mādu-care & ſuccū deuorare proderit, ſi poſtea dilutū vinū ſorbeatur. Datur ſanguinē excreātibus, tribus obolis, cū diluti vini egelidi cyatho: iſchiadicis, renum & veſicæ doloribus, ex aqua: aquæ intercutem binis drachmis ex hydromelite, ſi febricitāt: ſin aliter, ex mulſo: regio morbo laborātes recreat, menſes pellit, drachmæ pondere cum vino pota: aluū purgant drachmæ quatuor potæ,

in

τῶν δὲ φύλλων δίδοναι πρὸς τὰ σπάσματα, ῥήγματα, καὶ πρὸς τὰς ἐν ὑστέρᾳ διαθέσεις, καὶ πνίγας ὑστερικὰς < α΄. ὁλκὴ μεθ' ὑδρομέλιτος πινόμεναι. θηριοδήκτοις δὲ ὁλκαὶ γ΄. μετ' οἴνου κοτυλῶν β΄. καταπλασσομένη δὲ ἡ πόα, ὠφελεῖ τοὺς θηριοδήκτους, καὶ πρὸς τὰ θανάσιμα ὁλκὴ μετ' οἴνου ποθεῖσα ἁρμόζει· ἐὰν δέ τις προπίῃ, οὐδὲν βλαβήζεται λαβὼν φάρμακον θανάσιμον· ἔστι δὲ οὐρητικὴ, κοιλίας τε ὑποβιβαστική· θεραπεύει δὲ καὶ ἐπιλήπτοις, καὶ μαινομένοις μεθ' ὕδατος πινομένη, καὶ ἡπατικοῖς· σπληνικοῖς δὲ μετ' ὀξυμέλιτος ὁλκὴ < α΄. ἐπιποθεῖσα· ποιεῖ δὲ καὶ πέψιν ἐάν τις μετὰ τὸ δεῖπνον αὐτὴν κυάμου μέγεθος καταπίῃ μετὰ μέλιτος ἑφθοῦ ὁμοίως καὶ ὀξυρεγμιῶσι δίδοται· στομαχικοῖς δὲ διαμασᾶσθαι καὶ καταπίνειν τὸν χυλὸν, εἶτ' ἐπιρροφᾶν οἶνον κεκραμένον· δίδοται δὲ καὶ αἱμοπτοϊκοῖς ὁλκὴ τριωβόλου μετὰ κράματος κυάθου ἑνὸς γαλακτώδους· ἰσχιαδικοῖς τε μεθ' ὕδατος καὶ νεφριτικοῖς καὶ κύστιν ἀλγοῦσιν· ὑδρωπικοῖς δὲ < β΄. μεθ' ὑδρομέλιτος πυρέσσουσιν· ἀπυρέτοις δὲ σὺν οἰνομέλιτι· ἰκτεριῶντας τε καθίστησι, καὶ καταμήνια ἄγει ὁλκὴ < α΄. μετ' οἴνου πινομένη· κοιλίαν δὲ < δ΄. ποθεῖσαι καθαίρουσι

μεθ'

μεθ' ὑδρομέλιτος κυάθων δέκα. ποιεῖ καὶ πρὸς φθισικούς, ἐμπυϊκοὺς μετὰ μέλιτος. ἀποτίθεσθαι δὲ δεῖ τὰ φύλλα ξηρά, λεῖα ἐν κεραμέῳ ἀγγείῳ.

Περὶ Βρεττανικῆς. Κεφ. β'.

Βρεττανικὴ ἢ βετονικὴ, πόα ἐστὶν ἔχουσα φύλλα ἐμφερῆ λαπάθῳ ἀγρίῳ, μελάντερα δὲ καὶ δασύτερα, στύφοντα ἐν τῇ γεύσει· καυλὸν δὲ ἀνίησιν οὐ μέγαν· ῥίζαν λεπτὴν καὶ βραχεῖαν. χυλίζεται δὲ αὐτῆς τὰ φύλλα, καὶ ἐν ἡλίῳ ἢ πυρὶ συστρέφεται. Δύναμιν δὲ ἔχει στυπτικὴν ἰδίως ἁρμόζουσαν πρὸς τὰς ἐν στόματι καὶ παρισθμίοις νομάς. ποιεῖ δὲ καὶ πρὸς τὰ λοιπὰ ὅσα στύψεως χρῄζει.*

Περὶ Λυσιμαχίου. Κεφ. γ'.

Λυσιμάχιον, οἱ δὲ λύτρον καλοῦσι, καυλοὺς ἀνίησι πηχυαίους ἢ καὶ μείζονας, λεπτούς, θαμνώδεις, ὧν παρὰ τὰ γόνατα, φύλλων λεπτῶν ἐκφύσεις παραπλησίων τοῖς τῆς ἰτέας, στυφόντων ἐν τῇ γεύσει· ἄνθος πυρρὸν ἢ χρυσοειδές. φύεται ἐν ἑλώδεσι τόποις, καὶ παρὰ τὰ ὕδατα. Ἁρμόζει δὲ ὁ χυλὸς τῶν φύλλων στυπτικὸς ὤν, πρὸς αἵματος ἀναγωγὰς καὶ δυσεντερίας πόμα καὶ ἔγκλυσμα· ῥοῦν τε γυναικεῖον ἵστησιν ἐν προσθέτῳ καὶ πρὸς τὰς ἐκ μυκτήρων αἱμορραγίας ἐμφραττομένη ἡ πόα ἁρμόζει.

ἔστι

in hydromelitis decem cyathis. facit cum melle ad tabem & purulentam execreationem. Folia ſicca tritáque fictili vaſe reconduntur.

Britanica. Cap. Cap. II.

Britanica aut vetonica, folia habet ſylueſtris lapathi, ſed nigriora, & piloſiora, guſtu adſtringentia: radicem tenuem & breuem: caulem paruum emittit. Foliis exprimitur ſuccus, qui igni aut ſole cogitur. Vim habet adſtringentem, priuatim depaſcentibus oris & tonſillarum vlceribus accommodatam. Valet etiam ad reliqua, quibus adſtrictione eſt opus.

Lyſimachia. Cap. III.

Lyſimachia, quam aliqui lytron appellant, caules emittit cubitales altiorésve, fruticoſos, tenues, prodeuntibus geniculatim foliis, tenuibus, ſalicis figura, guſtu adſtringétib⁹: flore rufo, aut aureo: gignitur in aquoſis & paluſtribus. Foliorum ſuccus adſtringéte ſua vi ſanguinis reiectionem ſupprimit, dyſentericis potui datur, aut infunditur: menſium abundantiam ſiſtit, in peſſo: ſanguinis profluuio ſubuenit, ſi nares ea herba obturentur:

vulnerum

vulnerum cruorem cohibet: acerrimum nidorem ſuffita reddit: qua de cauſa ſerpentes fugat, & muſcas interficit.

Sanguinaria, ſeu polygonum. Cap. IIII.

POLYGONVM mas ramos habet teneros & exiles, copioſos, geniculis cinctos, qui per terram, vt gramen, repunt: folia rutæ, ſed molliora longioráque: ſemine ſub omnibus foliis turgeſcente: vnde marem appellari volunt: flos ei candidus, aut puniceus. Vis e poti ſucci eſt, ſpiſſare ac refrigerare: prodeſt cruentæ excreationi, choleræ, alui fluxionibus, & vrinæ ſtillicidio: nam vrinam apertè ciet. Cum vino potus, contra ſerpentiū morſus auxiliatur, datúrque in febribus per horam ante ſignificationes: fœminarum profluuia impoſitu ſiſtit: idem ſuccus purulentis auribus inſtillatur. Facit eximiè ad genitalium vlcera, cum vino, adiecto melle, decoctus. Stomachi feruori, ſanguinis reiectionibus, vlceribus quæ ſerpunt, ignibus ſacris, collectionib⁹, tumoribus, & recẽtibus vulneribus folia illinuntur.

Sanguina-

ἔστι δὲ καὶ τραυματικὴ καὶ ἴσχαιμος· θυμιαθεῖσα δὲ δριμύτατον ἔχει τὸν καπνόν· ὥστε καὶ ἑρπετὰ διώκειν καὶ μυίας ἀποκτείνειν.

Περὶ πολυγόνου ἄῤῥενος. Κεφ. δ΄.

Πολύγονον ἄῤῥεν πόα ἐστὶ κλῶνας ἔχουσα λεπτοὺς τρυφεροὺς πολλοὺς γόνασι περιειλημμένους, ἕρποντας ἐπὶ τῆς γῆς ὥσπερ ἄγρωστις· φύλλα δὲ πηγάνου ὅμοια, ἐπιεικέστερα· ἔχει δὲ καρπὸν παρ' ἕκαστον φύλλον· ὅθεν καὶ ἄῤῥεν καλεῖται· ἄνθος δὲ λευκὸν ἢ φοινικοῦν. Δύναμιν δὲ ἔχει στυπτικὴν, ψυκτικὴν ὁ χυλὸς πινόμενος· ἁρμόζει δὲ αἱμοπτοϊκοῖς, καὶ τοῖς κατὰ κοιλίαν ῥεύμασι, χολερικοῖς τε καὶ στραγγουριῶσιν, ἄγει γὰρ οὖρα ἐναργῶς. βοηθεῖ καὶ θηριοδήκτοις μετ' οἴνου πινόμενος καὶ πρὸς περιόδους πρὸ μιᾶς ὥρας τῆς ἐπισημασίας λαμβανόμενος. ἵστησι καὶ δὲ ῥοῦν γυναικεῖον προστεθεὶς, καὶ πρὸς ὠταλγίας καὶ πυοῤῥοίας ἐνσταζόμενος ἁρμόζει. συνεψηθεὶς δὲ οἴνῳ καὶ μέλι προσλαβὼν, ἄκρως ποιεῖ πρὸς τὰ ἐν αἰδοίοις ἕλκη. καταπλάσσεται δὲ τὰ φύλλα πρὸς στομάχου ἔγκαυσιν, καὶ αἵματος ἀναγωγὴν καὶ ἕρπητας, ἐρυσιπέλατά τε καὶ φλεγμονὰς, καὶ οἰδήματα καὶ τραύματα πρόσφατα.

Περὶ Πολυ-

Περὶ Πολυγόνου θήλεως. Κεφ. ε΄.

Πολύγονον θῆλυ θαμνίον ἐστὶ μονόκλωνον, τρυφερὸν, καλαμοειδὲς, γόνατα συνεχῆ ἔχον ἐγκείμενα ἀλλήλοις ὥσπερ σάλπιγγος· καὶ περὶ τοῖς γόνασιν ἐν κύκλῳ ἐξοχὰς πίτυος, φυλλαρίοις ἐοικυίας. ῥίζα ἀχρεία· φύεται παρὰ τοῖς ὑδατώδεσι. Δύναμιν δὲ ἔχει στυπτικὴν, ψυκτικὴν, ποιοῦσα τὰ αὐτὰ τῷ περὶ αὐτοῦ ὅτι μὴ ἀσθενέστερον.

Περὶ πολυγονάτου. Κεφ. ϛ΄.

Πολυγόνατον φύεται ἐν ὄρεσι, θάμνος μείζων πήχεως· φύλλα ἔχων ὅμοια δάφνῃ, πλατύτερα δὲ καὶ λειότερα, γευσαμένῳ ὅμοιόν τι μήλῳ κυδωνίῳ ἢ ῥοιᾷ, μετὰ στύψεως γὰρ προσβάλλει, καθ᾽ ἑκάστην δὲ ἔκφυσιν τῶν φύλλων ἄνθη λευκὰ, τῷ πλήθει ὑπερέχοντα τὸν τῶν φύλλων ἀριθμὸν ἀπὸ τῆς ῥίζης γινομένου· ῥίζαν δὲ λευκὴν, μαλακὴν, μακρὰν, πολυγόνατον, δασεῖαν, βαρύοσμον, πάχος ἔχουσαν δακτύλου, ποιοῦσαν πρὸς τραύματα καταπλασσομένην· αἴρει δὲ καὶ σπίλους τοὺς ἐν προσώπῳ.

Περὶ Κληματίδος. Κεφ. ζ΄.

Κληματὶς, οἱ δὲ δαφνοειδὲς, οἱ δὲ σμυρνοειδὲς, οἱ δὲ πολυγονοειδὲς καλοῦσι. φύεται ἐν εὐγείοις, κλήματα δὲ ἔχει μικρὰ ὅσον σχοίνου τὸ πάχος, πέταλον δὲ μικρὸν, δάφνῃ ἐμφερὲς τῷ τε σχήματι καὶ τῇ χρόᾳ, μικρότερον

Sanguinaria fœmina. Cap. V.

Sanguinaria fœmina fruticat vno caule, arundini tenero, ſimili, denſis geniculis, & in ſe tubarum modo farctis: articulos in orbem cingunt apices, foliolis piceæ ſimiles. Radicis nullus vſus: naſcitur in riguis. Huic quoq; ſpiſſandi refrigerādíque natura, ad eadem valens, ſed inefficacior.

Polygonatum. Cap. VI.

Polygonatum naſcitur in mōtibus, frutice cubito altiore: foliis lauri, latioribus, & læuioribus, ſapore mali cotonei, aut punici, cum quadam adſtrictione: flores p ſingulos foliorum exortus promit, candidos, foliis numeroſiores, incepta à radice ſupputatione: radicem habet albam, mollem, lōgam, crebro geniculatam, denſam, graueolentem, digitum craſsitudine æquātem: quæ vulneribus efficaciter illinitur. Quinetiam maculas in facie delet.

Clematis. Cap. VII.

CLEMATIS HVMI ſerpit, læto, pinguíque ſolo prouenit, viticulas ſpargens craſsitudine iunci exiguas: folio lauri figura & colore, multò

multò minora. Ea cum caulibus in vino pota, alui profluuia & dyſenterias ſedant: ſubdita in peſſo cum lacte & roſaceo, aut cyprino, cruciatibꝰ vuluæ medentur. Dolores dẽtium commanducata finit: impoſita ſerpentium morſibus, iuuamentum præſtat. Fertur etiam contra aſpidum ictus ex aceto pota opitulari. Gignitur in terrenis.

μικρότερον δὲ πολλῷ. Ταύτης τὰ φύλλα καὶ οἱ καυλοὶ σὺν οἴνῳ πινόμενα, διαῤῥοίας καὶ δυσεντερίας παύει· μετὰ γάλακτος δὲ καὶ ῥοδίνου ἢ κυπρίνου ἐν πεσσῷ προστιθέμενα, ὑστέρας πόνους θεραπεύει· παύει δὲ καὶ ὀδόντων πόνους διαμασσωμένη. βοηθεῖ καὶ θηριοδήκτοις ἐπιτιθεμένη. ἱστορεῖται δὲ καὶ ἀσπιδοδήκτοις μετ' ὄξους πινομένη βοηθεῖν. φύεται δὲ ἐν χέρσοις.

Polemonia. Cap. VIII.

Polemoniam alij philæteriã, Cappadoces chiliodynamin appellant, ramis exilibus, vtrinque pinnatis: foliis paulo q̃ rutæ maioribus, ac longioribus, calaminthæ aut ſãguinariæ ꝓximis, quibus in ſummis velut corymbi dependent, nigro ſemine: radice cubitali, albicãte, radiculæ ſimili: naſcitur in mõtoſis & aſperis. Bibitur in vino radix contra ſerpentes & dyſenteriam, & ex aqua aduerſus vrinæ difficultatem, & coxendicum cruciatus. Datur ex aceto drachmæ põdere lienoſis. Eadem ſcorpionis plagæ alligatur. Tradunt, eum qui radicẽ guſtauerit à ſcorpione non feriri: eúq;, ſi ictus ſit, nihil moleſti paſſurum. Dentium dolorem manſa mitigat.

Symphytũ

Περὶ Πολεμωνίου. Κεφ. η'.

Πολεμώνιον, οἱ δὲ φιλεταίρειον, καππάδοκες μὲν χιλιοδύναμιν καλοῦσι, κλωνία ἔχει λεπτὰ τεταρσωμένα· φύλλα δὲ ὀλίγῳ μείζονα πηγάνου, ἐπιμηκέστερα δὲ πρὸς τὰ τοῦ πολυγόνου ἢ τῆς καλαμίνθης, ἐπ' ἄκρου δὲ αὐτῶν ὥσπερ κόρυμβοι, ἐν οἷς σπέρμα μέλαν· ῥίζα πηχυαία, ὑπόλευκος, ἐμφερὴς στρουθίῳ· φύεται ἐν ὀρεινοῖς καὶ τραχέσι τόποις. Ταύτης ἡ ῥίζα πίνεται ἐν οἴνῳ πρὸς θηρία καὶ δυσεντερίαν, δυσουρίαν τε καὶ ἰσχιάδα μεθ' ὕδατος. σπληνικοῖς δὲ μετ' ὄξους ὅσον < α'. ὁλκήν. καὶ περιάπτεται ἡ τούτου ῥίζα πρὸς σκορπίου πληγήν. φασὶ δὲ μὴ τύπτεσθαι τοὺς ἔχοντας αὐτὴν ἢ κἂν πληγῶσι μηδὲν πάσχειν· παύει δὲ καὶ ὀδονταλγίας διαμασσωμένη.

Περὶ

Περὶ Συμφύτου πετραίου.
Κεφ. θ'.

Σύμφυτον πετραῖον φύεται ἐν πέτραις, κλωνία δὲ ἔχει ὅμοια ὀριγάνῳ, λεπτά· κεφάλια δὲ ὡς θύμου· τὸ δὲ ὅλον ἐστὶ ξυλῶδες καὶ εὐῶδες, γλυκὺ τῇ πρὸς τὴν γεύσει, καὶ πτυέλου προσκλητικόν· ῥίζαν δὲ ἔχει μακρὰν, ὑπόπορφυρον, ὅσον δακτύλου πάχος. Τοῦτο ἑψηθὲν σὺν μελικράτῳ καὶ ποθὲν ἀνακαθαίρει τὰ ἐν πνεύμονος· καὶ τοῖς αἷμα ἀνάγουσι, καὶ νεφριτικοῖς σὺν ὕδατι δίδοται· σὺν οἴνῳ δὲ ἑψηθὲν πίνεται πρὸς δυσεντερίαν, καὶ ῥοῦν γυναικεῖον ἐρυθρόν· σὺν ὀξυμέλιτι δὲ πρὸς σπάσματα καὶ ῥήγματα. καὶ ἄδιψον δὲ ἐστι διαμασώμενον, ἁρμόζει καὶ ταῖς βρόγχου τραχύτησι· κολλᾷ καὶ νεόβρωτα καὶ ἐντεροκήλας, ἀποκρατεῖ καταπλασσόμενον. καὶ τὰ κρέα δὲ συμπέττει ἑψόμενα σὺν αὐτοῖς.

Περὶ *Συμφύτου ἄλλου.
Κεφ. ι.

Σύμφυτον ἄλλο, οἱ δὲ πηκτόν· καυλὸν ἀνίησι διπηχυαῖον ἢ καὶ μείζονα, κοῦφον, παχὺν, γωνιοειδῆ, κενὸν ὥσπερ σόγχου, περὶ ὃν οὐκ ἐκ μεγάλων διαστημάτων, φύλλα δασέα, στενὰ, ὑπομήκη πρὸς τὰ τοῦ βουγλώσσου· ἐξοχὰς δὲ ἔχει ὁ καυλὸς παρὰ τὰς γωνίας τινὰς τεταμένας.

φύλλων

Symphytum.
Cap. IX.

Symphyton petræon, id eſt alus, naſcitur ĩ petris, ramis tenuibus, paruis, origano ſimilibus: capitulis thymi: ſurculoſũ totum, odoratum, guſtu dulce, ſaliuam ciens: longa radice, ſubrufa, digitali craſsitudine. Decoctũ in aqua mulſa & potũ pulmonis vitia purgat: ſanguinem reiiciétibus, & renum malis, ex aqua datur: ad dyſenteriam, rubráque fœminarum profluuia, in vino decoctum: ad conuulſa verò & rupta ex aceto mulſo bibitur. Quin & commanducatum ſitim ſedat, faucibus aſperis ſubuenit, vulnera recentia enterocelásque conglutinat, & illitu cohibet. Carnes autem cũ ſymphyto decoctæ coaleſcunt.

Symphytum alterum.
Cap. X.

Eſt & alterum ſymphyton, quod aliqui pecton vocant: id caulem emittit bicubitalẽ, aut maioré, craſſum, leué, anguloſum, vt ſonchi inané: circa qué breui interuacante ſpatio, folia exeũt anguſta, bugloſſo ꝓximam, oblõga, hirſuta: caule ſecũdũ angulos quoſdã ſtriato:

foliis

foliis tenuibus ex alarum ſinu prodeuntibus, in quibus flores lutei, & circa caulem velut verbaſci ſemina emicant. Tã caulis quàm folia, aſpera lanugine horrent, tactúque pruritũ cõcitant: radices demittuntur foris nigræ, intus candidæ, viſcoſæ: quarum eſt vſus. Tritæ & potæ cruentis excreationibus, ruptíſque proficiunt: recentia vulnera illitæ conglutinant: carnes quoque, ſi concoquãtur, cogunt additæ: inflammationibus, præſertim ſedis, cum ſenecionis foliis, vtiliter illinũtur.

Holoſtium. Cap. XI.

Holoſtion herba eſt puſilla, tribus quatuórve digitis ſupereminens extra terrã, foliis vitiliculiſq; coronopo aut gramini proximis, guſtu adſtrigentib⁹: radice alba, prætenui vſq; in capillamenti ſpeciẽ, longitudine quatuor digitorũ: naſcit in collib⁹ terrenis. Vſus eius ad rupta, ĩ vino potę: nã & carnes cogũtur, decoctionib⁹ addita.

Stœbe. Cap. XII.

Stœbe vulgaris eſt notitiæ: cuius ſemẽ & folia ſtringũt: quapropter decoctũ dyſentericis infundit: auribus quoq; purulẽtis inſtillatur. Illita folia oculis

ab ictu

φύλλων λεπτῶν περιεχόντων, ἀφ' ἑκάστης μασχάλης, τὰ ἄνθη ἔπεστι μήλινα καὶ καρπὸς περὶ τὸν καυλὸν ὡς φλόμου. ὅλος δὲ ὁ καυλὸς καὶ τὰ φύλλα ἔχει χνοῦν ὑπότραχυν, κατὰ τὴν περιαφὴν κνησμὸν ἐμποιοῦντα· ῥίζαι δ' ὕπεισιν τὴν μὲν ἐπιφάνειαν μέλαιναι, ἔνδοθεν δὲ λευκαὶ καὶ γλίσχραι· ὧν καὶ ἡ χρῆσις. Ποιοῦσι δὲ λεῖαι πινόμεναι αἱμοπτοϊκοῖς καὶ ῥηγματίαις καὶ τὰ νεόβρωτα κολλῶσι καταπλασσόμεναι· καὶ τὰ κρέα δὲ συνεψόμεναι συνάγουσι· καταπλάττονται δὲ πρὸς φλεγμονὰς μάλιστα τὰς ἐν δακτυλίῳ ὠφελίμως μετὰ φύλλων ἠριγέροντος.

Περὶ Ολεστίου. Κεφ. ιά.

Ολέστιον* πόα ἐστὶ μικρὰ ὑπὲρ γῆς ὡς τριῶν δακτύλων ἢ τεσσάρων. φύλλα δὲ ἔχει καὶ κλήματα κορωνόποδι παραπλήσια, ἢ ἀγρώστει, στυπτικά. ῥίζαν δὲ σφόδρα λεπτὴν ὡς τρίχα, λευκὴν τῷ εἴδει, μῆκος δακτύλων τεσσάρων· φύεται ἐν γεωλόφοις. Δύναται δὲ καὶ αὐτὴ κρέα συνάγειν συνεψομένη, καὶ πρὸς ῥήγματα σὺν οἴνῳ ποτίζεται.

Περὶ Στοιβῆς. Κεφ. ιβ'.

Στοιβή· ἧς ὁ καρπὸς καὶ τὰ φύλλα στύφει· ὅθεν καὶ δυσεντεριῶσι τὸ ἀφέψημα αὐτῶν ἐνίεται· ἐγκλύζεται δὲ καὶ εἰς ὦτα πυορροοῦντα· καταπλασθέντα δὲ τὰ φύλλα

ὠφελεῖ

ὠφελεῖ σύγχισιν ὀφθαλμῶν τὴν ἐκ πληγῆς, καὶ αἱμορραγίαν ἴσχει.

Περὶ Κλυμένου. Κεφ. ιγ'.

Κλύμενον καυλὸν ἀνίησι τετράγωνον, ὅμοιον τῷ τοῦ κυάμου· φύλλα δὲ πρὸς τὰ τοῦ ἀρνογλώσσου· θυλάκια δὲ ἔχει ἐπὶ τοῦ καυλοῦ εἰς ἄλληλα νεύοντα, ἐοικότα ἴρεσι καὶ πολύποδος πλεκτάναις. ἄριστον δὲ τὸ ὀρεινόν. Χυλίζεται δὲ ὅλον σὺν τῇ ῥίζῃ. ποιεῖ δὲ ὁ χυλὸς πρὸς αἵματος ἀναγωγὴν πινόμενος· καὶ κοιλιακοὺς, καὶ ῥοῦν ἐρυθρὸν ςύφων καὶ ψύχων· ἐπέχει δὲ καὶ τὰς ἐκ μυκτήρων αἱμορραγίας. τὰ δὲ φύλλα λεῖα ἢ τὰ θυλάκια τοῖς νεοτρώτοις ἐπιτιθέμενα, μέχρι τῆς ἐπουλώσεως ἐνεργεῖ.

Περὶ περικλυμένου.

Κεφ. ιδ'.

Περικλύμενον θαμνίσκος ἐστὶν ἁπλοῦς, ἔχων ἐκ διαστημάτων φυλλάρια περιειληφότα αὐτὸν, ὑπόλευκα, κισσοειδῆ, καὶ παρὰ τὰ φύλλα ἐκβλαστήσεις· ἐφ' ὧν ὁ καρπὸς κισσῷ παραπλήσιος· ἄνθος* λευκὸν, κυάμῳ ἐμφερὲς, ὑποστρογγύλον, οἱονεὶ ἐπικείμενον τῷ φύλλῳ· καρπὸν σκληρὸν καὶ δυσαπόσπαστον· ῥίζαν* παχεῖαν περιφερῆ. φύεται ἐν *ἀρούραις καὶ φραγμοῖς. περιελίττεται δὲ τοῖς πλησιάζουσι θάμνοις. Τούτου ὁ καρπὸς πέπειρος

συλλεγεὶς

ab ictu cruétis ꝓſunt, & erũpẽtis ſanguinis impetus cohibét.

Clymenum. Cap. XIII.

Clymenum caulem fert fabæ, quadratum: folia plantaginis, folliculis ſupra caulem in ſeſe inflexis, vt in iride, & polyporum cirrhis. Probatiſſimum eſt è montibus. E frutice toto cum radice ſuccus exprimitur, qui ad ſãguinis reiectiones, in potu efficax eſt: cœliacos, rubráque fœminarum profluuia, refrigerando infrænat: ſanguinem naribus erumpentem ſupprimit. Trita folia, aut ſiliquæ recentibus vulneribus impoſitæ, ea ad cicatricem perducunt.

Periclymenum.

Cap. XIIII.

Periclymenon, ſimplex fruticat, ex interuallis parua folia habens, ipſum amplectentia, ſubcandida, hederacea: inter folia ſurculi exeunt, in quibus baccæ, hederæ ſimiles: flos fabę cãdidus, aliquantũ rotũdus, & quaſi in foliũ procumbens: ſemen durũ, & quod difficile euellatur: radice rotũda, craſſa. Naſcitur in aruis ac ſepib⁹, conuolués ſe adminiculis, propter aſsidentibus. Semen eius poſtquàm ematuruit collectũ,

&

& in vmbra ſiccatũ, ſi drachmæ põdere detur in vino, quadragenis diebus, lienem abſumit, laſsitudinem diſcutit: ſed vrinam ciet, ſtatim à ſexto die cruentam. Orthopnoeæ, & ſingultui prodeſt: partum accelerat. Folia ſunt eiſdem viribus prædita, quæ tricenis ſeptenis diebus epota, ſterilitatẽ facere prodũtur: perunctis ex oleo, febrium algores abigũt.

Tribulus. Cap. XV.

TRIBVLI genus vnum terreſtre, foliis ad effigiẽ portulacæ, tenuioribus, viticulis in terra ſtratis: ſpinis ſecundum folia rigidis, præduris: iuxta amnes & rudera naſcitur. Eſt & alterum genus, aquis familiare, quod in fluminibus natum comã exerit, aculeos condens: foliis latis, & pediculo longo: caule parte ſumma, quàm ima craſsiori, adſunt ei & capillamenta quædam ſpicacea: ſemen durũ, ab altero non abhorrens. Vterque refrigerãtis & inſpiſſantis eſt naturæ: ideo inflammationes omneis cataplaſmate adiuuat. Vlcera in ore erũpentia, putredines, gingiuas, tonſilláſque perſanat. Succ⁹ ex his colligitur ad oculorũ medicinas. Semen

συλλεγεὶς καὶ ξηρανθεὶς ἐν σκιᾷ, πίνεται μετ᾽ οἴνου < α. ὁλκὴν ἐπὶ ἡμέρας μ΄. καὶ σπλῆνα τήκει, καὶ κόπον λύει, καὶ ὀρθόπνοιαν ὠφελεῖ καὶ λυγμόν· οὖρα ἄγει ἀπὸ τῆς ἕκτης ἡμέρας αἱματώδη. ἔστι δὲ καὶ ὠκυτόκιον, τὴν αὐτὴν δὲ καὶ τὰ φύλλα δύναμιν ἔχει ἡμέρας λζ΄. ποθέντα, καὶ ἀγόνους ἱστορεῖται ποιεῖν· ἀλειφόμενα δὲ μετ᾽ ἐλαίου ἐπὶ τῶν περιοδικῶν, τὰ φρικία παραιτεῖται.

Περὶ Τριβόλου. Κεφ. ιε΄.

Τρίβολος ὁ μὲν χερσαῖος ἀνδράχνῃ τὰ φύλλα ἔοικε, λεπτότερα δὲ καὶ τὰ κλήματα κατὰ γῆς ἐστρωμένα, καὶ πρὸς αὐτοῖς ἄκανθαι στρυφναί, σκληραί. φύεται δὲ παρὰ ποταμοῖς καὶ οἰκοπέδοις. Ἔστι δέ τις καὶ ἔνυδρος παρὰ ποταμοῖς φυόμενος, ὑπερέχων τὴν κόμην, τὴν δὲ ἄκανθαν κρύπτων· φύλλα πλατέα, μόσχον ἔχοντα μακρόν. καυλὸς δὲ ἐξ ἄκρου παχὺς, μᾶλλον τοῦ ἐν βάθει. πρόσεστι δὲ καὶ τριχώδη τινὰ ἀποπεφυκότα σταχυώδη. καρπὸς σκληρὸς ὡς καὶ ὁ θατέρου. Ἀμφότεροι δὲ στύφουσι, ψύχουσιν· εἰσί τε πάσης φλεγμονῆς καταπλάσματα. σὺν μέλιτι δὲ ἄφθας καὶ παρίσθμια, καὶ τὰς ἐν στόματι σηπεδόνας, καὶ οὖλα θεραπεύουσι· χυλίζονται δὲ καὶ εἰς τὰ ὀφθαλμικά. ὁ δὲ

ὁ δὲ καρπὸς αὐτῶν, χλωρὸς λιθιῶντας πινόμενος ὠφελεῖ. τοῦ δὲ χερσαίου ὅσον < α. πινομένη καὶ καταπλασσομένη, τοὺς ἐχιοδήκτους ἀποκαθίστησιν· ἁρμόζει καὶ θανασίμοις μετ᾽ οἴνου πινόμενος. κτείνει δὲ καὶ ψύλλας τὸ ἀπόζεμα αὐτοῦ ῥανθέν. οἱ δὲ περὶ τὸν Στρυμόνα ποταμὸν Θρᾷκες, τὴν μὲν πόαν χλωρὰν ἱπποβοσκοῦσι· τὸν δὲ καρπὸν γλυκὺν ὄντα καὶ τρόφιμον, σιτοποιοῦνται, χρώμενοι αὐτῷ ἀντὶ ἄρτου.

Περὶ Λειμωνίου. Κεφ. ιϛʹ.

Λειμώνιον, οἱ δὲ, νευροειδές. τὰ μὲν φύλλα ἔχει ὅμοια σεύτλῳ, λεπτότερα δὲ καὶ μακρότερα, δέκα ἢ πλείω· καυλὸν λεπτὸν, ὄρθιον, ἴσον ὥσπερ κρίνου, γέμοντα καρποῦ ἐρυθροῦ στύφοντος τὴν γεῦσιν. Δύναται δὲ ὁ καρπὸς λεῖος σὺν οἴνῳ ποθεὶς, ὀξυβάφου πλῆθος δυσεντερικοὺς καὶ κοιλιακοὺς ὠφελεῖν· ῥοῦν τε γυναικεῖον ἐρυθρὸν ἐφιστάνειν. φύεται δὲ ἐν λειμῶσι καὶ ἑλώδεσι τόποις.

Περὶ Λαγώποδος. Κεφ. ιζʹ.

Λαγώπους δύναμιν ἔχει σταλτικὴν κοιλίας, πινόμενον μετ᾽ οἴνου· ἐπὶ δὲ τῶν πυρεσσόντων μεθ᾽ ὕδατος. περιάπτεται δὲ καὶ πρὸς φλεγμονὴν βουβώνων· φύεται δὲ ἐν πρασιαῖς.

Περὶ Μηδίου. Κεφ. ιηʹ.

Μήδιον φύεται ἐν παλισκίοις τόποις καὶ πετρώδεσιν· ἔχει φύλλα ὅμοια ἴριδι· καυλὸς τρίπηχυς,

αὔθι

Semen dum recẽs bibitur, calculoſis iuuamentum affert. Drachma terreſtris tribuli pota, illitáve, ictos à vipera recreat: contra venena cum vino aptiſsimè bibitur. Decoctum eius ſparſum pulices necat. Thraces qui ad Strymona amnem habitãt, virenti tribulo equos ſaginãt, & è dulci ſemine & eſculento panem, quo veſcuntur, faciunt.

Limonium. Cap. XVI.

Limonion, folia habet betæ, tenuiora & longiora, decem, ſæpe plura: caulem tenuem, rectum, lilio æqualem, ſeminibus rubris ſcatentem, quæ guſtata adſtringunt. Semen tritum, & ex vino acetabuli menſura potum, dyſentericis cœliacíſque prodeſt: rubra fœminarum profluuia ſiſtit. Naſcitur in pratis & paluſtribus.

Lagopus. Cap. XVII.

Lagopus herba ſiſtit aluum in vino pota: aut in febri, ex aqua. Eadem inguini alligatur, in inflammatione. Naſcitur in ſegetibus.

Medium. Cap. XVIII.

MEDION in ſaxis & opacis naſcitur: folia habet iridis: caulem tricubitalem,

C &

& in eo florem grandẽm, purpureum, rotundũ: ſemine cnici, minuto: radicem dodrantalem, craſsitudine baculi, guſtu acerbo. Quæ trita in farinã, & ex melle decocta, rubros mẽſes fœminarũ ſiſtit, eclegmate per aliquot dies ſumpto. Semẽ in vino potum, mẽſtrua pellit.

Epimedium. Cap. XIX.

Epimedium, caulis eſt non magnꝰ, hederæ foliis, denis atque duodenis, neque florẽ, neque fructum ferens: radice tenui, nigra, graui odore, guſtu fatuo: naſcitur in humidis. Folia cum oleo trita, impoſito cataplaſmate, mammas increſcere non ſinunt. Radix conceptum adimit. Folia trita quinis drachmis, poſt mẽſtruas purgationes, quinq; diebꝰ in vino pota, præſtãt mulieribꝰ ne cõcipiãt.

Gladiolus. Cap. XX.

Xiphion, alij phaſganon, alij machæroniõ, Romani gladiolum, vocant. nomen inde accepit, quod foliũ gladij prębeat ſpeciem. Iridi ſimile erat, niſi minus & anguſtius videretur, & gladij modo mucronatum, neruoſumq́; In caulem exit cubitalem, in quo purpurei flores, in ordinẽ digeſti, inter ſe diſtant: rotundo ſemine:

radicibus

ἄνθη πορφυροειδῆ μεγάλα, καὶ περιφερῆ· καρπὸς μικρὸς, ἐοικὼς κνίκῳ· ῥίζα σπιθαμιαία, βακτηρίας ἔχουσα πάχος, στρυφνὴ γευομένῳ. Ἡ τις ξηρὰ λεία ἐκλειχομένη σὺν μέλιτι ἑφθὴ ἐφ' ἱκανὰς ἡμέρας, ῥοῦν τὸν ἐρυθρὸν ἵστησι. τὸ δὲ σπέρμα σὺν οἴνῳ ποθὲν, ἄγει ἔμμηνα.

Περὶ Ἐπιμηδίου Κεφ. ιθ'.

Ἐπιμήδιον καυλός ἐστιν οὐ μέγας, κισσῷ παραπλήσια φύλλα ἔχων ὅσον ι. ἢ ιβ'. οὔτε δὲ καρπὸν οὔτε ἄνθη φέρει· ῥίζαι δὲ λεπταὶ, μέλαιναι, βαρύοσμοι, γευσαμένῳ μωραί· φύεται ἐν τόποις ὑδρηλοῖς. Ταύτης τὰ φύλλα λεῖα μετ' ἐλαίου, κατάπλασμα μαστῶν εἰς τὸ μὴ αὔξεσθαι. ἀτόκιός τε ἡ ῥίζα καὶ τὰ φύλλα λεῖα ποθέντα ἐν οἴνῳ μετὰ τὴν κάθαρσιν < ε. πλῆθος ἐπὶ ἡμέρας ε. ἀσυλλήπτους τηρεῖ.

Περὶ Ξιφίου.
Κεφ. κ'.

Ξιφίον, οἱ δὲ, φάσγανον, οἱ δὲ, μαχαιρώνιον καλοῦσι, διὰ τὸ τοῦ φύλλου σχῆμα, ἔοικε γὰρ ἴρειδι, ἔλαττον μέν τι καὶ στενώτερον, καὶ ἄποξυ ὡς μαχαίριον, ἰνῶδες. καυλὸν δὲ ἀνίησι πηχυαῖον, ἐφ' οὗ ἄνθη πορφυρᾶ στιχηδὸν, ἀπ' ἀλλήλων διεστῶτα· καρπὸν δὲ στρογγύλον· ῥίζας β'.

τὴν

τῶν μὲν μίαν ἐπὶ τῆς ἑτέρας καθημένην, ὥσπερ βολβία μικρά· τούτων ἡ μὲν κάτω, ἰσχνή ἐστιν, ἡ δὲ ἄνωθεν, ἁδροτέρα· φύεται δὲ μάλιστα ἐν ἀρούραις. Δύναται δὲ ἡ ἄνωθεν ῥίζα καταπλασσομένη μετ' οἴνου καὶ λιβανωτοῦ, ἀκίδας καὶ σκόλοπας ἐπισπᾶσθαι· σὺν ἀλεύρῳ δὲ αἰρίνῳ καὶ ὑδρομέλιτι διαφθείρει φύγεθλα· ὅθεν τοῖς τοιούτοις ἐμπλάστροις μίγνυται. ἄγει δὲ καὶ καταμήνια προστεθεῖσα. φασὶ δὲ καὶ ἀφροδίσια παρορμᾶν τὴν ἀνωτέραν ῥίζαν σὺν οἴνῳ ποθεῖσαν, τὴν κατωτέραν δὲ ἀγόνους ποιεῖν. ἐντερεγκηλικοῖς τῶν παιδίοις ὠφελίμως δίδοσθαι τὴν ἐπάνω ῥίζαν ἐν ποτῷ σὺν ὕδατι.

radicibus geminis, vna puſillorum bulborum modo, ſuper alteram inſidente, quarum inferior gracilis eſt, ſuperna vberior: naſcitur in aruis. Superior cum thure illita, admiſto vino, ſpicula & aculeos è corpore extrahit: panos cum lolij farina & hydromelite diſcutit: qua de re huiuſmodi emplaſtris inſeri ſolet. Menſes impoſita trahit. Superiori radice ex vino pota, venerem ſtimulari, & inferiore ſumpta ſterileſcere tradunt. Superiorem quoq; vtiliter infantiũ enterocelis, cũ aqua potui dare præcipiũt.

Περὶ Σπαργανίου. Κεφ. κα'.

Σπαργάνιον φύλλα ἔχει ἐοικότα ξιφιδίῳ, στενότερα δὲ καὶ ἐπικλινέστερα· ἐπ' ἄκρου δὲ τοῦ καυλοῦ ὡσεὶ σφαιρία ἐν οἷς ὁ καρπός. δίδοται ἡ ῥίζα καὶ ὁ καρπὸς σὺν οἴνῳ θηριοδήκτοις.

Sparganium. Cap. XXI.

Sparganion, aliq̃ xiphidion vocãt, folia habet gladioli, ſed arctiora, & ĩ terrã magis ꝓcũbẽtia: in ſũmo caule veluti pilulæ ꝓminẽt, ĩ qb⁹ ſemẽ. Cõtra ſerpẽtis venena radix cũ vino datur.

Περὶ Ξυρίδος. Κεφ. κβ'.

Ξυρὶς, τὰ μὲν φύλλα ἔχει ἴρειδι ὅμοια, πλατύτερα δὲ καὶ ἐξ ἄκρου ὀξέα· καυλὸν δὲ ἐκ μέσου τῶν φύλλων πηχυαῖον, ἱκανῶς παχὺν, ἐφ' οὗ λοβοὶ τρίγωνοι· καὶ ἐπ' αὐτῶν ἄνθος πορφυροῦν· τὸ δὲ ἐν μέσῳ φοινικοῦν· καρπὸς δὲ ἐν θυλακίοις κυάμοις ὅμοιος, στρογγύλος, ἐρυθρὸς, δριμύς·

Xyris. Cap. XXII.

XYRIS, folia habet iridis, latiora, & in cacumine mucronata: quorum medio caulis erumpit, ſatis craſſus, cubitalis, ex quo ſiliquæ triangulares dependent: in quibus purpureus flos, in medio puniceus: ſemen in folliculis, ſimile fabis, rotundum, rubrum, acre:

radix longa, geniculata, rufa. Contra capitis vulnera fractáque efficax eſt: aculeos & ſpicula omnia citra moleſtiã extrahit, adiecta floris æris tertia parte, & radicis centaurij ac mellis quinta: tumoribus & collectionib⁹ illita cum aceto medetur. Radix ex paſſo bibitur, ad conuulſa, rupta, coxendicum dolores, ſtrangurias & alui profluuia. Semen tribus obolis potum, vrinam vehementius impellit: & cum aceto, lienem abſumit.

ῥίζα δὲ πολυγόνατος, μακρὰ, πυῤῥὰ, ποιοῦσα πρὸς τὰ ἐν κεφαλῇ τραύματα καὶ κατάγματα· ἀνάγει δὲ σκόλοπας, καὶ πᾶν βέλος ἐκσπᾶται μετ' ἀπονίας μιγνύντος αὐτῇ χαλκοῦ ἄνθους μέρους τρίτον, καὶ κενταυρείου ῥίζης μέρος έ. καὶ μέλιτος. θεραπεύει δὲ καὶ οἰδήματα καὶ φλεγμονὰς καταπλασσομένη μετ' ὄξους· πίνεται δὲ καὶ πρὸς σπάσματα, ῥήγματα, ἰσχιάδας τε καὶ στραγγουρίας. καὶ διαῤῥοίας ἡ ῥίζα μετὰ γλυκέος τεθλασμένη. ὁ δὲ καρπὸς οὐρητικώτατος ὅσον τριώβολον ποθεὶς ἐν οἴνῳ· τήκει δὲ καὶ σπλῆνα σὺν ὄξει ποθείς.

Anchuſa. Cap. XXIII.

Περὶ Ἀγχούσης. Κεφ. κγ´.

ANCHVSA, quæ alio nomine calys, aut onoclea appellatur, folia habet lactucæ in acumen, faſtigiata, hirſuta, aſpera, nigra, multa, ab radice quoquoverſum humi ſparſa, ſpinis horrida: radici craſſitudo digitalis, quæ æſtate prouenit, ac manus inficit ſanguineo colore: læto ſolo naſcitur. Radix adſtringit: ad ambuſta & vetera vlcera, ex oleo & cera efficax eſt: igni ſacro cum polenta medetur: lepris & vitiliginibus illinitur ex aceto: partus extrahit, vuluæ indita. Eius decoctum

Ἄγχουσα, ἣν ἔνιοι κάλυκα, οἱ δὲ, ὀνόκλειαν καλοῦσι· τὰ μὲν φύλλα ἔχει θριδακίνῃ τῇ ὀξυφύλλῳ παραπλήσια, δασέα, τραχέα, μέλανα, πολλὰ. πανταχόθεν τῆς ῥίζης προσπεπλασμένα τῇ γῇ, ἀκανθώδη· ἡ δὲ ῥίζα δακτύλου τὸ πάχος, τὴν χρόαν ὕφαιμος, ἐν τῷ θέρει γινομένη καὶ βάπτουσα τὰς χεῖρας· φύεται ἐν εὐγείοις τόποις. Ἔστι δὲ ἡ ῥίζα στυπτική· ποιοῦσα πρὸς κατακαύματα καὶ παλαιὰ ἕλκη, ἑναφεψομένη κηρῷ καὶ ἐλαίῳ· ἐρυσιπέλατα δὲ σὺν ἀλφίτῳ καταπλασθεῖσα θεραπεύει· καὶ ἀλφοὺς καὶ λέπρας σὺν ὄξει καταπλασσομένη· προστεθεῖσα δὲ καὶ ἔμβρυα κατασπᾷ. τὸ δὲ

δὲ ἀφέψημα αὐτῆς δίδοται καὶ ἰκτερικοῖς, νεφριτικοῖς, σπληνικοῖς, πυρέσσουσι μετὰ μελικράτου. τὰ δὲ φύλλα κοιλίαν ἵστησι μετ' οἴνου πινόμενα. χρῶνται δὲ καὶ οἱ μυρεψοὶ τῇ ῥίζῃ πρὸς τὰς σύψεις τῶν μύρων.

decoctum renum vitiis, lieni, & bile ſuffuſis datur: & ſi febris ſit, ex aqua mulſa. Siſtunt aluum folia in vino pota. Radice pigmẽtarij vtuntur ad vnguentorum ſpiſſamenta.

Περὶ Ἀγχούσης ἑτέρας. Κεφ. κδ'.

Ἄγχουσα ἑτέρα, ἣν ἔνιοι ἀλκιβιάδιον, ἢ ὀνοχειλὲς ἐκάλεσαν. αὕτη διαφέρει τῆς προτέρας, τῷ μικρότερα ἔχειν τὰ φύλλα, τραχέα δὲ ὁμοίως· καὶ τὰ κλωνία λεπτὰ ἐφ' ὧν ἄνθος πορφυροειδὲς ὑποφοινίκιζον· ῥίζας δὲ ἐρυθρὰς, εὐμήκεις, περὶ τὸν πυραμητὸν ἐχούσας τὸ αἱματῶδες· φύεται δὲ ἐν ἀμμώδεσι τόποις. Δύναμις δὲ αὐτῆς, καὶ τῶν φύλλων θηριοδήκτοις βοηθεῖν, μάλιστα δὲ ἐχιοδήκτοις, ἐσθιόμενα, καὶ πινόμενα, καὶ περιαπτόμενα· κἂν μασησάμενός τις εἰς τὸ στόμα τοῦ θηρίου ἀποπτύσῃ, ἀποκτενεῖ αὐτό.

Anchuſa altera. Cap. XXIIII.

Eſt & altera, quam aliqui alcibiadion, aut onochiles appellarũt. Hęc à priore diſtat, quòd minora habeat folia, ſed ſimili modo aſpera: ramulos exiles in quibus flos purpureus in puniceum vergens conſpicitur: radices rubræ, prælongæ, quæ meſsibus ſanguineum ſuccum fundunt: in ſabuloſis naſcitur. Vis ei foliiſq; ineſt, quę contra virus cùm reliquorum ſerpentium, tum maximè viperarum auxilietur, ſiue cibo, ſiue potu, ſiue alligatu: nam ſi quiſquam mandens, in ſerpentis os inſpuat, eum necabit.

Περὶ Ἑτέρας ἀγχούσης. Κεφ. κε'.

Ἔστι δὲ καὶ ἄλλη ἐμφερὴς ταύτῃ, ἐλάττω δὲ καρπὸν ἔχουσα φοινικοῦν. ὃν ἐάν τις μασησάμενος ἀποπτύσῃ εἰς τὸ στόμα τοῦ ἑρπετοῦ, ἀποκτενεῖ. ἡ δὲ ῥίζα μετὰ ὑσσώπου καὶ καρδάμου ποθεῖσα, ὀξυβάφου πλῆθος, πλατεῖαν ἕλμινθα ἐκτινάσσει.

Anchuſa tertia. Cap. XXV.

EST & alia huic haud diſſimilis, ſemine puniceo, minore. Cuius ſemen manducatum, ſi in ſerpentis fauces inſpuatur, eam interficiet. Radix acetabuli menſura cum hyſſopo & naſturtio pota, latas ventris tineas excutit.

Lycopſis. Cap. XXVI.

Lycopſis, quæ & anchuſa à nonnullis vocatur, folijs lactucæ, longioribus, aſperioribus, latioribúſque, craſsis, ad radicis caput recidentibus: caule longo, recto, ſcabro, hirſutis adnatis, multis, cubitalibus: flore in iis paruo purpuraſcente: radice rubra, & adſtringente: naſcitur in campeſtribus. Cum oleo radix illita, vulneribus medetur: & cum farina hordeacea, ignibus ſacris: ſudores peruncta mouet, adiecto oleo.

Echium. Cap. XXVII.

ECHION, folia habet prælonga, aſpera, aliquantum tenuia, anchuſæ proxima, minora tamen, ſubrubra, & pinguia, ſpinulis tenuibus horridula: cauliculos exiles, numeroſos: minutáque vtroque latere folia, expanſa, pinnatáque, nigra, in ſummo caule breuiora: flores ſecundum folia purpureos, in quibus ſemina capiti viperarũ ſimilia inſunt: radix nigricat, digito tenuior. Quæ non percuſsis modò a ſerpentibus ex vino prodeſt, ſed eos qui anteà biberint, feriri non patitur. Folia & ſemen idem præſtant munus.

Lumborum

Περὶ Λυκόψεως. Κεφ. κϛʹ.

Λύκοψις, οἱ δὲ, καὶ ταύτην ἄγχουσαν ἐκάλεσαν, τὰ μὲν φύλλα ἔχει ὅμοια θρίδακι, μακρότερα δὲ καὶ τραχύτερα καὶ παχέα καὶ πλατύτερα, πεπτωκότα περὶ τὴν τῆς ῥίζης κεφαλήν· καυλὸν ἀνίησι μακρὸν, ὀρθὸν, τραχὺν, παραφυάδας ἔχοντα πολλὰς, πηχυαίας, βραχείας· καὶ ἐπ' αὐταῖς ἄνθη μικρὰ, πορφυρίζοντα· ῥίζα δὲ ἐρυθρὰ, στυπτική· φύεται ἐν πεδίοις. καταπλασσομένη δὲ μετ' ἐλαίου ἡ ῥίζα, τραύματα ἰᾶται· μετ' ἀλφίτου δὲ ἐρυσιπέλατα· λεία δὲ συναλειφομένη μετ' ἐλαίου ἱδρῶτας κινεῖ.

Περὶ Ἐχίου. Κεφ. κζʹ.

Ἔχιον, οἱ δὲ, ἀείδαν, οἱ δὲ, ἀλκιβιάδιον, τὰ μὲν φύλλα ἔχει περιμήκη, τραχέα, ὑπόλεπτα, πρὸς τὰ τῆς ἀγχούσης, ἥττονα δὲ καὶ λιπαρὰ, ἀκάνθια λεπτὰ ἐπικείμενα, καὶ ἃ καὶ δασύνει τὰ φύλλα· καυλία λεπτὰ, πολλά· ἑκατέρωθεν δὲ φυλλάρια λεπτὰ ταρσούμενα, μέλανα, ἐλάττονα δὲ πρὸς λόγον τῶν ἐπ' ἄκρου τοῦ καυλοῦ. τὰ δὲ ἄνθη παρὰ τὰ φύλλα πορφυροειδῆ ἐν οἷς ἐστι καὶ ὁ καρπὸς κεφαλῇ ἔχεως ὅμοιος· ῥίζα δὲ λεπτοτέρα δακτύλου, ὑπομέλαινα. ἥτις οὐ μόνον τοῖς δηχθεῖσιν ὑπὸ ἑρπετῶν βοηθεῖ ποθεῖσα μετ' οἴνου, ἀλλὰ καὶ τοὺς προπίνοντας ἀδήκτους ποιεῖ. ὁμοίως δὲ καὶ τὰ φύλλα καὶ ὁ καρπός.

πος. παύει δὲ καὶ ὀσφύος ἄλγημα, καὶ γάλα κατασπᾷ, μετ' οἴνου ἢ ῥοφήματος ληφθεῖσα.

Περὶ *Ὠκιμοειδοῦς. Κεφ. κη'.

Ὠκιμοειδές, οἱ δὲ φιλεταίριον, φύλλα μὲν ἔχει ὠκίμῳ ὅμοια, κλῶνας δὲ σπιθαμιαίους, δασεῖς· λοβοὺς δὲ παραπλησίους ὑοσκυάμῳ, πλήρεις σπέρματος μέλανος, ἐοικότας μελανθίῳ. Δύναμιν δὲ ἔχει τὸ σπέρμα πινόμενον ἐν οἴνῳ, ἐχιοδήκτους καὶ τὰ ἄλλα τῶν ἑρπετῶν δήγματα θεραπεύειν. δίδοται δὲ καὶ ἰσχιαδικοῖς μετὰ σμύρνης καὶ πεπέρεως· ῥίζα δὲ ὕπεστι λεπτὴ καὶ ἄχρηστος.

Περὶ Ἐρίνου. Κεφ. κθ'.

Ἔρινος φύεται περὶ ποταμοῖς καὶ κρήναις, φύλλα ἔχει ὠκίμοις ὅμοια, μικρότερα δὲ καὶ ἐπεσχισμένα ἐκ τῶν ἄνωθεν μερῶν, κλωνία δὲ ε. ἢ ϛ'. σπιθαμιαῖα, ἄνθη λευκά· καρπὸν δὲ μέλανα, μικρὸν, στρυφνόν· ὀποῦ δὲ μεστός ἐστιν ὁ καυλὸς καὶ τὰ πέταλα. Τούτων ὁ καρπὸς < β'. πλῆθος μιγεὶς πρὸς μέλιτος κυάθοις τέσσαρας, ῥεύματα ὀφθαλμῶν ἐγχριόμενος ἵστησιν. ὁ δὲ χυλὸς ὤτων πόνον παύει μετὰ θείου ἀπύρου καὶ νίτρου ἐνσταζόμενος.

Περὶ Ἀγρώστεως. Κεφ. λ'.

Ἄγρωστις κλημάτια ἔχει γονατώδη ἕρποντα ἐπὶ τῆς γῆς, καὶ ἀπὸ τῶν κλάδων περιεχόμενα· ῥίζας γλυκείας, γονατώδεις· φύλλα ὀξέα,

σκληρά,

Lumborum dolores ſedat, in vino aut ſorbitione ſumpta, & lac extrahit.

Ocimaſtrũ. Cap. XXVIII.

Ocimoides, Latini ocimaſtrum vocant, folia fert ocimi, & ramos dodrãtales, hirſutos: ſiliquas hyoſcyamo ſimiles, ſemine, vt gith, nigro prægnantes. Vim habet ſemen in vino potum, qua viperarum cæterarúmque ſerpentium morſibus medeatur. Datur iſchiadicis cum melle, vino, myrrha, & pipere. Radice nititur tenui, & ſuperuacua.

Erinus. Cap. XXIX.

Erinus naſcitur apud fontes & fluuios, foliis ocymi, ſed minoribus, parte ſuperna diuiſis, dodrantalibus ſurculis quinis ſeníſve, flore candido: ſemine nigro paruo & acerbo: folia & caules lacteo ſucco turgẽt. Semen drachmis duabus, in quatuor mellis cyathis, oblitum, oculorum fluxiones cohibet. Succus cum ſulphure & nitro inſtillatus, aurium dolores ſedat.

Gramen. Cap. XXX.

GRAMEN geniculatis ſerpit ramulis, à quibus radices ſpargit dulces, articulis præcinctas: folia acuminata,

 dura,

dura, &, vt arundinis paruæ, lata, in exilitatem faſtigiátur, eáque iumenta & boues paſcũt. Trita radix illitu vulnera conglutinat. Decoctũ eiꝰ in potu. torminibus medetur, & vrinæ difficultatibꝰ: calculoſa etiam veſicæ excreméta comminuit.

Gramen arundinaceum.

Cap. XXXI.

EST & arundinaceum gramé, priore multò maius, quod iumenta necare traditur, præſertim in Babylone id quod iuxta vias naſcitur.

Gramen Parnaſaicum.

Cap. XXXII.

QVOD in Parnaſo monte gignitur, denſius fruticat: foliis hederaceis: flore odorato, candido: ſemine paruo, non inutili: radicibus quinis aut ſenis, digitali craſsitudine, candidis, mollibus, robuſtis, ac dulcibꝰ. Succus ſi in vino cum melle pari, & myrrhæ dimidio decoquatur, adiiciátúrque piperis & thuris tertiæ portiones, probatiſsimum erit oculorum medicamétum: id in ærea pyxide reconditur. Decoctum radicis idem quod herba, præſtat. Semen vehementius vrinã impellit, aluũ vomitionesq; ſiſtit. Natum in Cilicia gramen,

quod

σκληρά, πλατέα, ὡς καλάμου μικροῦ, τρέφοντα βόας καὶ κτήνη. Ταύτης ἡ ῥίζα καταπλαττομένη λεία, τραύματα κολλᾷ. τὸ δὲ ἀφέψημα αὐτῆς πινόμενον, στρόφους ποιεῖ καὶ δυσουρίαν. καὶ τὰ περὶ τὴν κύστιν περιττώματα λιθώδη θρύπτει.

Περὶ Καλαμαγρώστεως.

Κεφ. λά.

Καλαμάγρωστις μείζων ἐστὶ κατὰ πάντα τῆς ἀγρώστεως. ἔστι δὲ κτηνῶν ἀναιρετικὴ βρωθεῖσα, καὶ μάλιστα ἡ ἐν βαβυλῶνι παρὰ τὰς ὁδοῖς φυομένη.

Περὶ τῆς ἐν παρνασῷ ἀγρώστεως. Κεφ. λβ΄.

Η δὲ ἐν τῷ παρνασῷ γινομένη ἄγρωστις, πολυκλαδωτέρα ἐστί· φύλλα δὲ κισσῷ ὅμοια φέρει· ἄνθος λευκὸν, καὶ εὐῶδες· καρπὸν, μικρὸν, οὐκ ἄχρηστον· ῥίζας ε΄. ἢ ς΄. δακτύλου πάχος, λευκὰς, μαλακὰς, γλυκείας ἰσχυρῶς. ὧν ὁ χυλὸς ἑψηθεὶς σὺν οἴνῳ καὶ μέλιτι συμμέτρῳ καὶ σμύρνης ἡμίσει μέρει, πεπέρει τε καὶ λιβανωτοῦ τῷ τρίτῳ, φάρμακόν ἐστιν ἄριστον πρὸς ὀφθαλμούς· ἀποτίθεται δὲ ἐν χαλκῇ πυξίδι. τὸ δὲ ἀφέψημα τῶν ῥιζῶν, ποιεῖ πρὸς ἃ καὶ αὐτή. τὸ δὲ σπέρμα ταύτης ἰσχυρῶς διουρητικὸν, καὶ ἐμέτων καὶ κοιλίας ῥεύσεως σταλτικόν. Η δὲ ἐν κιλικίᾳ γινομένη,

ἣν

ἣν οἱ ἐπιχώριοι κίνναν καλοῦσιν, ὑγρὰ βρωθεῖσα πολλάκις, πιμπρησι τοὺς βόας.

Περὶ Σιδηρίτιδος. Κεφ. λγʹ.

Σιδηρῖτις, οἱ δὲ ἡράκλειαν, πόα ἐστὶ φύλλα ἔχουσα ὅμοια πρασίῳ, ἐπιμηκέστερα δὲ, πρὸς τὰ τοῦ ἐλελισφάκου ἢ δρυὸς, μικρότερα μέν τοι καὶ τραχέα· καυλοὺς δὲ ἀνίησι τετραγώνους, σπιθαμιαίους ἢ καὶ μείζονας, οὐκ ἀηδεῖς ἐν τῇ γεύσει, καὶ πρὸς ὑποστύφοντας· ἐν οἷς ἐκ διαστημάτων σπόνδυλοι περιφερεῖς ὥσπερ πρασίου, καὶ ἐν αὐτοῖς σπέρμα μέλαν· φύεται δὲ ἐν ὑποπέτροις χωρίοις. Δύναμιν δὲ ἔχει τὰ φύλλα καταπλασσόμενα, τραυμάτων κολλητικὴν καὶ ἀφλέγμαντον.

Περὶ Ἑτέρας σιδηρίτιδος. Κεφ. λδʹ.

Ἄλλη σιδηρῖτις κλῶνας ἔχει διπήχεις, λεπτούς· φύλλα δὲ ἐπὶ μόσχων μακρῶν, ὅμοια τοῖς τῆς πτέριδος, ἀκροσχιδῆ πολλὰ ἑκατέρωθεν, ἐκ δὲ τῶν ἀνωτέρω μασχαλῶν, ἀποφύσεις μακρὰς, λεπτὰς, ἐπ᾽ ἄκρου σφαιροειδεῖς, κεφαλὴν ἐχούσας τραχεῖαν, ἐν οἷς σπέρμα ὅμοιον σεύτλῳ, στρογγυλώτερον δὲ καὶ σκληρότερον. δύναμις δὲ καὶ ταύτης ἐστὶ καὶ τῶν φύλλων τραυματική.

Περὶ Ἑτέρας σιδηρίτιδος. Κεφ. λεʹ.

Ἔτι καὶ ἑτέρα εἶναι λέγεται σιδηρῖτις, ἣν καὶ

quod incolæ cinnā appellant, boues inflammat, ſi eo virenti ſæpe paſcantur.

Sideritis. Cap. XXXIII.

Sideritin aliqui heracleā vocant: folia habet marrubij, ſed longiora, ſatis ad frondē quercus aut ſaluiæ accedētia, minora tamen, & aſpera: caules ædit quadratos, dodrantē altos, ac quandoq; etiam maiores, non iniucūdi guſtus, aliquātúmque ſubſtringētis: in quibus per interſtitia orbiculatæ vertebræ, vt in marrubio, ſpectantur, & ſemē in eis nigrum: naſcitur in petroſis. Illita folia ſuapte vi, vulnera ſine inflāmationis periculo iungunt.

Sideritis altera.

Cap. XXXIIII.

Altera ſideritis binûm cubitorū ramulis, exilibus: folio filicis, numeroſo, vtrinq; per oras diuiſo: pediculo lōgo, prodeūtibus è ſummo alarū ſinu ſurculis, longis, tenuibus: capitulo in cacumine orbiculato, aſpero, in quo ſemen continetur, q̃ betæ rotūdius aliquantò, ac durius. Huius vis, foliorúmque, ad vulnera, præcipua eſt.

Sideritis tertia.

Cap. XXXV.

Sideritin aliam eſſe tradunt, quam

quam Crateuas heracleam vocat, in materiis, & vineis naſcẽtem, foliis ab vna radice multis, coriãdro ſimilibus, circa coliculos dodrantales, teneros, læues, ſubcãdidos atq; ſubrubicũdos: flore puniceo, paruo, guſtanti amaro, & lẽto. Huius ea vis eſt, vt quanuis recenti vulneri impoſita, ſanguinem ſupprimat.

τις, ἣν καὶ αὐτὴν κρατεύας ἡράκλειαν καλεῖ, φυομένην ἐν τοίχοις καὶ ἀμπελῶσιν, ἔχουσα φύλλα πολλὰ ἀπὸ μιᾶς ῥίζης ὅμοια κοριάννῳ περὶ καυλίοις σπιθαμιαίοις, λείοις, τρυφεροῖς, ὑπολεύκοις, ἐνερευθέσιν· ἄνθη δὲ φοινικᾶ, μικρὰ, γευομένῳ πικρὰ, γλίσχρα, καὶ ταύτης ἡ δύναμις ἐπιτηδευμένης, κολλητικὴ ἐναίμων καὶ νεοτρώτων.

Achillea. Cap. XXXVI.

Περὶ Ἀχιλλείου. Κεφ. λς΄.

Achillea, quibuſdã Achillea ſideritis, dodrãtales aut maiores gerit ſcapos, fuſorũ effigie, minutulis foliis circũdatos, ex obliquo crebras habẽtibus inciſuras ſectionibus, coriandro ſimilibus, ſubfuluo colore lentis, odore multo, nõ inſuaui, verum medicato: vmbella in cacumine rotunda, floribus candidis [purpureis] & aurũ æmulãtib⁹: prouenit lęto ſolo. Trita coma ſanguinolẽta glutinat, & ab inflãmationũ periculo tuetur: erũpentẽ ſanguinẽ inhibet, & cruẽta vuluę ꝓfluuia in vellere. Decocto quoque inſidẽt fœminæ fluxione vuluæ laborantes. Ad dyſenteriã bibitur.

Ἀχίλλειος, καλοῦσι τινὲς καὶ τὴν ἀχίλλειον σιδηρῖτιν, φέρει δὲ ῥαβδία σπιθαμιαῖα ἢ καὶ μείζω, ἀτρακτοειδῆ, καὶ περὶ αὐτὰ φυλλάρια λεπτὰ, ἐκ πλαγίων ἐντομὰς ἔχοντα πυκνὰς, προσεμφερῆ κορίῳ, ὑπόπυρρα, γλίσχρα, πολύοσμα, οὐκ ἀηδῆ, φαρμακώδη δὲ τὴν ὀσμήν· σκιάδιον ἐπ᾽ ἄκρου περιφερὲς, ἄνθη λευκὰ καὶ χρυσίζοντα· φύεται ἐν εὐγείοις τόποις. Καὶ τούτου ἡ κόμη λεία, ἐναίμων ἐστὶ κολλητικὴ, καὶ ἀφλεγμάντους, αἱμορραγίας τε ἐφεκτικὴ, καὶ τῆς ἐκ μήτρας ἐκπροσθέτω. καὶ τὸ ἀφέψημα δὲ αὐτῆς ἐστὶν ἐγκάθισμα ῥοϊκαῖς. πίνεται δὲ καὶ πρὸς δυσεντερίαν.

Rubus. Cap. XXXVII.

Περὶ Βάτου. Κεφ. λζ΄.

Rubus, notitię vulgaris. Vim habet ſiccandi, & adſtringendi: capillum tingit. Ramorum deco-

Βάτος, ἣν γινώσκομεν. στύφει καὶ ξηραίνει· τρίχας βάπτει. τὸ

τὸ δ' ἀφέψημα τῶν ἀκρεμόνων αὐτῆς, κοιλίαν ἵστησι πινόμενον, καὶ ῥοῦν ἐπέχει γυναικεῖον· καὶ πρηστῆρος δήγματι ἐνθετεῖ. κρατύνει δὲ καὶ οὖλα καὶ ἄφθας ὑγιάζει διαμασσώμενα τὰ φύλλα, καὶ ἕρπητας ἐπέχει, καὶ ἀχῶρας τοὺς ἐν κεφαλῇ θεραπεύει, καὶ ὀφθαλμῶν προπτώσεις, καὶ κονδυλώματα, καὶ αἱμορροΐδας καταπλασσόμενα τὰ φύλλα. καὶ ἐπὶ στομαχικῶν δὲ καὶ καρδιακῶν λεῖα ἐπιτιθέμενα ἁρμόζει. ὁ δὲ χυλὸς αὐτῆς ἐκθλιβέντων τῶν καυλῶν καὶ τῶν φύλλων, συστραφεὶς ἐν ἡλίῳ, βέλτιον ποιεῖ εἰς πάντα τὰ εἰρημένα. τοῦ δὲ καρποῦ αὐτῆς ὁ χυλὸς πεπείρου ὄντος τελείως εἰς τὰ στοματικὰ ἁρμόζει· ἵστησι δὲ καὶ κοιλίαν ἐσθιόμενος ὁ μέσος πέπειρος, καὶ τὸ ἄνθος δὲ αὐτῆς ποθὲν σὺν οἴνῳ, κοιλίαν ἵστησι.

Περὶ Ἰδαίας βάτου.

Κεφ. λή.

Βάτος ἰδαία ἐκλήθη μὲν διὰ τὸ πολλὴν ἐν τῇ Ἴδῃ φύεσθαι. ἔστι δὲ ἁπαλωτέρα πολλῷ τῆς περὶ αὐτῆς, ἀκάνθας μικρὰς ἔχουσα. δύναται δὲ τὰ αὐτὰ τῇ περὶ αὐτῆς. ἐκ περισσοῦ δὲ τὸ αὐτῆς ἄνθος σὺν μέλιτι λεανθὲν, ὀφθαλμικαῖς φλεγμοναῖς περιχριόμενον βοηθεῖ, καὶ ἐρυσιπέλατα σβέννυσι· στομαχικοῖς τε μεθ' ὕδατος ἐν ποτῷ δίδοται.

Περὶ Ἐλ-

decoctum, potu aluũ ſiſtit, & fœminarũ profluuia: preſteris morſu accõmodatiſsimũ. Gingiuas firmant, & oris vitijs folia cõmanducata medẽtur, cohibentque illita, vlcera quæ ſerpunt. Vlceribus in capite manãtibus, oculiſq; procidentibus remedio ſunt, & cõdylomatis, & hæmorrhoidibus folia illinuntur. Cardiacis, & ſtomachi doloribus, trita cõueniẽter imponuntur. Caules cũ foliis tunduntur, exprimiturque ſuccus, mox ſole cogitur, ſingulari remedio, cõtra omnia quæ modò dicta ſunt. Mori in rubo naſcẽtis, quamoptimè maturi ſuccus, ad oris medicamẽta cõuenit: ſiſtitur aluus præmaturi cibo, nec nõ flore in vino poto.

Rubus Idæus.

Cap. XXXVIII.

Idæus rubus appellatus eſt, quoniã copioſus in Ida prouenit. Eſt autẽ lõgè tenerior priore, ac minoribus ſpinis horrẽs: quanquã & ſine ſpinis inueniatur. Iuſuper eadem pręſtat, quę ſupradictus. Cæterum flos cũ melle oculorum collectionibus commodiſsimè illinitur, & ignem ſacrum extinguit: ſtomachicisque ex aqua bibendus datur.

Hel-

Περὶ Ἑλξίνης. Κεφ. λθʹ.

Ἑλξίνη ἔχει φύλλα ὅμοια κισσῷ, ἐλάττονα δὲ, καὶ κλωνία μικρὰ, περιπλεκόμενα ὅπου ἂν τύχοι. φύεται δὲ ἐν φραγμοῖς καὶ ἀμπελῶσι καὶ σίτῳ. Δύναμιν δὲ ἔχει τῶν φύλλων ὁ χυλὸς πινόμενος λυτικὴν κοιλίας.

Helxine. Cap. XXXIX.

Helxine cognomẽto ciſſampelos, foliis eſt hederæ, minoribus: ramulis exilibus, quibus cõplectitur quodcũq; contigerit adminiculũ. Naſcitur in ſepibus, vinetis, & ſegetibus. Foliorũ ſuccus potu deiicit aluũ.

Περὶ Ἐλατίνης. Κεφ. μʹ.

Ἐλατίνη τὰ μὲν φύλλα ἔχει ὅμοια τῇ ἑλξίνῃ, μικρότερα δὲ καὶ στρογγυλώτερα, δασέα· κλῶνας λεπτοὺς, σπιθαμιαίους ε. ἢ ϛ. ἀπὸ τῆς ῥίζης, φύλλων πλήρεις στρυφνῶν ἐν τῇ γεύσει. φύεται ἐν σίτοις καὶ τόποις ἐργασίμοις. Δύναμιν δὲ ἔχει τὰ φύλλα καταπλαττόμενα σὺν ἀλφίτοις, φλεγμαίνοντας καὶ ῥευματιζομένους ὠφελεῖν ὀφθαλμούς. ἑψηθεῖσα δὲ καὶ ῥοφουμένη δυσεντερίαν ἵστησιν.

Elatine. Cap. XL.

Elatine folia habet helxinæ, minora, rotundiora, piloſa: tenuibus & dodrantalibus ramulis, quinis ſeníſve, à radice folioſis, guſtu adſtringẽtibus. Naſcitur in ſegetibus & cultis. Oculorũ fluxionibus, & inflammationibus auxiliatur, foliis cũ polenta tritis, & impoſitis. Eadem cocta ſorbitionis vſu dyſenteriam ſiſtit.

Περὶ Εὐπατωρίου. Κεφ. μαʹ.

δύο ἢ τρεῖς, ἀντιμπεπλεγμέναι ἀλλήλαις. μέλαιναι κατὰ τὴν ἐπιφάνειαν, ἔνδοθεν λευκαὶ καὶ παχύφλοιοι· καυλὸν δὲ οὐ φέρει. Τοῦ δὲ ἄρρενος καὶ λευκοῦ, ὃν ἔνιοι νώριον ἐκάλεσαν, φύλλα ἐστὶ μεγάλα, λευκὰ, πλατέα, λεῖα καθάπερ τεύτλου· τὰ δὲ μῆλα διπλάσια, κροκίζοντα τῇ χροιᾷ, εὐώδη μετὰ βάρους τινός· ἃ καὶ ἐσθίοντες οἱ ποιμένες ποσῶς ὑποκαροῦνται· ῥίζα δὲ ὁμοία τῇ περὶ αὐτῆς, μείζων δὲ καὶ λευκοτέρα· ἄκαυλος δὲ καὶ αὐτή. Χυλίζεται δὲ ὁ φλοιὸς τῆς ῥίζης χλωρὸς κοπεὶς καὶ ὑποτεθεὶς πιεστῆρι· δινήσει δὲ λεάναντας μετὰ τὸ συστραφῆναι ἀποτίθεσθαι ἐν ὀστρακίνῳ ἀγγείῳ. χυλίζεται δὲ καὶ τὰ μῆλα ὁμοίως, ἀνειμένον δὲ γίνεται τὸ ἐξ αὐτῶν χύλισμα. καὶ ὁ φλοιὸς δὲ τῆς ῥίζης περιαιρεθεὶς καὶ διαβληθεὶς λίνῳ, κρεμᾶται εἰς ἀπόθεσιν. ἔνιοι δὲ καθέψουσιν οἴνῳ τὰς ῥίζας ἄχρι τρίτου, καὶ διυλίσαντες ἀποτίθενται· χρώμενοι ἐπὶ τῶν ἀγρύπνων καὶ περιωδυνώντων κυάθῳ ἑνὶ, καὶ ἐφ' ὧν βούλονται ἀναισθησίαν τεμνομένων ἢ καιομένων ποιῆσαι. ὁ δὲ ὀπὸς ποθεὶς ὀβολῶν δυοῖν πλῆθος ὁλκῆς, σὺν μελικράτῳ, ἄγει ἄνω φλέγμα καὶ μέλαιναν χολὴν ὡς ἐλλέβορος· πλείων δὲ ποθεὶς ἐξάγει τοῦ ζῆν, μίγνυται καὶ εἰς τὰς ὀφθαλμικὰς καὶ ἀνωδύνους δυνάμεις, καὶ πεσσοῖς μαλακτικοῖς.

καθ'

binis,ternísve,inter ſe conuolutis,nigris foris,int⁹ albis,craſſo cortice veſtitis:caule viduus eſt. Alter candidus,qui mas dicitur, nonnullis norion vocitatus:huius folia magna,alba,lata,læuia vt betæ:mala quàm alterius duplo maiora,colore in crocum inclinante, iucundè cum grauitate quadam olentia: quorum pomorum cibo, aliquantum opiliones ſoporãtur. radix, alterius ſimilis,maior & cãdidior, orbata & hæc caule. Succus fit è cortice recẽtis radicis tuſo,& prelis ſubiecto: qui inſolatus vbi concreuerit, fictili reconditur. Malis quoq; ſuccus depromitur, ſed aliquanto ignauior. Delibratur radix, & traiectus lino cortex, ad vſum ſuſpenditur. Aliqui radices in vino ad tertias coquunt, & defœcatũ ius ſeruant: cyatóque vno vtuntur,in peruigiliis,& doloribus, & ante ſectiones vſtionésque ne ſentiantur. Succus duobus obolis ex mulſo potus, vt veratrum,per vomitiones bilem atram pituitámq; extrahit:verùm potu largiore, vita adimitur. medicamentis ocularibus,& his quę dolores finiunt, peſsis quoque emollientibus,

 admi-

admiſcetur: ſemioboli pōdere indit⁹,per ſe mēſes & part⁹ expellit:ſubdit⁹ ſedi ꝓ balano,ſomnificus eſt.Radix ebur emollire fertur, q̄ ſenis horis cū eo decocta ſit:& ad accipiēdam, quam effingere optaueris, formā,ipſū facile pręſtat.Folia recētia cōueniēter oculorū inflāmationib⁹, & collectionibus, quas vlcera citarūt,cū polenta illinunt:duritias omneis ſuppurationes,ſtrumas,& tubercula diſcutiūt: ſtigmata ſine exulceratiōe delēt,ſi q̄nis ſeniſve dieb⁹,ſenſim perfricent.Folia ſeruant in muriis, eoſdē ad vſus. Trita radix ignib⁹ſacris ex aceto, & ſerpētium ictib⁹ ex melle aut oleo, medetur : ſtrumas atq; tubercula,cum aqua diſſipat:articulorū cruciatus,cū polēta ſedat.Fit citra coctionem vinū è cortice radicis, ad hunc modum : Ternæ minæ in vini dulcis metretam coniiciuntur. Dantur ex eo terni cyathi , iis ꝗ ſecari aut amburi debent, vt antè dictū eſt: ſiquidem nullo tūc afficiūtur dolore,ſed veterno quodam preſſi,torpeſcunt. Mala ſoporē afferūt olfactu,& etiā ſi mandātur: item expreſſis ex eis ſuccus : nimio tamen odore percuſſi , obmuteſcunt.

Semen

καθ' ἑαυτὸν δὲ ὅσον ἡμιώβολον προστεθεὶς, ἔμμηνα καὶ ἔμβρυα ἄγει, δακτυλίῳ τε ἀντὶ βαλάνου ἐπιτεθεὶς ὕπνον ποιεῖ. μαλάσσειν δὲ καὶ ἐλέφαντα λέγεται ἡ ῥίζα συνεψομένη αὐτῷ ἐπὶ ὥρας ϛ´. καὶ εὔπλαστον αὐτὸν εἰς ὃ ἂν τις βουληθῇ σχῆμα παρασκευάζει. τὰ δὲ φύλλα πρόσφατα ἁρμόζει πρός τε ὀφθαλμῶν φλεγμονὰς, καὶ τὰς ἐπὶ τῶν ἑλκῶν μετ' ἀλφίτου καταπλασσόμενα. διαφορεῖ δὲ καὶ πᾶσαν σκληρείαν καὶ ἀποστήματα, χοιράδας, φύματα παρατριβόμενά τε ἡσυχῇ ἐπὶ ἡμέρας ε´ ἢ ϛ´. στίγματα ἄνευ τοῦ ἑλκοῦν ἀφανίζει. ταριχευθέντα δὲ τὰ φύλλα, ἀποτίθεται πρὸς τὰς αὐτὰς χρείας. ἡ δὲ ῥίζα σὺν ὄξει λεία, ἐρυσιπέλατα ἰᾶται· πρὸς δὲ ἑρπετῶν πληγὰς, σὺν μέλιτι ἢ ἐλαίῳ· σὺν ὕδατι δὲ χοιράδας καὶ φύματα διαχεῖ· καὶ ἄρθρων πόνους παύει μετὰ ἀλφίτων. σκευάζεται δὲ καὶ δίχα ἑψήσεως οἶνος ἐκ τοῦ φλοιοῦ τῆς ῥίζης. δεῖ δὲ ἐμβάλλειν μνᾶς γ´. εἰς μετρητὴν οἴνου γλυκέος, διδόναι τε ἐξ αὐτοῦ κυάθους γ´. τοῖς μέλλουσι τέμνεσθαι ἢ καίεσθαι ὡς προείρηται, οὐ γὰρ ἀντιλαμβάνονται τοῦ ἀλγήματος διὰ τὸ καταφέρεσθαι. τὰ δὲ μῆλα ὀσφραινόμενα καὶ ἐσθιόμενα καρωτικά· καὶ ὁ ἐξ αὐτῶν χυλός· πλεονασθέντα δὲ καὶ ἀφώνους ποιεῖ.

τὸ δὲ

τὸ δὲ σπέρμα τῶν μήλων ποθὲν, ὑστέραν καθαίρει· προστεθὲν δὲ μετ᾽ ἀπύρου θείου ῥοῦν ἵστησιν ἐρυθρόν. ὀπίζεται δὲ περιχαραττομένης τῆς ῥίζης πολυειδῶς, καὶ τοῦ συῤῥέοντος εἰς τὴν κοιλότητα συλλεγομένου. ἔστι δὲ ἐνεργέστερος τοῦ ὀποῦ ὁ χυλός· οὐκ ἐν παντὶ δὲ τόπῳ φέρουσιν ὀπὸν αἱ ῥίζαι, ὑποδείκνυσι δὲ τὸ τοιοῦτον ἡ πεῖρα. Ἱστοροῦσι δὲ καὶ ἑτέραν μώριον λεγομένην, φυομένην ἐν παλισκίοις καὶ περὶ τὰ ἄντρα· φύλλα ἔχουσαν ὅμοια τῷ λευκῷ μανδραγόρᾳ. μικρότερα δὲ ὡς σπιθαμιαῖα, λευκά, κύκλῳ περὶ τὴν ῥίζαν, οὖσαν ἁπαλὴν καὶ λευκήν, μικρῷ μείζονα σπιθαμῆς πάχος δακτύλου μεγάλου. ταύτην φασὶ πινομένην ὅσον < α. ἢ μετὰ ἀλφίτων ἐσθιομένην ἐν μάζῃ ἢ ὄψῳ, ἀπομωροῦν. καθεύδει γὰρ ὁ ἄνθρωπος ἐν ᾧ περ ἂν φάγοι σχήματι, αἰσθανόμενος οὐδενὸς ἐπὶ ὥρας γ΄. ἢ δ΄. ἀφ᾽ οὗ περ ἂν προσενέγκηται. χρῶνται δὲ καὶ ταύτῃ οἱ ἰατροὶ ὅταν τέμνειν ἢ καίειν μέλλωσι. φασὶ δὲ καὶ ἀντίδοτον εἶναι τὴν ῥίζαν πινομένην μετὰ στρύχνου τοῦ καλουμένου μανικοῦ.

Περὶ Ἀκονίτου. Κεφ. οζ΄.

Ἀκόνιτον, οἱ δὲ, παρδαλιαγχές, οἱ δὲ, κάμμορον, οἱ δὲ, θηλυφόνον, οἱ δὲ, μυοκτόνον* θηρεφόνον.

φύλλα

Semen malorum potum vuluas purgat: appoſitúmq; cum ſulphure ignem non experto, rubra fœminarum profluuia ſiſtit. Scarificata punctiſq; multifariam aperta radice, erumpens lachryma, cauo vaſe recipitur. Liquamentum autem ſucco lacteo præſtãtius eſt: ſed non vbique, vt experientia docet, radices lacteum ſuccũ delachrymant. Alium tradũt eſſe mãdragorã, nomine morion, in opacis iuxta ſpec⁹ enatum: folijs albi mandragoræ, minoribus, albis, dodrantalibus, radicem ambiẽtib⁹: quæ mollis eſt & cãdida, paulò maior palmo, pollicéq; craſsitudine æquat. Tradũt eam in pane, offa, obſonióve, drachmæ põdere deuoratam, vſum rationis intercipere. Obdormiſcit enim homo, eo ferè quo comederit habitu, ſenſus impos, ternis quaternísve, ex quo data eſt, horis. Hac medici vtũtur, cũ ſcindẽdi vrẽdiq; neceſsitas adeſt. Antidotũ eſſe volunt radicẽ, cum manico ſolano potam.

Aconitum. Cap. LXXVII.

ACONITVM, aliqui pardalianches, alij cammoron, alij theliphonon, alij myoctonon, alij theriophonon vocãt:

 folia

folia habet cyclamini, aut cucumeris, tria aut quatuor, minora & ſubhirſuta: caulem palmo altũ: radix ſcorpij caudam emulatur, & alabaſtri modo ſplendet. Torpeſcunt, vt fama eſt, ſcorpiones admota radice, ſtupét́q; qui rurſum hellebori cõtactu excitantur. Oculorum medicamentis leuandi doloris gratia adiicitur: Enecat pantheras, ſues, lupos & feras omneis in carnibus obiectum.

Aconitũ alterũ. Ca. LXXVIII.

Eſt & alterũ aconitũ, qđ aliq cynoctonon, alij lycoctonon appellãt. Huius genera ſũt tria: vnũ, quo vtũtur venatores: alia duo in vſum ſuũ vertêre medici. è quib⁹ tertiũ qđ Põticũ nominaſt, plurimũ in Italia, mõtibus Iuſtinis exilit, à priore diſtãs, qm̃ folia faciat effigie platani, crebriore diuiſura, lõgiora, & multò nigriora: caulẽ ficilis pediculo ſimilẽ, nudũ, cubitali altitudine, aut ampliorẽ: ſemẽ in ſiliqs oblõgis recõdit: radices in modũ ſquillæ marinæ cirrorũ nigreſcũt. Quib⁹ ad venationem luporũ vtũtur, inſertæ ſiquidẽ crudis carnibus, & deuoratæ, lupos enecant.

Cicuta. Cap. LXXIX.

Cicuta caulẽ ædit geniculatũ, vt

φύλλα ἔχει τρία ἢ τέσσαρα, ὅμοια κυκλαμίνῳ ἢ σικύῳ, μικρότερα δὲ καὶ ὑποτράχεα· καυλὸς δὲ σπιθαμῆς· ῥίζα ὁμοία σκορπίου οὐρᾷ, στίλβουσα ἀλαβαστροειδῶς. Ταύτης τὴν ῥίζαν φασὶ προσαχθεῖσαν σκορπίῳ, παραλύειν αὐτόν· διεγείρεσθαι δὲ πάλιν ἐλλεβόρου προστεθέντος. μίγνυται δὲ καὶ ὀφθαλμικαῖς ἀνωδύνοις δυνάμεσι. κτείνει δὲ καὶ παρδάλεις καὶ σῦς καὶ λύκοις καὶ πᾶν θηρίον κρεαδίοις ἐντιθέμενον καὶ παραβαλλόμενον.

Περὶ Ἑτέρου ἀκονίτου. Κεφ. οή.

ΑΚΟΝΙΤΟΝ ἕτερον, ὃ ἔνιοι κυνοκτόνον, οἱ δὲ λυκοκτόνον καλοῦσι. γεννᾶται μὲν πλεῖστον ἐν ἰταλίᾳ, ἐν τοῖς καλουμένοις* ἰουστίνοις ὄρεσι διαφέρον τοῦ προ αὐτοῦ· φύλλα δὲ ἔχει ὅμοια τοῖς τοῦ πλατάνου, μᾶλλον δὲ ἐπεσχισμένα καὶ μακρότερα, πολλῷ καὶ μελάντερα· καυλὸν δὲ καθά περ πτέριδος, μόσχον ψιλὸν, ὕψος πήχεως, ἢ καὶ μείζονα· καρπὸν δὲ ἐν λοβοῖς ἐπιμήκεσι ποσῶς· ῥίζας ὥσπερ πλεκτάνας καρίδων μελαίνας· αἷς χρῶνται πρὸς τὰς τῶν λύκων θήρας, ἐντιθέντες κρέασιν ὠμοῖς. βρωθεῖσα γὰρ ὑπὸ τῶν λύκων, ἀναιροῦσιν αὐτούς.

Περὶ Κωνείου. Κεφ. οθ΄.

Κώνειον καυλὸν ἀνίησι γονατώδη ὡς

ὡς μάραθρον, μέγαν, φύλλα δὲ νάρθηκι ἐμφερῆ, στενώτερα δὲ καὶ βαρύοσμα· ἐπ' ἄκρων δὲ ἀποφύσεις καὶ σκιάδια· ἄνθος ὑπόλευκον· σπέρμα ἐμφερὲς ἀνίσῳ, λευκότερον· ῥίζα κοίλη καὶ οὐ βαθεῖα. Ἔστι δὲ καὶ αὐτὸ τῶν φθαρτικῶν, κατὰ ψύξιν ἀναιροῦν. βοηθεῖται δὲ ἀκράτῳ. χυλίζονται δὲ τὰ ἄκρα πρὸ τοῦ ξηρανθῆναι τὸ σπέρμα, ἢ ἡ κόμη, καὶ ἐκθλίβεται κοπτομένη, καὶ συστρέφεται ἐν ἡλίῳ. ἔστι δὲ πολύχρηστον εἰς τὴν ὑγιαστικὴν χρῆσιν ξηρανθέν· μιγνύμενον ἐπιτηδείως τοῖς ἀνωδύνοις κολλυρίοις τὸ χύλισμα· ἑρπητάς τε καὶ ἐρυσιπέλατα καταπλασθὲν σβέννυσιν. ἡ δὲ πόα καὶ ἡ κόμη λεία καταπλαττομένη τῶν διδύμων, ὀνειρώττουσι βοηθεῖ· παρίησι δὲ καὶ αἰδοῖα καταπλασθέντα. καὶ γάλα σβέννυσι, μαστούς τε ἐν παρθενίᾳ κωλύει αὔξεσθαι, καὶ διδύμοις ἀτρόφοις ποιεῖ ἐπὶ παιδίων. ἐνεργέστατον δέ ἐστι τὸ κρητικὸν καὶ μεγαρικὸν καὶ τὸ ἀττικόν, καὶ τὸ ἐν τῇ χίῳ καὶ κιλικίᾳ γινόμενον.

Περὶ Σμίλακος.

Κεφ. π́.

Σμῖλαξ, οἱ δὲ, θύμαλον, ῥωμαῖοι δὲ τάξον καλοῦσι, δένδρον ἐστὶ παραπλήσιον ἐλάτῃ τοῖς φύλλοις καὶ μεγέθει, ἐν ἰταλίᾳ καὶ ἐν ναρβωνίᾳ τῇ κατὰ τὴν ἱσπανίαν φυόμενον.

τὸ

vt fœniculi grãdé,folia ferulæ, anguſtiora,graui odoratu: rami,mox vmbellę in ſummo ꝓdeũt: flores quoq; albicãtes:& ſemé aniſo cãdidius:radice nõ alta,cõcaua. Cicutæ letale venenũ ineſt,ſuáq; vi refrigeratoria necat.Remedio eſtvini meraculi potus. Succꝰ exprimitur cõtuſis cacuminibus, priuſquã ſemina & comę ſicceſcãt,q̧ ſole déſatur in paſtillos.Multꝰ ad medendi rationé vſus eſt aridi: cõmodè miſcet̃ collyriis, q̃ leuãdi doloris gratia tẽperãtur: ignes ſacros,& vlcera quæ ſerpũt, illitu reſtinguit. Herba cũ coma trita,& teſtibꝰ circũlita, libidinũ imaginationes in ſomno,cõpeſcit:ſed genitale reſoluit. lac puerperarũ mãmis appoſita extinguit: in virginitate mãmas coërcet, & increſcere nõ patit̃:pueris pręſtat,vt eorũ teſticuli cibũ nõ ſentiẽtes,intabeſcãt. Efficaciſsima vis Creticæ,Megaréſi,mox Atticæ,& in Chio & Cilicia naſcenti.

Taxum. Cap. LXXX.

SMILAX à Græcis, taxus à Latinis appellatur, arbor abietis magnitudine, & foliorum eiuſdem figura, in Italia & Narbonenſi Gallia Hiſpanię contermina naſcens.

Auicu-

Auiculæ quæ Italicæ taxi baccas deuorant, denigrantur: & qui ederint eaſdẽ homines, alui profluuio corripiũtur. Narbonæ tam præſentis eſt veneni, vt ſi qui dormiãt ſub ea, aut eius vmbra ſubſideant, lædantur, & ſæpenumero moriantur: quare de taxo hæc tradũtur, vt ab ea caueamus.

τοῦ δὲ ἐν Ἰταλίᾳ γινωμένου τὸν καρπὸν ὀρνίθια ἐσθίοντα, μελαίνεται· οἱ δὲ προσενεγκάμενοι, διαῤῥοίαις περιπίπτουσι. τὸ δὲ ἐν τῇ Ναρβωνίᾳ, τοσαύτης δυνάμεως μετέχει, ὡς καὶ ἐκ τῆς σκιᾶς τοὺς ὑποκαθίσαντας ἢ κοιμηθέντας βλάπτεσθαι, πολλάκις δὲ καὶ θνήσκειν. ἱστορεῖται δὲ περὶ αὐτῆς χάριν τοῦ προφυλάττεσθαι.

Apocynum. Cap. LXXXI.

Apocynon, ſiue cynocrãbe, braſsica canina, frutex eſt longis viticulis cõſtans, malè olẽtibus, lẽtis, vitiliumq; modo obſequioſis, fractu ferè inuictis: folio hederę, molliore tamẽ, & per extremũ acutiore, lẽto, graui odore: id luteo ſucco turget. Siliquæ, ceu fabarũ, folliculari ſpecie, digiti longitudine protenduntur: ſemine intus albo, duro, paruo. Folia cum adipe in panes coacta, canes, lupos, vulpes, & pantheras enecant, in cibo data, & protinus eorum coxendices reſoluunt.

Περὶ Ἀποκύνου. Κεφ. πά.

Ἀπόκυνον, οἱ δὲ, κύναγχον, οἱ δὲ, παρδαλιαγχὲς, * οἱ δὲ κυνόμορον, οἱ δὲ κυνοκράμβη καλοῦσι, ἔρνος ἐστὶ ῥάβδοις ἔχων μακρὰς, λυγώδεις, δυσραύστοις, φύλλα κισσῷ ὅμοια, μαλακώτερα δὲ καὶ ὀξύτερα κατ᾽ ἄκρον, βαρύοσμα, ὑπόγλισχρα, ὀποῦ μεστὰ μηλίνου· καρπὸς δὲ ὡσεὶ λοβὸς κυάμων περὶ δακτύλου τὸ μῆκος, θυλακώδης· ἐφ᾽ ὧν σπερμάτια, σκληρὰ, σμικρὰ, μέλανα. ταύτης τὰ φύλλα σὺν στέατι ἀρτοποιηθέντα καὶ παραβληθέντα, κτείνει κύνας, λύκους, ἀλώπεκας, παρδάλεις· παραχρῆμα δὲ παραλύει αὐτῶν τὰ ἰσχία.

Neriũ, ſeu rhododendrũ. Cap. LXXXII.

Nerion aliqui rhododaphnen, alij rhododendron vocãt, frutex eſt vulgaris notitiæ, longioribus quàm amygdala foliis, craſsioribúſque. flore in roſam conformato: fructu nuci græcæ

Περὶ Νηρίου. Κεφ. πβ΄.

Νήριον, οἱ δὲ, ῥοδοδάφνη, οἱ δὲ, ῥοδόδενδρον, θάμνος γνώριμος, ἀμυγδαλῆς μακρότερα καὶ παχύτερα ἔχων φύλλα. τὸ δὲ ἄνθος ῥοδοειδές· καρπὸν δὲ ἐμφερῆ ἀμυγδάλῳ,

μυγδάλῳ, ὡς κέρατι ἀνεῳγμένον, πλήρη ἐριώδους φύσεως, ὅμοιον τοῖς ὑακινθίνοις πάπποις· ῥίζα δὲ ἄποξυς καὶ μακρὰ, ξυλώδης, γευσαμένῳ ἁλμυρά. φύεται ἐν παραδείσοις καὶ παραθαλασσίοις τόποις καὶ παρὰ ποταμοῖς. Δύναμιν δὲ ἔχει τὸ ἄνθος καὶ τὰ φύλλα, κυνῶν μὲν καὶ ὄνων καὶ ἡμιόνων καὶ τῶν πλείστων τετραπόδων δὲ ζώων φθαρτικήν· ἀνθρώπων δὲ σωστικὴν σὺν οἴνῳ πινόμενα πρὸς δήγματα θηρίων· καὶ μᾶλλον εἰ πηγάνῳ παραμίξειας· τὰ δὲ ἀσθενέστερα τῶν ζώων ὡς αἶγες καὶ πρόβατα, ἐπὰν τὸ ἀπόβρεγμα αὐτῶν πίῃ, ἀποθνήσκει.

Περὶ μυκήτων.

Κεφ. πγ΄.

Μυκήτων διαφορὰ διττή· ἢ γὰρ βρώσιμοι εἰσὶν, ἢ φθαρτικοί. παρὰ πολλὰς δὲ αἰτίας γίνονται τοιοῦτοι, ἢ γὰρ ἥλοις κατιωμένοις, ἢ ῥάκεσι σεσηπόσιν, ἢ ἑρπετῶν φωλεοῖς παραφύονται, ἢ δένδρεσιν ἰδίως βλαπτικοὺς φέρουσι τοὺς καρπούς· ἔχουσι δὲ καὶ γλοιώδη οἱ τοιοῦτοι ἐπίπαγον· κατατεθέντες δὲ μετὰ τὸ ἀφαιρεθῆναι, ταχέως διαφθείρονται σηπόμενοι. οἱ δὲ* μὴ τοιοῦτοι ζωμοποιοὶ, ἡδεῖς· πλεονασθέντες μέντοι καὶ οὗτοι βλάπτουσι δυσπεπτούμενοι, πνίγοντες ἢ χολέραν ἐπάγοντες.

βου-

græcæ ſimili, corniculato, qui patefactus quandam lanoſam naturam oſtendit, ſpinarum pappos repræſentantem, radice longa, acuta, lignoſa, guſtanti ſalſa: naſcitur in amœnis, maritimis, & ſecus amnes. Flores & folia mulis, canibus, aſinis, & quadrupedum plurimis venena ſunt: hominibus verò contra ſerpentium morſus præſidia, è vino pota: eo magis ruta addita: imbecillæ etiam animantes, vt pecus & capræ, ſi aquam bibant, in qua folia ea maduerint, moriũtur.

Fungi. Cap. LXXXIII.

Fungorũ differentia duplex: aut enim mãduntur, aut perniciales ſunt. Multis de cauſis venenoſi gignũtur, vbi videlicet clauus ferreꝰ, in quo ſit rubigo, aut pãni marcor adfuerit, aut ſi iuxta ſerpẽtis cauernã, arborẽſve, quę priuatim pariũt noxios fructus, erumpãt. Continẽt qui tales ſunt, neſcio quod ſtrigmẽtũ concretámq; pituitã, terráque eruti, quamcelerrimè cõputreſcunt, atq; marcore vitiãtur. Sed qui veneno imbuti nõ ſunt, ſuauẽ in iuribus gratiã habẽt: largius tamẽ ſumpti nocẽt, & ægrius concocti ſtrangulãt, aut choleram morbum citant.

Reme-

Remedio eſt nitri potꝰ, aut lixiuiũ cũ acida muria, aut ferueſactę ſatureiæ, aut origani iuſculũ: debellãtur etiã gallinacei fimi potu ex aceto, aut eiuſdem delinctu cũ melle multo. Corpus alunt, ſed ægrè diſſoluũtur: cũ magna ex parte integri ipſi, cum recremẽtis alui reiiciãtur:

Colchicũ. Cap. LXXXIIII.

Colchicon, aliqui ephemeron, ſunt qui agreſtẽ bulbũ vocant, autumni exitu florẽ ædit croci, candicantem, ab eo tempore, folia bulbi, ſed pinguiora: caulẽ palmo altum, ferẽtem rufum ſemen: radicem foris è nigra rufeſcẽtem, quæ delibrata, cãdida & mollis ſpectatur, lacteo ſucco madet, atque guſtatu dulcis inuenitur: bulbus eius mediam habet rimam, fiſſurámque, qua flos erũpit: plurimum in Meſſenia, & Colchis enaſcitur. Ea comeſa, fungorum more, ſtrangulando enecat. Hanc autem depinximus, ne à quoquã imprudenter pro bulbo deuoretur: mirum enim in modũ ſaporis voluptate imperitos allicit. Remedio ſunt eadem quæ fungis: bubulum etiam lac potũ auxiliatur. itaque cum adfuerit, nõ aliud deſideratur auxilium.

Ephe-

βοηθοῦνται δὲ πάντες ποτιζόμενοι νίτρῳ ἢ κονίᾳ, μετὰ ὀξάλμης, ἢ θύμβρας ἀποζέματι, ἢ ὀριγάνῳ, ἢ ὀρνιθείῳ κόπρῳ μετ᾽ ὄξους πινόμενοι, ἢ μέλιτι ἐκλειχόμενοι πολλῷ. τρόφιμοι δὲ εἰσὶ καὶ δυσδιάλυτοι· ὁλοσχερεῖς δὲ ὡς ἐπιτοπολὺ σὺν τοῖς περιττώμασιν ἀποδίδονται.

Περὶ Κολχικοῦ. Κεφ. πδ΄.

Κολχικὸν, οἱ δὲ, ἐφήμερον, οἱ δὲ βολβὸν ἄγριον, λήγοντος τοῦ φθινοπώρου ἀνίησιν ἄνθος ὑπόλευκον, ὅμοιον κρόκου ἄνθει· ὕστερον δὲ τὰ φύλλα φέρει βολβῷ παραπλήσια, λιπαρώτερα· καυλὸν σπιθαμιαῖον, καρπὸν ἔχοντα πυῤῥόν· ῥίζαν φλοιὸν ἔχουσαν* ἐγκιῤῥον ἐν τῷ μέλανι, ἥ τις λεπιζομένη λευκὴ καὶ ἁπαλὴ καὶ ὀποῦ μεστὴ εὑρίσκεται καὶ γλυκεῖα· ἔχει δὲ ὁ βολβὸς διάφυσιν μέσην καθ᾽ ἣν τὸ ἄνθος ἀφίησι· γεννᾶται δὲ πλεῖστον ἐν τῇ μεσσηνίᾳ καὶ κόλχοις. βρωθεῖσα δὲ κτείνει κατὰ τὸν πνιγμὸν ὁμοίως μύκησιν. Ἀνεγράψαμεν δὲ αὐτὴν ἵνα μὴ λάθῃ βρωθεῖσα ἀντὶ βολβοῦ· παραδόξως γάρ ἐστιν ἐπακτικὴ διὰ τὴν ἡδονὴν τοῖς ἀπείροις. βοηθεῖ δὲ τοῖς φαγοῦσιν ὅσα καὶ τοῖς μύκητας φαγοῦσι. καὶ γάλα βόειον πινόμενον· ὥς τε ὅταν παρῇ τοῦτο, μηδενὸς ἄλλου δεῖσθαι βοηθήματος.

Περὶ Ἐφη-

Περὶ Ἐφημέρου. Κεφ. πέ.

Ἐφήμερον, οἱ δὲ, ἶριν ἀγρίαν, φύλλα καὶ καυλὸν ὅμοια ἔχει κρίνῳ, λεπτότερα δὲ· ἄνθη λευκὰ, πικρά· καρπὸν δὲ μαλακόν· ῥίζα δὲ ὕπεστι δακτύλου πάχος μία,* μακρὰ, στυπτική, εὐώδης· φύεται ἐν δρυμοῖς καὶ παλισκίοις. Τούτου ἡ μὲν ῥίζα ὀδονταλγίας ἐστὶ φάρμακον διακλυζομένη. τὰ δὲ φύλλα ἐν οἴνῳ ἑψηθέντα καὶ καταπλασθέντα οἰδήματα καὶ φύματα διαφορεῖ, μήπω ὑγρὸν ἔχοντα.

Περὶ Ἑλξίνης. Κεφ. πς´.

Ἑλξίνη, οἱ δὲ, παρθένιον, οἱ δὲ, σιδηρῖτιν, οἱ δὲ, ἡράκλειαν, οἱ δὲ, ἀσυείαν, οἱ δὲ, ὑγρόφυλλον ἀγρίαν, οἱ δὲ, κλιβάδιον, οἱ δὲ, πολυώνυμον καλοῦσι· φύεται ἐπὶ θριγγοῖς καὶ τοίχοις· καυλία δὲ ἔχει λεπτὰ ὑπέρυθρα· φύλλα ὅμοια λινοζώστει, δασέα· περὶ δὲ τοὺς καυλοὺς οἱονεὶ σπερμάτια τραχέα, ἀντιλαμβανόμενα τῶν ἱματίων. Δύναμιν δὲ ἔχει τὰ φύλλα ψυκτικὴν, στυπτικήν· ὅθεν καταπλασσόμενα ἰᾶται ἐρυσιπέλατα, κονδυλώματα, καύματα, φύγεθλα ἀρχόμενα, καὶ πᾶσαν φλεγμονὴν καὶ οἰδήματα· ὁ δὲ χυλὸς αὐτῆς μιγεὶς ψιμμυθίῳ, ἐρυσιπέλατα καὶ ἕρπητας ὠφελεῖ καταχριόμενος, καὶ ποδάγρας σὺν κηρωτῇ κυπρίᾳ ἀναληφθεὶς ἢ τραγείῳ στέατι, ὠφελεῖ καὶ βήττοντας χρονίως ὁ χυλὸς καταρροφούμενος ὅσον κύαθος, καὶ

Ephemerũ. Cap. LXXXV.

Ephemeron, aliqui ſylueſtré irin appellant, folia habet lilij, ſed tenuiora: caulem parem: florem candidum, amarum: ſemen molle: radicem vnam, digitali craſsitudine, longam, adſtringentem, odoratam: naſcitur in ſyluis & opacis. Huius radix dentibus præcipua, ſi decocto colluatur. Folia in vino cocta, diſcutiũt tumores, & tubercula, quæ nihil adhuc humidi contraxerunt.

Helxine, id eſt, muralis herba. Cap. LXXXVI.

Helxine naſcitur in parietinis, ſepibus, vineis & ſegetibus: folia ei mercurialis inſunt, hirſuta: cauliculi ſubrubentes, & circa eos veluti ſemina aſpera, adhærentia veſtibus. Folia refrigandi ſpiſſandíque naturam habent, qua ex cauſa ſanant illitu ſacros ignes, aduſta condylomata, panos incipientes, tumores, inflammationéſque. Succus eius cum ceruſſa, ignibus ſacris, & vlceribus quæ ſerpunt, commodè illinitur, imponitúrque podagris cum hircino adipe aut cerato cyprino: veterem tuſsim emendat inſtar cyathi hauſtus: tonſil-

tonſillis inflammationē ſentiētibus vtiliter & gargarizatur, & oblinitur: auriū dolorem cum roſaceo inſtillatus leuat.

καὶ παρισθμίοις φλεγμαίνουσιν ἀναγαργάρισμα καὶ διάχρισμα ὠφέλιμόν ἐστι· καὶ ὠταλγίαν σὺν ῥοδίνῳ ἐγχεόμενον ὠφελεῖ.

Alcine. Cap. LXXXVII.

Alſinen, aliqui anthillion, nōnulli myos ota vocant, quoniā muſculorū aures folia imitantur. Lucis opacíſq; gaudet, vnde alſine dicta eſt. Hęc erat eadē quæ helxine, niſi humilior eſſet, & foliis minorib9, nec hirſuta. cū teritur odorē cucumis reddit. Vim refrigerādi, aſtringēdíq; obtinet: oculorū inflammationibus cū polēta illinitur. Succus auriū doloribus infunditur: quin & emēdat oīa quæ helxine, id eſt, muralis herba.

Περὶ Ἀλσίνης. Κεφ. πζ΄.

Ἀλσίνη, οἱ δὲ, μυὸς ὦτα, ἀπὸ τοῦ ἔχειν φύλλα ὅμοια μυὸς ὠτίοις. ἀλσίνη δὲ, διὰ τὸ σκιεροὺς καὶ ἀλσώδεις φιλεῖν τόπους.. πόα ἐστὶν ὁμοία ἑλξίνῃ, ταπεινοτέρα δὲ καὶ μακροφυλλοτέρα καὶ οὐ δασεῖα. διατριφθεῖσά τε, σικύων ὄζει. Δύναμιν δὲ ἔχει ψυκτικὴν. στυπτικὴν· ἁρμόζουσαν πρὸς φλεγμονὰς ὀφθαλμῶν, μετὰ ἀλφίτων καταπλασσομένη καὶ πρὸς ὤτων πόνον ὁ χυλὸς αὐτῆς ἐνσταζόμενος. καὶ καθόλου δύναται τὰ αὐτὰ τῇ ἑλξίνῃ.

Lens paluſtris. Cap. LXXXVIII.

Lens paluſtris, inuenitur in aqua non fluente, muſcus lenticulæ ſimilis, refrigeratoriæ naturæ. Propter quod conuenienter collectionibus, igni ſacro, & podagris, illinitur per ſe, & cum polenta: glutinat, & procidentia puerorum interanea.

Περὶ φακοῦ τοῦ ἐπὶ τῶν τελμάτων. Κεφ. πη΄.

Φακὸς ὁ ἐπὶ τῶν τελμάτων, εὑρίσκεται ἐπὶ τῶν στασίμων ὑδάτων, βρύον ὂν ὅμοιον φακῷ, ψύχων τῇ δυνάμει. πάσαις φλεγμοναῖς καὶ ἐρυσιπέλασι καὶ ποδάγραις ἁρμόζει καταπλασσόμενος, καθ᾽ ἑαυτόν τε καὶ σὺν ἀλφίτῳ· παρακολλᾷ δὲ καὶ ἐντεροκήλας τὰς ἐπὶ παίδων.

Semperuiuum magnū, ſeu ſedū. Cap. LXXXIX.

Semperuiuū magnū ideo nominatur, quoniā perpetuò folia vireant: cuius caules cubiti alti-

Περὶ Ἀειζώου τοῦ μεγάλου. Κεφ. πθ΄.

Ἀείζωον τὸ μέγα ὠνόμασται διὰ τὸ ἀειθαλὲς τῶν φύλλων· καυλοὺς δ᾽ ἀνίησι πηχυαίους, ἢ καὶ μείζο-

μείζονας, πάχος δακτύλου μεγάλου, λιπαρούς, εὐθαλεῖς, ἐντομὰς ἔχοντας ὥσπερ τὸ χαρακίου τιθυμάλλου· φύλλα λιπαρὰ, μέγεθος δακτύλου μεγάλου, * γλωσσοειδῆ κατὰ τὸ ἄκρον, καὶ τὰ μὲν κατωτέρω τῶν φύλλων ὑπτιούμενα, τὰ δὲ κατὰ τὴν κεφαλὴν περιεσταλμένα ἐπ' ἄλληλα, κύκλον ὀφθαλμοειδῆ περιγράφοντα· φύεται δὲ ἐν τόποις ὀρεινοῖς καὶ ὀστρακίνοις. ἔνιοι δὲ φυτεύουσιν αὐτὸ ἐπὶ τῶν οἰκημάτων. Δύναμιν δὲ ἔχει ψυκτικὴν, στύφουσαν, ποιοῦσαν πρὸς ἐρυσιπέλατα, ἕρπητας, νομὰς, ὀφθαλμῶν φλεγμονὰς, πυρίκαυτα, ποδάγρας, καταπλαττόμενα τὰ φύλλα καθ' ἑαυτὰ καὶ μετὰ ἀλφίτων. ὁ δὲ χυλὸς πρὸς κεφαλαλγίας μετὰ ἀλφίτου καὶ ῥοδίνου ἐμβρέχεται· καὶ φαλαγγιοδήκτοις ἐν ποτῷ δίδοται, καὶ διαῤῥοιζομένοις, καὶ δυσεντερικοῖς, στρογγύλας τε ἕλμινθας ἐκτινάσσει σὺν οἴνῳ ποθείς· ἵστησι καὶ ῥοῦν γυναικεῖον ἐν προσθέτῳ. ἐγχεῖται δὲ ὁ χυλὸς καὶ ἐπὶ τῶν ὀφθαλμιώντων ὠφελίμως ἀπὸ αἵματος.

Περὶ Ἀειζώου τοῦ μικροῦ.

Κεφ. ς.

Ἀείζωον τὸ μικρὸν φύεται ἐν τοίχοις καὶ πέτραις, καὶ θριγγοῖς καὶ τάφροις ὑποσκίοις, κλωνία ἀπὸ μιᾶς ῥίζης πολλὰ, λεπτὰ, περι-

altitudinem implent, interdum excedunt, pingues, craſsitudine pollicari, virentes, characiæ tithymali modo inſecti: folia pinguia, carnoſa, magnitudine pollicari, in cacumine linguæ ſimilia alia in terram conuexa, alia in capite ſtantia inuicem, ita vt ambitu effigiem imitentur oculi: naſcitur in montibus, & teſtaceis: ſupra domicilia etiam ſeritur. Eius vis refrigerare, & adſtringere: medentur igni ſacro, nomis, vlceribus quæ ſerpunt, oculorum inflammationibus, ambuſtis igni, podagris per ſe, & cum polenta illita folia. Succus capiti, in doloribus, cum polenta aut roſaceo perfunditur: datur in potu contra phalangiorum ictus, dyſenteriam, aluique profluuia: teretes tineas potus in vino excutit: ſubditus in vellere, mulierum abundantiam ſiſtit: ſuccus oculorum lippitudinibus, ſanguinis vitio conceptis: inungitur.

Semperuiuum paruum.

Cap. XC.

Semperuiuũ paruũ in petris, parietinis, & maceriis, nec non ſcrobib⁹ opacis naſcit̃, caulibus ab vna radice multis, tenuibus, crebro

crebro foliatis: exilibus foliis, rotundis, pinguibus, mucronatis: caule à medio emicante, palmum alto vmbellam herbidóſque flores, & tenues gerente. Folia eiſdem cum priore viribus prædita ſunt.

Semperuiuum tertium. Cap. XCI.

Tertium videtur ſemperuiui genus, quá aliqui andrachnen agriam, aut telephion vocauerunt, Romani illecebram, puſillis, craſsioribúſq; foliis, hirſutis, portulacæ proximis: naſcitur in ſaxis. Vis ei excalfactoria, acris, exulcerans: illita cum axungia ſtrumas diſcutit.

Vmbilicus Veneris. Cap. XCII.

Cotyledon, ſiue vmbilicus Veneris, folio eſt in acetabuli formam tornato, ineuidenter concauo, breui in medio cauliculo, in quo ſemen ineſt: radice oliuæ modo rotunda. Succus cum vino circumlitus, inſtillatúſve, contecta genitalia nudat: inflammationibus, ſacris ignibus, ſtrumis, pernionibus, illitu auxiliatur: ſtomachi ardorem refrigerat. Folia cum radice comeſa, calculos frangunt, vrinam cient, hydropi-

περίπλεα φυλλαρίων περιφερῶν· λιπαρῶν, μικρῶν, ὀξέων ἐπ' ἄκρου· ἀνίησι δὲ καὶ καυλὸν ἐν μέσῳ περὶ σπιθαμὴν τὸ μέγεθος, ἔχοντα σκιάδιον καὶ ἄνθη λεπτὰ καὶ χλωρά. τούτου τὰ φύλλα δύναμιν ἔχει τὴν αὐτὴν τῷ προειρημένῳ.

Περὶ Ἀειζώου ἑτέρου. Κεφ. ϛα΄.

Δοκεῖ δὲ εἶναι καὶ τρίτον εἶδος ἀειζώου, ὃ ἔνιοι ἀνδράχνην ἀγρίαν ἢ τηλέφιον ἐκάλεσαν, ῥωμαῖοι δὲ ἰλλέκεβραν· ἔχει δὲ αὕτη παχύτερα τὰ φυλλάρια πρὸς τὰ τῆς ἀνδράχνης καὶ δασέα. φύεται ἐν πέτραις. Δύναμιν δὲ ἔχει θερμαντικὴν, δριμεῖαν, ἑλκωτικήν· χοιράδων διαφορητικὴν σὺν ὀξυγγίῳ καταπλασθέν.

Περὶ Κοτυληδόνος. Κεφ. ϛβ΄.

Κοτυληδὼν, οἱ δὲ, σκυτάλιον, οἱ δὲ, κυμβάλιον, φύλλον ἔχει ὥσπερ ὀξύβαφον, περιφερὲς, λεληθότως κοῖλον· καυλίον δὲ ἐν μέσῳ βραχὺ, ἐν ᾧ τὸ σπέρμα· ῥίζαν ὡς ἐλαίαν στρογγύλην. Ταύτης καὶ τῶν φύλλων ὁ χυλὸς μετ' οἴνου περιχριόμενος, ἢ ἐγκλυζόμενος, φύμοις τοὺς ἐν αἰδοίοις χαλᾷ· φλεγμονάς τε καὶ ἐρυσιπέλατα καὶ χιμέτλας καὶ χοιράδας καταπλαττομένη ὠφελεῖ, καὶ στόμαχον καυσούμενον. ἐσθιόμενα δὲ τὰ φύλλα σὺν τῇ ῥίζῃ λίθους θρύπτει, καὶ οὖρα κινεῖ· καὶ ὑδρω-

καὶ ὑδρωπικοῖς σὺν οἰνομέλιτι δίδοται. χρῶνται δὲ αὐτῇ καὶ εἰς τὰ φίλτρα.

Περὶ Ἑτέρας κοτυληδόνος.

Κεφ. ϟγ´.

Ἔστι δὲ καὶ ἕτερον εἶδος κοτυληδόνος, πλατύτερα ἔχον καὶ λιπαρὰ φύλλα ὡς γλωττάρια, πυκνὰ περὶ τὴν ῥίζαν, οἱονεὶ ὀφθαλμὸν ἕνα μέσον περιγράφοντα ὡς ἐπὶ τὸ μεῖζον ἀείζωον, τῇ γεύσει στύφοντα· καυλίον λεπτὸν, καὶ ἐπ' αὐτῷ ἄνθη καὶ σπέρματα ὅμοια ὑπερικῷ· ῥίζαν δὲ μείζονα. ποιεῖ δὲ πρὸς ἃ καὶ τὸ ἀείζωον.

Περὶ Ἀκαλήφης. Κεφ. ϟδ´.

Ἀκαλήφη, οἱ δὲ κνίδην, διττὸν εἶδός ἐστιν αὐτῆς, ἡ μὲν γάρ ἐστιν ἀγριωτέρα, τραχυτέρα καὶ πλατυτέρα καὶ μελαντέρα τοῖς φύλλοις· καρπὸν δὲ ὅμοιον λινοσπέρμῳ ἔχει, πλὴν ἐλάττονα. Ἡ δὲ ἑτέρα λεπτόσπερμός τε καὶ οὐχ ὁμοίως τραχεῖα. Ἀμφοτέρων δὲ τὰ φύλλα καταπλασσόμενα μετ' ἁλῶν, κυνόδηκτα ἰᾶται καὶ γαγγραινικὰ, καὶ τὰ κακοήθη καὶ καρκινώδη, καὶ τὰ ῥυπαρὰ τῶν ἑλκῶν καὶ στρέμματα, φύματα, παρωτίδας, φύγεθλα, ἀποστήματα· σπληνικοῖς δὲ μετὰ κηρωτῆς ἐπιτίθενται· ποιεῖ δὲ καὶ πρὸς τὰς ἐκ μυκτήρων αἱμορραγίας τὰ φύλλα σὺν τῷ χυλῷ λεῖα ἐπιτιθέμενα· κινεῖ δὲ καὶ ἔμμηνα, λεῖα μετὰ σμύρνης ἐπιτιθέμενα, καὶ ὑστέρας προπτώσεις ἀποκαθίστησι νεαρὰ τὰ φύλλα προσαπτόμενα.

τὸ δὲ

dropicis ex melle dantur. Herba vtuntur ad amatoria.

Vmbilicus Veneris alter.

Cap. XCIII.

Eſt & alterum genus eiuſdẽ, cymbalion aliqui vocant, pinguibus foliis, latioribus, ligularum modo denſis circa radicẽ; medium oculi ambitum deſcribẽtibus, vt in maiore ſemperuiuo, adſtringentis guſtus: cauliculo tenui, in quo flores & ſemina hyperici: radice maiuſcula. Facit eadem, quæ ſemperuiuum.

Vrtica. Cap. XCIIII.

Duo vrticæ genera: ſylueſtris, aſperior, latioribus, nigrioribusque foliis: ſemine lini, ſed minore. Altera non æquè aſpera, minuto ſemine. Folia vtriuſque illita, canis morſibus, addito ſale medentur: gangrænas, carcinomata, ſordida vlcera, & quæ cacoëthe vocantur, item luxata, panos, tubercula, parotidas, ſuppurationéſque ſanant: lienoſis cum cerato imponuntur: faciunt ad profluuia narium, cum ſucco trita, & naribus indita: menſes ciunt, eadem detrita cum myrrha, & impoſita procidentes vuluas, recentia contactu reſilire cogũt.

Semen potum ex paſſo, venerem ſtimulat, vuluæ ora patefacit: cum melle delinctum, orthopnœæ, lateris & pulmonum inflammationibus prodeſt: thoracem expurgat: erodentibus medicamentis admiſcetur. Cocta cum conchis folia, aluum emolliunt, vrinas mouent, inflationes diſcutiũt: decocta cum ptiſana, vitia pectoris extrahunt: mulierũ menſes euocant, cum myrrhæ modico pota. Inflammatione turgentẽ vuam, gargarizatus ſuccus exprimit.

Galiopſis. Cap. XCV.

Galiopſis, frutex in totum caulem, & folia habet vrticæ, læuiora, & quæ grauem odorem trita reddant: flore purpuraſcente, tenui: naſcitur circa ſepes, ædificiorum areas, ac ſemitas vbique. Folia, caules, ſemen, ſuccúſque, duritias & carcinomata diſsipãt: ſtrumas, panos, & parotidas diſcutiunt. Oportet bis die tepidum ex aceto cataplaſma imponere, & eius decocto fouere: ad putreſcentia, gangrænas, & nomas cum ſale efficaciter illinuntur.

τὸ δὲ σπέρμα ἐπὶ συνουσίαν παρορμᾷ πινόμενον μετὰ γλυκέος, καὶ ὑστέραν ἀνασομοῖ· σὺν μέλιτι δὲ ἐκλειχόμενον ὀρθοπνοίας ὠφελεῖ καὶ πλευρίτιδας καὶ περιπνευμονίας. ἀνάγει δὲ καὶ τὰ ἐκ θώρακος· μίγνυται δὲ καὶ σηπτικοῖς. συνεψηθέντα δὲ τὰ φύλλα κογχαείοις τὰς κοιλίας μαλάττει· λύει ἐμπνευματώσεις. οὖρα κινεῖ. σὺν πτισάνῃ δὲ ἑψηθέντα τὰ ἐκ θώρακος ἀνάγει. τὸ δὲ ἀφέψημα τῶν φύλλων σὺν ὀλίγῃ σμύρνῃ ποθὲν, κινεῖ καταμήνια. ὁ δὲ χυλὸς ἀναγαργαριζόμενος, στέλλει κιονίδα φλεγμαίνουσαν.

Περὶ Γαλιόψεως. Κεφ. ϛέ.

Γαλίοψις, οἱ δὲ, γαλεόβδολον, ὅλον τὸ θαμνίον σὺν τῷ καυλῷ καὶ τοῖς φύλλοις ἐμφερές ἐστι κνίδῃ, λειότερα δὲ τὰ φύλλα καὶ ἱκανῶς δυσώδη ἐν τῷ διατεῖψαι· ἄνθη λεπτὰ πορφυρίζοντα· φύεται ἐν φραγμοῖς καὶ παρὰ τὰς ὁδοὺς καὶ οἰκόπεδα πανταχοῦ. Δύναμιν δὲ ἔχει τὰ φύλλα καὶ ὁ χυλὸς καὶ ὁ καυλὸς καὶ ὁ καρπὸς, διαχυτικὴν σκληρωμάτων καὶ καρκινωμάτων, χοιράδων, παρωτίδων, φυγέθλων· δεῖ δὲ μετ' ὄξους τῆς ἡμέρας καταπλάσσειν χλιαρὸν ποιοῦντας τὸ κατάπλασμα. καὶ τὸ ἀφέψημα δὲ αὐτῆς καταντλεῖται ὠφελίμως· ποιεῖ καὶ πρὸς νομάς. γαγγραίνας καὶ σηπεδόνας μεθ' ἁλῶν καταπλασσόμενα.

Περὶ Γαλίου. Κεφ. ςς´.

Γάλλιον, οἱ δὲ, γαλλέειον, οἱ δὲ, γαλάτιον· ὠνόμασται δὲ ἀπὸ τοῦ γάλα πηγνύειν αὐτὶ πιτύας αὐτό· τὸ δὲ κλωνίον, καὶ τὸ φύλλον ἔχει ἐμφερέστατον ἀπαρίνῃ, καὶ ὀρθὸν δὲ καὶ ἐπ' ἄκρου ἄνθος μήλινον, λεπτὸν, πυκνὸν, πολὺ εὔοσμον· οὗ τὸ ἄνθος πρὸς τὰ πυρίκαυτα καταπλάσσεται, καὶ αἱμορραγίας ἵστησι· μίγνυται δὲ καὶ κηρωτῇ ῥοδίνῃ ἡλιαζόμενον ἄχρις ἂν λευκὸν γένηται· καὶ ἔστι τὸ τοιοῦτον ἄκοπον. ἡ δὲ ῥίζα πρὸς συνουσίαν παρορμᾷ. φύεται δὲ ἐν ἑλώδεσι τόποις.

Περὶ Ἠριγέροντος. Κεφ. ςζ´.

Ἠριγέρων καυλίον ἐστὶ πηχυαῖον, ὑπέρυθρον, συνεχῆ ἔχον φυλλάρια, ἀκροσχιδῆ ὥσπερ εὔζωμον, παρὰ πολὺ δὲ ἐλάττονα· ἄνθη μηλίζοντα, ταχέως σχιζόμενα καὶ ἐξανθοῦντα εἰς τοὺς λεγομένους πάππους. ὅθεν καὶ ἠριγέρων ὠνομάσθη, διὰ τὸ ἔαρος τὰ ἄνθη τριχοειδῶς πολιοῦσθαι. ῥίζα ἄχρηστος· φύεται μάλιστα ἐπὶ θριγγοῖς καὶ περὶ τὰς πόλεις. Δύναμιν δὲ ἔχει ψυκτικὴν τὰ φύλλα σὺν τοῖς ἄνθεσιν· ὅθεν καταπλασσόμενα τὰ φύλλα ἐν ὀλίγῳ οἴνῳ ἢ καὶ καθ' ἑαυτὰ φλεγμονὰς ὄρχεων καὶ δακτυλίου θεραπεύει· σὺν δὲ μάννῃ, τά τε ἄλλα τραύματα καὶ τὰ ἐν νεύροις ἰᾶται·

καὶ οἱ

Galion. Cap. XCVI.

Galion, nomen ex eo traxit, quòd in contrahendo lacte, coaguli vicem impleat: ramulum foliúmque habet aparinæ ſimillimum, rectum: florem in cacumine luteum, tenuem, denſum, copioſum, odoratum. Flos igni ambuſtis illinitur, ſanguinis profluuia ſiſtit. Cerato roſaceo galion admiſcetur, inſolatum vſque dum albeſcat: laſsitudines reficit. Radix venerem concitat. Naſcitur in paluſtribus.

Senecio. Cap. XCVII.

Senecio cauliculo eſt cubitali, ſubrubro, foliis continuis, erucæ modo per extremitates diuiſis, ſed minoribus multò: luteis floribus, qui celeriter diſſecti vaneſcunt in pappos. Nomen verò ſibi vendicauit, quoniam flores capillorum ritu, vere caneſcant. radice ſuperuacua: naſcitur maximè in maceriis, & circum oppida. Folia cum floribus refrigerant: quare illita cum vini modico, vel per ſeſe, teſtium & ſedis inflammationes ſanant: quin & ex manna thuris medentur, cũ reliquis vulneribus, tum iis quæ nerui acceperunt.

Illiti

Illiti per ſe cum aceto pappi, idem munus præſtant: verùm recentes epoti, ſtrangulant. Totus caulis, ſi coctus in paſſo potui detur, ſtomachi dolores à bili contractos, perſanat.

Thalictrũ. Cap. XCVIII.

Thalictron folia coriãdri habet, pinguiora paulò: coliculum rutæ craſsitudine, in quo folia. Quæ trita, illitu antiqua vlcera ad cicatricem perducunt. Naſcitur maximè in campeſtribus.

Marinus muſcus.
Cap. XCIX.

Marinus muſcus naſcitur in ſcopulis, teſtaceiſq; haud procul à mari, gracilis, capillaceus, caulis expers. Præcipua ei ſpiſſandi vis, & collectiones cohibendi, & podagras, quas refrigerare opus ſit.

Phycus marinus. Cap. C.

Phyci marini generib⁹, quoddam latum, & alterum ſublongius, & rubens: tertiũ candidũ, naſcens in Creta iuxta terram, floridũ valdè, quod nulla corruptionis labe polluiť. Omnia vim habẽt refrigeratoriam, nõ podagræ modò, ſed etiã inflãmationib⁹, in cataplaſmatis efficaciter vtilẽ: verũ iis vti humidis cõuenit, priuſquã exareſcãt.

Nican-

καὶ οἱ πάπποι δὲ, καθ᾽ ἑαυτοὺς καταπλασθέντες ἐν ὄξει τὸ αὐτὸ δρῶσι· ποθέντες μέν τοι νεαροὶ, πνιγμὸν ἐπιφέρουσιν. ὅλος δὲ ὁ καυλὸς σὺν ὕδατι ἑψηθεὶς καὶ σὺν γλεύκει πινόμενος, στομάχου πόνους τοὺς ἀπὸ χολῆς θεραπεύει.*

Περὶ Θαλίκτρου. Κεφ. ϛή.

Θάλικτρον φύλλα παραπλήσια κορίῳ ἔχει, λιπαρώτερα δὲ, καὶ καυλίον πηγανίου πάχος. ἐφ᾽ οὗ τὰ φύλλα ἅπερ καταπλασθέντα λεῖα, τὰ χρόνια τῶν ἑλκῶν ἐπουλοῖ. φύεται δὲ μάλιστα ἐν πεδίοις.

Περὶ Βρύου θαλασσίου.
Κεφ. ϛθ΄.

Βρύον θαλάσσιον φύεται ἐπὶ λίθων καὶ ὀστράκων παρὰ θάλασσαν, τριχῶδες ἰσχνὸν, ἄκαυλον, ἱκανῶς στυπτικὸν, ποιοῦν πρὸς φλεγμονὰς καὶ ποδάγρας, τὰς ψύξεως δεομένας.

Περὶ φύκους θαλασσίου.
Κεφ. ρ΄.

Φῦκος θαλάσσιον γίνεται, τὸ μέν τοι αὐτοῦ πλατὺ, τὸ δὲ ὑπομήκες καὶ φοινίσσον, τὸ δὲ, λευκὸν, φυόμενον δὲ ἐν κρήτῃ πρὸς τῇ γῇ. εὐανθὲς ἄγαν καὶ ἄσηπτον. Ψυκτικὴν δὲ ἔχει πάντα τὴν δύναμιν, ποιοῦσαν ἐν καταπλάσμασι, ποδαγρικοῖς καὶ ταῖς φλεγμοναῖς· δεῖ δὲ αὐτοῖς χρῆσθαι ἐνίκμοις πρὸ τοῦ ξηρανθῆναι.

νίκαν-

νίκανδρος δὲ φησὶ καὶ θηριακὸν εἶναι τὸ φοινικοῦν. ὅ περ ἔδοξαν ἔνιοι εἶναι ᾧ αἱ γυναῖκες χρῶνται, ὄντος ἐκείνου ῥιζίου. ὁμωνύμως δὲ καλουμένου φύκους.

Περὶ Ποταμογείτονος. Κεφ. ρα'.

Ποταμογείτων φύλλον ἐστὶν ὅμοιον σεύτλῳ, δασὺ καὶ ὀλίγον ὑπερκύπτον τοῦ ὕδατος. ψύχει δὲ καὶ στύφει ἁρμόζον κνησμοῖς καὶ νεμομένοις καὶ παλαιοῖς ἕλκεσιν. ὠνόμασται δὲ διὰ τὸ ἐν τέλμασι καὶ ἐνύδροις τόποις φύεσθαι.

Περὶ Στρατιώτου. Κεφ. ρβ'.

Στρατιώτης, ὁ ἐπὶ τῶν ὑδάτων φυόμενος· οἱ δὲ ποτάμιον στρατιώτην καλοῦσιν· ὠνόμασται δὲ διὰ τὸ ἐπινήχεσθαι τοῖς ὕδασι καὶ χωρὶς ῥίζης ζῆν. φύλλον δὲ ἔχει ἀειζώου ὅμοιον, μεῖζον μέντοι, καὶ ψυκτικὴν ἔχον δύναμιν. ἐφιστᾶνον τὰς ἐκ νεφρῶν αἱμορραγίας πινόμενον· τραύματά τε ἀφλέγμαντα τηρεῖ· καὶ ἐρυσιπέλατα καὶ οἰδήματα σὺν ὄξει καταπλαττόμενον.

Περὶ Χιλιοφύλλου στρατιώτου. Κεφ. ργ'.

Στρατιώτης ὁ χιλιόφυλλος ἐστὶ θαμνίσκος μικρὸς, σπιθαμιαῖος καὶ μείζων· ἔχων τὰ φύλλα ὅμοια νεοττοῦ πτερῷ· εἰσὶ δὲ αἱ ἐκφύσεις τῶν φύλλων σφόδρα βραχεῖαι, ἐσχισμέναι. ἔοικε δὲ μάλιστα τὰ φύλλα τῇ βραχύτητι, καὶ τῇ

Nicāder, puniceū aduerſus ſerpētes dedit. Hoc fuco quidā putant mulieres ſuū coloré mentiri, cum tamé ſit radicula eiuſdem nominis, qua ſeſe fucant.

Potamogeton. Cap. CI.

Potamogeton, foliū betæ ſimile, hirſutū, paulũlum ſupereminens extra aquā. Refrigerat & inſpiſſat: pruriginibus vtile, & cōtra veterum vlcerum nomas. Nomé ex eo inditum eſt, quòd paluſtribus, & aquoſis enaſcatur.

Stratiotes. Cap. CII.

Stratiotes in aquis naſcens, iiſdem ſupernatat, & ſine radice viuit: vnde cognomentum traxit. Herba ſemperuiuo ſimilis, ni maiora haberet folia: quę refrigerant. Sanguiné qui defluit à renibus, pota ſiſtunt: vulnera quę inflammationem minātur, intumeſcere non ſinunt: ignibus ſacris, & tumoribus ex aceto illinuntur.

Stratiotes millefolium. Cap. CIII.

Stratiotes millefoliū exiguus frutex, palmi altitudine, aut amplius aſſurgit: foliis auicularum pennas imitantibus, breui admodum diſſectóq; foliorū exortu. Folia ſylueſtre cuminum ſimulant, præſertim breuitatę

atque ſcabritia, breuiora paulò, denſiore vmbella, & pleniore. Surculos in cacumine gerit exiguos, & capitula in modum anethi: flores paruos, candidos. Naſcitur in aſperis agris, præcipuè circa ſemitas. Eximij vſus ad vlcera vetera, recentiáque, profluentem ſanguinem, & fiſtulas.

Verbaſcum. Cap. CIIII.

VERBASCVM differétias ſummas habet duas, hoc nigrum, illud album: in quo mas & fœmina intelligitur. Fœminę igitur folia ſunt braſſicæ, piloſiora multò, & latiora, candida: caulis albus, cubitalis, aut amplior, ſubhirſutus: flores albi, aut ſubpallidi: ſemen nigrum: radix longa, guſtu acerba, craſsitudine digiti: naſcitur in campeſtribus. Verbaſcum, qui mas appellatur, oblongius, albis foliis, & anguſtioribus, tenuiori caule. Sed nigrum prorſus albo ſimile eſſet, niſi nigriore latioréque conſtaret folio. Syluestre folia fert ſaluiæ, altas virgas, & lignoſas, & circa eas ramulos quales marrubium: flores luteos, auri æmulos. Sunt & phlomides duæ, hir-

καὶ τῇ τραχύτητι κυμίνῳ ἀγρίῳ. καὶ ἔτι βραχύτερα, καὶ τὸ σκιάδιον δὲ πυκνότερον τούτου καὶ ἁδρότερον. ἔχει γὰρ ἐπ' ἄκρου καρφία μικρά, ἐφ' ὧν τὰ σκιάδια ἐστὶν ἀνήθου τρόπον· ἄνθη μικρά, λευκά. φύεται ἐν ἀγροῖς ὑποτραχέσι καὶ περὶ τὰς ὁδοὺς μάλιστα. ἔστι δὲ αὕτη ἡ βοτάνη σφόδρα ἀγαθὴ πρὸς αἱμορραγίαν καὶ ἕλκη παλαιά, καὶ πρόσφατα καὶ σύριγγας.

Περὶ Φλόμου. Κεφ. ρδ'.

Φλόμος τῆς μὲν ἀνωτάτω διαφορὰν ἔχει διττήν, ἡ μὲν γάρ ἐστιν αὐτῆς λευκή, ἡ δὲ, μέλαινα· καὶ τῆς λευκῆς ἡ μὲν, θήλεια, ἡ δὲ, ἄρρην. τῆς μὲν οὖν θηλείας τὰ φύλλα παραπλήσιά ἐστι κράμβῃ, δασύτερα δὲ πολλῷ καὶ πλατύτερα καὶ λευκά· καυλὸς πηχυαῖος καὶ μείζων, λευκός, ὑπόδασυς· ἄνθη λευκὰ ἢ ὕπωχρα· σπέρμα μέλαν· ῥίζα δὲ μακρά, στρυφνή, πάχος ἔχουσα δακτύλου· φύεται δὲ ἐν πεδίοις. Ἡ δὲ ἄρρην καλουμένη, λευκόφυλλος, ὑπομήκης δὲ καὶ στενωτέρα τοῖς φύλλοις, καὶ τῷ καυλῷ δὲ λεπτοτέρα. Ἡ δὲ μέλαινα ὁμοία τῇ λευκαῖς κατὰ πάντα, πλατυφυλλοτέρα μέντοι καὶ μελαντέρα τοῖς φύλλοις ὑπάρχει. Γίνεται καὶ ἡ λεγομένη ἀγρία, ῥάβδους ὑψηλὰς φέρουσα καὶ δενδρώδεις, φύλλα δὲ ἐλελισφάκῳ ὅμοια· ἔχει δὲ κλῶνας περὶ τὰς ῥάβδους ὥσπερ πράσιον. ἄνθος μήλινον, χρυσοειδές. εἰσὶ δὲ καὶ φλομίδες διπλαῖ, δα-

διπλαῖ, δασεῖαι, προσφυεῖς τῇ γῇ, στρογγύλα ἔχουσαι τὰ φύλλα. Καὶ τρίτη φλομὶς ἡ καλουμένη λυχνῖτις, ὑπὸ δέ τινων θρυαλλὶς, φύλλα γ' ἢ δ', ἢ καὶ πλείονα, ἔχουσα παχέα, λιπαρὰ, δασέα. εἰς ἐλλύχνια χρήσιμη. τῶν μὲν οὖν προτέρων δύο, ῥίζα στυπτική· ὅθεν διαῤῥοιζομένοις, ὅσον ἀστράγαλος σὺν οἴνῳ ὠφελίμως ἐν ποτῷ δίδοται. τὸ δὲ ἀφέψημα αὐτῆς ῥήγμασι καὶ σπάσμασι καὶ θλάσμασι καὶ βηξὶ παλαιαῖς ἀρήγει. ὀδονταλγίας τε πραΰνει διακλυζόμενον. ἡ δὲ χρυσοειδὴς τὰ ἄνθη, τρίχας βάπτει, καὶ ὅπου ἂν τεθῇ σίλφας συνάγει. τὰ δὲ φύλλα ἑφθὰ ἐν ὕδατι, πρὸς οἰδήματα καὶ ὀφθαλμῶν φλεγμονὰς καταπλάσσεται, καὶ πρὸς σφακελίζοντα ἕλκη σὺν μέλιτι ἢ οἴνῳ· σὺν ὄξει δὲ τραύματα θεραπεύει, καὶ σκορπιοπλήκτοις βοηθεῖ. τὰ δὲ τῆς ἀγρίας φύλλα * πυρικαύτων ἐστὶ καταπλάσματα. τὰ δὲ τῆς θηλείας φύλλα φασὶ μετὰ σύκων ξηρῶν συντιθέμενα, ἄσηπτα αὐτὰ διαφυλάττειν.

Περὶ Αἰθιοπίδος. Κεφ. ρε'.

Αἰθιοπὶς, καὶ αὐτὴ παραπλήσια φλόμῳ ἔχει τὰ φύλλα, δασέα δὲ λίαν καὶ πυκνὰ, κύκλῳ περὶ τὸν πυθμένα τῆς ῥίζης· καυλὸν τετράγωνον, παχὺν, καὶ τραχὺν, ἐοικότα μελιτιαίνει ἢ ἀρκτίῳ, μασχά-

hirſutæ, rotūdis foliis, humiles. Tertia lychnitis appellatur, ab aliis autē thryallis, foliis ternis, aut quaternis, vel paulò pluribꝰ, hirſutis, craſsis, pinguibúſq;: apta ad lucernarū lumina. Radix priorum duarum aſtringit: quare quod magnitudine ludicrū talum æquet, in alui profluuio, cōueniēter ex vino datur. Decoctum ruptis, cōuulſis, fractis, antiquæ tuſsi, auxiliatur. Dentium dolorem collutione mitigat. Verbaſcum cui flos aureus, capillos tingit, & quocunque abiiciatur, blattas in ſe contrahit. Cocta in aqua folia, aduerſus tumores, inflammationes oculorum, ſyderata vlcera, ex vino & melle illinuntur: cum aceto quoque vulneribus medentur: contra ſcorpionum ictus, ſunt auxilio. Sylueſtris folia ambuſtis igni, ſunt cataplaſmata. Aiunt in foliis eius, quam fœminam dicimus, aridos ficus omnino non putreſcere.

Æthiopis. Cap. CV.

Æthiopis folia habet verbaſco ſimilia, perquàm hirſuta, denſaque, in orbem circa radicem imam redacta: caulem quadrangulum, craſſum ac ſcabrū, ſimilē apiaſtro, aut arctio,

multis concauum alis: ſemé erui magnitudine, geminum, in vno conceptaculo: radices ab eodem ceſpite numeroſas, longas, plenas, glutinoſas guſtu, quæ ſiccæ nigreſcunt durantúrq;, vt cornua poſsint videri: plurima naſcitur in Ida monte Throadis, & in Meſſenia. Auxiliatur purulentis excreationibus, iſchiadicis, pleuriticis, arteriæ ſcabritiis, decocta radix, & pota: quin & cum melle, eclegmatis vicem præbet.

Arction. Cap. CVI.

Arction, aliqui potius arcturon vocant, ſimilis eſt verbaſco foliis, niſi quòd hirſutiora, & rotundiora ſunt: caule longo, molli: ſemine cumini, paruo: radice tenera, alba, dulcíque. Decocta cum ſemine radix in vino, dentium dolorem mulcet, ſi contineatur ore decoctum: ambuſta pernionéſq; fouentur eodem: bibitur aduerſus coxédicum dolores, & ſtranguriam, è vino.

Arcion, ſiue Perſonata. Cap. CVII.

Perſonata folia habet cucurbitæ, maiora & hirſutiora, nigriora & craſsiora: caulem albicantem, quanquam & interdũ vidua caule reperiatur:

radice

μασχάλας ἀνιέντα πολλάς· καρπὸν δὲ περὶ μέγεθος ὀρόβου συνδύο ἐν ἑνὶ ἀγγείῳ· ῥίζας ἀπὸ τοῦ αὐτοῦ πυθμένος πολλάς, μακράς, παχείας, γευομένῳ κολλώδεις· γίνονται δὲ ξηραινόμεναι μέλαιναι καὶ σκληραί, κέρασιν ἐοικυῖαι· πλεῖστη δὲ γίνεται κατὰ τὴν Μεσσηνίαν καὶ τὴν Ἴδην. Ταύτης ἡ ῥίζα ἑψομένη καὶ πινομένη βοηθεῖ ἰσχιάσι, πλευρίτισι, αἵματος πτύσει, καὶ ἀρτηρίας τραχύτητι· λαμβάνεται δὲ μετὰ μέλιτος αὐτὶ ἐκλεικτοῦ.

Περὶ Ἀρκτίου. Κεφ. ρϛʹ.

Ἄρκτιον, οἱ δὲ ἀρκτοῦρον, φλόμῳ καὶ αὐτὴ ἔχει ἐοικότα τὰ φύλλα, δασύτερα δὲ καὶ στρογγυλώτερα· ῥίζαν ἁπαλήν, γλυκεῖαν, λευκήν· καυλὸν δὲ μαλακόν, μακρόν· καρπὸν δὲ κυμίνῳ μικρῷ ὅμοιον. Ταύτης ἡ ῥίζα δύναται καὶ ὁ καρπὸς ἀφεψηθέντα ἐν οἴνῳ, ὀδονταλγίας διακρατούμενα πραΰνειν, καὶ πυρικαύτων καὶ χιμέτλης ἐστὶ καταίτλημα· πίνεται δὲ καὶ πρὸς ἰσχιάδας καὶ δυσουρίαν ἐν οἴνῳ.

Περὶ Ἀρκείου. Κεφ. ρζʹ.

Ἄρκιον, οἱ δὲ, προσωπίδα, οἱ δὲ, προσώπιον καλοῦσι, φύλλα ἔχει ὅμοια τοῖς τῆς κολοκύνθης, μείζονα μέν τοι καὶ σκληρότερα καὶ μελάντερα καὶ δασέα· καυλὸν ὑπόλευκον, ἐνίοτε δὲ καὶ ἄκαυλος ἡ πόα·

ῥίζα

ῥίζα μεγάλη καὶ λευκὴ ἔνδοθεν, ἔξωθεν δὲ μέλαινα. Ἡ τις βοηθεῖσα < α. πλῆθος μετὰ στροβίλων, αἱμοπτοϊκοῖς, ἐμπυικοῖς, πίνεται· καὶ τὰ ἐκ τῶν λυγισμῶν περὶ τὰ ἄρθρα ἀλγήματα καταπλασσομένη λεία. καὶ τὰ φύλλα δὲ ὠφελίμως ἐπὶ τῶν παλαιῶν ἑλκῶν καταπλάττεται.

Περὶ Πετασίτου. Κεφ. ρη'.

Πετασίτης μίσχος ἐστὶ μείζων πήχεως, δακτύλου μεγάλου πάχος, ἐφ' οὗ φύλλον πετασῶδες μέγα, περισκειόμενον ὥσπερ μύκης ποιοῦν· πρὸς τὰ κακοήθη καὶ φαγεδαινικὰ ἕλκη λεῖον καταπλασσόμενον.

Περὶ Ἐπιπακτίδος. Κεφ. ρθ'.

Ἐπιπακτὶς, οἱ δὲ, ἑλλεβορίνην, θαμνίσκος μικρὸς, ἐλάχιστα φυλλάρια ἔχων. πρὸς τὰ θανάσιμα δὲ πίνεται, καὶ πρὸς τὰ ἐν ἥπατι πάθη.

Περὶ Καπνοῦ. Κεφ. ρι'.

Καπνὸς βοτάνιόν ἐστι θαμνοειδὲς, κορίῳ ἐοικὸς, τρυφερὸν πάνυ· τὰ δὲ φύλλα λευκότερα καὶ τεφροειδῆ πολλὰ πανταχόθεν· ἄνθος πορφυροῦν. τούτου ὁ χυλὸς δριμὺς, ὀξυδερκὴς, δακρύων ἀγωγός· ὅθεν καὶ τοὔνομα εἴληφε. δύναται δὲ καὶ τὰς ἐκ τῶν βλεφάρων διπλᾶς τρίχας σὺν κόμμει καταχρισθεὶς μὴ ἐᾶν φύεσθαι. βρωθεῖσα δὲ ἡ πόα, οὖρα ἄγει χολώδη.

Περὶ

radice grandi, intus candida, foris nigra. Hæc drachmæ vnius pondere pota, cum pineis nucibus, puruléta & cruenta extuſsientibus auxiliatur: trita dolores à contorſionibus artuum contractos, illitu ſedat. Folia vtiliter antiquis vlceribus illinuntur.

Petaſites. Cap. CVIII.

Petaſites pediculus cubito maior, craſsitudine pollicis, à quo prægrande folium, galeri modo amplum, ceu fungus depédet. Contra phagedænas, & vlcera quæ cacoëthe vocant, efficaciter illinitur.

Epipactis. Cap. CIX.

Epipactis ab aliis helleborine, parua herba, exiguis foliis. Iocineris vitiis vtilis, & contra venena pota.

Capnos, ſeu fumaria. Ca. CX.

Fumaria fruticoſa herbula eſt, prætenera, coriandri ſimilis: foliis candidioribus, vndique numeroſis, cineracei coloris: flore purpureo. Huius ſuccus claritatem facit oculis, delachrymationémque: vnde nomen traxit. Illitus cũ gummi, euulſas palpebras renaſci prohibet. Commanducata herba bilioſam vrinam trahit.

Lotus

Lotus vrbana. Cap. CXI.

Lotum vrbanam alij trifoliũ vocãt: naſcitur in hortis. Extractus ſuccus, addito melle, oculorum argema, nubeculas, cæteráſque caligines diſcutit.

Sylueſtris lotus. Cap. CXII.

Sylueſtris lotus, quam trifolium minus appellant, plurimum in Libya gignitur, caule bicubitali, & ſæpe maiore, alis multis: foliis trifolij pratenſis: ſemine fœnigræci, multò minore, guſtu medicato. Vim cal faciendi, & leniter adſtringendi obtinet: vitia cutis in facie, maculáſque, cum melle perũcta expurgat: trita per ſeſe aut cum maluæ ſemine, in vino aut paſſo bibitur aptiſsimè contra dolores, qui veſicam malè habent.

Cytiſus. Cap. CXIII.

CYTISVS, frutex eſt albus in totum, vt rhamnus, ramos ſpargens cubitales, ſæpe maiores, in quibus folia fœnigræci, aut loti trifoliæ, minora, dorſo medio prominente. Ea digitis trita erucam olent, guſtatáque cicer recens ſapiunt. Folia refrigerant: tumores inter initia diſcutiũt, ſi cum pane trita illinantur. Decoctũ

Περὶ λωτοῦ ἡμέρου. Κεφ. ρια΄.

Λωτὸς ἥμερος, οἱ δὲ τρίφυλλον· φύεται ἐν παραδείσοις. ὃς χυλισθεὶς καὶ μιγεὶς μέλιτι, ἄργεμα καὶ νεφέλια καὶ λευκώματα καὶ τὰ ἐπισκοτοῦντα τῇ κόραις ἀποκαθαίρει.

Περὶ λωτοῦ ἀγρίου. Κεφ. ριβ΄.

Λωτὸς ἄγριος, οἱ δὲ, λίβυον καλοῦσι, φύεται μὲν, πλεῖστος ἐν λιβύῃ, καυλὸν φέρων δίπηχυν ἢ καὶ μείζονα, μασχάλας ἔχοντα πολλάς· φύλλα ὅμοια λωτῷ τριφύλλῳ, τῷ ἐν χορτοκοπείοις γινομένῳ· σπέρμα ἐοικὸς τήλιδι, μικρότερον δὲ πολλῷ, φαρμακῶδες ἐν τῇ γεύσει. Δύναμιν δὲ ἔχει θερμαντικὴν, ἠπίως στυπτικὴν. ἀποκαθαρτικὴν σπίλων τῶν ἐπὶ τοῦ προσώπου καὶ ἐφηλίδων σὺν μέλιτι καταχριόμενος. πινόμενος δὲ καθ' ἑαυτὸν λεῖος ἢ καὶ μετὰ μαλάχης σπέρματος σὺν οἴνῳ ἢ γλυκεῖ, τοῖς περὶ κύστιν ἀλγήμασι βοηθεῖ.

Περὶ κυτίσου. Κεφ. ργ΄.

Κύτισος θάμνος ἐστὶ λευκός ὅλος ὡς ῥάμνος, κλάδους ἀνιεὶς πηχυαίους καὶ μείζονας, περὶ οὓς τὰ φύλλα ὅμοια τήλιδι, ἢ λωτῷ τριφύλλῳ μικρότερα δὲ καὶ ῥάχιν ἔχοντα μείζονα. ἐν δὲ τῷ διατρίβεσθαι τοῖς δακτύλοις ὄζοντα εὐζώμου, ἐν δὲ τῇ γεύσει ὅμοια ἐρεβίνθοις χλωροῖς. Δύναμιν δὲ ἔχει τὰ φύλλα ψυκτικήν· διαφορικὴν τῶν ἐν ἀρχῇ οἰδημάτων σὺν ἄρτῳ λεῖα καταπλασθέντα.

θέντα. κινεῖ δὲ καὶ οὖρα τὸ ἀφέψημα αὐτῶν πινόμενον. ἔνιοι δὲ φυτεύουσιν αὐτὸν περὶ τοῖς σμήνεσιν ὡς ἐπακτικὸν τῶν μελισσῶν.

Περὶ Λωτοῦ αἰγυπτίου. Κεφ. ριδ΄.

Λωτὸς, ὁ ἐν αἰγύπτῳ γινόμενος ἐν τῷ ὕδατι τῶν ἐπικλυσθέντων πεδίων καυλός ἐστι τῷ τοῦ κυάμου ἐμφερής· ἔχων ἄνθος μικρὸν, λευκὸν, ἐοικὸς κρίνῳ, ὅ φασὶ κατὰ τὰς ἀνατολὰς τοῦ ἡλίου *ἀναπλοῦσθαι, δύνοντος δὲ μύειν· καὶ ὅλην τὴν κωδίαν κρύπτεσθαι ἐν τῷ ὕδατι, πάλιν τε πρὸς τὴν ἀνατολὴν τοῦ ἡλίου ὑπερκύπτειν. ἔοικε δὲ ἡ κωδία μήκωνι μεγίστῃ· ἐν ᾗ καρπὸς ὡς κέγχρος, ὃν ξηράναντες οἱ ἐν αἰγύπτῳ, βάλλουσιν εἰς ἀρτοποιΐαν. ῥίζαν δὲ ἔχει ὁμοίαν μήλῳ κυδωνίῳ, ἥ τις καὶ αὐτὴ ἐσθίεται ὠμή τε καὶ ἑφθή. ἀναλογεῖ δὲ ἑψηθεῖσα τῇ ποιότητι λεκύθῳ ᾠοῦ.

Περὶ Μυριοφύλλου. Κεφ. ριέ.

Μυριόφυλλον καυλίσκος ἐστὶ μονοφυὴς, τρυφερὸς, μονόῤῥιζος· περὶ ὃν φύλλα πολλὰ, λεῖα, μαράθρῳ ὅμοια· ὅθεν καὶ ὠνόμασται. ὁ δὲ καυλός ἐστιν ὑπόκιρρος, * διαποίκιλος, ὡς ἐπιτηδὲς διαῤῥεινισμένος*· φύεται ἐν ἑλώδεσι τόποις. τοῦτο τηρεῖ ἀφλέγμαντα τὰ νεότρωτα τῶν ἑλκῶν σὺν ὄξει χλωρόν τε καὶ ξηρὸν καταπλασσόμενον· ποτίζεται δὲ καὶ πρὸς πτώματα σὺν ὕδατι καὶ ἁλσίν.

Περὶ

Decoctum potu vrinam ciet. Nonnulli, quòd apes adiiciat, prope aluearia ſerunt.

Lotus Ægyptia. Cap. CXIIII.

EST & in Ægypto lotus, quæ in campis flumine inundatis prouenit, caule fabæ: flore paruo, candido, lilio ſimili, quem tradunt occidente ſole comprimi occludíque, ad ortum autem aperiri: addúntque, caput ipſum veſpera aquis condi, & ad exortum ſolis emergere. Caput quale papaueris, maximũ: & intus grana ceu milij, quæ Ægyptij exiccant, & in panes cogunt. Radicem lotos hæc habet, mali cotonei ſimilitudine, quæ cruda coctaq; mãditur: decoctáque lutei oui qualitatem exhibet.

Millefoliũ. Cap. CXV.

Myriophyllum, ſiue millefoliũ, caulis eſt tener, ſingularis, vnica nixus radice: plurimis foliis, læuibus, fœniculo ſimilib⁹: vnde nomẽ accepit. Caulis flaueſcit varius, ac veluti ex induſtria delimatus: naſcitur in paluſtribus. Vulnera recentia ab inflammatione vindicat, ſi vel viride, vel ſiccũ ex aceto, oblinatur: præcipitatis in potu cum aqua & ſale datur.

Myrrhis.

Myrrhis. Cap. CXVI.

Myrrhis, ſimillima eſt cicutæ, caule foliiſque: radix ei oblonga, mollis, rotunda, odorata, cibo non inſuauis. Quæ pota in vino, phalangiorum morſibus auxiliatur: cit menſtrua, & partus ſecundos, purgátque á puerperio fœminas: ſubuenit & phthiſicis cocta in ſorbitione. Aiunt quoq; eádem bis die térve potam ex vino, in peſtilétia ſalutaré eſſe, & ne morbi cótagia ſentiantur obſtare.

Περὶ Μύῤῥιδος. Κεφ. ρις΄.

Μύῤῥις, οἱ δὲ μύῤῥαν καλοῦσιν, τῷ καυλῷ καὶ τοῖς φύλλοις ἔοικε κωνείῳ· ῥίζαν δὲ ἔχει ἐπιμήκη, ἁπαλὴν, περιφερῆ, εὐώδη, ἡδεῖαν βρωθῆναι. Η τις πινομένη σὺν οἴνῳ φαλαγγιοδήκτοις βοηθεῖ· καθαίρει δὲ ἔμμηνα, καὶ λοχία· καθεψηθεῖσα δ' ἐν ῥοφήμασιν, ὠφελίμως φθισικοῖς δίδοται. ἱστοροῦσι δὲ ἔνιοι πινομένης αὐτῆς δὶς ἢ τρὶς τῆς ἡμέρας σὺν οἴνῳ ἐν λοιμικαῖς καταστάσεσι, βοηθεῖν πρὸς τὸ ἀνόσους διαμένειν.

Myagrum. Cap. CXVII.

Myagron, aliqui melampyron vocant, herba eſt ſurculacea, foliis rubiæ, pallidis, tripedanea: ſemen oleoſum, fœnogræco ſimile. Quod contuſum igni torrent, perunctiſq; virgis ad lucernarum lumina vtuntur hoc pingui, ſcabritias corporis leuigari, atque expoliri conſtat.

Περὶ *Μυάγρου. Κεφ. ριζ΄.

*Μύαγρος, οἱ δὲ μελάμπυρον, πόα φρυγανώδης δίπηχυς. φύλλα ἔχουσα ἐμφερῆ τοῖς τοῦ ἐρυθροδάνου, ὠχρά· σπέρμα τήλεϊ ἐοικὸς λιπαρόν. ᾧ χρῶνται, κόπτοντες αὐτὸ πεφωγμένον, καὶ περιπλάττοντες ῥάβδοις, καὶ ἀντὶ λύχνου χρώμενοι. δοκεῖ δὲ ἐξ αὐτῶν λίπος ὁμαλίζειν καὶ λεαίνειν τὰς τοῦ σώματος τραχύτητας.

Onagra. Cap. CXVIII.

ONAGRA, ſiue onothera, aut onuris, frutex eſt arboris inſtar, prægrandis, amygdalino folio, ſed latiore, lilio non diſsimili: flore roſaceo, magno: radice candida, longa: cum ſiccata eſt, vinum olente: naſcitur in montibus. Aqua in qua radix maduerit, in potu

Περὶ Ονάγρας. Κεφ. ριη΄.

Ονάγρα, οἱ δὲ ὀνοθήραν, οἱ δὲ, ὄνουριν, θάμνος ἐστὶ δενδροειδὴς, εὐμεγέθης, φύλλα ἔχων ἀμυγδαλῇ παραπλήσια *γλυκύτερα δὲ καὶ ἐμφερῆ τοῖς τοῦ κρίνου· ἄνθη ῥοδοειδῆ, μεγάλα· ῥίζαν δὲ λευκὴν, μακρὰν, ἥτις ξηρανθεῖσα, οἴνου ὀσμὴν ἀποδίδωσι. φύεται ἐν ὀρεινοῖς τόποις. Δύναμιν δὲ ἔχει τὸ ἀπόβρεγμα τῆς ῥίζης

ποθὲν

ἀπὸ τ ἀγρίων ζώων πινόμενον, ἡμεροῦν αὐτά· καταπλασθεῖσα δὲ πραΰνει τὰ θηριώδη ἕλκη.

Περὶ Κιρσίου. Κεφ. ριθ'.

Κίρσιον καυλός ἐστιν ἁπαλός, ὡς δίπηχυς, τρίγωνος, τὰ κάτωθεν φυλλάρια ῥοδοειδῆ ἔχοντα· τὰς γωνίας ἀκανθώδεις ἐκ διαστημάτων μαλακάς. τὰ δὲ φύλλα βουγλώσσῳ ἐμφερῆ, δασέα μετρίως καὶ μακρότερα, ὑπόλευκα, ἀκανθώδη τοῖς πέρασι. τὸ δὲ ἀνωτάτω τοῦ καυλοῦ περιφερές, δασὺ καὶ ἐπ' αὐτοῦ κεφάλια ἀκροπόρφυρα, ἐκπαππούμενα. ταύτης τὴν ῥίζαν Ἀνδρέας ἀναγράφει ὑπὲρ τὸν ἀλγοῦντα τόπον ἀναδούμενον, παύειν κιρσῶν πόνους.

Περὶ Ἀστέρος ἀττικοῦ.

Κεφ. ρκ'.

Ἀστὴρ ἀττικὸς ῥαβδίον ξυλῶδες, *ἐπ' ἄκρου ἔχον ἄνθος πορφυροῦν, ἢ μήλινον, ὥσπερ ἀνθεμίδος κεφάλιον περισχιδές· ἔχει δὲ φυλλάρια ἀστέρι ὅμοια. τὰ δὲ περὶ τὸν καυλὸν φύλλα ὑπομήκη καὶ δασέα. Ὠφελεῖ δὲ στόμαχον ἐκπυρούμενον καταπλασσόμενον, καὶ ὀφθαλμῶν φλεγμονὰς καὶ βουβῶνας, καὶ τὰς προπτώσεις ἕδρας. φασὶ δὲ καὶ τὸ πορφυρίζον τοῦ ἄνθους μεθ' ὕδατος ποθὲν, συναγχικοῖς βοηθεῖν καὶ ἐπιληψίαις παίδων. ἁρμόζει δὲ καταπλασσόμενον ὑγρὸν πρὸς βουβώνων φλεγμονάς.

ξηρὸν

in potu data, feras mitigat, & cicures facit: illitu quoque tetra vlcera mulcet.

Cirſium. Cap. CXIX.

Cirſium, caulis eſt tener, duorum cubitorum, triãgulo ſimilis: ab imo foliola, roſæ ſpeciem referentia: anguli ſpinoſi, per interualla molles: folia bugloſſo ſimilia, maiora, ſubcã dida, modicè hirſuta, partibus extremis aculeata: cacumen caulis orbiculatum, hiſpidum, in quo capitulo in ſummo purpurea, quæ ſoluũtur in lanugines. Radicẽ huius loco laborãti adalligatã, dolores varicum ſedare Andreas ſcripſit.

Aſter Atticus. ſeu inguinalis. Cap. CXX.

Aſter Atticus cauliculus lignoſus, florem in cacumine habẽs purpureũ, luteũmve, per ambitũ, anthemidis capituli modo diuiſum, foliolis ſtellę modo radiatis: quæ autẽ caulẽ circũdãt folia oblonga ſunt ac hirſuta. Feruenti ſtomacho, oculorum inflãmationibus, ꝓciduæ ſedi, ac inguinibus illitu auxiliatur. Tradunt purpureum florem, ſi ex aqua bibat, anginis, & pueris comitiale malum ſentiẽtibus opitulari. Inguinũ inflãmationi recentẽ illinire cõuenit.

Si aridus

Si aridus flos ſiniſtra dolentis manu decerpatur,& inguinibꝰ adligetur,dolore liberat.

Iſopyrum. Cap. CXXI.

ISOPYRON,aliqui phaſiolon ob ſimilitudinem vocant, quoniam foliū quod eſt aniſo ſimile in pampinos torquetur: capitula ſunt in ſummo caule, tenuia, plena ſeminis, melanthij guſtum imitantis. Contra tuſsim, & cætera pectoris vitia, ſemen ex aqua mulſa bibitur:hepaticis,& ſanguinem excreantibus vtile.

Viola purpurea. Cap. CXXII.

VIOLA purpurea folium habet hedera minus, tenuius ac nigrius, nec multò diſsimile: cauliculus à radice medius prodit, in quo floſculus, ſuauiſsimè olens, purpureus:opacis & aſperis naſcitur. Refrigerandi naturam habet.Folia per ſe,& ex polenta illinuntur aptiſsimè ſtomacho ęſtuanti,& oculorum inflammationibus, ſedíque procidenti.

Cacalia. Cap. CXXIII.

CACALIA, quæ leontice vocatur, folia fert magna, alba, è quibus medius caulis emicat,

ξηρὸν δ' ἀναιρεθὲν τῇ ἀριστερᾷ χειρὶ τοῦ ἀλγοῦντος, καὶ περιαφθὲν τοῖς βουβῶσι, ἀπαλλάσσει τῆς ὀδύνης.

Περὶ Ἰσοπύρου. Κεφ. ρκα΄.

Ἰσόπυρον, οἱ δὲ, φασίολον καλοῦσιν, ἀπὸ τοῦ ἐοικέναι φασιόλῳ, τῷ κατ' ἄκρον τὸ πέταλον ἕλικα φέρειν· ἔπεισι δὲ κεφαλαὶ ἐπ' ἄκρου τοῦ καυλοῦ, λεπταὶ, σπερματίων πλήρεις, παραπλησίων μελανθίῳ τὴν γεῦσιν. τὸ δὲ φύλλον ἀνίσῳ· τούτου τὸ σπέρμα πινόμενον σὺν μελικράτῳ, τοὺς περὶ θώρακα πόνους καὶ βῆχας ὠφελεῖ· αἱμοπτοϊκοῖς τε καὶ ἡπατικοῖς ἁρμόζει.

Περὶ Ἴου. Κεφ. ρκβ΄.

Ἴον* φύλλον ἔχει μικρότερον κισσοῦ καὶ λεπτότερον, μελάντερον δὲ καὶ οὐκ ἀνόμοιον· καυλίον μέσον ἀπὸ τῆς ῥίζης, ἐφ' οὗ ἀνθύλλιον σφόδρα εὐῶδες, πορφυροῦν. φύεται ἐν παλισκίοις καὶ τραχέσι τόποις.

Δύναμιν δὲ ἔχει ψυκτικήν. οὗ τὰ φύλλα καταπλασσόμενα καθ' ἑαυτὰ καὶ μετὰ ἀλφίτων, βοηθεῖ στομάχῳ καυσουμένῳ, καὶ ὀφθαλμῶν φλεγμοναῖς, καὶ ταῖς τῆς ἕδρας προπτώσεσι. φασὶ δὲ τὸ πορφυρίζον τοῦ ἄνθους μεθ' ὕδατος ποθὲν, συναγχικοῖς βοηθεῖν καὶ ἐπιληψίαις ταῖς ἐπὶ παίδων.

Περὶ Κακαλίας. Κεφ. ρκγ΄.

Κακαλία, οἱ δὲ, λεοντικὴν, φύλλα φέρει λευκά, εὐμεγέθη· καυλὸς δ' ἐξ

δὲ ἐξ αὐτῶν μέσος ὀρθὸς, λευκὸς, ἄνθος ἔχων ἐοικὸς δρυῒ ἢ ἐλαίᾳ· ἐν ὄρεσι δὲ φύεται. Ταύτης ἡ ῥίζα ἐν οἴνῳ βρεχομένη ὡς τραγάκανθα καὶ ἐκλειχομένη ἢ διαμασωμένη καθ' ἑαυτὴν, βῆχας καὶ τραχύτητας τῆς ἀρτηρίας θεραπεύει. οἱ δὲ μετὰ τὴν ἐξάνθησιν ἐπιφυόμενοι κόκκοι λεῖοι, ἀναληφθέντες κηρωτῇ καὶ ἐπιχρισθέντες, τεταμὸν καὶ ἀρρυτίδωτον τηροῦσι τὸ πρόσωπον.

emicat, rectus, albus, florem ferens robori aut oleæ ſimilem: naſcitur in montibus. Radix in vino madefacta, vt tragacantha, delinctu aut manducatu per ſe tuſsibus, ſcabritiis arteriæ, medetur. Grana quæ poſt excuſſum florem innaſcuntur, trita & cum cerato illita, faciem erugant, & cutem extēdunt.

Περὶ Βουνίου. Κεφ. ρκδ'.

Βούνιον καυλὸν ἀνίησι τετράγωνον, εὐμήκη, πάχος δακτυλιαῖον, φύλλα δὲ *ὅμοια σελίνῳ, λεπτότερα δὲ πολλῷ πρὸς τὰ τοῦ *κορείου· ἄνθος ἀνήθου· σπέρμα εὐῶδες, ὑοσκυάμου μικρότερον. Ἐστι δὲ οὐρητικὸν, θερμαντικὸν, καὶ δευτέρων ἀγωγὸν σπληνί τε καὶ νεφροῖς καὶ κύστει ἐπιτήδειον· χρῆσις δὲ αὐτοῦ ὑγροῦ τε καὶ ξηροῦ, καὶ χυλισθέντος σὺν ταῖς ῥίζαις καὶ τοῖς καυλοῖς καὶ τοῖς φύλλοις μετὰ μελικράτου.

Bunion. Cap. CXXIIII.

Bunion caulē ædit quadrangulum, procerum, digiti craſsitudine, in quo ramuli minutis foliis ac floribus ſcatent: folia proximè radicē, apio ſimilia, longè tenuiora, coriādrinis ꝓxima: flores anethi: ſemen odoratum, hyoſciamo minus. Vrinā ciet, excalfacit, ſecūdas euocat: lieni, veſicæ, renibus vtile: Tam humidi q̃ ſicci, expreſsiq; ſucci caulib⁹, foliis, radicibusq; vſus inualuit ex aqua mulſa.

Περὶ Ψευδοβουνίου. Κεφ. ρκε'.

Ψευδοβούνιον θαμνίον ἐστὶ *σπιθαμιαῖον ἐν Κρήτῃ, ἔχον φύλλα βουνίῳ ὅμοια, δριμέα. *δύναται δὲ καὶ τὰ ἐξ αὐτοῦ πινόμενα κλωνία ὅσον δ'. σὺν ὕδατι, στρόφους καὶ στραγγουρίας, καὶ πλευρᾶς πόνον θεραπεύειν· διαφορεῖ δὲ καὶ χοιράδας μετὰ ἁλῶν καὶ οἴνου καταπλασσόμενα χλιαρά.

Pſeudobunion. Cap. CXXV.

Pſeudobunion palmi altitudine fruticat in Creta, folia ramulóſque napi ferens, acri guſtu. Tormina, atque ſtranguriam, laterúmque dolores, ſanant quaterni rami eius poti in aqua: illiti quoque cum ſale & vino, tepentes, ſtrumas diſcutiūt.

Περὶ

Chamæ-

Chamæciſſus. Cap. CXXVI.

Chamæciſſos, folio eſt hederæ, tenuiore, longiore, ramulis à radice quinis ſeníſve, dodrãtalibus, folioſis: flore violę albę ſimili, candidiore, ac tenuiore, guſtu ſupra modum amaro: radice tenui, candida, inutili: naſcitur in cultis. Bibunt conuenientiſsimè iſchiadici folia, tribus obolis in aquæ cyathis tribꝰ, tricenis quadrageníſve diebus. eodẽ pota modo, ſenis aut ſeptenis diebus, regium morbum purgant.

Chamæleuce. Cap. CXXVII.

Chamæleuce lumborũ doloribus propitia eſt, herba virens: incuruis foliis, ſurculíſq;: flore roſaceo.

Bugloſſum, ſeu lingua bubula. Cap. CXXVIII.

Bugloſſum verbaſco ſimile eſt, folium in terra ſparſum, nigrius, aſperum, bubulas imitãs linguas. Quod in vinum deiectum, animi voluptates auget.

Cynogloſſum. Ca. CXXIX.

Cynogloſſon folia latifoliæ plantaginis habet, arctiora, minora, lanuginoſa: caule vacat, & humi ſternitur: ꝓuenit in ſabuletis. Folia cum ſuillo adipe veteri, medentur morſibus canum, alopeciis, &

Περὶ Χαμαικίσσου. Κεφ. ρκϛʹ.

Χαμαίκισσος φύλλα ἔχει ὅμοια κισσῷ, μακρότερα δὲ καὶ λεπτότερα, πολλά, κλωνία σπιθαμιαῖα, περίπλεα φύλλων ἀπὸ τῆς γῆς ἑ ἢ ϛʹ, ἄνθη λευκοΐοις ὅμοια μικρότερα, καὶ πικρὰ πρὸς τὴν γεῦσιν ἰσχυρῶς· ῥίζα λεπτή, λευκή, ἄχρηστος· φύεται ἐν ἐργασίμοις χωρίοις. Ἁρμόζει δὲ τὰ φύλλα ἰσχιαδικοῖς, ὅσον τριώβολος ἐν ὕδατι κυάθοις τρισὶ πινόμενα ἐπὶ ἡμέρας μʹ ἢ νʹ. καὶ ἴκτερον δὲ ἀποκαθαίρει, ὁμοίως πινόμενα πρὸς ϛʹ ἢ ζʹ. ἡμέρας.

Περὶ χαμαιλεύκης. Κεφ. ρκζʹ.

Χαμελεύκη ποιεῖ πρὸς ὀσφύος ἀλγήματα ἐν ὕδατι λεία πινομένη.

Περὶ Βουγλώσσου. Κεφ. ρκηʹ.

Βούγλωσσον ἔοικε φλόμῳ, φύλλον δὲ ἔχει χαμαιπετές, τραχύτερον καὶ μελάντερον, ὅμοιον βοὸς γλώσσῃ. ὅπερ καθιέμενον εἰς τὸν οἶνον εὐφρόσυνον δοκεῖ εἶναι.

Περὶ Κυνογλώσσου. Κεφ. ρκθʹ.

Κυνόγλωσσον φύλλα ἔχει ἀρνογλώσσῳ τῷ πλατυφύλλῳ ἐμφερῆ, στενώτερα δὲ καὶ μικρότερα, χνοώδη, ἄκαυλον, ἐπὶ γῆς ἐστρωμένον· φύεται ἐν ἀμμώδεσι τόποις. Δύναμιν δὲ ἔχει τὰ φύλλα λεῖα σὺν στέατι παλαιῷ ὑείῳ, κυνόδηκτα καὶ ἀλωπεκίας, καὶ

πικίας, καὶ κατακαύματα ἰᾶται· ἑψηθεῖσα δὲ ἡ πόα καὶ πινομένη σὺν οἴνῳ, κοιλίας ἐστὶ μαλακτική.

& ambuſtis. Emollit aluum, decoctum herbæ ex vino potum.

Περὶ Φυτεύματος. Κεφ. ρλ΄.

Φύτευμα φύλλα ἔχει ὅμοια στρουθίῳ, μικρότερα δέ· καρπὸν πολὺν τετρημένον· ῥίζαν μικρὰν, λεπτὴν, ἐπιπόλαιον· ἣν ἀναγράφουσί τινες εὐθετεῖν πρὸς φίλτρον.

Phyteuma. Cap. CXXX.

Phyteuma folia habet radiculæ, minora: copioſum ſemẽ, perforatum: radicem paruã, tenuem, per ſumma terræ nitentem: quã ad amatoria cõuenire, nonnulli ſcriptũ reliquerũt.

Περὶ Λεοντοποδίου. Κεφ. ρλα΄.

Λεοντοπόδιον διδακτυλιαῖον ἐστὶ βοτάνιον, ἔχον φυλλάρια στενὰ *ἰχνερὰ, ὡς τεσσάρων δακτύλων ἢ καὶ τριῶν τὸ μῆκος, δασέα, ἐριωδέστερα τὰ πρὸς τῇ ῥίζῃ καὶ ὑπόλευκα· ἐπ' ἄκρων δὲ τῶν καυλῶν κεφάλια ὥσπερ *τετρημένα, ἐν οἷς ἄνθη μέλανα· ὁ δὲ καρπὸς αὐτοῦ δυσθεώρητος διὰ τὴν περικεχυμένην αὐτῷ χνοῦν· ῥίζα δ' ὕπεστι μικρά. φασὶ δὲ καὶ ταύτην *εὐχρηστεῖν εἰς φίλτρα.

Leontopodiũ. Cap. CXXXI.

Leontopodiõ duûm digitorum herbula eſt, folia ferẽs anguſta, lõgitudine ternûm quaternûmve digitorũ hirſuta, q̃ iuxta radicẽ lanoſiore flocco caneſcunt: capitula in ſummo caule quaſi perforata: flores nigri: ſemẽ vſq; adeò ſpiſſa lanugine inuolutum eſt, vt ſæpe fallat: radice parua cohæret: quã tradunt appẽſam ad amatoria prodeſſe, & tubercula diſcutere.

Περὶ Ἱππογλώσσου. Κεφ, ρλβ΄.

Ἱππόγλωσσον θαμνίσκος ἐστὶ μυρσίνῃ ἀγρίᾳ καὶ λεπτῇ τὰ φύλλα ὅμοιος. κόμην δὲ ἀκανθώδη ἔχει, καὶ ἐπ' ἄκρου ὥσπερ *γλωσσίδια παρὰ τοῖς φύλλοις· δοκεῖ δὲ ἡ κόμη περίαμμα εἶναι χρήσιμον κεφαλαλγοῦσι· μίγνυται δὲ καὶ εἰς μαλάγματα ἥ τε ῥίζα καὶ τὸ χύλισμα.

Hippogloſſum. Cap. CXXXII.

Hippogloſſon, frutex eſt folia habens ruſci tenuis figura, & ſpinoſam comã, & in ſummo ceu linguas è foliis exeuntes. Capitis dolorem corona ex comis impoſita minuit: Malagmatis radix ſuccúſque admiſcetur.

Περὶ Ἀντιρρίνου. Κεφ. ρλγ΄.

Ἀντίρρινον, οἱ δὲ ἀνάρρινον, ἔνιοι

Antirrhinũ. Cap. CXXXIII.

Antirrhinõ, alij anarrinõ vocant,

cant, herbam caule & foliis anagallidi ſimilem : flore albæ violæ, purpureo, minore tamen, ideóque ſylueſtris lychnis nominata eſt : ſemine vituli narium ſimili. Tradunt perunctos ea, cum oleo lilino, venuſtiores fieri: nec vllo medicamento lædi poſſe, ſi quis appenſum geſtet.

ἔνιοι δὲ καὶ ταύτην λυχνίδα ἀγρίαν ἐκάλεσαν, πόα ἐστὶν ἐμφερὴς ἀναγαλλίδος φύλλοις καὶ καυλῷ· τὰ δὲ ἄνθη πορφυρᾶ, ὅμοια λευκοΐῳ, μικρότερα δὲ, διὸ καὶ ἀγρία λυχνὶς ἐκλήθη· καρπὸν δὲ φέρει μόσχου ῥισὶν ὅμοιον, ῥᾴσιον ἰδεῖν. ἱστορεῖται δὲ τοῦτο ἀντιπαθὲς εἶναι φαρμάκοις περιαπτόμενον· ἐπιχαρίν τε ποιεῖν ἀλειφόμενον σὺν ἐλαίῳ κρινίνῳ, ἢ κυπρίνῳ.

Catanáce. Cap. CXXXIIII.

Ex eo genere vna, folia coronopi habet longa, radicē iunci modo prætenuem: capitula ſena, ſeptenáve, in quib⁹ erui ſemen ineſt. Areſcens in terram flectitur, & ſe contrahit ad ſpeciem vnguium milui exanimati. Altera mali parui magnitudinē explet, radice exiguæ oliuæ magnitudine: foliis quoque oliuæ colore, & figura, mollibus, diuiſis, humi inclinatis: ſemen, vt cicer, minutum, in virgulis dependet, punicei coloris, multis foraminibus pertuſum. Vtráque narrant in amatoria expeti. Theſſalicæ mulieres his vti traduntur.

Περὶ Καταναγκῆς. Κεφ. ρλδ΄.

Κατανάγκη, ἡ μὲν τις αὐτῆς ἔχει φύλλα μακρὰ ὡς κορωνόποδος, ῥίζαν λεπτὴν, σχοινώδη· κεφαλὰς δὲ ς΄, ἢ ζ΄. ἐν αἷς καρπὸς ὅμοιος ὀρόβῳ· κάμπτεται δὲ ξηραινόμενος ἐπὶ τὴν γῆν, καὶ ἰκτίνου ὄνυξιν ὁμοιοῦται νεκροῦ. Τὸ δὲ ἕτερον μήλου μέγεθος ἔχει μικροῦ· ῥίζαν δὲ μικρὰν ὅσον ἐλαία· τὰ δὲ φύλλα σχήματι καὶ χροιᾷ ἐοικότα ἐλαίᾳ, μαλακὰ δὲ ἐπὶ γῆς ἐστρωμένα καὶ ἐσχισμένα· καρπὸν ἐπὶ ῥαβδίοις μικρόν. τετρημένον κατὰ πολλὰ μέρη ὡς ἐρέβινθον φοινικοῦν. ἀμφοτέρας δὲ ἱστοροῦσί τινες εἰς φίλτρα ἁρμόζειν. χρῆσθαι δὲ λέγουσιν αὐταῖς τὰς Θετταλὰς γυναῖκας.

Tripolion. Cap. CXXXV.

Tripolion in marinis naſcitur locis, quæ allidit vnda, recedénſque dimittit, neque in mari, neque in ſicco: folio glaſti

Περὶ Τριπολίου. Κεφ. ρλε΄.

Τριπόλιον φύεται ἐν παραθαλασσίοις τόποις οὓς ἐπικλύζει ἡ θάλασσα καὶ ἀποχωρεῖ, οὔτε δὲ ἐν ξηρῷ, οὔτε ἐν θαλάσσῃ· φύλλα δὲ

ὃ ἔχει ἰσάτῃ παραπλήσια, παχύτερα μὲν τοῦ καυλὸν ἀπὸ σπιθαμιαίου ἄνωθεν ἐπεσχισμένον. ταύτης ἱστορεῖται τὸ ἄνθος τρεῖς τῆς ἡμέρας μεταβάλλειν τὸ χρῶμα, πρωῒ μὲν λευκὸν, κατὰ δὲ τὴν μεσημβρίαν πορφυρίζον, ὀψὲ δὲ φοινικοῦν· ῥίζα λευκὴ, εὐώδης, θερμαντικὴ γευομένῳ. ἥτις πινομένη ἐν οἴνῳ < β. πλῆθος, κατὰ κοιλίας ὕδωρ ἄγει καὶ οὖρα. τέμνεται δὲ καὶ εἰς ἀλεξιφάρμακα.

Περὶ Ἀδιάντου. Κεφ. ρλς΄.

Ἀδίαντον, οἱ δὲ, πολύτριχον, φυλλάρια ἔχει κοριάνδρῳ ὅμοια, ἐπεσχισμένα ἐπ᾽ ἄκρου· τὰ δὲ καυλία ἐφ᾽ ὧν ἐκπέφυκε μέλανα, ἰσχυρῶς λεπτὰ, σπιθαμιαῖα, στίλβοντα· φύλλα ὅμοια πτέρει δὲ, μικρὰ λίαν· οὔτε δὲ καυλὸν, οὔτε ἄνθος, οὔτε καρπὸν φέρει. ῥίζα ἄχρηστος. Δύναται δὲ τὸ ἀφέψημα τῆς πόας πινόμενον, βοηθεῖν ἀσθματικοῖς, δυσπνοϊκοῖς, ἰκτερικοῖς, σπληνικοῖς, δυσουροῦσι· θρύπτει δὲ καὶ λίθους, καὶ κοιλίαν ἵστησι, καὶ θηριοδήκτοις βοηθεῖ· καὶ στομάχου ῥεύματι σὺν οἴνῳ πινόμενον· ἄγει δὲ καὶ ἔμμηνα καὶ λόχια· ἵστησι δὲ καὶ αἵματος ἀναγωγήν· καταπλάττεται δὲ καὶ πρὸς θηριόδηκτα ὠμὴ, καὶ ἀλωπεκίας δασύνει, χοιράδας σκορπίζει· ἀποσμᾷ πίτυρα καὶ ἀχῶρας σὺν κονίᾳ· σὺν λαδάνῳ δὲ καὶ μυρσίνῳ,

καὶ

glaſti craſsiore: palmeo caule, in mucrone diuiſo. Eius, vt tradunt, flores colorem ter die mutant, mane candidi, meridie purpurei, ſero punicei cõſpiciuntur. Radice alba, odorata, calidi guſtus. Quæ drachmis duabus in vino pota, aquã, vrinámque per aluum extrahit. In medicamenta digeritur, quæ venena arcent.

Adiantũ. Cap. CXXXVI.

Adianton, polytrichon, puſilla gerit folia, ſimilia coriandri, in ſummo inciſuris diuiſa, cauliculi, quibus exoriuntur, nigro colore nitent, prætenues, palmum alti: radice ſuperuacua: neque caulem, neque fructũ, neque florem profert. Decoctum herbæ potum, prodeſt ſpirandi difficultati, ſuſpirioſis, lieni, & felle ſuffuſis, & vrinæ difficili. Calculos frangit, aluum ſiſtit, ſerpentium morſibus auxilio eſt. Cõtra ſtomachi fluxiones in vino bibitur. Secundas ciet & menſtrua, ſanguinis reiectiones inhibet. Cõtra ſerpẽtiũ morſus cruda herba illinitur, alopecias dẽſat, ſtrumas diſcutit: furfures et manãtia capitis vlcera, ex lixiuio emẽdat: defluẽtes capillos continet, cum ladano & myrtino,

& ſuſino aut hyſſopo, vinóque. Decoctum eius cum lixiuio & vino infuſum, idem præſtat: coturnices & gallinaceos pugnaciores facit, in cibos eorum additum. Seritur gratia vtilitatis pecorum, circa ouilia. Vmbroſis, & paluſtribus, circa parietũ aſpergines, & fontiũ ſpecus enaſcitur.

καὶ σουσίνῳ ἢ καὶ ὑσσώπῳ καὶ οἴνῳ βρέχας ῥεύσεις παρακρατεῖ. καὶ τὸ ἀφέψημα δὲ αὐτοῦ σὺν κονίᾳ καὶ οἴνῳ συμμιγόμενον ποιεῖ καὶ τοὺς ἀλεκτρυόνας καὶ τοὺς ὄρτυγας μαχιμωτέρους μιγνύμενον τῇ τροφῇ· φυτεύεται δὲ ἐπ᾽ ὠφελείᾳ προβάτων ἐν ταῖς μάνδραις· φύεται δὲ ἐν παλισκίοις καὶ ἑλώδεσι τόποις καὶ τοίχοις ἐνίκμοις καὶ περὶ τὰς κρήνας.

Trichomanes. Cap. CXXXVII.

Trichomanes naſcitur eiſdem in locis quibus adiãton: filici ſimile, ſed exilius: foliis lẽticulæ, tenuibus, in ordinem vtrinq; digeſtis, aduerſis in ſe, in ramulis tenuib⁹, acerbis, fuſco colore ſplendentibus. Eadem quæ & adianton præſtare poſſe conſtat.

Περὶ Τειχομανοῦς. Κεφ. ρλζ΄.

Τριχομανὲς, οἱ δὲ, καὶ τοῦτο ἀδίαντον καλοῦσι, φύεται κατὰ τοὺς αὐτοὺς τόπους, ὅμοιον πτέριδι, μικρὸν λεῖαν· στοιχηδὸν ἐξ ἑκατέρου μέρους τὰ φύλλα ἔχον λεπτὰ, φακοειδῆ ἐναντία ἀλλήλοις, ἐπὶ ῥαβδίων λεπτῶν καὶ στιλπνῶν καὶ στρυφνῶν, ὑπομελάνων. δοκεῖ δὲ τὰ αὐτὰ δύνασθαι τῷ προειρημένῳ.

Xanthium ſiue lappa. Cap. CXXXVIII.

Xanthium, alij phaſganon, alij antitheſion, alij chaſcanon, alij chœradolethron, alij & aparinem ipſam vocant, naſcitur læto, & pingui ſolo, & lacubus exiccatis, caule cubitali, anguloſo, pingui, prodeuntibus ex eo crebris alis: folia atriplicis habet, inſecta, naſturtium odore imitantia: fructum grandis oliuæ modo, rotundum, & vt platani pilula, ſpinoſum,

Περὶ Ξανθίου. Κεφ. ρλη΄.

Ξάνθιον, οἱ δὲ φάσγανον, οἱ δὲ ἀντιθέσιον, οἱ δὲ χάσκανον. οἱ δὲ, χοιραδόλεθρον, οἱ δὲ, καὶ ταύτην ἀπαρίνην καλοῦσι, φύεται ἐν εὐγείοις τόποις καὶ λίμναις ἀναξηρανθείσαις, καυλὸν ἔχει πηχυαῖον, λιπαρὸν, γωνιώδη, καὶ ἐπ᾽ αὐτοῦ μασχάλας πλείονας, ἀραφάξει δὲ τὰ φύλλα ἐμφερῆ ἔχει, ἐντομὰς ἔχοντα· καρδάμῳ δὲ τὴν ὀσμὴν παραπλήσια· καρπὸν δὲ στρογγύλον ὡς ἐλαίαν μεγάλην ἀκανθώδη ὡς

ὡς πλατάνου σφαίρας, ἀντιλαμβανόμενον τῶν ἱματίων μετὰ τὴν ψαῦσιν. Δύναται δὲ ὁ καρπὸς πρὶν τελείως ξηρανθῆναι, συλλεγεὶς καὶ κοπεὶς καὶ ἀποτεθεὶς εἰς κεραμεοῦν ἀγγεῖον ξανθὰς τρίχας ποιεῖν. ἐάν τις ἐπὶ τῆς χρήσεως λαβὼν ὀξυβάφου πλῆθος ἐξ αὐτοῦ, διείς τε ὕδατι χλιαρῷ, καὶ προσκνίζωσας τὴν κεφαλὴν καταπλάσῃ. τινὲς δὲ καὶ μετ' οἴνου κόψαντες αὐτὸ, ἀποτίθενται· καταπλάττεται δὲ, καὶ πρὸς οἰδήματα ὁ καρπὸς ἐπιτηδείως.

Περὶ Αἰγίλωπος. Κεφ. ρλθ'.

Αἰγίλωψ βοτάνιον ἐστὶ φύλλα πυρῷ ἔχον ὅμοια, μαλακώτερα δὲ, ἐπ' ἄκρας δὲ τῆς κεφαλῆς, καρποὺς ἔχον β' ἢ γ'. ἐρυθροὺς, ἐφ' ὧν ἀθέρες οἱονεὶ τρίχες ἐκπεφύκασι. θεραπεύει δὲ ἡ πόα μετ' ἀλεύρου καταπλασθεῖσα αἰγίλωπα, καὶ σκληρίας διαφορεῖ. ἀποτίθεται δὲ ὁ χυλὸς πρὸς τὰ αὐτὰ μιγεὶς ἀλεύρῳ καὶ ξηρανθείς.

Περὶ Βρώμου. Κεφ. ρμ'.

Βρῶμος πόα ἐστὶν αἰγίλωπι ἐμφερής. Δύναμιν ἔχουσα ἐπιξηραντικήν, ἀφεψηθεῖσαν σὺν ταῖς ῥίζαις μεθ' ὕδατος, ἕως ἀποτριτωθῇ, τὸ ἀπόζεμα, διυλίζων αὐτὸ ἐπίμισγε μέλι τοσοῦτον, καὶ ἕψε μέχρις ἂν γένηται πάχος ὑγροῦ μέλιτος. καὶ ποιεῖ ἐπὶ τῶν ὀζαινικῶν, εἰ βρέχων ὀθόνην προστίθης τῷ μυκτῆρι, καὶ καθ' ἑαυτὸ μέντοι ποιεῖ οὕτως·

ſpinoſum, qui contactu veſtibus adhæreſcit. Is anté collectus quàm perfectè ſicceſcat, tunditur, & fictili vaſe reconditur. Flauos autem facit capillos, ſi acetabili inſtar tepida aqua madeſcat, mox caput, nitro antè perfrictum illinatur. Alij in vino tundunt, & ita aſſeruant. Semen aptiſsimè tumoribus imponitur.

Ægilops ſiue feſtuca. Cap. CXXXIX.

Ægilops herbula folia tritici habens, ſed molliora, in ſummo capite ſemina bina ternáve rubra, quibus ariſtæ quaſi capillaceæ exeunt. Illita cũ farina herba ægilopiis medetur, duritias diſcutit. Succus farinæ admixtus, ſiccatur, & eorundẽ gratia reponitur.

Bromus. Cap. CXL.

Bromus herba ægilopi ſimilis, exiccatoriam vim habens, decoquitur cum ſua radice in aqua ad tertias, & iuri colato par modus mellis adiicitur: rurſus incoquitur, dũ liquidi mellis craſsitudo fiat. Linteum eo humore imbutum, & naribus inditum, contra graueolentiam vlcerum efficax eſt.

Aliqui tritam aloën addunt, & eo modo vtuntur. Cum ſiccis roſis cocta in vino, grauem oris halitum emendat.

Glaux. Cap. CXLI.

Glaux cytiſo aut léticulæ foliis ſimilis, quæ ſupernè virent, auerſaq; candidiora ſpectãtur: ramuli à terra exiliunt quini ſeníve, tenues ab radice, dodrã tem alti: flores violæ albæ, purpurei exeunt, minores tamen: naſcitur iuxta mare. Coquitur cum hordeacea farina, ſale, & oleo in ſorbitione, ad reuocãdam extincti lactis vbertatẽ.

Polygala. Cap. CXLII.

Polygala palmi altitudinem petit, foliis lenticulæ, guſtu adſtricto. Quæ pota, lactis abundatinam facit.

Oſyris. Cap. CXLIII.

Oſyris, frutex eſt niger: ramulos ferens tenues, lentos, fractúq; contumaces: & in his folia, quaterna, quina, ſenáve, ceu lini, nigra in initio, dein colore mutato rubeſcẽtia. Decoctum eius potum, iuuat arquatos.

Aſpera ſmilax. Ca. CXLIIII.

Smilax aſpera folia habet periclymeni, ſarmẽta tenuia, multa rubi modo aut paliuri aculeata: arbores ſcãdit ab imo ad ſũma perreptãs, ſe cõuoluẽs eis.

Fert

ἔνιοι δὲ ἀλόην λειώσαντες παραμίσγουσι, καὶ οὕτω χρῶνται. ποιεῖ δὲ καὶ μετὰ ῥόδων ξηρῶν ἀφεψηθεὶς σὺν οἴνῳ πρὸς τὰς τοῦ στόματος δυσωδίας.

Περὶ Γλαυκός. Κεφ. ρμα΄.

Γλαὺξ κυτίσῳ ἢ φακῷ τὰ φύλλα ἔοικεν, ὧν τὰ κάτωθεν λευκότερα, ἄνωθεν δὲ χλωρά· κλωνία δὲ ἀπὸ γῆς ἀνίησι πέντε ἢ ς΄. λεπτὰ, σπιθαμιαῖα ἀπὸ τῆς ῥίζης· ἄνθη λευκοίας ὅμοια, μικρότερα δὲ πορφυρᾶ· φύεται παρὰ θάλασσαν. αὕτη ἑψομένη μετὰ ἀλεύρου κριθίνου καὶ ἁλὸς καὶ ἐλαίου, καὶ ῥοφηθεῖσα, γάλα σβεννύμενον ἀνακαλεῖται.

Περὶ πολυγάλου. Κεφ. ρμβ΄.

Πολύγαλον θαμνίον ἐστὶ σπιθαμιαῖον, ἔχον φύλλα φακοειδῆ, γεύσει ὑπόστρυφνον· ποθὲν δὲ καὶ τοῦτο, γάλα δοκεῖ πλεῖον ποιεῖν.

Περὶ Ὀσύριδος. Κεφ. ρμγ΄.

Ὄσυρις φρυγάνιον μέλαν, λεπτόραβδον, δύσθραυστον, καὶ περὶ αὐτὸ φυλλάρια γ΄. ἔστι δὲ καὶ δ΄. ἢ ε΄. ἢ ς΄. αὐτοῦ ὥσπερ λίνου μέλανα κατ' ἀρχάς· μεταβαλλόμενα δὲ ὑπέρυθρα γίνονται. ταύτης τὸ ἀφέψημα πινόμενον ἰκτέρῳ βοηθεῖ.

Περὶ σμίλακος τραχείας. Κεφ. ρμδ΄.

Σμίλαξ τραχεῖα, τὰ μὲν φύλλα ἔχει περικλυμένῳ ὅμοια, καὶ κλήματα πολλὰ, λεπτὰ, ἀκανθώδη ὡς παλίουρος ἢ βάτος. ἑλίσσεταί τε περὶ τὰ δένδρα ὡς ἄνω καὶ κάτω νεμομένη.

νεμομένη· καρπὸν δὲ φέρει βοτρυώδη ὡς ἐπιφυλλίδα, πεπανθέντα δ' ἐρυθρὸν, ὑποδάκνοντα ἠρέμα ἐν τῇ γεύσει· ῥίζαν σκληρὰν, παχεῖαν· φύεται ἐν τόποις ἑλώδεσι καὶ τραχέσι. Ταύτης τὰ φύλλα καὶ ὁ καρπὸς θανασίμων ἐστὶν ἀντίδοτος, προπινόμενα, καὶ ἐπιπινόμενα. παραδέδοται ὅτι ἐάν τις ἀρτιγενεῖ παιδίῳ τρίψας τι τούτων δῷ πιεῖν, ὑπ' οὐδενὸς δηλητηρίου φαρμάκου βλαβήσεται. τέμνεται δὲ καὶ εἰς ἀλεξιφάρμακα.

Περὶ Σμίλακος λείας.

Κεφ. ρμέ.

Σμίλαξ λεία, ὅμοια κισσῷ τὰ φύλλα ἔχει, μαλακώτερα δὲ καὶ λειότερα καὶ λεπτότερα· τὰ δὲ κλήματα ὥσπερ ἡ πρὸ αὐτῆς ἀκάνθας οὐκ ἔχοντα· ἑλίσσεται δὲ περὶ τὰ δένδρα, ὡς ἡ προτέρα· καρπὸν δὲ ἔχει ὥσπερ θέρμου μέλανα, μικρόν· ἀεὶ δὲ ἐπ' αὐτῷ ἔχοντα ἄνθη λευκὰ πολλά. κατὰ πᾶσαν τὴν σμίλακα καὶ περιφερῆ, καὶ σκηναὶ δι' αὐτῆς γίνονται τοῦ θέρους· φυλλορροεῖ δὲ τῷ φθινοπώρῳ. Τούτου ὁ καρπὸς μετὰ δορυκνίου πινόμενος, τριωβόλου ὁλκὴ ἑκατέρου ἐνύπνια πολλὰ, καὶ ταραχώδη ὁρᾷν ἱστορεῖται.

Περὶ Μυρσίνης ἀγρίας.

Κεφ. ρμς´.

*Μυρσίνη ἀγρία, τὸ μὲν φύλλον μυρσίνῃ ἔχει ὅμοιον, πλατύτερον

Fert racemos exiles, qui maturi rubeſcunt, guſtúmque leniter mordent. Naſcitur in paluſtribus & aſperis: radice dura, craſſáque. Folia & acini, & antè & pòſt epoti, venenorum antidota ſunt. Tradũt, ſi infantibus nuper in lucẽ æditis, quid ex his trium propinetur, nulla poſtmodum venena nocitura. Inciditur etiam ad alexipharmaca, id eſt, ad ea medicamẽta quibus venena arcentur.

Læuis ſmilax.

Cap. CXLV.

Læuis ſmilacis folia hederæ ſimilitudinem habent, molliora, læuiora, tenuiora: huius ſarmenta nullis horrent ſpinis: cõuoluitur arborib⁹ vt prior: fructũ parit lupini modo nigrũ, exiguum: flores circunquaque exiliunt candidi, copioſi, orbiculati. Hac ſmilace, quadam topiariorum arte, tentoria contra æſtus moleſtiam factitantur: folia per autumnum decidua. Semine cũ dorycnio poto, ternis ſingulorũ obolis, varia & tumultuoſa in ſomnis obſeruari traduntur.

Ruſcus.

Cap. CXLVI.

Syluestris myrtus, aliquibus oxymyrſine, aut myrtacãtha.

Latinis

Latinis ruſcum appellatur: folium fert myrti, latius, in formã lanceæ mucronatũ: baccæ per maturitaté rubeſcũt, rotundæ, à medio folio depẽdentes, oſſeo intus nucleo: cubitales ramuli ab radice exeunt, vitilium modo lenti, fractu cõtumaces, folioſi: radice graminis ſimili, acerba, & ſubamara. Folia & baccæ in vino potæ vrinã ciẽt, menſes pellunt, veſicæ calculos frangunt, ſtillicidio vrinæ medentur, dolores capitis ſanant, & regium morbũ. In aſperis & præcipitibus locis enaſcit̃. Decoctum radicis in vino potũ, eoſdem præbet effectus. Cauliculi recẽtes, aſparagorũ vice, in cibo ſumũtur. Amari autem ſunt, ſed vrinam mouent.

Laurus Alexandrina. Cap. CXLVII.

Laurus Alexandrina, folio eſt ruſci maiore, molliore, & candidiore: ſemine inter folia rubro, ciceris magnitudine: ramos ſpargit in terra dodrãtales, interdum longiores: radice ſylueſtri myrto ſimili, maiore, molliore, odorata: inuenitur in montoſis. Difficiles partus accelerat, radice pota ſex drachmarum põdere in vino dulci: &

&

ερον δὲ, λογχοειδὲς, ὀξὺ ἐπ᾽ ἄκρου· τὸν δὲ καρπὸν στρογγύλον, ἐν μέσῳ δὲ τῷ πετάλῳ περιφερῆ, ἐρυθρὸν ἐν τῷ πεπαίνεσθαι, ἔχοντα τὸ ἐντὸς ὀστῶδες· κλωνία λυγοειδῆ πολλὰ ἐκ τῆς ῥίζης αὐτῆς δύσθραυστα, ὅσον πήχεως, φύλλων μεστά· ῥίζαν παραπλησίαν ἀγρώστει, γευομένῳ στρυφνὴν, ὑπόπικρον. Δύναμιν δὲ ἔχει τὰ φύλλα καὶ ὁ καρπὸς ἐν οἴνῳ πινόμενα, οὖρα κινεῖν, καταμήνια ἄγειν, καὶ λίθους τοὺς ἐν κύστει θρύπτειν· θεραπεύει δὲ καὶ ἴκτερον καὶ στραγγουρίαν, καὶ κεφαλαλγίαν· φύεται ἐν τραχέσι τόποις καὶ κρημνώδεσι. καὶ τὸ ἀφέψημα δὲ τῆς ῥίζης σὺν οἴνῳ ποθὲν, τὰ αὐτὰ ποιεῖ. καὶ ἀντὶ ἀσπαράγου δὲ οἱ καυλοὶ νεοθαλεῖς λαχανευόμενοι ἐσθίονται. εἰσὶ δὲ ἔμπικροι καὶ διουρητικοί.

Περὶ Δάφνης. Κεφ. ρμζ΄.

Δάφνη ἀλεξάνδρεια, οἱ δὲ ἰδαία, οἱ δὲ δανάη, οἱ δὲ ὑπόγλωττον, οἱ δὲ ζάλρα, οἱ δὲ στεφάνη, φύλλα ὀξυμυρσίνῃ ὅμοια ἔχει, μείζονα δὲ καὶ μαλακώτερα, καὶ λευκότερα· καρπὸν δὲ ἐν μέσοις ἐρυθρὸν ἐρεβίνθου τὸ μέγεθος· κλῶνας ἐπὶ γῆς σπιθαμιαίους ἢ καὶ μείζονας· ῥίζαν παραπλησίαν τῇ ὀξυμυρσίνῃ, μείζονα δὲ καὶ εὐώδη καὶ μαλακωτέραν· φύεται ἐν τόποις ὀρεινοῖς. Δύναμιν δὲ ἔχει ἡ ῥίζα πινομένη < ς΄. πλῆθος μετ᾽ οἴνου γλυκέος,

βοηθεῖν

βοηθεῖν ταῖς δυσουρούσαις καὶ στραγγουριώσιν. ἄγει δὲ καὶ αἷμα.

Περὶ Δαφνοειδοῦς. Κεφ. ρμή.

Δαφνοειδές, οἱ δὲ εὐπέταλον, οἱ δὲ χαμαιδάφνην, οἱ δὲ πεπλίον καλοῦσι, θαμνίσκος ἐστὶ πηχυαῖος, κλάδους πολλοὺς ἔχων ἱμαντώδεις πρὸς τὸ ἄνωθεν ἥμισυ, φυλλοφόρους· φλοιὸς δὲ περὶ τὰς ῥάβδους γλίσχρος ἰσχυρῶς· φύλλα δάφνῃ ἐοικότα, μαλακώτερα δὲ καὶ ἰσχνότερα καὶ οὐκ εὔκλαστα, δάκνοντα καὶ πυροῦντα τὸ στόμα καὶ φάρυγγα· ἄνθη λευκά· καρπὸν μέλανα, ὅταν πεπανθῇ· ῥίζα ἄχρηστος· φύεται ἐν ὀρεινοῖς τόποις· ἄγει δὲ καὶ τὸ φύλλον αὐτοῦ ξηρὸν ἢ νεαρὸν ποθὲν κατὰ κοιλίαν φλεγματώδη, κινεῖ καὶ ἐμέτους καὶ ἔμμηνα· καὶ διαμασηθὲν ἀποφλεγματίζει· ἔστι δὲ καὶ πταρμικόν· καθαίρει δὲ καὶ ὁ καρπὸς αὐτοῦ ὅσον κόκκοι ιέ πινόμενοι.

Περὶ Χαμαιδάφνης. Κεφ. ρμθ΄.

Χαμαιδάφνη, οἱ δὲ καὶ ταύτην ἀλεξάνδρειαν ἐκάλεσαν, ῥάβδους ἀνίησι πηχυαίους, ὀρθάς, λεπτὰς καὶ λείας· καὶ ταύτης δὲ τὰ φύλλα ὅμοια δάφνῃ, λειότερα δὲ πολλῷ καὶ χλωρότερα· καρπὸν δὲ περιφερῆ, ἐρυθρόν, τοῖς φύλλοις ἐπιπεφυκότα. Ταύτης τὰ φύλλα λεῖα καταπλασθέντα, κεφαλαλγίαις καὶ στομάχου ἐγκαύσεσιν ἀρήγει· ποθέντα δὲ μετ' οἴνου στρόφους παύει· ὁ δὲ

& ſtillicidio vrinæ auxiliatur, ſed ſanguinem extrahit.

Daphnoides.
Cap. CXLVIII.

Daphnoides cubiti altitudine fruticat, ramis flexilibus obſequioſisque, multis, inde ſurſum verſus folioſis: cortex ſupra modũ viſcoſus ramos veſtit: folia lauri, graciliora, & molliora, fractu contumacia, quorum guſtatu os & fauces incenduntnr: flores candidi: bacca, cum ematuruit, nigra: radix inutilis: naſcitur in montoſis. Pituitas extrahit foliũ recens vel aridum in potu, menſes ciet & vomitus: caput inanit commanducatum, ſternutaméta mouet. Baccę quindecim potæ aluum reſoluunt.

Chamædaphne.
Cap. CXLIX.

Chamædaphne virgas emittit cubitales, ſingulari ramulo conſtãtes, rectas, tenues, læues: folia lauri ſimilitudine, læuiora multò, ac viridiora: ſemen rotundum, rubens, annexum foliis. Illinuntur capitis doloribus trita folia, & ſtomachi ardores mulcent: ad ſedanda tormina cũ vino bibuntur. Potus

Potus cum vino ſuccus, menſes & vrinam ciet: idem facit peſſo appoſitus.

Veratrum album.

Cap. CL.

Helleborum album, Latini veratrum album vocãt, fert folia plantaginis aut betæ ſylueſtris ſimilia, ſed breuiora, & nigriora, rubeſcentia: caulem cauum, quadrantalem, tunicis cõuolutum quas abdicat cum areſcere incipit: radicibꝰ nititur multis, tenuibus, ab oblõgo & exiguo capite ceparum modo exeuntibus: naſcitur in montibus & aſperis. Radices meſſibus colligendę. Optimũ habetur candidum, friabile, carnoſum, modicè extentum, nec tamen iunci modo mucronatũ, quod frangẽdo puluerẽ emittit, & tenuẽ habet medullã, guſtu non admodũ feruens, neq; ſaliuã ſubinde ciens (huiuſcemodi autẽ ſtrangulat.) Primatum Cyrenaicum tenet. Galaticum autẽ & Cappadocicum, candidiora, & puluere quodã obſita, celerius ſtrãgulatus mouent. Vomitione autem varios extrahit humores. Collyriis admiſcetur, quæ caliginem oculorum diſcutiunt. Partus impoſitum necant, menſes pellit, ſter-

ὁ δὲ χυλὸς σὺν οἴνῳ ποτιζόμενος καταμήνια καὶ οὖρα ἄγει καὶ ἐν πεσσῷ προστεθεὶς τὸ αὐτὸ ποιεῖ.

Περὶ Ἐλλεβόρου λευκοῦ.

Κεφ. ρν΄.

Ἐλλέβορος λευκὸς φύλλα ἔχει ὅμοια τοῖς τοῦ ἀρνογλώσσου, ἢ σεύτλου ἀγρίου, βραχύτερα δὲ καὶ μελάντερα καὶ ἐρυθρὰ τὴν χρόαν· καυλὸν δὲ παλαιστιαῖον, κοῖλον, περιφλοιζόμενον ὅτε ἄρξεται ξηραίνεσθαι· ῥίζαι δ᾽ ὕπεισι πολλαὶ, λεπταὶ, ἀπὸ κεφαλίου μικροῦ καὶ ἐπιμήκους, ὥσπερεὶ κρομμύου συμπεφυκυῖαι· φύεται ἐν ὀρεινοῖς τόποις καὶ τραχέσι. Συλλέγειν δὲ δεῖ τὰς ῥίζας περὶ τὸν πυραμητόν. ἄριστος δέ ἐστιν αὐτοῦ, ὁ μετρίως τεταμένος καὶ λευκὸς, καὶ * εὔθραυστος καὶ σαρκώδης, οὐκ ἄποξυς δὲ καὶ σχοινώδης, ἢ χνοῦν ἀφιεὶς ἐν τῷ θραύεσθαι, ἔχων δὲ καὶ τὴν ἐντεριώνην λεπτὴν, ἐκ πυρῶν τὴν γεῦσιν οὐ λίαν, οὐδὲ ἀθρόως, σίελον ἐπισπώμενος, πνιγώδης γὰρ ὁ τοιοῦτος· προτερεύει δὲ ὁ* κυρηναϊκός· ὁ δὲ γαλατικὸς καὶ καππαδοκικὸς, * λευκότερος καὶ χνοώδης καὶ πνιγωδέστερος. Καθαίρει δὲ δι᾽ ἐμέτων ἄγων ποικίλα. μίγνυται δὲ καὶ κολλυρίοις τοῖς δυναμένοις τὰ ἐπισκοτοῦντα ταῖς κόραις ἀποκαθαίρειν. καὶ ἔμμηνα ἄγει, καὶ ἔμβρυα κτείνει προστιθέμενος.

παρ-

πταρμούς τε ἐρεθίζει, καὶ μύας κτείνει σὺν μέλιτι καὶ ἀλφίτῳ φυραθεὶς, συγκαθεψόμενός τε κρέασι, συντήκει αὐτά. δίδοται δὲ νήστεσι καθ᾽ ἑαυτὸν καὶ μετὰ σησάμου καὶ θαψίας χυλοῦ, ἢ ἄλυκος, ἢ μελικράτου, ἢ πόλτου, ἢ φακοῦ ἢ ἄλλου ῥοφήματος. συσσιτοποιεῖται δὲ καὶ ἄρτῳ καὶ ὀπτᾶται. ἡ δὲ προαγωγὴ καὶ ἐπιδιαίτησις, ἐξείργασται παρὰ τοῖς προηγουμένως περὶ τῆς δόσεως αὐτῆς γράψασι, μάλιστα δὲ συγκατατιθέμεθα φιλωνίδῃ τῷ σικελῷ τῷ ἀπὸ ἔννης, μακρὸν γάρ ἐστιν ἐν ὕλης παραδόσει προηγουμένως θεραπευτικὴν ἐκτίθεσθαι ἀγωγήν. διδόασι δὲ ἔνιοι σὺν* πολλῷ ῥοφήματι ἢ χυλοῦ πλήθει, ἢ καὶ τροφὴν ὀλίγην προδιδόντες, ἐπιδιδόασι τὸν ἐλλέβορον εὐθέως, ἐφ᾽ ὧν μάλιστα πνιγμὸς ὑποπτεύεται ἢ ἀσθένεια σώματος ὑπόκειται, ἀκίνδυνος γὰρ ἐπὶ τῶν οὕτω λαμβανόντων ἡ κάθαρσις· διὰ τὸ μὴ ἀκαίρως τὸ φάρμακον παρατίθεσθαι τοῖς σώμασι· καὶ βάλανοι δὲ ἐξ αὐτοῦ προστεθεῖσαι τῇ ἕδρᾳ μετ᾽ ὄξους, ἐμέτους κινοῦσιν·

Περὶ Ἐλλεβόρου μέλανος.

Κεφ. ρνά.

Ἐλλέβορος μέλας, οἱ δὲ μελαμπόδιον, οἱ δὲ ἔκτομον, οἱ δὲ πολύῤῥιζον, μελαμπόδιον δὲ λέγεται

ſternutamenta excitat, mures interficit cum melle & poléta ſubactũ, abſumit carnes ſi coquatur vná. Datur per ſe ieiunis, & cum ſeſama, aut ptiſanæ ſucco, aut halicæ, aut lẽtis cremore, cũ aqua mulſa, aut pulte, aut quauis alia ſorbitione. Cogitur cũ pane, & ita inaſſatur. Præparatio corporũ, ac victus ratio, diligẽter tradita eſt, cum ab his qui de medica eius potione ſcriptitarũt, tum maximè à Philonide Siculo Ennẽſi, cui nũc aſſentimur: quippe lõgum nimis eſſet, in hac præſertim æditione de materia, ſimul medicã curandi rationẽ exponere. Dant nonnulli in pultis ſorbitione, aut copioſo halicæ cremore: aut paucũ antea cibum dari præcipientes, ſtatim veratrũ offerunt, iis pręſertim, quibus ſtrãgulationis ſuſpicio imminet, aut ſi valetudo corpꝰ infirmat: hoc enim modo deiectio nihil periculi minatur, ꝙ cibo munitis nõ intempeſtiuè medicamentũ corporibus offeratur. Vomitiones concitant ſubditę ex eo balani, cũ aceto.

Veratrum nigrum.

Cap. CLI.

Helleborũ nigrũ, appellatur melampodion, quoniam caprarũ

prarũ paſtor, nomine Melampus, furẽtes in ſe prœtidas, primus purgaſſe, & ſanaſſe fertur. Folia ei viridia, platani ſimilia, minora, foliis ſphondylij proxima, ſubaſpera, nigriora, pluribꝰ diuiſuris inciſa: caulis aſper: flores purpurei, candidi racematim cohærentes: ſemen cnici, quod in Anticyra ſeſamoides vocant: quo deiectiones moliuntur: radicibus cohæret nigris, tenuibus, à capitulo, cepæ ſimili confibratis: quarũ eſt vſus: in collibus, aſperis, & ſitientibus locis enaſcitur. Optimum eſt quod ex huiuſmodi petitur terris, vt ex Anticyra. Nigrum inibi probatiſsimum gignitur. Eligi debet corpulentum & plenum, in quo tenuis ſit medulla, acre guſtu, feruẽnſque: cuiuſmodi eſt in Helicone, Parnaſo, & Ætolia natum: attamẽ Heliconium præcellit. Veratrum nigrum purgat ventrem, detrahit bilem pituitasq; datum per ſe, aut cum ſcammonia, & tribus obolis, ſiue drachma ſalis: decoquitur vel cũ lente & iuſculis, quæ purgationis cauſa ſumptitantur. Prodeſt morbis comitialibus, melancholicis, inſanientibus, articulariis doloribus, & reſolutis.

Menſes

γεται, ἐπειδὴ δοκεῖ μελάμπους τὶς αἰπόλος τὰς προίτου θυγατέρας, μανείσας ἐν αὐτῷ καθᾶραι πρῶτος καὶ θεραπεῦσαι. ἔχει δὲ τὰ φύλλα χλωρὰ, πλατάνῳ προσεμφερῆ, ἐλάττονα δὲ πρὸς τὰ τοῦ σπονδυλίου καὶ πολυσχιδέστερα καὶ μελάντερα καὶ ὑποτράχεα· καυλὸς τραχύς· ἄνθη δὲ λευκὰ, ἐμπόρφυρα, τῷ δὲ σχήματι βοτρυώδη· καὶ ἐν αὐτῷ καρπὸς κνίκῳ ὅμοιος, ὃν καὶ αὐτὸν καλοῦσιν οἱ ἐν ἀντικύρᾳ σησαμοειδῆ· χρώμενοι πρὸς τὰς καθάρσεις αὐτῷ· ῥίζαι δ᾽ ὕπεισι λεπταὶ, μέλαιναι, οἱονεὶ ἀπό τινος κεφαλίου κρομμυώδους ἠρτημέναι, ὧν καὶ ἡ χρῆσις· φύεται ἐν τραχέσι καὶ γεωλόφοις καὶ καταξήροις τόποις. Καὶ ἄριστος ὁ ἐκ τῶν τοιούτων λαμβανόμενος χωρίων, οἷός ἐστιν ὁ ἐξ ἀντικύρας. καὶ γὰρ ὁ μέλας καὶ κάλλιστος ἐν αὐτῇ γίνεται. ἐκλέγου δὲ τὸν εὔσαρκον καὶ εὔτροφον, λεπτὴν ἔχοντα τὴν ἐντεριώνην, δριμὺν ἐν τῇ γεύσει καὶ πυρώδη. τοιοῦτος δέ ἐστιν ὁ ἐν τῷ ἑλικῶνι καὶ παρνασσῷ καὶ αἰτωλίᾳ φυόμενος· διαφέρει μέντοι ὁ ἑλικώνιος. Καθαίρει δὲ τὴν ἄνω κοιλίαν, ἄγων φλέγμα καὶ χολὴν, καθ᾽ ἑαυτὸν ἢ μετὰ σκαμμωνίας διδόμενος, καὶ ἁλῶν < α΄ ἢ τριωβόλου ὁλκῆς· συνέψεται δὲ καὶ φακῇ, καὶ ζωμοῖς τοῖς εἰς κάθαρσιν λαμβανομένοις. ὠφελεῖ δὲ ἐπιληπτικοὺς, μελαγχολικοὺς, μαινομένους, ἀρθριτικοὺς, παραλελυμένους.

προ-

προστεθεὶς δὲ, ἔμμηνα ἄγει, καὶ ἔμβρυα κτείνει, σύριγγάς τε καθαίρει κατατεθεὶς καὶ μετὰ τρίτην ἐξαιρεθείς. ὁμοίως καὶ ἐπὶ δυσηκοούντων καθίεται εἰς τὸ οὖς, ἐώμενος ἐπὶ β΄. ἢ γ΄ ἡμέρας. θεραπεύει δὲ καὶ ψώρας μετὰ λιβανωτοῦ ἢ κηροῦ καὶ πίσσης καὶ κεδρίνου ἐλαίου καταχριόμενος· μετ᾽ ὄξους δὲ καθ᾽ ἑαυτὸν καταπλασσόμενος, ἀλφοὺς καὶ λειχῆνας καὶ λέπρας θεραπεύει· ἑψηθεὶς δὲ σὺν ὄξει ὀδονταλγίας πραΰνει διακλυζόμενος· σηπτοῖς τε μίγνυται· μετὰ δὲ κριθίνου ἀλεύρου καὶ οἴνου, κατάπλασμά ἐστιν ὑδρωπικοῖς ὠφέλιμον· συμφυτευθεὶς δὲ ἀμπέλοις πρὸς τῇ ῥίζῃ, τὸν ἐξ αὐτῶν οἶνον καθαρτικὸν ἐργάζεται. περιῤῥαίνουσι δὲ καὶ οἰκίαις αὐτὸν καθαρτικὸν εἶναι νομίζοντες· ὅθεν καὶ ὀρύσσοντες ἵστανται προσευχόμενοι ἀπόλλωνι καὶ ἀσκληπιῷ φυλαττόμενοι ἀετὸν, ἐφίπτασθαι γάρ φασιν οὐκ ἀκινδύνως· δίδωσι γὰρ θάνατον ὁ ὄρνις ἐὰν περιίδῃ τὴν ὀρυγὴν τοῦ ἐλλεβόρου. συντόμως δὲ δεῖ ὀρύττειν, διὰ τὸ καρηβαρείαν ἐκ τῆς ἀποφορᾶς γίνεσθαι· ὅθεν εἰς προφυλακὴν οἱ ὀρύττοντες, ἐσθίουσι σκόροδα, καὶ οἶνον πίνουσιν. ἀβλαβέστεροι γὰρ οὕτω διατίθενται. ἐξεντερίζεται δὲ ὥσπερ καὶ ὁ λευκὸς ἐλλέβορος.

Περὶ Ση-

Menſes inditum trahit, partus necat, purgat fiſtulas impoſitum, & tertia die detractum. Item contra grauitatem auditus in aurem demittitur, ibiq; in alterum aut etiam tertium diem eſſe ſinitur. Scabiem ſanat, illitum cum thure, aut cera, & pice, & cedrino oleo: vitiliginibus, lepris, impetiginibus, ex aceto medetur: dentium dolorem collutione mitigat: erodentibus medicamentis commiſcetur: hydropicorum ventri vtiliſsimè imponitur factũ ex eo, farina hordeacea, & vino, cataplaſma: conſitum proximè radices vitiũ, vinum purgãdi facultate donat. Huius reſparſu domos expiari arbitrãtur: quare inter fodiendum ſtantes, Apollinem, Æſculapiũmque precantur, ac vitãt aquilæ volatus, aduolare enim nõ ſine periculo tradunt: nanque ſi auis effoſsionem hellebori conſpexerit, moriturum qui ſuccidit, auguriũ eſt. Celeriter effodiatur oportet, quoniam halitu caput aggrauat: quapropter, ad id arcendũ, foſſuri, alliũ præſumere, & vinum bibere cõſueuerũt: nulli ita noxæ opportuni redduntur. Veratri albi modo emedullatur.

Seſa-

Seſamoides magnum. Cap. CLII.

Seſamoides magnũ,in Anticyra helleborũ vocant, quoniam albo veratro in purgationibus miſceatur. Simile eſt ſenecioni aut rutæ: longo folio: flore candido: radice gracili, ignaua: ſemen guſtu amaro, cætera ſeſamæ ſimile. Ventrem detrahit: datur tritum ad bilis pituitæque deiectiones, quantum tribus digitis capitur, addito veratri albi ſeſquiobolo, ex aqua mulſa.

Περὶ Σησαμοειδοῦς τοῦ μεγάλου. Κεφ. ρνβ.

Σησαμοειδὲς τὸ μέγα, ἐν Ἀντικύρᾳ ἐλλέβορον καλοῦσι, διὰ τὸ μίγνυσθαι ἐν ταῖς καθάρσεσι τῷ λευκῷ ἐλλεβόρῳ. ἔοικεν ἡ πόα ἠριγέροντι ἢ πηγάνῳ· φύλλα μακρά· ἄνθος λευκόν· ῥίζα ἰσχνὴ ἄπρακτος· σπέρμα ὅμοιον σησάμῳ, πικρὸν ἐν τῇ γεύσει. Ὁ καθαίρει * ἄνω φλέγμα τε καὶ χολὴν ὅσον τοῖς τρισὶ δακτύλοις λεῖον ληφθὲν μετὰ ἐλλεβόρου λευκοῦ τριῶν ἡμιωβόλων σὺν μελικράτῳ.

Seſamoides paruum. Cap. CLIII.

Seſamoidi paruo cauliculi ſunt dodrantales: folia coronopi, minora, hirſutiora: & in cauliculorum cacumine capitula, florum penè purpureorum, medio eorum albo: ſemen ſeſamæ, fuluum, amarum: radix tenuis. Detrahit bilem pituitaſque, ſemen ex aqua mulſa potum dimidio acetabulo: illitum ex aqua, tumores ac tubercula diſcutit. Naſcitur in aſperis.

Περὶ Σησαμοειδοῦς τοῦ μικροῦ. Κεφ. ρνγ.

Σησαμοειδὲς τὸ μικρὸν καυλία ἐπὶ σπιθαμιαῖα ἔχοντα φύλλα κορωνόποδι ὅμοια, δασύτερα μέντοι καὶ μικρότερα· ἐπ᾽ ἄκρου δὲ τῶν καυλίων κεφάλια ἀνθῶν ὑποπορφύρων, ὧν τὸ μέσον, λευκόν· ἐν οἷς σπέρμα σησάμῳ ἐοικὸς, πικρὸν, κιῤῥὸν· ῥίζα λεπτή. Καθαίρει * δὲ χολὴν καὶ φλέγμα κάτω ποθὲν τὸ σπέρμα, ὀξυβάφου ἥμισυ σὺν μελικράτῳ· καταπλασθὲν δὲ μεθ᾽ ὕδατος, φύματα καὶ οἰδήματα διαφορεῖ. φύεται ἐν τραχέσι χωρίοις.

Sylueſtris cucumer. Cap. CLIIII.

Cucumis ſylueſtris fructu ſolo diſtat à ſatiuo cucumere,

quem

Περὶ Σίκυος ἀγρίου. Κεφ. ρνδ.

Σίκυς ἄγριος τῷ καρπῷ μόνῳ διαφέρει τοῦ ἡμέρου σικύος,

ἐλάσσο-

ἐλάσσονα πολλῷ ἔχων βαλανείοις ἐπιμήκεσιν ἐοικότα· τὰ φύλλα καὶ τὰ κλήματα ἡμέρῳ ὅμοια· ῥίζαν δὲ λευκὴν καὶ μεγάλην· φύεται ἐν οἰκοπέδοις καὶ ἀμμώδεσι τόποις, ὅλος δὲ ὁ θάμνος πικρός. Ἁρμόζει δὲ ὁ τῶν φύλλων χυλὸς ἐνσταζόμενος ὠταλγίαις. ἡ δὲ ῥίζα καταπλασθεῖσα μετὰ ἀλφίτου πᾶν οἴδημα παλαιὸν διαφορεῖ· μετὰ ῥητίνης δὲ τερεβινθίνης ἐπιτεθεῖσα, φύματα ῥήσσει· μετ' ὄξους δὲ ἑψηθεῖσα καὶ καταπλασθεῖσα, ποδάγρας διαφορεῖ· καὶ ἰσχιάδος δέ ἐστιν ἔγκλυσμα. καὶ ὀδονταλγίας διάκλυσμα τὸ ἀφέψημα. ξηρὰ δὲ λεία ἀλφοὺς, λέπρας καὶ λειχῆνας σμήχει· οὐλάς τε μελαίνας καὶ σπίλους τοὺς ἐν προσώπῳ ἀποκαθαίρει. καὶ ὁ χυλὸς δὲ τῆς ῥίζης, πλῆθος τριῶν ἡμιωβολίων τὸ ἐλάχιστον. καὶ ὁ φλοιὸς δὲ ὅσον τέταρτον ὀξυβάφου καθαίρει φλέγμα καὶ χολήν, καὶ μάλιστα ἐπὶ ὑδρωπικῶν, δίχα δὲ τοῦ τὸν στόμαχον ἀδικεῖν ποιεῖται τὴν κάθαρσιν, δεῖ δὲ τῆς ῥίζης λαβόντα ἡμίλιτρον, μετὰ δυοῖν ξεστῶν οἴνου μάλιστα λιβυκοῦ λεαίνειν καὶ διδόναι ἐκ τούτου κυάθοις γ´ * ἕως ἂν ὁ ὄγκος ἱκανῶς συσταλῇ.

Περὶ Ἐλατηρίου. Κεφ. ρνέ.

Τὸ δὲ λεγόμενον ἐλατήριον, ἐκ τοῦ καρποῦ τῶν σικύων σκευάζεται

τὸν

quem longè minorem parit, oblongis glandibus non diſſimilem: folia atque ſarmenta ſatiui refert: radice candida, magna: naſcitur in ſabuletis, & ruderibus, frutice in totum amaro. Inſtillatus foliorum ſuccus, aurium dolori conuenit. Illita ex polenta radix, veterem omnem tumorem diſcutit: impoſita cum reſina terebinthina, tubercula rumpit: iſchiadicis infunditur: podagras diſcutit, decocta ex aceto, & illita. Eius decocto dentes in dolore colluuntur. Aridæ farina impetiginem, lepras & vitiligines abſterget: nigris cicatricibus colorem reddit, & in facie maculas expurgat. Radicis ſuccus ſeſquioboli pondere, & item cortex, acetabuli quarta parte, bilem pituitamque deiiciunt, præſertim in hydropicis: (deiectiones autem circa ſtomachi iniuriam mouet) radicis ſelibra, in vini præſertim Libyci hemina conteritur, dantúrque ex eo terni cyathi triduo, dum tumor abunde deprimi cernatur.

Elaterium. Cap. CLV.

E fructu huiuſce cucumeris, fit medicamētū qđ elateriū vocatur, ad hũc

tur, ad hunc modum: Decerpti cucumeres, qui tacti protinus exiliunt, ſeruantur nocte vna: poſtridie impoſito ſupra craterem rariore cribro, vtriſque manibus prȩhenſi, ſigillatim ſupino cultro, ſurſum verſus aciem habente, finduntur, atque per cribrum humor in ſubiectum vas exprimitur: ſimúlque carnoſum quod hæſit cribro, quò facilius excidat, eliditur: quod ita preſſum eſt, reſidere ſinitur, atque in vicinā peluim demittitur. Coaceruata autē in cribro ſegmina, dulci aqua perfunduntur, & denuò preſſa abiiciūtur. Humor īn pelui agitatur, & linteo opert⁹, ſoli exponitur: dúmq; ſteterit, tota ſupernatans aqua cū humore concreto, effunditur. Hoc verò idētidem fieri ſolet, donec exiſtens aqua liqueſcat: qua ſtillatim exhauſta, ſedimētū mortario ſuſcipitur, & conterendo cogitur in paſtillos. Sunt qui ad hauriendam protinus ſucci abundantiā, cribratos cineres humi inſpargant, & medium cauantes, triplicatū linteū obtundant, per quod eleterium cum ſua humiditate diffundunt, ſiccatúmque, in pila, vt dictum eſt, conterunt.

Aliqui

τὸν τρόπον τοῦτον· τοὺς ἅμα τῷ ἅψασθαι σικύους ἀποπηδῶντας ἐκλέγων, ἀποτίθεσο, ἐῶν νύκτα· τῇ δὲ ὑστεραίᾳ ἐπὶ κρατῆρι κόσκινον μὴ πυκνὸν ἐπιθεὶς, καὶ μαχαίριον ὕπτιον ἁρμόσας, τὴν ἀκμὴν ἔχον ἄνω, λαμβάνων ἀμφοτέραις ταῖς χερσὶ καθ᾿ ἕνα τῶν σικύων, διαίρει καὶ ἔκθλιβε διὰ τοῦ κοσκίνου τὸ ὑγρὸν εἰς τὴν ὑποκειμένην κρατηρίαν· προσεκθλίβων καὶ τὸ ἐν αὐτοῖς σαρκῶδες ὃ δὴ προσπίπτει τῷ κοσκίνῳ· ἵνα καὶ αὐτὸ διεκπίπτῃ· καὶ εἰς λεκάνην παρακειμένην τὰ ἐκθλιβόμενα βάλλε. σωρεύσας δὲ τὰ τετμημένα ἐπὶ τοῦ κοσκίνου, ὕδατι γλυκεῖ περιχέας καὶ ἀποπιέσας, ταῦτα μὲν ῥίπτε. ταράξας δὲ τὸ ἐν τῇ λεκάνῃ ὑγρὸν καὶ σκεπάσας ὀθόνῃ, τίθεσο ἐν ἡλίῳ· καὶ ὅτε στῇ πᾶν τὸ ἐπινηχόμενον ὕδωρ μετὰ τοῦ ἐπιπάγου, ἀπόχει. καὶ τοῦτο ποίει πολλάκις ἄχρις οὗ καταστῇ τὸ ἐφιστάμενον ὕδωρ. ὃ γὰρ ἐκσπογγίσας ἐπιμελῶς, τὴν ὑποστάθμην βαλὼν εἰς θυΐαν, λέαινε, καὶ ἀνάπλαττε τροχίσκους. ἔνιοι δὲ πρὸς τὸ τάχεως ἀνικμασθῆναι τὸ ὑγρὸν, τέφραν σεσησμένην ἐπὶ γῆς καταστρώσαντες καὶ κοιλάναντες τὸ μέσον, ὀθόνιον τριπλοῦν ἐπιτείναντες, κατὰ τούτου τὸ ἐλατήριον σὺν τῇ ἰκμάδι ἐπιχέουσιν, ἀναξηρανθὲν, ἐν δὲ θυΐᾳ λεαίνουσιν ὡς προείρηται.

ἔνιοι

ἔνιοι δὲ ἀντὶ τοῦ ὕδατος θάλατταν παραχέοντες, πλυνοῦσιν. οἱ δὲ, τῇ τελευταίᾳ πλύσει μελίκρατον παραχέουσι. δοκεῖ δὲ ἐλατήριον κάλλιστον εἶναι τὸ μετὰ τοῦ λευκοῦ ἡ συχῆ ἔνικμον, κοῦφον, λεῖον, πικρότατον τῇ γεύσει, καὶ προσαχθὲν λύχνῳ εὐκαές. τὸ μὲν τοι πρασίζον καὶ τραχὺ καὶ θολερὸν τῇ ὄψει, γέμον ὀροβίου καὶ τέφρας, βαρύ τέ ἐστι καὶ φαῦλον. ἔνιοι δὲ καὶ τῷ χυλῷ τοῦ σικύου, μιγνύουσιν ἄμυλον, πρὸς τὸ μιμήσασθαι αὐτὸ λευκὸν καὶ κοῦφον. εἰς μὲν τοι τὰ καθαρτικὰ ὁ διετὴς ἁρμόζει ἄχρι δεκαετῶν· ἡ δὲ τελεία * πόσις ὀβολός· ἡ δὲ ἐλαχίστη ἡμιοβόλιον· παιδίοις δὲ δίχαλκον· πλεῖον γὰρ ποθὲν κίνδυνον ἐπιφέρει. κινεῖ δὲ τὴν κάτω καὶ τὴν ἄνω κάθαρσιν ἄγον φλέγμα καὶ χολήν. ἀρίστη δὲ τοῖς δυσπνοοῦσιν ἡ δι' αὐτοῦ κάθαρσις. εἰ μὲν οὖν θέλεις κατὰ κοιλίαν καθαίρειν διπλάσιον ἁλῶν μίξας καὶ στίμμεως ὅσον χρῶσαι δι' ὕδατος ὀροβιαῖα καταπότια δίδου, ἐπιρροφείτω δὲ χλιαροῦ ὕδατος κύαθον ἕνα· εἰς δὲ ἔμετον ὕδατι ἀνιεὶς, πτερῷ τοὺς ὑπὸ γλῶσσαν διάχριε τόπους ὡς ὅτι ἐσωτάτω· εἰ δὲ δυσεμὴς εἴη ἢ ἐλαίῳ ἢ ἰρίνῳ μύρῳ διεὶς, κώλυε δὲ κοιμᾶσθαι. τοῖς δὲ ὑπερκαθαιρομένοις, συνεχῶς προσφέρειν δεῖ οἰνέλαιον·

ἐμουν-

Aliqui pro dulci aqua marinā perfundentes,ita eluunt.Alij in nouiſsima lotione , mulſam aquā reſpergunt. Elateriū optimū eſſe conſtat,lęue,nō pōderoſum, cū candore leniter humectum , guſtu amariſsimum, quódque lucernarū luminibus obiectū, facilè flagret . Porraceū tamen ſcabrumq;,ſi turbidū ſpectetur,atq; erui cineríſq; plenū ſit,graue & vitioſum eſſe ſolet. Nec deſunt, qui cucumis ſucco amylū immiſceāt, vt candorē ipſū & læuitatē imitētur.A bimatu ad decenniū deiectionibꝰ vtile eſt.Integer modꝰ,obolus eſt:minimꝰ,ſemiobolus:pueris,chalci duo:ſi q̄dē copioſiꝰ,periculū adfert.Bilē ac pituitā vtrauis parte extrahit.Optima ſuſpirioſis eſt purgatio. ꝙ ſi ī animo ſit deiectionē molliri,adiecto ſalis duplo,& ſtibij q̄d colorare ſufficiat, ex aqua, erui magnitudie catapotia dato,poſtea cyathꝰ vnꝰ aquę tepide ſorbeat:ad citādas tñ vomitiōes aqua diluēs elateriū,ſubiectas linguę partes peritiſsimè pēna oblinito:ꝙ ſi q̄ſquā difficiliꝰ euomat,oleo aut vnguēto irino reſoluito,ſomnū īhibeto. Porrò his q̄ eximiè vacuāt cōtinuè vinū,& oleū dari cōuenit:

H etenim

etenim vomendo reſtituuntur. Quòd ſi vomitiones non finiantur, aqua frigida, polenta, poſca, poma, & quæ ſtomachum denſando corroborant, offerenda ſunt. Ciet elaterium menſes, & partus enecat, in peſſo ſubditum: morbo regio medetur, cum lacte naribus infuſum, & diuturnis capitis doloribus liberat: efficaciſsimè anginis illinitur, cum vetere oleo, melle, aut felle taurino.

Staphis agria. Cap. CLVI.

Staphis agria, ſiue herba pedicularis, folia habet labruſcæ, diuiſa: & cauliculos rectos, molles nigroſq;: fert florẽ glaſti & folliculos virides, ſimiles ciceri, & in his nucleum triangulum, ſcabrũ, ex nigro ſubfulueſcentem, intus album, guſtu acrem. Grana quindecim, ſi trita in aqua mulſa dentur, craſſum humorem per vomitum purgãt: ſed qui hauſerũt, ambulare debent. prudenter tamen attendere oportet, & aquã mulſam cõtinuò potui dare: quoniã pericula ſtrangulationis inferũt,

&

ἐμοῦντες γὰρ ἀποκαθίστανται. μὴ παυομένων δὲ τῶν ἐμέτων, ὕδωρ ψυχρὸν καὶ ἄλφιτον καὶ ὀξύκρατον καὶ ὀπώραν, καὶ ὅσα δύνανται τὸν στόμαχον πυκνῶσαι προσενεκτέον. κινεῖ δὲ τὸ ἐλατήριον καὶ ἔμμηνα, καὶ ἔμβρυα κτείνει ἐν προσθέτῳ· ἐγχυθέν τε μετὰ γάλακτος εἰς τοὺς ῥώθωνας, ἴκτερον ἀποκαθαίρει, καὶ κεφαλαλγίας τὰς χρονίους ἀπαλλάττει· συναγχικοῖς τὸ διάχρισμα πρακτικὸν μετ' ἐλαίου παλαιοῦ ἢ μέλιτος ἢ χολῆς ταυρείας. τοῦ δὲ ἡμέρου σικύου ἡ ῥίζα λεία ποθεῖσα σὺν ὑδρομέλιτι < α. ὁλκή, ἐμέτοις κινεῖ. εἰ δέ τις μετὰ τὸ δεῖπνον πρᾳέως ἐμέσαι ἐθέλει, ἀρκοῦσιν ὀβολοὶ β'.

Περὶ Σταφίδος ἀγρίας. Κεφ. ρνϛ'.

Σταφὶς ἀγρία φύλλα μὲν ἔχει ὥσπερ ἀμπέλου ἀγρίας ἐπεσχισμένα·* καυλία ὀρθά, μαλακά, μέλανα· τὸ δὲ ἄνθος φέρει ἰσάτῃ ὅμοιον· τὸν δὲ καρπὸν ἐν θυλακίοις χλωροῖς ὥσπερ ἐρεβίνθου, τρίγωνον, τραχύν, ὑπόκιρρον ἐν τῷ μέλανι, τὰ δὲ ἔνδον λευκόν, γευομένῳ δριμύν. Τούτου κόκκοι ι' ἢ ε'. ἐὰν τις λεάνας ἐν μελικράτῳ δῷ, καθαίρει δι' ἐμέτων πάχη· περιπατείτωσαν δὲ οἱ πεπωκότες. δεῖ μέν τοι προσέχειν συνεχῶς μελίκρατον διδόντας, διὰ τὸ ἐπιφέρειν τοὺς κατὰ πνιγμὸν κινδύνους,

καὶ

καὶ καίειν τὴν φάρυγγα. ἁρμόζει δὲ τριφθεῖσα καὶ ἐλαίῳ συγχρισθεῖσα πρὸς φθειριάσεις καὶ κνησμοὺς καὶ ψώρας. διαμασηθεῖσα δὲ φλέγμα ἄγει πλεῖστον· καὶ ὀδονταλγίας ὠφελεῖ σὺν ὄξει ἑψηθεῖσα καὶ διακλυζομένη· οὖλά τε ῥευματιζόμενα στέλλει· καὶ ἄφθας τὰς ἐν στόματι θεραπεύει μετὰ μέλιτος. μίγνυται καὶ τοῖς πυρωτικοῖς μαλάγμασιν.

& fauces adurunt. Trita & ex oleo illita, phthiriaſi prodeſt: item prurigini & pſoris. Cit plurimam pituitam commanducata: decocta in aceto, dentium dolori, colluto ore, ſubuenit: rheumatiſmum gingiuarum ſiſtit: vlcera oris manantia cum melle ſanat. Vrentibus malagmatis imponitur.

Περὶ Θαψίας. Κεφ. ρνζ´.

Θαψία ὠνόμασται μὲν ἀπὸ τοῦ δοκεῖν πρῶτον εὑρῆσθαι ἐν Θάψῳ τῇ νήσῳ τῇ ὁμωνύμῳ. τῇ δ' ὅλῃ φύσει ἔοικε νάρθηκι, ἰσχνότερος δ' αὐτῆς μᾶλλον ὁ * καρπὸς καὶ τὰ φύλλα μαράθρῳ ἐμφερῆ· ἐπ' ἄκρου δὲ σκιάδια καθ' ἑκάστην ἀπόφυσιν, ἀνήθῳ ὅμοια· ἐφ' ὧν ἄνθος μήλινον· σπέρμα ὑπόπλατυ, τῷ τοῦ νάρθηκος ἐμφερές, ἔλαττον μέν τοι· ῥίζα ἔνδοθεν λευκή, μεγάλη, μέλαινα δ' ἔξωθεν παχύφλοιος, δριμεῖα. Ἥ τις ὀπίζεται περιορυχθεῖσα καὶ ἐγκοπτομένη τὸν φλοιόν, ἢ κοιλανθεῖσα, αὐτὴ ἐν ἑαυτῇ θολοειδῶς ἡ ῥίζα καὶ πωμαζομένη πρὸς τὸ καθαρὸν μένειν τὸν ὀπόν· τῇ δὲ ὑστεραίᾳ δεῖ ἐπιόντας ἀναιρεῖσθαι τὸν ἐπισυλλεγέντα ὀπόν. χυλίζεται δὲ κοπεῖσα ἡ ῥίζα καὶ διὰ κύρτιδος καὶ ὀργάνου ἐκθλιβεῖσα καὶ ξηρανθεῖσα ἐν ἡλίῳ δι' ὀστρακίνου παχέος ἀγγείου.

ἔνιοι

Thapſia. Cap. CLVII.

Thapſia nomē ideo accepit, quod in Thapſo eiuſdē nominis Inſula, primum inuenta ſit. Tota verò natura ferulæ ſimilis eſt: graciliore caule: foliis fœniculi: vmbella anethi in cacumine, à ſingulis ſurculis erūpente: flore luteo: ſemen quale ferulæ, latiuſculum, ſed aliquanto minus: radix foris nigra, intus candida, longa, acris, craſsiore libro veſtita. Lactis extrahendi ratio hæc eſt: Facto in ambitu ſcrobe, cortices inciduntur: aut radix in fornicis ſpeciem in ſe excauata, cooperitur, quò merus ſuccus confluat: oportet illuc ſequenti die ſe conferre, & congeſtū ſuccum extrahere. Tunditur etiam radix in pila, & ſuccus organo per quallū expreſſus fictili craſſo inſolatur.

 Ali-

Aliqui foliũ vnà terunt:ſed inualidior huiuſcemodi ſuccus. Hoc autem intereſt, quoniam qui ab radice manauit, grauius olet, & humidus permanet: è foliis autẽ extractus, exciccatur, atq; teredinũ iniuriã ſentit. Qui ſuccũ colligit, ſtare debet non obuerſus vẽto: aut potius, cũ dies apricus eſt, & à flatu ſilet: quoniã ob halitus acrimoniã facies vehemẽter intumeſcit, nudáq; corpora inuadunt puſtulę: ob id prius liquido cerato, & adſtringẽte, nudas partes illinunt, & ita muniti accedũt. Tam cortex radicis, q̃ ſuccus, purgandi vim habẽt, & lacteus ſuccus in aqua mulſa potus: nã vtrinq; bilẽ extrahũt. Radicis modus, quaterni oboli, cũ tribꝰ ſeminis anethi drachmis: ſucci, terni oboli: lactis, obolus vnus: quod eo amplius aſſumitur, periculoſum eſt. Huiuſmodi purgatio cõuenit ſuſpirioſis, & diuturnis laterũ doloribus, reiectionibúſq;, datur in cibis aut obſonio, quibus difficile ſit vomere. Tã radix, q̃ ſuccꝰ omniũ maximè, quæ pares cũ eis vires adepta ſunt, vim habent extractoriã ex alto, vbi ex imo aliquid euocãdũ eſt, aut meatuũ laxitas aliò transferẽda eſt:

vnde

ἔνιοι δὲ καὶ τὰ φύλλα συναποθλίβουσιν· ἀσθενὴς δὲ ὁ τοιοῦτος. διαφέρει δὲ τῷ βρωματωδέστερον εἶναι τὸν ἀπὸ τῆς ῥίζης καὶ μένειν ἔνικμον· ξηραίνεσθαι δὲ τὸν ἀπὸ τῶν φύλλων καὶ τερηδονίζεσθαι. ὀπίζοντα δὲ δεῖ μὴ κατ᾽ ἀνέμου ἵστασθαι· μᾶλλον δὲ νηνεμίας οὔσης. ἐπεὶ δεῖ γὰρ ἰσχυρῶς τὸ πρόσωπον καὶ φλυκταινοῦνται τὰ γυμνὰ μέρη* διὰ τὴν δριμύτητα τῆς ἀποφορᾶς· δεῖ οὖν κηρωταῖς συφούσαις ὑγραῖς προχρίειν τὰ γυμνὰ τῶν μερῶν, καὶ οὕτω προσέρχεσθαι. Δύναμιν δὲ ἔχει καθαρτικὴν, ὅ τε φλοιὸς τῆς ῥίζης καὶ ὁ χυλὸς, καὶ ὁ ὀπὸς σὺν μελικράτῳ πινόμενος· ἄνω γὰρ καὶ κάτω χολὴν καθαίρουσι. δίδοται δὲ τῆς μὲν ῥίζης τετρώβολον μετὰ ἀνήθου σπέρματος < γ. τοῦ δὲ χυλίσματος τριώβολον· τοῦ δὲ ὀποῦ ὀβολός· πλεῖον γὰρ δοθὲν, κινδυνῶδες. ἁρμόζει δὲ ἡ δι᾽ αὐτοῦ κάθαρσις πάθεσιν ἀσθματικοῖς, πλευρῶν ἀλγήμασι χρονίοις, καὶ ἀναγωγαῖς· τοῖς δὲ δυσεμέσιν ἐν σιτίοις ἢ ἑψήματι δίδοται. κέκτηται δὲ καὶ μετασυγκριτικὴν δύναμιν ὅ τε ὀπὸς καὶ ἡ ῥίζα πάντων μάλιστα τῶν ἰσοδυναμούντων ὅπου τὶ δεῖ ἐκ βάθους ἑλκύσαι, ἢ μετὰ προσποιῆσαι.

ὅθεν

ὅθεν ἀλωπεκίας καταχριόμενος ὁ χυλὸς ἢ ἡ ῥίζα χλωρὰ προστειβομένη, δασύνει. ὑπώπιά τε αἴρει καὶ πελιώματα λεῖα ἡ ῥίζα ἢ ὁ χυλὸς σὺν λιβανωτῷ καὶ κηρῷ ἴσοις· δεῖ δὲ μὴ πλέον δυοῖν ὡρῶν ἐᾶν· μετὰ δὲ ταῦτα πυριᾶν θερμῇ θαλάττῃ· αἴρει δὲ καὶ ἔφηλιν σὺν μέλιτι καταχρισθεὶς, καὶ λέπρας ἀφίστησι· φύματά τε ῥήσσει μετὰ θείου καταχριόμενος ὁ χυλὸς· χρησίμως δὲ καταχρίεται καὶ ἐπὶ τῶν χρονίας ἐχόντων διαθέσεις περὶ πλευρὸν ἢ πνεύμονα, ἢ πόδας ἢ ἄρθρον· χρησιμεύει δὲ καὶ πρὸς ἐπαγωγὰ ἐπὶ τῶν μὴ ἐκ περιτομῆς λειποδέρμων οἴδημα ἐγείρων, ὅπερ καταυλούμενον καὶ τοῖς λιπαίνουσι μαλαττόμενον, τὸ ἐλλειπὲς τῆς πόσθης ἐκπληροῖ.

Περὶ Σπαρτίου. Κεφ. ρνή.

Σπαρτίον θάμνος ἐστὶ φέρων ῥάβδους μακρὰς, ἀφύλλους, στερεὰς, δυσθραύστους, αἷς τὰς ἀμπέλους δεσμεύουσι· φέρει δὲ λοβοὺς ὥσπερ φασήλους, ἐν οἷς σπερμάτια φακοειδῆ· ἄνθος μήλινον ὥσπερ λευκοΐου· Τούτου ὁ καρπὸς καὶ τὰ ἄνθη ποθέντα σὺν μελικράτῳ ὁλκῇ ὀβολῶν ε. καθαίρει ἄνω μετ' ἐντάσεως ὥσπερ ὁ ἐλλέβορος ἀκινδύνως, ὁ δὲ καρπὸς κινεῖ τὴν κάτω κάθαρσιν, καὶ αὐτῶν δὲ τῶν ῥάβδων ἐν ὕδατι βραχεισῶν, εἶτα κοπεισῶν καὶ χυλισθεισῶν, ἰσχια-

vnde ſuccus illitione, aut radix recens affrictu, alopecias explent. Radix ſuccúſque cum æquis ceræ thuríſque portionibus, ſugillata liuoréſque tollunt: ſed non plus binis horis dimittantur: locus deinde aqua maris calida foueatur. Vitia cutis in facie emendat, cum melle illitus ſuccus: lepras tollit: tubercula diſcutit, peruncta cum ſulphure. In diuturnis pulmonum, laterum, pedum, articulorúmque valetudinibus vtiliter illinitur. Valet ad integendam colis glandem, iis qui natura, non circunciſione, curti ſunt: tumorem enim excitat, qui pinguium fotu emollitus, præputij iacturá reſarcit.

Spartium. Cap. CLVIII.

Spartion frutex eſt, longas ferens virgas, ſine foliis, firmas, fractu contumaces, quibus vites vinciuntur: ſemen lenticulæ, in folliculis phaſiolorū modo naſcẽs: florem, vt albæ violæ, luteum. Purgant per ſuperna vehementer, hellebori vice, citra periculū flores, & ſemina, quinis obolis in aqua mulſa pota. Semen deiectionem mouet. Ramis in aqua maceratis, mox tuſis, extractus ſuccus,

 iſchia-

iſchiadicis, & angina laborãtibus auxiliatur, ſi cyathi modũ ieiuni bibant. Quidam marina aqua macerare malunt, & infundere iſchiadicis clyſtere: ſtrigmenta autẽ elicit cruenta.

Silybum. Cap. CLIX.

Silybon, lata ſpina eſt, folia ferens chamæleonis albi. Hæc recens cum ſale oleóque cocta eſtur. Radicis ſuccus drachmæ pondere potus, vomitiones ciet.

Glans vnguentaria. Cap. CLX.

Glans vnguentaria, fructus eſt arboris myricæ ſimilis, magnitudine auellanæ nucis, cuius nucleus Græcarum nucum more tritus, humorem reddit, quo ad pretioſa vnguenta pro oleo vtuntur: naſcitur in Æthiopia, Ægypto, Arabia, & Petra oppido ſecus Iudæam. Præfertur plena, recens, candida, quæ facilè delibretur. Ea drachmæ pondere pota, lienem abſumit, cum lolij farina, & aqua mulſa podagricis illinitur: pſoras lepráſque decocta in aceto, vitiligines & nigras cicatrices cum nitro, emendat: & cum lotio lentigines, varos & papulas in facie, & cutis vitia tollit.

Vomi-

ἰσχιαδικῶν καὶ συναγχικῶν ἐστὶ βοήθημα, ὅσον κύαθος εἰς πινόμενος νήστεσιν. ἔνιοι δὲ ἐναποβρέξαντες ἅλμῃ ἢ θαλάττῃ, ἐγκλύζουσι τοὺς ἰσχιαδικούς· ἄγει δὲ αἱματώδεις καὶ ξυσματώδεις.

Περὶ Σιλύβου. Κεφ. ρνθʹ.

Σίλυβον ἄκανθά ἐστι πλατεῖα, φύλλα ἔχουσα χαμαιλέοντι ὅμοια τῷ λευκῷ. ἡ τις ἀρτιφυὴς ἐσθίεται ἑφθὴ σὺν ἐλαίῳ καὶ ἁλσί. τῆς δὲ ῥίζης ὁ ὀπὸς ὅσον ὁλκὴ ποθεὶς σὺν μελικράτῳ, ἐμέτους κινεῖ. *

Περὶ Βαλάνου μυρεψικῆς. Κεφ. ρξ.

Βάλανος μυρεψικὴ καρπός ἐστι δένδρου μυρίκῃ ἐοικότος, ὅμοιος τῷ λεγομένῳ ποντικῷ καρύῳ, οὗ τὸ ἐντὸς θλιβόμενον ὥσπερ τὰ πικρὰ ἀμύγδαλα, ἐξίησιν ὑγρόν, ᾧ εἰς τὰ πολυτελῆ μύρα ἀντ' ἐλαίου χρῶνται· γεννᾶται δὲ ἐν αἰθιοπίᾳ καὶ αἰγύπτῳ καὶ ἀραβίᾳ καὶ ἐν τῇ κατ' ἰουδαίαν πέτρᾳ. διαφέρει δὲ αὐτῆς ἡ νέα καὶ πλήρης, λευκή τε καὶ εὐλέπιστος. Ἡ τις μεθ' ὀξυκράτου ποθεῖσα λεία ὅσον < ὁλκὴ, σπλῆνα τήκει καὶ καταπλάσσεται δὲ ἐπ' αὐτῷ μετ' αἰρίνου ἀλεύρου, καὶ μετὰ μελικράτου καὶ ἐπὶ ποδαγρικῶν· σὺν ὄξει δὲ ἑψηθεῖσα ἀποσμήχει ψώραν, λέπραν· σὺν νίτρῳ δὲ ἀλφούς, οὐλὰς μελαίνας· σὺν οὔρῳ δὲ αἴρει φακούς, ἰόνθους, ἐφήλεις, ἐξανθήματα ἐν προσώποις·

ἐμέτοις.

ἐμέτους δὲ κινεῖ, καὶ κοιλίαν λύει μετὰ ὑδρομέλιτος· κακοστόμαχος δέ ἐστιν ἱκανῶς, καὶ τὸ ἐξ αὐτῆς ἔλαιον ποθὲν τὴν κοιλίαν ἐπάγει, στυπτικώτερος δέ ἐστιν ὁ φλοιὸς αὐτῆς· τὸ δὲ* ἐκκοπείσης καὶ ἐκθλιβείσης αὐτῆς ἐκπίεσμα, μίγνυται σμήγμασι τοῖς πρὸς τραχύτητας καὶ κνησμοὺς εὐθετοῦσιν.

Vomitiones mouet, & aluum cum hydromelite reſoluit: ſtomacho aduerſatur. Oleum quod ea exprimitur, aluũ potu ciet. Cortex eius magis adſtringit: verùm tuſæ & expreſſæ ſuccus abſtergentibus medicamentis adiicitur, quæ aduerſus prurigines & ſcabritias idonea ſunt.

Περὶ Ναρκίσσου. Κεφ. ρξά.

Νάρκισσος, ἔνιοι καὶ τοῦτο ὥσπερ τὸ κρίνον λείριον ἐκάλεσαν, τὰ μὲν φύλλα πράσῳ ἔοικε, λεπτὰ δὲ καὶ μικρότερα κατὰ πολὺ, καὶ στενώτερα· καυλὸν κενὸν, ἄφυλλον μείζω σπιθαμῆς· ἐφ᾽ οὗ ἄνθος λευκὸν ἔσωθεν δὲ κροκῶδες ἐπ᾽ ἐνίων δὲ πορφυροειδές· ῥίζα δὲ λευκὴ, ἔνδοθεν στρογγύλη, βολβοειδὴς, καρπὸς ὡς ἐν ὑμένι, μέλας, παραμήκης· φύεται ὁ κάλλιστος ἐν ὀρεινοῖς τόποις, εὐώδης· ὁ δὲ λοιπὸς πρασίζει, καὶ βοτανώδη τὴν ἀποφορὰν ἔχει. Τούτου ἡ ῥίζα βρωθεῖσα ἑφθὴ καὶ ποθεῖσα, ἐμέτους κινεῖ· ἁρμόζει δὲ καὶ πυρικαύτοις σὺν μέλιτι λεία· καὶ τὰς περὶ νεῦρα διακοπὰς παρακολλᾷ καταπλασσομένη· στρέμματά τε σφυρῶν καὶ τὰ περὶ ἄρθρα χρόνια ἀλγήματα λεία σὺν μέλιτι καταπλασθεῖσα ὀνίνησι· καθαίρει καὶ ἐφήλιν καὶ ἀλφὸν σὺν κνίδης σπέρματι καὶ ὄξει· σὺν ὀρόβῳ δὲ καὶ μέλιτι τὰς

Narciſſus. Cap. CLXI.

Narciſſum ſunt qui vt liliũ, lirium appellarint, folia porro ſimilia, tenuia, multò minora, & anguſtiora: caulis vacuꝰ, & ſine foliis, ſupra dodrantem attollitur: flos albus, intus croceus, in quibuſdam purpureus: radix intus alba, rotunda, bulboſa: ſemen velut in tunica, nigrum, longum: probatiſsimus naſcitur in montibus, ſuaui odore: cæteri porrum imitantur, atque herbaceum virus olent. Radix cocta, ſiue eſtur ſiue bibitur, vomitoria eſt: ambuſtis igni prodeſt, cum exiguo melle trita: præciſos neruos illitu glutinat: luxatis malleolis, diuturníſque articulorum doloribus, trita ex melle & impoſita, ſubuenit: vitia cutis in facie, vitiligenéſq; cum ſemine vrticæ, & aceto emaculat: cum eruo & melle, vlce-

vlcerum ſordes expurgat: abſceſſus rumpit cócoctioni repugnantes: infixa corpori extrahit, illita cum lolij farina, & melle.

Hippophaës. Cap. CLXII.

Hippophaës, quo fullones veſtes interpolant, in ſabuloſis maritimíſque naſcitur, ſurculaceo frutice, vndique denſo & largo, foliis oleæ, longioribus, mollioribúſq;: inter quæ candicantes ſpinę emicant, ſiccæ, anguloſæ, interſtitio quodam diſtantes: flores hederæ corymbis ſimiles, racematim cohærent, minuſculi tamen, & molles, candidi, ex parte rubeſcentes: radix lacteo ſucco madet, craſſa, mollis, amara guſtanti: ex qua, perinde ac thapſia, ſuccus eximitur, qui per ſe, & cum erui farina ſubactus, ſiccatur, & ad vſum reconditur. Syncerus pituitas, bilem, aquáſque detrahit, oboli pondere: erui verò farina ſubactus, quatuor obolis, cum aqua mulſa. Frutex cum radicibus ſiccatus tűditur, & cum aquæ mulſæ dimidia hemina tritus datur. Radice & herba liquamentum depromitur, vti in thapſia: hui⁹ in purgationibus modus eſt drachma.

Hippo-

τὰς ἀκαθαρσίας τῶν ἑλκῶν ἀποκαθαίρει· καὶ τὰ δύσπεπτα τῶν ἀποστημάτων ῥήσσει· ἄγει καὶ σκόλοπας σὺν αἰρίνῳ ἀλεύρῳ καὶ μέλιτι καταπλασσομένη.

Περὶ Ἱπποφαοῦς. Κεφ. ρξϛ.

Ἱπποφαὲς, ᾧ γνάφοι τὰ ἱμάτια, φύεται μὲν ἐν παραθαλαττίοις καὶ ἀμμώδεσι τόποις, θάμνος δὲ ἐστι φρυγανώδης, πυκνὸς ἀμφιλαφὴς, φύλλα ἔχων μακρὰ πρὸς τὰ τῆς ἐλαίας, στενώτερα δὲ καὶ λεπτότερα καὶ μεταξὺ ἀκάνθας ξηρὰς ὑπολεύκους, γωνιοειδεῖς, ἀπ' ἀλλήλων διεστώσας· ἄνθη κορύμβοις ἐοικότα κισσοῦ, ὡς βοτρύδια προσκείμενα ἀλλήλοις, πλὴν μικρότερα καὶ μαλακὰ, καὶ μετὰ τοῦ λευκοῦ φοινίσσοντα ἐκ μέρους· ῥίζα παχεῖα καὶ μαλακὴ, ὀποῦ μεστὴ, γευομένῳ πικρὰ, ὀπιζομένη ὥσπερ θαψία. Ἀποτίθεται δὲ καθ' ἑαυτὸ ὁ ὀπὸς καὶ σὺν ὀροβίνῳ ἀλεύρῳ ἀναλαμβανόμενος καὶ ξηραινόμενος· καθαίρει δὲ χολώδη, ὑδατώδη καὶ φλεγματώδη κάτω, ὅσον ὀβολὸς ἀκέραιος· τοῦ δὲ μετὰ τοῦ ὀροβίνου τετρώβολον σὺν μελικράτῳ. καὶ ὁ θάμνος δὲ σὺν ταῖς ῥίζαις ξηραινόμενος κόπτεται, καὶ δίδοται λεῖος μετὰ μελικράτου κοτύλης μιᾶς ἡμισείας· γίνεται δὲ καὶ χύλισμα τῆς ῥίζης καὶ τῆς πόας ὥσπερ ἐπὶ τῆς θαψίας· δίδοται δὲ τούτου < ά εἰς τὰς καθάρσεις.

Περὶ Ἱππο-

Περὶ Ἱπποφαίστου. Κεφ. ρξγ'.

Ἱππόφαιστον, οἱ δὲ καὶ τοῦτο ἱπποφαὲς καλοῦσι, φύεται ἐν τοῖς αὐτοῖς τόποις, ἐν οἷς καὶ τὸ ἱπποφαὲς, καὶ αὐτὸ γναφικῆς ἀκάνθης εἶδος ὑπάρχον· ἔστι δὲ χαμαιπετὲς, ἔχον μόνον φυλλάρια μικρὰ, ἀκανθώδη, καὶ κεφάλια χαῦνα· οὔτε δὲ καυλὸν οὔτε ἄνθος φέρει· ῥίζαν δὲ παχεῖαν καὶ μαλακήν. Ταύτης τὰ φύλλα καὶ τὴν ῥίζαν καὶ τὴν κεφαλὴν χυλίσας, ξήραινε καὶ δίδου ὁλκὴν τριωβόλου μετὰ μελικράτου ᾧ βούλει· ἡ γὰρ διὰ τούτου κάθαρσις, ὕδωρ καὶ φλέγμα ἄγει· ἰδίως δὲ ὀρθοπνοίαις ἁρμόζει καὶ ἐπιληψίαις καὶ τοῖς περὶ νεῦρα πάθεσιν ἡ διὰ τούτου κάθαρσις.

Περὶ Κίκεως. Κεφ. ρξδ'.

Κίκι ἢ κρότων, οἱ δὲ σήσαμον ἄγριον, οἱ δὲ σέσελι κύπριον, οἱ δὲ κρότωνα ὠνόμασαν κρότων, διὰ τὴν πρὸς τὸ ζῶον ἐμφέρειαν τοῦ σπέρματος· δένδρον δέ ἐστι συκῆς μικρᾶς μέγεθος ἔχον· φύλλα δὲ ὅμοια πλατάνῳ, μείζονα δὲ καὶ λειότερα καὶ μελάντερα. τὰ δὲ στελέχη καὶ τὰς κράδας κοῖλα καλάμου τρόπον ἔχει· καρπὸν δὲ ἐν βότρυσι τραχέσι, λεπισθέντα, ὅμοιον κρότωνι τῷ ζώῳ. Ἐξ οὗ καὶ ἀποθλίβεται τὸ λεγόμενον κίκινον ἔλαιον. ἄβρωτον μὲν, ἄλλως δὲ χρήσιμον εἰς λύχνους καὶ ἐμπλάστρους καθαρθέντες δὲ ὅσον λ' κόκκοι τὸν ἀριθμὸν καὶ ποθέν

τες λεῖοι,

Hippophęſtũ. Cap.CLXIII.

Hippophæſton, id quod aliqui hippophaës appellant, naſcitur eiſdem locis quibus hippophaës, eſtque ſpinæ fullonię genus, humilis herba, ſine cauliculo, ſine flore: inanibus tantum capitulis: foliis paruis, ſpinoſis: radiculas habens molles, craſſas. Succus radice, foliis & capitulo exprimitur, & exiccatur. Datus, cui voles, tribus obolis, in aqua mulſa, aquam pituitáſque detrahit: priuatim comitialibus morbis, neruorum vitiis, & orthopnœæ cõuenit huiuſcemodi purgatio.

Ricinus. Cap. CLXIIII.

CICI, aut croton, nomen accepit à ricini animalis ſimilitudine: arbor prouenit paruæ ficus altitudine, folio platani, maiore, læuiore, & nigriore: ramis, caudicibúſque cauis in arundinis morem: ſemine in vuis aſperis, quod corticibus exutum, ricinum animal repræſentat: ex quo oleum, nomine cicinum, exprimitur, cibis fœdum, lucernis emplaſtríſque vtile. Grana triginta numero purgata, trita potu, pituitas bi-

lem

lem, aquámque per aluum extrahunt, vomitionéſq; mouēt, ſed iniucūda admodum eſt, & moleſta purgatio: ſiquidē ſtomachum vehementer ſubuertit. Tuſa & impoſita, vitia cutis in facie, varóſque expurgat. Folia cum poléta trita, inflammationes oculorū, tumoréſque leniunt: rigentes mammas cohibent: eadem ex aceto illita, ignes ſacros reſtingunt.

Tithymali. Cap. CLXV.

Tithymali genera ſeptem, quorū maſculus characias appellatur, ab aliquibꝰ amygdaloides: alter, myrtites, qui fœmina exiſtimatur, eumq; myrſiniten aut caryiten vocāt: tertius, paralius, quem tithymalida appellarunt: alius, helioſcopius: quintus, cypariſſias: ſextꝰ, dendroides: ſeptimus, platyphillos dicitur. Characiæ caules ſupra cubiti altitudinē attolluntur: rubri, lacteo ſucco atque acri madētes: foliis oleæ circum ramos, anguſtioribus, & longioribus: radice craſſa, lignoſa: pendet in cacuminibus caulium, coma iunci, ſub qua caueolæ foliolis balnearū ſimiles, in quibus ſemē cōtinetur: naſcitur in aſperis, & mōtibus. Succus aluum purgat: trahit

τες λεῖον, ἄγουσιν κατὰ κοιλίαν φλέγμα καὶ χολὴν καὶ ὕδωρ· κινοῦσι δὲ καὶ ἔμετον, ἔστι δὲ λίαν ἀηδὴς καὶ ἐργώδης ἡ τοιαύτη κάθαρσις· ἀνατρέπουσα στόμαχον ἰσχυρῶς· κοπεῖσα δὲ καὶ καταπλασθεῖσα ἴονθους καὶ ἐφήλεις καθαίρει. τὰ δὲ φύλλα τεθέντα μετὰ παιπάλης ἀλφίτου, ὀφθαλμῶν οἰδήματα καὶ φλεγμονὰς παύει· καὶ σπαργῶντας μαστοὺς, ἐρυσιπέλατά τε σβέννυσι καθ᾽ ἑαυτὰ καὶ μετ᾽ ὄξους καταπλασσόμενα.

Περὶ Τιθυμάλων. Κεφ. ρξέ.

Τιθυμάλων εἴδη ζ´. ὧν ὁ μὲν ἄρρην χαρακίας καλεῖται, ὑπὸ δέ τινων κομήτης, ἢ ἀμυγδαλοειδὴς ἢ κωβιὸς ὀνομάζεται· ὁ δέ τις θήλυς ἢ μυρτίτης, ὃν καὶ καρυΐτην ἢ μυρσινίτην καλοῦσιν· ὁ δὲ παράλιος, ὃν ἔνιοι τιθυμαλίδα ἐκάλεσαν· ὁ δέ τις ἡλιοσκόπιος. ὁ δὲ κυπαρισσίας· ὁ δὲ δενδροειδής· ὁ δὲ πλατύφυλλος. Τοῦ δὴ χαρακίου καλουμένου, καυλοὶ μὲν, ὑπὲρ πῆχυν ἐνερευθεῖς, ὀποῦ δριμέος καὶ λευκοῦ μεστοί· φύλλα δὲ περὶ τὰς ῥάβδους ὅμοια ἐλαίᾳ, μακρότερα δὲ καὶ στενώτερα· ῥίζα ἁδρὰ καὶ ξυλώδης· ἐπ᾽ ἄκρων δὲ τῶν καυλῶν κόμη σχοινοειδῶν ῥαβδίων, καὶ ὑπ᾽ αὐτῶν ὑπόκοιλα ὅμοια πυέλοισιν, ἐν οἷς ὁ καρπὸς φύεται ἐν τραχεῖ καὶ ὀρεινοῖς τόποις. Δύναμιν δὲ ἔχει ὁ ὀπὸς καθαρτικὴν τῆς κάτω κοιλίας· ἄγων

ἄγων φλέγμα καὶ χολὴν ὀβολῶν β' πλῆθος λαμβανόμενος μετ' ὀξυκράτου· σὺν μελικράτῳ δὲ καὶ ἔμετον κινεῖ. ὀπίζεται δὲ περὶ τὸν τρυγητόν. συναχθεισῶν τῶν ῥάβδων καὶ ἀποτμηθεισῶν, ἐγκλείεσθαι γὰρ αὐτὰς δεῖ εἰς ἀγγεῖον. ἔνιοι γὰρ ὀρόβινον ἄλευρον μιγνύντες, συναναπλάσσουσιν ὀροβιαῖα μεγέθη. τινὲς δὲ εἰς τὰ ξηραινόμενα σῦκα ἀποστάζουσι σταλαγμοὺς γ' ἢ δ'. καὶ ξηραίνοντες ἀποτίθενται. καθ' ἑαυτὸν δὲ τριβόμενος ἐν θυίᾳ ἀναπλάσσεται καὶ ἀποτίθεται· ἐν δὲ τῷ ὀπίζειν οὐ δεῖ κατὰ ἄνεμον ἵστασθαι, οὐ γὰρ τὰς χεῖρας ἄγειν τοῖς ὀφθαλμοῖς· ἀλλὰ καὶ πρὸ τοῦ ὀπίζειν τὸ σῶμα δεῖ χρίειν στέατι ἢ ἐλαίῳ μετ' οἴνου καὶ μάλιστα πρόσωπον καὶ βάσχαλον καὶ ὄσχεον, τραχύνει δὲ καὶ τὴν φάρυγγα· ὅθεν δεῖ καταπότια περιπλάττειν κηρῷ ἢ μέλιτι ἑφθῷ, καὶ οὕτως διδόναι· ἰσχάδες μέντοι δύο ἢ τρεῖς λαμβανόμεναι, αὐτάρκεις εἰσὶ πρὸς κάθαρσιν. ψιλοῖ δὲ καὶ τρίχας ὀπὸς πρόσφατος ἐπιχρισθεὶς μετ' ἐλαίου ἐν ἡλίῳ, καὶ τὰς ἐπιγινομένας δὲ ξανθὰς καὶ λεπτὰς ποιεῖ· καὶ τέλος ἐκφθείρει πάσας. ἐντίθεται δὲ καὶ τοῖς βρώμασι τῶν ὀδόντων κουφίζων τὰ ἀλγήματα· κηρῷ δὲ δεῖ τοὺς ὀδόντας ἐπιπλάττειν, ἵνα μὴ παραρρυεὶς κακώσῃ

trahit pituitam bilémque, binis obolis in poſca ſumptis: & cum aqua mulſa, vomitiones mouet. Appetente vindemiarũ tempore, ſuccus congeſtis ramulis, mox diſſectis, & vaſe cõcluſis, excipitur. Aliqui adiiciũt farinam erui, & in paſtillos digerũt, qui erui magnitudinem impleant. Alij in aridas ficos, ternas quaternáſve guttas inſtillant, vt cum his inareſcant: quas ad vſus recondunt. Per ſe etiam tuſus in pila, & in paſtillos coactus reponitur. Porrò cum extrahitur lac, neque quò ventus aſpiret, ſtare quẽquam, neque manus oculis admouere conuenit: ſed antequam colligas, corpus, præſertim faciem, collũ, ſcrotúmque genitalis, adipe aut oleo cũ vino perungere. Fauces autem exaſperat: quapropter catapotia cera aut decocto melle oblini par eſt, & hoc modo dari: binas tamen ternáſve ficos, purgationis gratia ſumpſiſſe, ſatis eſt. Recens lac ex oleo, perunctos in ſole capillos euellit, renaſcentesq; flauos, & exiles efficit: denique omnes perimit. Dentiũ cauernis incluſum, leuat dolores: ſed cera dẽtes oblinendi ne ſuo delapſu, fauces

fauces & linguam vitiet. Tollit illitu impetigines, formicantes verrucas, penſiles, & quæ thymi florem repræſentant. Valet aduerſus pterygia, carbunculos, phagedænas vlcerum, gangrænas, fiſtuláſq;. Legitur ſemen autumno, & ſiccatum ſole leuiter tunditur, ferueſactúmque loco mundo reponitur. Folia item ſiccantur. Semen & folia lactei ſucci effectum præbent, dimidio acetabulo pota. Sunt qui inueterant, admiſto cũ lacte lepidio, & caſeo cõtuſo. Radix drachmæ pondere in hydromelite pota per inferna trahit. Decocta cum aceto, dentium dolori auxiliatur, colluto ore.

Tithymali fœmina.

Fœmina, quam myrſiniten, aut caryiten vocarunt, ſimilis ſuapte natura daphnoidi: foliis myrthi, ſed maioribus, firmis, in cacumine acutis, & pungẽtibus: ramulos ab radice mittit dodrantales: fructum fert alternis annis, nuci ſimilem, mordaci guſtu: naſcitur & hęc in aſperis. Succus, radix, ſemẽ, folia, conſimilem antedicto ſortiũtur facultatem: ſed ad citandas vomitiones inualidior hęc eſt.

Aliud

κακώσῃ τὴν φάρυγγα ἢ τὴν γλῶτταν. αἴρει δὲ καὶ μυρμηκίας, καὶ ἀκροχορδόνας καὶ θύμους καὶ λειχῆνας ἐπιχριόμενος. ἁρμόζει καὶ πρὸς πτερύγια καὶ ἄνθρακας, φαγεδαίνας, γαγγραίνας, σύριγγας. καὶ ὁ καρπὸς δὲ φθινοπώρῳ συλλεγεὶς, καὶ ξηρανθεὶς ἐν ἡλίῳ, κοπεὶς τε κούφως καὶ ἀποβρασθεὶς καθαρῶς ἀποτίθεται. καὶ τὰ φύλλα ὁμοίως ξηρά. ποιεῖ δὲ καὶ ὁ καρπὸς καὶ τὰ φύλλα τὰ αὐτὰ τῷ ὀπῷ, πλῆθος ἡμίσους ὀξυβάφου ποτιζόμενα. ἔνιοι δὲ καὶ ταριχεύουσιν αὐτὰ, μιγνύντες τῷ διὰ τοῦ γάλακτος λεπιδίῳ, καὶ τυρῷ κοπτῷ. καὶ ἡ ῥίζα δὲ ἐπιπαθεῖσα < α. σὺν ὑδρομέλιτι καὶ ποθεῖσα, ἄγει κατὰ κοιλίαν, ἑψηθεῖσα δὲ σὺν ὄξει καὶ διακλυζομένη, ὀδονταλγίας βοηθεῖ.

Περὶ τοῦ θήλεως.

Ὁ δὲ θῆλυς, ὃν ἔνιοι μυρσινίτην ἢ καρυΐτην ἐκάλεσαν, προσεμφερὴς τῷ δαφνοειδεῖ τὴν φύσιν· καὶ τὰ φύλλα ὅμοια ἔχει μυρσίνῃ, μείζονα δὲ καὶ στερεὰ, ἐπ' ἄκρου ὀξέα καὶ ἀκανθώδη· κλήματα δὲ ἀπὸ τῆς ῥίζης σπιθαμιαῖα ἀφίησι· τὸν δὲ καρπὸν φέρει παρ' ἐνιαυτὸν καρύῳ ὅμοιον, ἡσυχῆ δάκνοντα τὴν γλῶσσαν· ἐν τραχέσι δὲ χωρίοις καὶ οὗτος φύεται. Δύναμιν δὲ ἔχει ὁ ὀπὸς καὶ ἡ ῥίζα καὶ ὁ καρπὸς καὶ τὰ φύλλα ὁμοίαν τῷ πρὸ αὐτοῦ· ἐμετικώτερος μέντοι ἐκεῖνος τούτου ἐστίν.

Περὶ τῆς

Περὶ τοῦ παραλίου.

Ὁ δὲ παράλιος λεγόμενος τιθύμαλος, ὃν ἔνιοι τιθυμαλίδα ἢ μήκωνα ἐκάλεσαν, φύεται ἐν παραθαλασσίοις τόποις. κλῶνας δὲ ἔχει σπιθαμιαίους ὑπερύθρους, ε´ ἢ ς´ ἀπὸ τῆς ῥίζης, περὶ οὓς τὰ φύλλα στιχηδὸν μικρά, ὑπόστενα, περιμήκη, ἐοικότα λίνῳ· κεφαλὴν δὲ ἐπ᾽ ἄκρου περιφερῆ, ἐν ᾗ ὁ καρπὸς ὡς ὄροβος, ποικίλος, ἄνθη λευκά. ὅλος δὲ ὁ θάμνος καὶ ἡ ῥίζα, ὀποῦ λευκοῦ μεστή. καὶ τούτου χρῆσις καὶ ἀπόθεσις, ὅμοια ἐστὶ τοῖς προειρημένοις.

Περὶ τοῦ ἡλιοσκοπίου.

Ὁ δὲ ἡλιοσκόπιος λεγόμενος, ἀνδράχνῃ ὅμοια φύλλα ἔχει, λεπτότερα δὲ καὶ περιφερέστερα· κλῶνας δὲ ἀφίησιν ἀπὸ τῆς ῥίζης δ´ ἢ ε´ σπιθαμιαίους, λεπτοὺς καὶ ἐρυθροὺς, ὀποῦ λευκοῦ μεστοὺς πολλοῦ· κεφαλὴ δὲ ἀνηθοειδής· καὶ ὁ καρπὸς δὲ ὥσπερ ἐν κεφαλίοις. συμπεριφέρεται δὲ τούτου ἡ κόμη τῇ τοῦ ἡλίου κλίσει. ὅθεν καὶ ὠνόμασται ἡλιοσκόπιος. ἐν ἐρειπίοις δὲ μάλιστα καὶ περὶ τὰς πόλεις φύεται. συλλέγεται δὲ ὁ ὀπὸς καὶ ὁ καρπὸς ὥσπερ καὶ τῶν ἄλλων. Δύναμιν ἔχων τὴν αὐτὴν τοῖς προτέροις, ἀλλ᾽ οὐχ οὕτως ἐπιτεταμένην.

Περὶ Κυπαρισσίου.

Ὁ δὲ κυπαρισσίας, καυλὸν μὲν ἀνίησι σπιθαμιαῖον, ἢ καὶ μείζονα, ὑπέρυθρον, ἐξ οὗ βεβλάστηκε τὰ φύλλα τοῖς τῆς πίτυος ὅμοια, τρυφερώ-

Aliud tithymali genus.

Aliud tithymali genꝰ dicitur paralios, quẽ tithymalida, aut mecona aliqui appellauere: naſcitur ĩ maritimis, ramis ſubrubẽtibus, palmũ altis, quinis ſenísve à radice exeũtibus: foliis lini, anguſtis, paruis, oblõgis, in verſus quoſdã digeſtis: capite in cacumine orbiculato, ĩ quo ſemen, vt eruum, vario colore emicat: flos albus. Frutex totus cũ radice lacteo ſucco turget. Similes ad vſus reconditur.

Helioſcopius.

Helioſcopius dicĩt foliis portulacæ, tenuioribus, rotũdioribusq́; : ramulis prodeunbus à radice, quatuor aut quinq;, rubentibus, dodrantali altitudine, tenuibus, lactis copioſi plenis: capite anethi: ſemine velut in capitulis incluſo: Helioſcopi nomen accepit, quoniã comas cum ſole circumagat: circa oppida naſcitur, potiſsimũ in ruderibus. Colligitur ſuccus ſeménque, vt aliorum. Eædem quæ ſuperioribus vires, non tamen vſque adeò validæ.

Cipariſsias.

CIPARISSIAS in caulem exit dodrantalem, vel maiorem, ſubrubrũ: ex quo folia picæ ſimilitudine exoriuntur, molliora

molliora tamē, & tenuiora: & in totum naſcētem piceam æmulatur, vnde nomen traxit. Candido ſucco madet, cui eadem vis quæ ſuperioribus.

Aliud dendroides nominatum.

In petris naſcens, dendroides cognominatur. ampliter opacat, in cacumine frondoſam ſpargens comam, ſucco lacteo prægnans, cauliculis rubētibus: foliis myrti tenuioris: fructu characiæ. Eiuſdem effectus, cuius ſuperiores, ſimiliq; modo reconditur.

Platyphyllos.

PLATYPHLLOS, verbaſco ſimilis eſt. Radix, ſuccus, & folia, per inferna trahunt aquas. Piſces necat, tuſus, & aquæ inſparſus. Reliqua tithymalorū genera quæ ſuprà ſcribuntur, idem efficiunt.

Pityuſa. Cap. CLXVI.

Pityuſam ſpecie à cypariſsia differre conſtat, etſi tithymalorum generi aſsignetur. caulis ſupra cubiti altitudinem aſſurgit, geniculatus: foliis piceæ, acutis, exilibus: flore paruo: velut purpureo: ſemine inſtar lenticulæ, lato: radice craſſa, candida, ſucco referta, quibuſdam

τρυφερώτερα μέντοι καὶ λεπτότερα· καὶ καθόλου ἔοικε πίτυϊ ἀρτιφυεῖ· ὅθεν καὶ ὠνόμασται. πεπλήρωται δὲ καὶ οὗτος ὀπῷ λευκῷ. Δύναμιν δὲ ἔχει ὁμοίαν τοῖς περὶ αὐτόν.

Περὶ τοῦ ἐν ταῖς πέτραις φυομένου.

Ὁ δὲ ἐν ταῖς πέτραις φυόμενος δενδροειδὴς δὲ καλούμενος, ἀμφιλαφὴς ἄνωθεν καὶ πολύκομος, ὀποῦ μεστός, ὑπέρυθρος τοὺς κλάδους· περὶ οὓς τὰ φύλλα μυρσίνῃ λεπτῇ προσεοικότα· καρπὸς δὲ ὅμοιος τῷ τοῦ χαρακίου, παραπλησίως δὲ καὶ οὗτος ἀποτίθεται. καὶ ἐνεργεῖ ὁμοίως τοῖς προειρημένοις.

Περὶ Πλατυφύλλου.

Ὁ δὲ πλατύφυλλος φλόμῳ ἔοικε. καὶ αὐτοῦ δὲ ἡ ῥίζα καὶ ὁ ὀπὸς καὶ τὰ φύλλα, ἄγει ὑδατώδη κατὰ κοιλίαν· ἀποκτείνει δὲ καὶ τοὺς ἰχθύας κοπεὶς καὶ διεθεὶς τῷ ὕδατι· καὶ οἱ προειρημένοι δὲ τὸ αὐτὸ δρῶσι.

Περὶ Πιτυούσης. Κεφ. ρξϛ'.

Πιτύουσα, οἱ δὲ κλῆμα, οἱ δὲ κραμβίον, οἱ δὲ παράλιον, οἱ δὲ κανόπικον καλοῦσιν· εἴδει δοκεῖ διαφέρειν τῆς κυπαρισσίας τιθυμάλου· ὅθεν καὶ εἶδος ἐν αὐτοῖς καταριθμεῖται. ἀνίησι δὲ καυλὸν πήχεως μείζονα πολυγόνατον φυλλαρίοις ὀξέσι, λεπτοῖς κατειλημμένον, ἐμφερέσι τοῖς τῆς πίτυος· ἄνθη μικρὰ ὡσεὶ πορφυρᾶ· καρπὸν δὲ πλατὺν ὡς φακόν· ῥίζαν λευκήν, *παχεῖαν ὀποῦ μεστὴν εὑρίσκεται

εὑρίσκεται δὲ κατὰ τόπους σφόδρα εὐμεγέθης ὁ θάμνος. Καθαίρει δὲ κάτω ἡ μὲν ῥίζα, < β´. ὁλκὴ δοθεῖσα σὺν μελικράτῳ· τοῦ δὲ καρποῦ ά. τοῦ δὲ ὀποῦ ὅσον κοχλιάριον ἐν καταποτίῳ ἀναληφθέντος ἀλεύρῳ· τῶν δὲ φύλλων ὁλκαὶ γ´.

Περὶ Λαθυρίδος. Κεφ. ρξζ´.

Λαθυρὶς, οἱ δὲ, καὶ ταύτην τιθύμαλον καλοῦσι, καταριθμοῦντες αὐτὴν ἐν τοῖς τιθυμάλοις, καυλὸν ἀνίησι πήχεως τὸ ὕψος, κενὸν, πάχος δακτύλου· ἐπ' ἄκρου δὲ αὐτοῦ μασχάλαι· φύλλα δὲ τὰ μὲν ἐπὶ τοῦ καυλοῦ ἐπιμήκη, ὅμοια τοῖς τῆς ἀμυγδαλῆς, πλατύτερα δὲ καὶ λειότερα· τὰ δ' ἐπ' ἄκρων τῶν κλωνίων μικρότερα, ὥσπερ ἀριστολοχίας ἢ κισσοῦ τοῦ ἐπιμήκους. καρπὸν δὲ ἔχει ἐπ' ἄκρων τῶν κλάδων τρίχωρον, περιφερῆ ὥσπερ καππάρεως, ἐν ᾧ τρία σπερμάτια διειργόμενα ἐλύτροις ἀπ' ἀλλήλων, περιφερῆ, μείζονα ὀρόβων· λεπισθέντα δὲ λευκὰ καὶ γλυκέα ἐν τῇ γεύσει. ῥίζα λεπτὴ, ἄχρηστος, ὅλος δὲ ὁ θάμνος ὀποῦ μεστὸς ὥσπερ τιθύμαλος. Δύναμιν δὲ ἔχει καθαρτικὴν κοιλίας τὰ σπέρματα, ὅσον ζ´ ἢ η´. τὸν ἀριθμὸν λαμβανόμενα ἐν καταποτίῳ, ἢ ἐσθιόμενα καὶ καταπινόμενα μετ' ἰσχάδων ἢ φοινίκων, ὕδατος ψυχροῦ

ἐπιρροφου-

dam in locis frutex hic prægrãdis inuenitur. Detrahit per aluum radix, drachmis duabus data in aqua mulſa: item ſeminis drachma: ſucci cum farina ſubacti cochlearium, in catapotio datur: modus foliorum drachmæ tres.

Lathyris. Cap. CLXVII.

Lathyris, quam aliqui tithymalum appellant, eamq; tithymalorum numero adſcribunt, caulẽ emittit cubiti altitudine, & digitali craſsitudine, inanẽ: gignuntur in cacumine alæ, & folia in caule oblõga, amygdalinis proxima, latiora, & leuiora: quæ autẽ in ſummis ramulis exierunt, minora conſpiciuntur, ariſtolochiæ, aut oblongæ hederæ figura. In cacumine fructum ſummis ſurculis gerit, triplici loculamẽto inſignem, rotundũ, ceu capparim, in quo grana incurſantibus membranis inter ſe diſtincta continentur, eruis maiora, rotunda: quæ dum corticibus exuũtur, cãdida ſunt, & guſtu dulcia: Nullus radicis vſus. totus frutex lacteo ſucco turget, vti tithymalus. Grana ſex aut ſeptem in catapotio, aut cum ficis, aut palmulis deuorata, aluum purgant: ſed aqua frigida po-

ſtea

ſtea ſorbenda: trahunt autem bilem, pituitam, & aquas. Succus, tithymali modo exceptus, eundem effectum præbet. Cum gallinaceo aut oleribus folia decoquuntur ad eoſdem effectus.

Peplus. Cap. CLXVIII.

PEPLOS frutex eſt lactei ſucci plenus, foliis paruis, vt rutæ, paulò latioribus: rotunda coma, ferè dodrantali, humi reſperſa: ſemine ſub foliis rotundo, minore quàm candidi papaueris: pluribus ſcatet auxiliis, vnicam radicem habet, ſuperuacuam, ex qua fruticat: naſcitur inter vites, & in hortis. Colligitur meſſibus: ſiccatur in vmbra, & continuè verſatur. Fructus tuſus, & ferueſactus reconditur. Bilis ac pituita detrahitur, acetabulo eius in hydromelitis cyatho poto: obſonij inſperſa conturbat aluum: muria conditur.

Peplis. Cap: CLXIX.

Peplis, quam aliqui ſylueſtrē portulacam vocant. Hippocrates peplió, in maritimis maximè naſcitur, latè opaco frutice: candidi ſucci pleno: foliis ſatiuæ

ἀπορροφούμενα· ἄγει δὲ φλέγμα καὶ χολὴν καὶ ὕδωρ. καὶ ὁ ὀπὸς ἀναληφθεὶς ὥσπερ ὁ τοῦ τιθυμάλου τὸ αὐτὸ ποιεῖ. συνέψεται δὲ καὶ ὄρνιθι ἢ λαχάνοις τὰ φύλλα πρὸς τὴν αὐτὴν ἐνέργειαν.

Περὶ Πέπλου. Κεφ. ρξή.

Πέπλος, οἱ δὲ, συκῆν, οἱ δὲ μήκωνα ἀφρώδη καλοῦσι, θαμνίσκος ἐστὶν ὀποῦ λευκοῦ μεστὸς, ἔχων φύλλον μικρὸν, ὅμοιον πηγάνῳ, πλατύτερον δέ· ἡ δὲ σύμπασα κόμη ὡς σπιθαμῆς, περιφερὴς, ἐκκεχυμένη ἐπὶ τῆς γῆς· καὶ ὑπὸ τοῖς φύλλοις καρπὸς μικρὸς, στρογγύλος, ἥττων τῆς λευκῆς μήκωνος· πολύχρηστος δὲ ἡ πόα ῥίζαν ἔχουσα μίαν ἄχρηστον, ἀφ' ἧς ὅλος ὁ θάμνος πέφυκε· γίνεται δὲ ἐν κήποις καὶ ἀμπελῶσι. Συνάγεται ἐν πυραμητῷ ξηραινομένη ἐν σκιᾷ, καὶ συνεχῶς στρεφομένη. ἀποτίθεται δὲ ὁ καρπὸς κοπεὶς καὶ ἀποβρασθείς. ἄγει δὲ φλέγμα καὶ χολὴν ὀξυβάφου πλῆθος, μετ' ὑδρομέλιτος* κυάθου πινόμενος· καὶ ἐν* προσοψήμασι δὲ μιγνύμενος ταράσσει τὴν κοιλίαν, ταριχεύεται δὲ εἰς δημαίας.

Περὶ πεπλίδος. Κεφ. ρξθ'.

Πεπλὶς, οἱ δὲ ἀνδράχνην ἀγρίαν, Ἱπποκράτης δὲ πέπλιον καλεῖ· φύεται μάλιστα ἐν παραθαλασσίοις τόποις, θάμνος ἀμφιλαφὴς, ὀποῦ μεστὸς λευκοῦ· φύλλα ἔχων

ἔχων ὅμοια τῇ κηπαίᾳ ἀνδράχνῃ, περιφερῆ δὲ καὶ ἐκ τῶν κάτω ἔχοντα ἐνερευθές· καὶ ὁ καρπὸς δὲ στρογγύλος ὑποκάτω τῶν φύλλων, ὥσπερ τοῦ πέπλου, πυρώδης τῇ γεύσει. ῥίζα λεπτή, μία, ἄχρηστος. συλλέγεται δὲ καὶ ἀποτίθεται, καὶ δίδοται ὥσπερ ὁ πέπλος, καὶ ταριχεύεται. Δύναμιν δὲ ἔχει τὴν αὐτήν.

Περὶ Χαμαισύκης. Κεφ. ρο'.

Χαμαισύκην, οἱ δὲ συκῆν καλοῦσι, κλῶνας ἀνίησι τετραδακτύλους ἐπὶ γῆς ἐρριμμένους, περιφερεῖς, ὀποῦ μεστούς· φύλλα φακοειδῆ, τῷ πέπλῳ ὅμοια, μικρά, λεπτά, πρὸς τῇ γῇ· καρπὸς δὲ ὑπὸ τοῖς φύλλοις στρογγύλος ὡς πέπλου· οὔτε δὲ ἄνθος, οὔτε καυλὸν ἔχει· ῥίζαν λεπτὴν καὶ ἄχρηστον. Δύναμιν δὲ ἔχουσιν οἱ κλῶνες λεανθέντες σὺν οἴνῳ, τὰς περὶ μήτραν ὀδύνας παύειν, ἀντὶ πεσσοῦ προστεθέντες· καταπλασσόμενοι δὲ οἰδήματα ἀκροχορδόνας καὶ μυρμηκίας αἴρουσιν· ἑφθοὶ δὲ ἐσθιόμενοι κοιλίαν ἐκλύουσι. καὶ ὁ ἐξ αὐτῶν δὲ ὀπὸς τὰ αὐτὰ δρᾷ· καὶ καταχριόμενος, σκορπίου πληγῇ βοηθεῖ· ἁρμόζει καὶ πρὸς ἀμβλυωπίαν καὶ ἀχλὺν, καὶ ἀρχομένας ὑποχύσεις, οὐλάς, νεφέλεια, σὺν μέλιτι ἐγχριόμενος. φύεται ἐν πετρώδεσι καὶ αὐχμηροῖς τόποις.

ſatiuæ portulacæ, rotundis, infernè rubentibus: ſemine ſub foliis rotundo, vti in peplo, feruente guſtu: radice ſingulari, ſuperuacua, tenui. Colligi & reponi ac dari, vti peplos, & ſale cōdiri ſolet. Eaſdem habet vires.

Chamæſyce. Cap. CLXX.

CHAMÆSYCEN aliqui ſycen nominant, ramos emittit quaternûm digitorum, teretes, ſuccoſos, in terram deiectos: folia lentis, parua, peplum planè referentia, tenuia, quæ à terra non attolliũtur: ſemine ſub foliis rotundo, vt in peplo: neque caulem, neque florem promit: radice firmatur tenui, ſuperuacanea. Rami ex vino triti vuluæ dolores ſedant in peſſo appoſiti: tollunt tumores ac verrucas omnium generum illiti: decoctorum cibo, aluus reſoluitur. Succus ſimili effectu prodeſt: illitus contra ſcorpionis ictum auxiliatur: aduerſus caligines oculorum vtilis, & hebetudines, incipientes ſuffuſiones, nubeculas, cicatrices, cum melle inunctꝰ. In ſquallidis petroſiſque naſcitur.

Scãmonia. Cap. CLXXI.

Scãmonia, ramos ab vna radice emittit trium cubitorum, multos, pingues, & qui nonnihil craſsitudinis præ ſe ferant: foliis helxinæ, aut hederaceis, mollioribus tamen, hirſutis, & triangulis: flore candido, rotũdo, in calathi modũ cauo, graueolente: radice prælõga, craſſitudine cubitali, cãdida, graui odore, ſucco grauida. Legiť ad hunc modũ ſuccus: Capite exempto, radix in teſtudinis ſpeciem cultro excauatur, quo fit vt in cauũ confluat ſuccus, qui conchis demum excipitur. Alij ſcrobes in terra concamerato ſinu fodiunt, in quos, ſubiectis iuglandũ foliis, profundũt ſuccum, ſiccatumq; extrahũt. Laudatur autẽ ſcãmoniũ leue, nitidum, rarũ & colore quãſimillimum taurino glutini, fungoſum, tenuibus fiſtulis, quale ex Myſia regione Aſiæ deportať. Nec attendere ſolum par eſt, ſi linguæ tactu albeſcat (hoc enĩ euenit adulterato, qđ admiſto ſit tithymali lacte) ſed lõgè magis antea narratis. item ſi non vehemẽter linguam exurat, id quod miſti tithymali argumẽtum eſt. Natione autẽ Syriacũ & Iudaicũ deterrima habetur, grauia,

Περὶ Σκαμμωνίας. Κεφ. ροα'.

Σκαμμωνία κλῶνας ἀνίησι πολλοὺς, ἀπὸ μιᾶς ῥίζης τριπήχεις, λιπαροὺς, ἐμφαίνοντάς* τι παχύτητος· καὶ τὰ φύλλα δὲ δασέα. ὅμοια ἑλξίνῃ ἢ κισσῷ, μαλακώτερα μέντοι καὶ τριγωνοειδῆ· ἄνθη λευκὰ, περιφερῆ, κοῖλα ὡς οἱ κάλαθοι, βαρύοσμα· ῥίζα δὲ συμμήκης, παχεῖα ὅσον* πῆχυς, λευκὴ βαρύοσμος, ὀποῦ μεστή. Συλλέγεται δὲ ὁ ὀπὸς τῆς κεφαλῆς ἀπὸ τῆς ῥίζης ἀφαιρουμένης, καὶ θολοειδῶς γλυφομένης εἰς κοιλότητα, συῤῥεῖ γὰρ εἰς αὐτὴν ὁ ὀπὸς καὶ οὕτως ἀναλαμβάνεται εἰς κόγχας. ἔνιοι δὲ τὴν γῆν ὀρύξαντες, θολοειδῶς καρύας φύλλα ὑποθέντες, καταχέουσι τὸν ὀπὸν, καὶ οὕτω ξηρανθέντα ἀναιροῦνται. ἔστι δὲ καλὸς ὁ διαυγὴς καὶ κοῦφος, ἀραιὸς, ταυροκολλώδης τὴν χρόαν, σήραγγας ἔχων λεπτὰς, σπογγώδης, τοιοῦτος δέ ἐστιν ὁ ἐκ Μυσίας τῆς κατὰ τὴν ἀσίαν κομιζόμενος. μὴ προσέχειν δὲ μόνον τῷ λευκαίνεσθαι αὐτὸν, κατὰ τὴν τῆς γλώττης θίξιν (τοῦτο γὰρ γίνεται καὶ παραμιγέντος αὐτῷ ὀποῦ τιθυμάλου) μᾶλλον δὲ τοῖς προειρημένοις, καὶ τῷ μὴ λίαν πυροῦν τὴν γλῶσσαν, ὅπερ γίνεται τιθυμάλου μιγέντος. ὁ δὲ συριακὸς καὶ ὁ ἐν ἰουδαίᾳ γεννώμενος χείριστοι, βαρεῖς, πυκνοὶ, δολούμενοι

δολούμενοι τιθυμάλῳ, καὶ ὀροβίνῳ ἀλεύρῳ. Δύναμιν δὲ ἔχει ὁ ὀπὸς ληφθεὶς σὺν μελικράτῳ, ἢ ὕδατι πλῆθος < ἢ τετρωβόλου, καθαίρειν κάτω χολὴν καὶ φλέγμα. εἰς δὲ τὸ λῦσαι τὴν κοιλίαν ἀρκέσουσιν ὀβολοὶ β΄. μετὰ σησάμου ἢ τινὸς ἄλλου σπέρματος λαμβανόμενοι. δίδοται καὶ πρὸς ἐνεργεστέραν κάθαρσιν τοῦ μὲν ὀποῦ τριώβολον, ἐλλεβόρου δὲ μέλανος ὀβολοὶ β΄. καὶ *ἀλόης < α΄. σκευάζονται δὲ καὶ ἅλες καθαρτικοὶ πρὸς κυάθους ς΄. τῶν ἁλῶν ὁλκῶν κ΄. τῆς σκαμμωνίας τοῦ ὀποῦ μιγνυμένου. λαμβάνεται δὲ πρὸς δύναμιν τὸ μὲν τέλειον, τρία κοχλιάρια· μέσον δὲ β΄· τὸ δὲ ἐλάχιστον α΄. καθαίρει δὲ καὶ τῆς ῥίζης < α΄. ἢ β΄. σὺν οἷς εἴρηται. ἔνιοι δὲ ἀφέψοντες αὐτὴν, πίνουσι. συνεψηθεῖσα δὲ ὄξει καὶ λεανθεῖσα μετὰ ἀλεύρου κριθίνου, ἰσχιαδικῶν ἐστι κατάπλασμα. ὁ δὲ ὀπὸς προστιθέμενος ἐν ἐρίῳ τῇ μήτρᾳ, ἔμβρυα φθείρει· διαφορεῖ δὲ καὶ φύματα σὺν μέλιτι ἢ ἐλαίῳ καταχριόμενος· ἑψηθεὶς δὲ ἐν ὄξει καὶ καταχρισθεὶς, λέπρας ἐξάγει· κεφαλαλγίας τε χρονίας ἐστὶν ἐπίβρεγμα σὺν ὄξει καὶ ῥοδίνῳ.

Περὶ Χαμελαίας. Κεφ. ροβ΄.

Χαμελαία, οἱ δὲ πυρὸς ἄχνη ἢ ἄκνηστος, οἱ δὲ κόκκος κνίδειος·

grauia, denſa, erui farina, & tithymalo vitiata. Succꝰ drachmæ vnius aut quaternûm obolorum pondere hauſtus, ex aqua pura vel mulſa, per inferna bilem & pituitam extrahit. Ad reſoluendam aluum binos obolos cum ſeſama, alióve ſemine, ſumpſiſſe ſatis eſt. Dantur efficacioris purgatiõis cauſa, ſucci tres oboli, cum duobus veratri nigri & aloës drachma vna. Fiunt purgatorij ſales, drachmis viginti ſucci ſcãmoniæ, in ſenos ſalis cyathos adiectis. Horum modus proportione virium: integer quidem, tria cochlearia: medius, duo: minimus, vnum. Radicis drachmæ vna aut altera purgat, cum iis quæ retulimus. Nonnulli decoctum radicis ebibunt. Coquitur in aceto, & cum ordeacea farina teritur, cataplaſmate iſchiadicis vtili. Partus enecat ſuccus, vuluæ in lana ſubditus: tubercula diſcutit cum melle aut oleo illitus: decocto in aceto perunctę lepræ abiguntur: diuturni capitis dolores ex aceto & roſaceo perfunduntur.

Chamelæa. Cap. CLXXII.

Chamelæa ſurculoſa fruti-

cat, ramis dodrantalibus: folia oleæ ſimilitudinem habent, tenuiora & amara, quæ guſtata linguam mordent, & arteriam deradunt. Detrahit pituitam bilémque, foliis preſertim in catapotio deuoratis: nãque duæ abſinthij partes, adiecta chamelææ vna, hydromelite excipiuntur, & in catapotia coguntur: ea autem in vẽtre non liqueſcunt: ſiquidem quotquot fuere deuorata, regeruntur. Foliis cum melle tritis ſordida vlcera & cruſtoſa repurgantur.

Thymelæa. Cap. CLXXIII.

THYMELÆA eſt, qua granum gnidium, quod eſt ſemen ipſius, colligitur. Hoc Syri apolinum vocant, quoniam ſatiui lini frutex ſuapte natura ſimilitudinem referat. Virgas ædit perpulchras, multas, tenues, binûm cubitorum altitudine: foliis chamelææ, anguſtioribus, & pinguioribus, viſcoſis, gummoſisq; ſi mordeãtur: flore candido: fructu myrti in modum rotundo, qui inter initia viret, & tãdem rubeſcit: inuolucrum fructus durũ, foris nigrum intus album. Hoc per inferna bilem, pituitam,

aquasq;

κλῶνας μὲν ἔχει σπιθαμιαίους, ὁ δὲ θάμνος φρυγανώδης· φύλλα ἔχει ἐλαίᾳ παραπλήσια, λεπτότερα δὲ καὶ πυκνὰ, καὶ πικρὰ, δάκνοντα τὴν γεῦσιν, καὶ χαράττοντα τὴν ἀρτηρίαν. Ταύτης τὰ φύλλα κάτω καθαίρει φλέγμα καὶ χολὴν, μάλιστα ἐν καταποτίῳ λαμβανόμενα. μιγνυμένου διπλασίονος ἀψινθίου πρὸς ἓν μέρος τῆς χαμελαίας ἀναλαμβανέσθω δὲ ὕδατι ἢ μέλιτι εἰς καταπότιον· ἔστι δὲ ἄτηκτα. δι αχωρεῖται γὰρ ὅσα λαμβάνεται. ἀναλαμβανόμενα λεῖα τὰ φύλλα μετὰ μέλιτος ἀνακαθαίρει τὰ ῥυπαρὰ ἕλκη καὶ ἐσχαρωμένα.

Περὶ Θυμελαίας. Κεφ. ρογ΄.

Θυμελαία, οἱ δὲ χαμελαίαν, οἱ δὲ πυρὸς ἄχνην, ἢ κέστρον ἢ κνέωρον καλοῦσιν, ἐκ ταύτης ὁ κνίδειος κόκκος καρπὸς ὢν συλλέγεται. ὃν* ἐυβοεῖς μὲν αἰτώλιον καλοῦσιν, οἱ δὲ λίνον, διὰ τὸ εἶναι τῷ σπαρτῷ λίνῳ θάμνον τῇ φύσει παρόμοιον. ῥάβδους δὲ ἀνίησι καλὰς καὶ πολλὰς ὅσον διπήχεις· τὰ δὲ φύλλα χαμελαίᾳ ὅμοια, πλὴν στενώτερα καὶ λιπαρώτερα ὑπόγλισχρα ἐν τῷ διαμασᾶσθαι καὶ κολλώδη· ἄνθη λευκά· καὶ μεταξὺ αὐτῶν ὁ καρπὸς, ὡς μύρτον μικρὸς, στρογγύλος, ἐν ἀρχῇ μὲν χλωρὸς, αὖθις δὲ ἐρυθρός· τὸ δὲ περικάρπιον σκληρὸν καὶ μέλαν, τὸ δ' ἐντὸς λευκόν. Ὁ περ καθαίρει κάτω χολὴν καὶ φλέγμα

καὶ

καὶ ὕδωρ, ὅσον κ΄. κόκκων τὸ ἐντὸς ποθέν· καίει δὲ τὴν φάρυγγα. διὸ μετὰ ἀλεύρου ἢ ἀλφίτου δοτέον, ἢ ἐν ῥαγὶ σταφυλῆς ἢ μέλιτι ἑφθῷ περιειλημμένον καταπιεῖν. συγχρίειν δὲ καὶ τοὺς δυσιδρῶς λεῖον μετὰ νίτρου καὶ ὄξους. τὰ δὲ φύλλα ἅπερ ἰδίως καλεῖται κνέωρον, συλλέγειν δεῖ περὶ τὸν πυραμητὸν, καὶ ἀποτίθεσθαι ξηράναντας ἐν σκιᾷ. διδόντας δὲ δεῖ κόπτειν καὶ ἀφαιρεῖν τὰς ἐν αὐτοῖς ἶνας. καθαίρει δὲ ἐμπλασσόμενον ὅσον ὀξυβάφου πλῆθος μετὰ κράματος ἄγον ὑδατώδη· μετριωτέραν δὲ ποιεῖ τὴν κάθαρσιν μιχθὲν ἑφθῇ φακῇ καὶ λαχάνοις τριπτοῖς. ἀποτίθεται δὲ λεῖα ἀναληφθέντα ὄμφακος χυλῷ εἰς ἀρτίσκους. ἔστι δὲ κακοστόμαχος ἡ βοτάνη· προστεθεῖσα δὲ ἔμβρυα κτείνει. φύεται ἐν ὀρεινοῖς καὶ τραχέσι τόποις. Πλανῶνται δὲ νομίζοντες τὸν κνίδειον κόκκον, τῆς χαμελαίας εἶναι καρπὸν, ἀπατώμενοι διὰ τὸ τῶν φύλλων ὁμοειδές.

Περὶ Ἀκτῆς. Κεφ. ροδ΄.

Ἀκτὴ διττή ἐστιν· ἡ μὲν γάρ τις ἐστὶ δενδρώδης, κλάδους καλαμοειδεῖς ἔχουσα, στρογγύλους, ὑποκοίλους, ὑπολεύκους, εὐμήκεις· τὰ φύλλα γ΄ ἢ δ΄. ἐκ διαστημάτων περὶ τὴν ῥάβδον, καρύᾳ βασιλικῇ ὅμοια, βαρύοσμά τε καὶ *τμητικώτερα· ἐπ᾽ ἄκρων δὲ τῶν κλάδων

ἢ τῶν

aquaſq; detrahit, ſi viginti granorum pars interna bibatur: verùm fauces adurit. Itaq; cum farina aut polenta, aut in vuæ acino dari debet, aut melle cocto obductum deuorari. Qui ægrè deſudant, trito ſemine cũ nitro & aceto, inunguntur. Folia, quæ peculiariter cneorum appellantur, per meſſes colligi debent, & ſiccata in vmbra recondi. Quibus dare libeat, anteà tundere, & neruos eximere conuenit. Illitum acetabuli modo cũ diluta vini potione, aquã extrahit: mediocrius purgat, addita lente cocta, aut cõtritis oleribus. Thymelææ farina vuæ acerbæ ſucco excipit, & in paſtillos diuiditur. Herba ſtomacho infeſta, partus impoſita necat. Naſcitur in mõtibus & aſperis. Hallucinãtur, q coccon gnidium fructũ eſſe chamelææ exiſtimãt, decepti quadam foliorum ſimilitudine.

Sãbucus. Cap. CLXXIIII.

Sãbuci duo genera: vnũ in arborẽ aſſurgit, ſurculos ſpargẽs arũdinaceos, teretes, cauos, cãdicãtes, ꝓceros: folia iuglandis, terna quaternáve, ex interuallis circa ramos exeunt, grauia odore, minutim in ãbitu ſecta: & in ramulorum cacuminib⁹,

cauliculiſq́; circinatæ vmbellæ, quæ florem candidum pariunt, mox acinum terebintho ſimilem, in nigredine ſuppurpureum, racemoſum, ſucco madentem, vinoſumq́;.

Chamæacte. Cap.LXXV.

Alterum genus, Chamæacte vocatur, Romanis ebulum longè humilius eſt, magíſque herbaceo generi aſsignãdum, caule quadrangulo, geniculato: foliis amygdalæ, ex interuallo longioribus, geniculatim expanſis, pinnatíſque, graueolentibus, in ambitu ſerratis: muſcario ſambuci: flore & acino eiuſdem: radice nititur longa, craſsitudine digitali. Eadem vtriusque vis, & vſus exiccans, aluo detrahens aquam, ſtomacho inutilis. Folia, olerum more coquuntur, ad pituitam bilémque detrahendam. Caules teneri in patinis cocti, eadem efficiunt. Radix in vino decocta, & in cibis data, hydropicos adiuuat: prodeſt viperarum morſibus, eodem pota modo: vuluas emollit inſidentium decocto, patefacit earum ſpiracula, & vitia corrigit. Acini in vino poti eodem fungũtur munere: denigrant capillos illiti.

Folia

ἢ τῶν καυλῶν, σκιάδια περιφερῆ, ἔχοντα ἄνθη λευκά· καρπὸν δὲ ἐοικότα *τερμίνθῳ ἐν τῷ μέλανι ὑποπόρφυρον, βοτρυώδη, πολύχυλον, οἰνώδη.

Περὶ Χαμαιάκτης. Κεφ. ροέ.

Τὸ δὲ ἕτερον αὐτῆς χαμαιάκτη καλεῖται· αὕτη χαμαιπετὴς οὖσα ἐλάσσων ἐστὶ καὶ βοτανωδεστέρα, καυλὸν ἔχουσα τετράγωνον καὶ πολυγόνατον· τὰ δὲ φύλλα ἐκ διαστημάτων περὶ ἕκαστον γόνυ τεταρσωμένα, ὅμοια ἀμυγδαλῇ, κεχαραγμένα δὲ κύκλῳ καὶ μακρότερα, βαρύοσμα· σκιάδιον δὲ ἐπ᾽ ἄκρου ὅμοιον τῇ περὶ αὐτοῦ ἔχουσα, καὶ ἄνθος καὶ καρπόν· ῥίζα δ᾽ ὕπεστι μακρὰ, δακτύλου πάχος. Δύναμις δὲ ἡ αὐτὴ ἀμφοτέραις καὶ χρῆσις, ξηραντική, *ὑδραγωγὸς, κακοστόμαχος μέν τοι· ἑψόμενα δὲ τὰ φύλλα ὡς λάχανα, καθαίρει φλέγμα καὶ χολήν. καὶ οἱ καυλοὶ δὲ ἁπαλοὶ ἐν λοπάδι ἑφθέντες τὰ αὐτὰ ποιοῦσιν. ἡ ῥίζα δὲ αὐτῆς ἀφεψηθεῖσα σὺν οἴνῳ καὶ διδομένη παρὰ τὴν δίαιταν, ὑδρωπικοὺς ὠφελεῖ· βοηθεῖ καὶ ἐχιοδήκτοις ὁμοίως πινομένη· ἀφεψηθεῖσα δὲ μεθ᾽ ὕδατος, ἐγκάθισμα. μαλάσσει ὑστέραν καὶ ἀναστομοῖ, καὶ διορθοῦται τὰς περὶ αὐτῆς διαθέσεις. καὶ ὁ καρπὸς δὲ σὺν οἴνῳ ποθεὶς, τὰ αὐτὰ ποιεῖ· μελαίνει δὲ καὶ τρίχας ἐγχριόμενος·

τὰ

τὰ δὲ φύλλα πρόσφατα καὶ ἁπαλὰ, φλεγμονὰς πραΰνει μετ' ἀλφίτων καταπλαττόμενα· καὶ κατακαύμασιν ἁρμόζει καὶ κυνοδήκτοις καταπλασσόμενα· κολλᾷ δὲ ὑποφορὰς, καὶ ποδαγρικοῖς βοηθεῖ, μετὰ στέατος ταυρείου ἢ τραγείου καταπλασσόμενα.

Περὶ πυκνοκόμου. Κεφ. ροϛ΄.

Πυκνόκομον φύλλα ἔχει ὅμοια εὐζώμῳ, τραχέα δὲ καὶ παχέα καὶ δριμύτερα· καυλὸν τετράγωνον· ἄνθος δὲ τῷ τοῦ ὠκίμου ἐμφερές· καρπὸν δὲ, ὡς * πρασίου· ῥίζαν μέλαιναν, στρογγύλην, ὠχρὰν, ὡς μικρὸν μῆλον, γεώδες ὄζουσαν· φύεται ἐν πετρώδεσι τόποις. Δύναμιν δὲ ἔχει ὁ καρπὸς ποθεὶς ὅσον < ά πλῆθος, ταραχώδη καὶ δεινὰ ἐνύπνια ποιεῖν· διαφορεῖ δὲ καὶ οἰδήματα ἐπιπλαττόμενος σὺν ἀλφίτῳ, καὶ ἀκίδας καὶ σκόλοπας ἐξάγει. καὶ τὰ φύλλα δὲ καταπλαττόμενα, φύματα καὶ δοθιῆνας διαφορεῖ. ἡ δὲ ῥίζα αὐτοῦ λυτικὴ κοιλίας καὶ κινητικὴ χολῆς, δίδοται < β΄. ἐν μελικράτῳ.

Περὶ Ἀπίου. Κεφ. ροζ΄.

Ἄπιος, οἱ δὲ, ἰσχιάδα, οἱ δὲ, χαμαιβάλανος, ὀρφνὴ ἢ ἀγρία, οἱ δὲ, λινόζωστις, κλωνία δύο ἢ τρία ἀπὸ γῆς ἀνίησι, σχοινώδη, λεπτὰ, ἐρυθρὰ μικρὸν ὑπὲρ τῆς γῆς αἴροντα· φύλλα πηγάνῳ ἐοικότα, ἐπιμηκέστερα μέντοι καὶ στενώτερα, χλωρά·

καρπὸς

Folia, ſi prætenera ac mollia ex polenta illinantur, inflãmationem mitigant: ambuſtis & canis morſib⁹ illitu ꝓſunt: vlcera quæ dehiſcunt in fiſtulã, agglutinant: iis qui podagra tentantur, cum ſeuo taurino aut hircino proſunt illita folia.

Picnocomũ. Ca. CLXXVI.

Picnocomon conſtat erucæ foliis, acrioribus, ſcabris, & craſſis: caule quadrangulo: flore ocymi: ſemine marubij: radice nigra, aut pallida, rotunda, exigui mali figura, terram redoléte: inuenitur in ſaxoſis locis. Semen grauia ſomnia & tumultuoſa facit, drachmæ inſtar potum: tumores diſcutit, illitum cum polenta & ſpicula, adactóſque corpori aculeos, extrahit. Folia illitu tubercula, panóſq; diſcutiũt. Radix eius in qua mulſa duûm drachmarum pondere, aluum ſoluit, & bilem extrahit.

Apios. Cap. CLXXVII.

APIOS RAMVLOS duos, ſiue tres iunceos ſpargit, rubros, tenues, qui à terra parum attolluntur: foliis rutæ, oblongioribus tamen, & anguſtioribus, herbaceis:

ſemine paruo, radice haſtulæ regiæ, in formam pyri turbinata, rotundiore tamen, ſucci fœcunda, intus habet corpus candidum, extra cortices nigros. Superior pars eius vomitione bilem pituitáſque extrahit: inferior, per aluum: tota vtrinque purgationes mouet. Succum ſi libet eximere, tuſa radix in fictili mergitur, & agitata aqua, quod ſupernatat pēna ſelectū, exiccat. Purgat vtraque parte is ſuccus, ſeſquiobolo pot⁹.

Colocynthis. Cap. LXXVIII.

Colocynthis ſarmenta foliáque ſatiui cucumeris emittit, per terram repentia, diuiſa, fructum in ſpeciem mediocris pilæ conglomeratum vehementer amarum: quem legere oportet, cum cœperit in pallidum colorem permutari. Medulla fructus purgatoriam vim habet, ſi quatuor oboli cum aqua mulſa, melle cocto, myrrha & nitro excipiātur, & cogātur in catapotium. Arefactæ pilæ teruntur, & infuſæ clyſteribus proſunt neruorum reſolutioni, coxendicum dolorib⁹, & coli vitiis, vt quæ bilem, pituitam & ſtrigmenta, interdum

καρπὸς μικρός. ῥίζα* ἀσφοδέλῳ παραπλήσια καὶ πρὸς τὸ τῆς ἀπίου σχῆμα, στρογγυλωτέρα δὲ, μεστὴ ὀποῦ. φλοιὸν ἔχουσα ἔξωθεν μέλανα, ἔνδοθεν δὲ λευκόν. Ταύτης τὸ μὲν ἔνδοθεν μέρος τῆς ῥίζης ληφθὲν, δι' ἐμέτων ἄγει χολὴν καὶ φλέγμα· τὸ δὲ πρὸς τῇ ῥίζῃ κάτω καθαίρει· ὅλη δὲ ληφθεῖσα, ἀμφοτέρας τὰς καθάρσεις κινεῖ. ὀπίσαι δὲ βουληθεὶς, κόπτε τὰς ῥίζας, καὶ βαλὼν εἰς κρατῆρα ὕδατος συντάρασσε, καὶ τὸ ἐφιστάμενον ὀπὸν πτερῷ ἀναλέγων ξήραινε. τούτου τρία ἡμιωβόλια ποθέντα, ἄνω καὶ κάτω καθαίρει.

Περὶ κολοκυνθίδος. Κεφ. ροή.

Κολοκυνθὶς, οἱ δὲ, κολόκυνθα αἰγὸς, οἱ δὲ, σικύαν πικρὰν, οἱ δὲ, κολόκυνθα ἀλεξανδρίνη, κλημάτια καὶ φύλλα ἐστρωμένα ἐπὶ τῆς γῆς ἀνίησιν, ὅμοια τοῖς τοῦ ἡμέρου σικύου, ἐπεσχισμένα· καρπὸν δὲ περιφερῆ, ὅμοιον σφαίρᾳ μέσῃ, πικρὸν ἰσχυρῶς· ὃν δεῖ συνάγειν ἀρχόμενον μεταβάλλειν ἐπὶ τὸ ὠχρότερον. Δύναμιν δὲ ἔχει ἡ μὲν ἐντεριώνη τοῦ καρποῦ καθαρτικὴν, τετρωβόλου πλῆθος μετὰ ὑδρομέλιτος λαμβανομένη σὺν νίτρῳ καὶ σμύρνῃ καὶ μέλιτι ἑφθῷ εἰς καταπότιον. αὗται δὲ αἱ σφαῖραι ξηραὶ λεῖαι, ὠφελίμως μίγνυνται κλύσμασιν ἐπὶ ἰσχιαδικῶν, καὶ παραλυτικῶν, καὶ κωλικῶν, ἄγουσαι φλέγμα καὶ χολὴν καὶ ξύσμα,

ἔσθ'

ἔσθ᾽ ὅτε δὲ καὶ αἱματῶδες· ἔμβρυά τε φθείρει προστιθέμεναι· ὀδονταλγίας τε διάκλυσμα, ἐάν τις ἐγκαθάρας αὐτὴν καὶ περιπλάσας πηλῷ, ἐναποζέσας τε ἐν ὄξει καὶ νίτρῳ, δῶ διακλύζεσθαι· εἰ δέ τις ἐναφεψήσας μελίκρατον ἢ καὶ γλυκὺ καὶ ἐξαιθριάσας δῶ πιεῖν, καθαίρει πάχος καὶ ξύσμα· ἔστι δὲ κακοστόμαχος λίαν· προστίθεται δὲ καὶ βάλανος ἐξ αὐτῆς, πρὸς κομιδὴν τῶν περιττωμάτων. καὶ χλωρᾶς δὲ αὐτῆς ὁ χυλὸς, ἐπὶ ἰσχιαδικῶν ἀνατριβόμενος ἁρμόζει.

Περὶ Ἐπιθύμου. Κεφ. ροθʹ.

Ἐπίθυμον θύμου ἐστὶν ἄνθος τοῦ σκληροτέρου καὶ θύμβρᾳ ἐοικότος, ἔχει δὲ κεφάλια λεπτὰ, κοῦφα, οὐραγοὺς ἔχοντα ὡς τρίχας. Πινόμενον δὲ σὺν μέλιτι, κάτω καθαίρει φλέγμα καὶ χολὴν μέλαιναν. ἰδίως ἁρμόζον ἐπὶ μελαγχολικῶν καὶ ἐμπνευματουμένων, ὀξυβάφου πλῆθος πρὸς ὁλκὴν < δʹ. σὺν μέλιτι καὶ ἁλσὶ καὶ ὀλίγῳ ὄξει. γεννᾶται δὲ πλεῖστον ἐν Καππαδοκίᾳ καὶ Παμφυλίᾳ.

Περὶ Ἀλύπου. Κεφ. ρπʹ.

Ἄλυπον φρυγανῶδής ἐστι πόα, ὑπέρυθρος, *λεπτόκαρφος, λεπτόφυλλος· ἄνθους μαλακοῦ καὶ κούφου μεστή, ὡς ῥίζα τεύτλου λεπτή. μεστὴ ὀποῦ δριμέος· σπέρμα ὡς ἐπιθύμου. γεννᾶται δὲ ἐν τόποις παραθαλασσίοις,

interdum etiam cruorẽ eliciãt: fœtus admotę enecant: dentiũ dolorem tollit, ſi vna repurgetur & luto oblita cũ aceto & nitro inferueſcat, hócque iure decocti dentes colluantur: ſi aqua mulſa aut paſſum in eadem incoquatur, & ſub diuo refrigeſcat, potu craſſum humorem & ſtrigmenta alui detrahet: ſtomacho ſupra modũ aduerſatur: ſubdita ex ea balano alui excreméta eiiciuntur. Virétis ſucco vtiliſsimè iſchiadici perfricantur.

Epithymũ. Cap. CLXXIX.

Epithymon, flos eſt è thymo duriore, ſatureię ſimili: capitula habet tenuia, & leuia, & in eis caudiculas, quaſi capillaméta. Potum cum melle detrahit pituitam bilémq; atram, per inferna. Priuatim prodeſt meláncholicis, & inflatis, acetabuli mẽſura, ad quatuor drachmas, cũ melle, ſale, & aceti exiguo. Plurimum in Cappadocia & Pamphylia gignitur.

Alypum. Cap. CLXXX.

Alypon ſurculoſa herba eſt, ſubrubra: gracilibus ramulis: tenuibus foliis: flore molli, leui, & copioſo: radice betæ, tenui, referta acri ſucco: ſemine epithymi: gignitur in maritimis,

timis, maximè Libyæ, quanquam alibi quoque plurima prouenit. Semen atram bilem deiicit, ſi menſura epitymo pari cum ſale & aceto ſumatur: verùm interanea leuiter exulcerat.

θαλασσίοις, μάλιστα τοῖς τῆς Λιβύης τόποις πλεῖστον, καὶ ἄλλοις δὲ χωρίοις πλείστη. Καθαίρει δὲ τὸ σπέρμα μέλαιναν χολὴν κάτω λαμβανόμενον τὸ ἴσον πλῆθος μετ' ἁλῶν τῷ ἐπιθύμῳ καὶ ὄξει· τὰ δὲ ἔντερα ἐλαφρῶς ἑλκοῖ.

Empetrum ſeu calcifraga. Cap. CLXXXI.

Empetron aliqui phacoides vocant, naſcitur in montibus, & maritimis, ſalſo guſtu: ſed quo propius terreno fuerit, amarius ſentitur. Trahit bilem, pituitam, & aquã ſi bibatur in iure aliquo, aut hydromelite.

Περὶ Ἐμπέτρου. Κεφ. ρπά.

Ἔμπετρον, οἱ δὲ, φακοειδὲς, ἐν παραλίοις καὶ ὀρεινοῖς φύεται, ἁλυκὸν τῇ γεύσει· τὸ δὲ προσγειότερον, πικρότερον. διδόμενον δὲ ἐν ζωμῷ ἢ ὑδρομέλιτι, καθαίρει φλέγμα καὶ χολὴν καὶ ὑδατώδη.

Clematis. Cap. CLXXXII.

Clematis viticuloſum emittit ramulum, rubeſcenté. Lentum, folium guſtu admodum acre ac exulcerans, repit per arbores, vt ſmilax, ſemen tritum, pituitam bilémque detrahit, in aqua, aut hydromelite potum. folia eius illita lepras purgant, cum lepidio conditur ad cibos.

Περὶ Κληματίτιδος. Κεφ. ρπϐ.

*Κληματῖτις κλῆμα ἀνίησιν ὑπέρυθρον, λυγῶδες, φύλλον δριμὺ, λίαν γευομένῳ καὶ ἑλκωτικόν· περιελίττεται δὲ τοῖς δένδροις ὡς σμίλαξ. Ταύτης ὁ καρπὸς λεῖος μεθ' ὕδατος ἢ ὑδρομέλιτος ποθεὶς, ἄγει κάτω φλέγμα καὶ χολήν. τὰ δὲ φύλλα καταπλασθέντα, λέπρας ἀφίστησι. ταριχεύεται δὲ μετὰ τοῦ λεπιδίου εἰς βρῶσιν.

Vitis ſylueſtris. Cap. CLXXXIII.

Vitis ſylueſtris ſarmenta vitis modo prælonga emittit, aſpera, lignoſa, rimoſo cortice foliis hortenſis ſolani, longioribus ac latioribus: muſcoſo flore, & capillaceo: fructu exiguis

Περὶ Ἀμπέλου ἀγρίας. Κεφ. ρπγ.

*Ἄμπελος ἀγρία κλήματα ἀνίησι μακρὰ, ὡς ἀμπέλου, ξυλώδη, τραχέα, φλοιορραγοῦντα, φύλλα δὲ ὅμοια στρύχνῳ κηπαίῳ, πλατύτερα δὲ καὶ μακρότερα· ἄνθος ὡς θρίχας βρυώδεις· καρπὸν δὲ βο

δὲ βοτρυδίοις μικροῖς ὅμοιον, πεπαινόμενον ἐρυθρόν· σφαιροειδὲς δέ ἐστι τὸ σχῆμα τῶν κόκκων. Ταύτης ἡ ῥίζα ἀποζεσθεῖσα ἐν οἴνῳ καὶ μεθ' ὕδατος πινομένη τεθαλασσωμένων κυάθων β'. ὑδατώδεις καθαίρει· δίδοται δὲ καὶ ὑδρωπικοῖς. οἱ δὲ βότρυες ἐφήλεις ἀποκαθαίρουσι καὶ πάντα σπίλον. ταριχεύονται δὲ καὶ οἱ ταύτης ἀκρέμονες ἀρτιφυεῖς εἰς βρῶσιν.

exiguis vuis ſimilis, poſt maturitatem rubente: rotunda eſt acinorũ facies. Feruefacta radix in aqua, & in cyathis duobꝰ vini aqua marina diluti, pota, humorem alui ciet: ideò hydropicis datur. Vuæ eius, vitia cutis in facie, & maculas omneis expurgant. Enaſcentes viticulæ, cibi gratia ſale condiuntur.

Περὶ ἀμπέλου λευκῆς. Κεφ. ρπδ'.

Ἄμπελος λευκή, ἣ δὲ βρυωνίαν, οἱ δὲ ὀφιοστάφυλον, οἱ δὲ χελιδόνιον, ἢ μήλωθρον, ἢ ψίλωθρον, ἢ ἀρχέζωστιν, ἢ ἄγρωστιν, ἢ κέδρωστιν καλοῦσι. ταύτης τὰ κλήματα καὶ τὰ φύλλα καὶ οἱ ἕλικες, ὅμοια τῇ ἡμέρῳ ἀμπέλῳ, δασύτερα δὲ πάντα, καὶ ἐμπλέκεται τοῖς παρακειμένοις θάμνοις ἐλλαμβανομένη τοῖς ἕλιξι· καρπὸν δὲ ἔχει βοτρυοειδῆ, πυρρόν, ᾧ ψιλοῦνται τὰ δέρματα. ταύτης οἱ ἀσπάραγοι κατὰ τὴν πρώτην ἐκβλάστησιν ἑφθοὶ ἐσθίονται οὔρησιν καὶ κοιλίαν κινοῦντες. Δύναμιν δὲ ἔχει τὰ φύλλα καὶ ὁ καρπὸς καὶ ἡ ῥίζα δριμεῖαν· ὅθεν ἐπὶ τῶν χειρωνίων καὶ γαγγραινικῶν καὶ φαγεδαινικῶν καὶ σαπρῶν κνημῶν ἑλκῶν μεθ' ἁλὸς καταπλασσόμενα ποιεῖ. ἡ δὲ ῥίζα χρῶτα ῥύπτει καὶ τετανοῖ καὶ ἔφηλιν ἀποκαθαίρει ἰόνθους, φακοὺς, οὐλὰς μελαίνας σὺν ὀρόβῳ καὶ γῇ χίᾳ καὶ τήλει καταχρισθεῖσα δὲ μετ'

Vitis alba. Cap. CLXXXIIII.

Vitem albam aliqui bryoniam vocant. Foliis viticulis, pampiniſque, ſatiuam vitem imitatur, ſed hirſutiora ſunt omnia: ea quos prope ſe nacta ſit frutices, ſuis clauiculis complectitur: fructus rubens in vua dependet, quo coria pilis ſpoliantur. Ex ea aſparagi, qui prima germinatione exeunt, decocti in cibo, aluum & vrinam cient. Folia, fructus, radix, acrem vim ſortiuntur: itaque vlcerum phagedænis, gangrænis, chironiis, putrentium tibiarum tædio, efficaciter ex ſale illinuntur. Radix corpus abſtergit, & cutem erugat: vitia cutis in facie, varóſque, lentigines, & cicatrices nigras emendat, cum eruo, creta Chia, & fœnogręco. Eodem effectu prodeſt decocta in

in oleo, vſque dum liqueſcat: ſugillata tollit, & reduuias cõmittit: inflammationes diſcutit illita ex vino: ſuppurationes rumpit: medicamento aptè immiſcetur, quod carnem exeſt: infracta oſſa extrahit, trita & impoſita. Datur comitialibus in potu drachmę pondere, quotidie, anno toto. Prodeſt attonitis, & vertigine laborantibus, conſimiliter aſſumpta. Contra viperarum ictus pota drachmis duabus, auxiliatur: partus necat: mentem interdũ ſubturbat: fœminarũ locis appoſita, partus ſecundáſq; morantes trahit: cit vrinam pota. Eclegma ex ea fit cum melle, difficile ſpirantibus ſtrangulatu oppreſsis, tuſsiẽtibus, vulſis, ruptis, & laterũ doloribus. Lienem ternis obolis pota ex aceto, triginta diebus, conſumit: illinitur ad eadem cum fico. Ad muliebres inſeſſus decoquitur: ſiquidem vuluas purgat, ſed abortum facit. Succus è radice vere exprimitur, qui trahit pituitam, cum aqua mulſa potus. Ad pſoras & lepras, ſemen efficaciter illinitur. Lactis abundantiam facit ſuccus eius, ſi cum tritico decocto ſorbeatur.

Vitis

μετ' ἐλαίου μέχρι τακερωθῇ, πρὸς τὰ αὐτὰ ἁρμόζει· αἴρει δὲ καὶ ὑπώπια, καὶ πτερύγια τὰ ἐν δακτύλοις συστέλλει· σὺν δὲ οἴνῳ καταπλασσομένη, διαφορεῖ φλεγμονάς· καὶ ἀποστήματα ῥήσσει· ἀνάγει δὲ καὶ ὀστᾶ, λεῖα καταπλασσομένη. σηπτικοῖς τε μίγνυται ἐπιτηδείως· πίνεται δὲ καὶ πρὸς ἐπιληψίας ὁλκὴ α΄. καθ' ἡμέραν πρὸς ἐνιαυτόν. ὠφελεῖ ἀποπλήκτοις καὶ σκοτωματικοὺς ὁμοίως λαμβανομένη. δυοῖν δὲ ὁλκῶν ποθεῖσα, ἐχιοδήκτοις βοηθεῖ, καὶ ἔμβρυα φθείρει· παρατρέπει δ' ἐνίοτε τὴν διάνοιαν· καὶ οὖρα κινεῖ πινομένη, καὶ προστεθεῖσα ὑστέρᾳ ἔμβρυα καὶ δεύτερα ἐπισπᾶται. καὶ ἔκλεικτον δὲ μετὰ μέλιτος δι' αὐτῆς τοῖς πνιγομένοις, καὶ δυσπνοοῦσι, καὶ βήσσουσι· πλευρᾶς τε ἀλγοῦσι καὶ ῥήγμασι, καὶ σπάσμασι δίδοται. καὶ σπλῆνα τήκει τριωβόλου ὁλκὴ ποθεῖσα σὺν ὄξει ἐπὶ ἡμέρας λ΄. καὶ καταπλάσσεται δὲ μετὰ σύκου πρὸς τὰ αὐτὰ χρησίμως. ἀφέψεται δὲ καὶ εἰς ἐγκάθισμα· καθαρτικὸν ὑστέρας ὄν, καὶ ἐκβόλιον. χυλίζεται δὲ ἡ ῥίζα αὐτῆς ἔαρος· πίνεται δὲ σὺν μελικράτῳ ὁ χυλὸς πρὸς τὰ αὐτὰ ἄγων φλέγμα. ὁ δὲ καρπὸς ποιεῖ πρὸς ψώρας καὶ λέπρας συγχριόμενος καὶ καταπλασσόμενος. κατασπᾷ δὲ καὶ γάλα ὁ καρπὸς αὐτῆς χυλισθεὶς καὶ μετὰ πυρῶν ἑψημένων ῥοφηθείς.

Περὶ Ἀμπέ.

Περὶ Ἀμπέλου μελαίνης. Κεφ. ρπε΄.

Ἄμπελος μέλαινα, οἱ δὲ βρυωνία μέλαινα, οἱ δὲ χειρώνιον ἄμπελον, φύλλα ἔχει κισσῷ ὅμοια, μᾶλλον δὲ πρὸς τὰ τῆς σμίλακος· καὶ οἱ καυλοὶ, μείζονα δὲ * ταῦτα· ἐλλαμβάνεται δὲ καὶ αὕτη τῶν δένδρων τοῖς ἕλιξι· καρπὸς βοτρυώδης, χλωρὸς κατ' ἀρχὴν, πεπανθεὶς δὲ μέλας γίνεται· ῥίζα μέλαινα ἔξωθεν, ἔνδοθεν δὲ πυξοειδής. Καὶ ταύτης οἱ καυλοὶ κατὰ τὴν πρώτην ἐκβλάστησιν λαχανεύονται· εἰσὶ δὲ καὶ οὐρητικοὶ καὶ καταμηνίων ἀγωγοὶ, τηκτικοὶ σπληνὸς, ἐπιληπτικοῖς, καὶ σκοτωματικοῖς, καὶ παραλυτικοῖς ἁρμόζουσιν· ἔχει δὲ ἡ ῥίζα δύναμιν ὁμοίαν τῇ λευκῇ πρὸς τὰ αὐτὰ ἁρμόζουσαν, ἧττον μέντοι ἐνεργεῖ. ποιεῖ δὲ πρὸς τοὺς τῶν ὑποζυγίων λόφους ἐπειδὰν ἑλκωθῶσι τὰ φύλλα σὺν οἴνῳ καταπλασσόμενα· καὶ πρὸς στρέμματα ὁμοίως ἐπιτίθενται.

Vitis nigra. Cap. CLXXXV.

Nigra vitis. quam aliqui nigram bryoniam vocant, folia fert hederæ, ſmilaceis proxima, ſed maiora: caules etiam cognatos, capreolis ſuis arbores, quaſi adminicula, comprehendit: fructus racematim cohærent, qui inter principia virent, & poſt maturitatem nigreſcunt: radix foris nigra, intus buxeo colore. Viticulæ quæ primo germinum partu erumpunt, in olera recipiuntur: menſes pellunt, vrinas cient, lienem abſumunt, vertiginoſis, comitialibus, neruorum reſolutione tentatis, proſunt. Radix eadem, quæ vitis alba præſtat, ſed inefficacius. Folia cum vino exulceratis iumentorum ceruicibus commodiſsimè illinuntur: luxatis itidem imponuntur.

Περὶ Πτέρειδος. Κεφ. ρπς΄.

Πτέρις, οἱ δὲ, βλῆχνον, οἱ δὲ, πολύρριζον καλοῦσι, φύλλα ἐστὶν ἄκαυλα, καὶ ἀνανθῆ, καὶ ἄκαρπα ἐξ ἑνὸς μόσχου, περὶ πῆχυν τὸ μέγεθος, ἐντετμημένα καὶ ἀνηπλωμένα ὡς πτέρυξ, ὑποδυσώδη· ῥίζαν δὲ ἔχει ἐπιπόλαιον, μέλαιναν, ὑπομήκη, ἐκφύσεις ἔχουσαν πολλὰς, ὑπο-

Filix. Cap. CLXXXVI.

Filici folia ſine caule, ſine fructu, ſine flore, ex vno pediculo, cubitali lõgitudine exeunt multifida, & lateribus pẽnata, ſubgraui odore: radice per ſumma ceſpitũ nigra, oblonga, filices multas fundente, ſubaſtria

ſubaſtringẽte guſtu: naſcitur in mõtibus, & ſaxoſis. Radix latas tineas excutit, ſumpta drachmis quatuor ex aqua mulſa: melius ſi cum ſcammoniæ aut veratri nigri totidem obolis detur: ſed qui ſumunt, allia præguſtare debent. Laborantes lienis incremento recreat. Radix & potu & illitu cum axungia vulneribus ſagitta arundinea factis, eſt auxilio: cuius rei probatio talis fertur: Peribit filix, quam per ambitũ ſata copioſior arũdo coronet: & contrà, euaneſcẽs abibit arundo, quam obſepiens multa filix in orbem cinxerit.

Filix fœmina.
Cap. CLXXXVII.

Filix fœmina foliis eſt filicis, ſurculoſis, altioribusq́;, & quæ non ſingulari, vt illa, pediculo fulciantur: radicibus lõgis, pluribus, obliquis, quę ex nigro in luteũ flaueſcunt: aliquæ etiamnum rubræ inueniuntur. Pellunt lata interaneorum animalia, cum melle, eclegmate ſumpto: potæ cũ vino, drachmis tribus, teretes tineas eiiciunt: datæ fœminis, ſterilitatem faciunt, & prægnantibus abortum, ſi ſupergrediantur. Farina humidis vlceribus & cica-

ὑποστυφούσας τῇ γεύσει· φύεται ἐν ὀρεινοῖς καὶ πετρώδεσι τόποις. Ταύτης ἡ ῥίζα ἕλμινθα πλατεῖαν ἐκτινάσσει < δ΄. ἐλκὴ μετὰ μελικράτου λαμβανομένη· βέλτιον δὲ εἰ μετὰ σκαμμωνίας ἢ ἐλλεβόρου μέλανος ὀβολῶν τεττάρων δοίη τίς. δεῖ δὲ προσκοροδοφαγεῖν τοὺς λαμβάνοντας. ποιεῖ δὲ καὶ πρὸς ἀποκατάστασιν σπληνιῶσι. καὶ μετὰ ἀξουγγίου δὲ ἡ ῥίζα ποθεῖσα καὶ καταπλασθεῖσα, ποιεῖ πρὸς τοὺς ὑπὸ καλάμου πληγέντας· ἡ δὲ δοκιμὴ τοιαύτη. ἔνθα ἐστὶ πολὺς κάλαμος καὶ πολὺ βλάχνον, στεφάνωσον. ἀφανίζεται τὸ βλάχνον.

Περὶ Θηλυπτερίδος.
Κεφ. ρπζ΄.

Θηλυπτερὶς, οἱ δὲ νυμφαίαν πτέριν ὀνομάζουσι, τὰ μὲν φύλλα πτέρει δὴ ὅμοια, οὐ μονόμοσχα δὲ ὡς τὰ ἐκείνης, ἀλλὰ πολλὰς ἔχοντα ἀποφύσεις καὶ ὑψηλοτέρας· ῥίζαι δὲ ὕπεισι μακραὶ, πλαγίαι, πλείους, ὑπόξανθοι ἐν τῷ μέλανι· τινὲς δὲ ἐρυθραί. Καὶ αὗται δὲ σὺν μέλιτι ἐν ἐκλεικτῷ λαμβανόμεναι, πλατεῖαν ἕλμινθα ἐκβάλλουσι. σὺν οἴνῳ δὲ πινόμεναι, < γ΄ πλῆθος στρογγύλην ἐκτινάσσουσιν ἕλμινθα· γυναιξὶ δὲ δοθεῖσαι, ἀσυλληψίαν ποιοῦσι, κἂν ἔγκυος δὲ διαβῇ ἐκτιτρώσκει. ξηραὶ δὲ ἐπὶ τῶν δυσαλθῶν καὶ καθύγρων ἑλκῶν ἐπι-

ἐπιπλάσσονται· λόφοις τε ὑποζυγίων ἰῶνται. τὰ δὲ φύλλα αὐτῆς ἀρτίβλαστα λαχανεύεται ἑφθὰ βιβρωσκόμενα, καὶ κοιλίαν μαλάσσουσιν.

Περὶ Πολυποδίου. Κεφ. ρπη'.

Πολυπόδιον φύεται ἐν πέτραις βρύα ἐχούσαις καὶ ἐν τοῖς ἀγρίοις πρέμνοις τοῖς ἐπὶ τῶν δρυῶν, σπιθαμῆς ἔχουσα τὸ ὕψος, ὅμοιον τῇ πτέριδι, ὑπόδασυ, τετμημένον, οὐ μὴν οὕτω λεπτομερῶς· ῥίζα δ' ὕπεστι δασεῖα, πλεκτάνας ὡσπερεὶ πολύπους ἔχουσα, πάχος μικροῦ δακτύλου, ξυσθεῖσα δὲ ἔνδοθεν, χλωρά, στρυφνή, τῇ δὲ γεύσει ὑπόγλυκυς. Δύναμιν ἔχουσα καθαρτικήν· δίδοται δὲ συγκαθεψομένη ὄρνιθι, ἢ ἰχθύσιν, ἢ σεύτλῳ, ἢ μαλάχῃ πρὸς κάθαρσιν. ξηρὰ δὲ ἐπιπασσομένη ἐν μελικράτῳ, ἄγει φλέγμα καὶ χολήν. ποιεῖ καὶ πρὸς στρέμματα ἡ ῥίζα λεία καταπλασσομένη, καὶ πρὸς ῥαγάδας τὰς ἐν μεσοδακτύλοις.

Περὶ δρυοπτερίδος. Κεφ. ρπθ'.

Δρυοπτερὶς φύεται κατὰ τὰ βρυώδη μέρη τῶν παλαιῶν δρυῶν, ὁμοία πτέριδι ἐλάττων δὲ πολλῷ τῇ σχίσει· ῥίζας δὲ ἔχει κατ' ἐπιπλοκὴν δασείας, στρυφνὰς κατὰ τὴν γεῦσιν, ἐν τῷ γλυκεῖ ῥεπούσας· Αὕτη ἐπιπλασθεῖσα λεία σὺν ταῖς ῥίζαις, τρίχας ψιλοῖ· δεῖ δὲ ἀποψᾶν τό-

πρότερον

cicatrici repugnãtibus inſpargitur:iumentorũ ceruibus medetur. Folia recentia, in oleribus cocta manduntur,vt ventrem emolliant.

Filicula,ſiue polypodiũ. Cap. CLXXXVIII.

Filicula naſcitur in muſcoſis petris, & vetuſtis arborũ caudicibus, præſertim quercuum, palmi altitudine, filici ſimilis, ſubhirſuta, non tenui perinde diuiſura: radix piloſa, in qua continentur cirri, ceu polyporum, craſſitudine digiti minimi, coloris intus herbacei, auſtera aliquantum, & guſtu ſubdulcis.purgandi vim habet: coquitur cum gallina, aut piſcibus, aut beta, aut malua, ad aluum ſoluendam. Aridæ farina aquæ mulſæ inſparſa, detrahit bilem & pituitam: trita luxatis efficaciter illinitur, & aduerſus rimas quæ inter digitos fiunt.

Dryopteris. Ca. CLXXXIX.

Dryopteris naſcitur in veterum roborum muſco, filici ſimilis, multo minore foliorum inciſura: radicibus inuicẽ implexis, hirſutis, guſtu acerbis, in dulcedinem vergentibus. Pſilothrum eſt cum radicibus trita: illinitur enim primum

mum

mum vſque dum ſudorem euocet, mox ſudor abluitur, & recens imponitur.

Cnicus. Cap. CXC.

Cnicus foliis conſtat oblongis, per ambitũ diuiſis, aſperis, ſpinoſis: caule ſeſquipedali: capitulo magnitudine grãdis oliuæ: flore croci: ſemine candido, alioqui rufo, lõgo, anguloſo. Huius flore in obſoniis vtũtur. Seminis tuſi & expreſſi ſuccus, cũ aqua mulſa, vel iure gallinacei aluũ purgat, ſed ſtomacho aduerſatur. Ex eo autẽ fiũt offulę, quas placentulas vocãt, adiectis ſucco amygdalis, nitro, aniſo, & melle decocto, quæ aluũ emolliunt. Hæ in partes quatuor ſinduntur, quæ nucis iuglandis magnitudinẽ impleant: è quibus ante cœnam duas vel tres ſumpſiſſe ſatis eſt. Ratio temperãdi hæc eſt: Cnici candidi ſextarius, amygdalorum toſtorum & delibratorum cyathi tres, aniſi ſextarius vnus, aphronitri drachma vna, cum carnibus triginta caricarum. Seminis ſuccus lac cogit, & magis ipſum reſoluẽdæ alui facultate donat.

Mercurialis. Cap. CXCI.

Lynozoſtis, aliqui partheniõ, alij hermûbotanion appellãt: foliis

πρόσφατον μετὰ τὸ ἱκμάσαι τὸν χρῶτα καὶ νεαρὸν ἐπιπλάσσειν.

Περὶ κνίκου.

Κεφ. ϙς΄.

Κνίκος φύλλα ἔχει ἐπιμήκη, ἐντετμημένα, τραχέα, ἀκανθώδη· καυλοὺς δὲ πηχυαίους ἐφ' ὧν κεφαλὴν κατὰ μέγεθος ἐλαίας· ἄνθος κρόκῳ ὅμοιον· σπέρμα λευκὸν καὶ πυῤῥὸν, ἐπιμήκες, γεγωνιωμένον. Τούτῳ τῷ ἄνθει χρῶνται εἰς τὰ προσοψήματα. τὸ σπέρμα κοπτόμενον καὶ χυλιζόμενον σὺν ὑδρομέλιτι ἢ ζωμῷ ὄρνιθος, κοιλίαν καθαίρει, κακοστόμαχον δέ ἐστι. γίνεται δὲ καὶ κοπτάρια κοιλίας μαλακτικὰ, τοῦ ὀποῦ αὐτοῦ μιγέντος ἀμυγδάλῳ καὶ νίτρῳ, καὶ ἀνίσῳ, καὶ μέλιτι ἑφθῷ. δεῖ δὲ πρὸ δείπνου λαμβάνειν εἰς δ΄. διελόντα, ὡς βασιλικοῦ καρύου μέγεθος β΄. ἢ γ΄. σκευάζειν δὲ τὸν τρόπον τοῦτον δεῖ. κνίκου λευκοῦ ξέστην α΄.* θασίων πεφωγμένων καὶ λελεπισμένων κυάθους τρεῖς ἀνήσου ξέστην ἕνα, ἀφρονίτρου < α΄. ἰσχάδων τῆς σαρκὸς ἀριθμῷ λ΄. πήσσει δὲ καὶ γάλα ὁ χυλὸς τοῦ σπέρματος, καὶ λυτικώτερον ποιεῖ.

Περὶ Λινοζώστεως.

Κεφ. ρϛα΄.

Λινόζωστις, οἱ δὲ παρθένιον, οἱ δὲ ἑρμοῦ βοτάνιον καλοῦσι· ἔχει

ἔχει τὰ φύλλα ὅμοια ὠκίμῳ, πρὸς τὰ τῆς ἑλξίνης, ἐλάττονα δέ· κλωνία διγόνατα, μασχάλας πολλὰς, πυκνὰς ἔχοντα· τὸν δὲ καρπὸν, ἡ μὲν θήλεια βοτρυοειδῆ καὶ πολὺν· ὁ δὲ ἄῤῥην, πρὸς τοῖς πετάλοις μικρὸν, στρογγύλον ὥσπερ ὀρχίδια κατὰ δύο προσκείμενα· ὅλος δὲ ὁ θαμνίσκος σπιθαμιαῖος ἢ καὶ μείζων. Κινοῦσι δ' ἀμφότεραι κοιλίαν λαχανευόμεναι καὶ ἐσθιόμεναι· καθεψόμεναι δὲ ἐν ὕδατι καὶ πινομένου τοῦ ὕδατος, ἄγουσι χολὴν καὶ ὑδατώδη. Δοκεῖ δὲ τὰ μὲν τῆς θηλείας φύλλα λεῖα πινόμενα καὶ προστιθέμενα μετὰ τὴν κάθαρσιν τοῖς αἰδοίοις, σύλληψιν θήλεως ποιεῖσθαι, τὰ δὲ τοῦ ἄῤῥενος ὁμοίως ἐπιτηδευθέντα ἀῤῥενογόνα γίνεσθαι.

Περὶ Κυνοκράμβης.
Κεφ. ρϛϐ'.

Κυνία ἡ κυνοκράμβη, οἱ δὲ, λινόζωστις ἀγρία ἄῤῥην, καυλίον ἀνίησι διασπιθαμιαῖον, τρυφερὸν, ὑπόλευκον· φύλλα ἐμφερῆ λινοζώστιδι ἢ κισσῷ, ὑπόλευκα ἐκ διαστημάτων· τὸν δὲ καρπὸν πρὸς τοῖς πετάλοις προσκείμενον μικρὸν, στρογγύλον. Δύναμιν δὲ ἔχει ὅ, τε καυλοὺς καὶ τὰ φύλλα πινόμενα, κοιλίας κινητικήν. λαχανευόμενα. καθεψομένων δὲ, τὸ ὕδωρ ἄγει χολὴν καὶ ὑδατώδη.

Περὶ Ἡλιο-

foliis conſtat ocymi, helxinæ cognatis, ſed minoribus: ramulis duplici geniculorum nodo cinctis, alarũ cauis multis: fructu fœminæ, copioſo, quandam racemorum ſpeciem prębente: mari, è foliorum ſinu dependente, paruo, rotundo, ceu binis teſticulis vnà cohærentibus: frutice dodrãtali aut maiore. Vtraque in oleribus manditur, ad aluum ciendam: cocta in aqua, epoto iure, bilem aquámque detrahit. Conſtat vt mares gignantur, hunc facere: vt fœminæ, illam, ſi à purgatione bibantur, & trita folia genitalibus admoueantur.

Cynocrambe.
Cap. CXCII.

CYNIA aut cynocrambe, cauliculum binûm dodrantum altitudine emittit, mollem, ſubalbidum: folia mercuriali aut hederæ ſimilia, certis interſtitiis ſubalbida: ſemen foliis adhæret, paruum, rotundum. Folia cum caulibus pota, aluum cient: oleribus commendantur. Ius decocti & pituitam & bilem aquámq; detrahit.

Heliotropium magnum. Cap. CXCIII.

Heliotropio magno flos eſt effigie ſcorpionis caudæ, vnde ſcorpiuro ei nomen: & quoniam folia cum ſole circumagat, heliotropion dicitur. Folia ocymi habet, hirſutiora, candidiora, & maiora: ramuli à radice terni, quaterni, aut ſæpe quini exiliunt, multis alis concaui: flos in cacumine candidus, aut ſubfuluus incuruatur vt ſcorpionis cauda: radix tenuis eſt, & inutilis: naſcitur in aſperis. Decoctum herbæ ex aqua, faſciculo manus plenæ, potu pituitam bilémque per aluum extrahit: contra ſcorpionum ictus ex vino potum, & illitũ prodeſt: adalligatur ad conceptus arcendos. Aiunt per horam vnam ante acceſsiones, ſeminis grana quatuor cũ vino quartanas finire: tria verò, tertianas. Illitum ſemen formicantes verrucas penſiléſque, & thymos, & epinyctidas exiccat. Folia infantium deſtillationibus, quas ſyriaſeis vocant, podagris, luxatiſque vtiliſsimè illinuntur: menſes cient: partus trita & impoſita pellunt.

Heliotro-

Περὶ Ἡλιοτροπίου τοῦ μεγάλου. Κεφ. ϱϟγ΄.

Ἡλιοτρόπιον τὸ μέγα, ὃ ἔνιοι ἐκάλεσαν σκορπίουρον ἀπὸ τοῦ παρὰ τὸ ἄνθος σχήματος, ἡλιοτρόπιον δὲ ἀπὸ τοῦ συμπεριτρέπεσθαι τὰ φύλλα τῇ τοῦ ἡλίου κλίσει. ἔχει δὲ τὰ φύλλα ὠκίμῳ παραπλήσια, δασύτερα δὲ καὶ * μελάντερα, καὶ μείζονα· κλωνία ἀπὸ τῆς ῥίζης ὅσον γ΄. ἢ δ΄. ἢ ε΄. καὶ ἐκ τούτων μασχάλας πλείοις· ἐπ' ἄκρων δὲ ἄνθος λευκὸν, ὑπόπυῤῥον, ἐπικαμπὲς, καθάπερ σκορπίου οὐρά· ῥίζα δὲ λεπτὴ, καὶ ἄχρηστος· φύεται ἐν τραχέσι τόποις. Τούτου ὅσον δέσμη ἀφεψηθεῖσα μεθ' ὕδατος καὶ ποθεῖσα, ἄγει φλέγμα καὶ χολὴν κατὰ κοιλίας· ἁρμόζει δὲ καὶ σκορπιοπλήκτοις μετὰ οἴνου πινομένη καὶ καταπλασσομένη· πρὸς ἀτόκιον δὲ περιάπτεται. φασὶ δὲ πρὸ μιᾶς ὥρας τῆς ἐπισημασίας, τοῦ καρποῦ δ΄. κόκκοις μετ' οἴνου ποθέντας, τεταρταίους καταπαύειν· τριταίους δὲ τρεῖς. καταπλασσόμενος δὲ ὁ καρπὸς, μυρμηκίας καὶ ἀκροχορδόνας καὶ θύμους καὶ ἐπινυκτίδας ξηραίνει. τὰ δὲ φύλλα ποδάγραις καὶ στρέμμασι καὶ σειριῶσι παιδίοις ἐπιπλάττεται ὠφελίμως· κινεῖ δὲ καὶ ἔμμηνα. καὶ ἔμβρυα ἄγει λεῖα προστεθέντα.

Περὶ

Περὶ Ἡλιοτροπίου τοῦ μικροῦ. Κεφ. ρϟδ΄.

Ἡλιοτρόπιον τὸ μικρὸν φύεται ἐν τελματώδεσι τόποις καὶ παρὰ λίμναις, ἔχον φύλλα παραπλήσια τῷ προειρημένῳ, στρογγυλώτερα δέ· καρπὸν στρογγύλον ἀποκρεμάμενον ὡς ἀκροχορδόνας. Δύναται δὲ ἡ πόα μετὰ τοῦ καρποῦ πινομένη σὺν νίτρῳ καὶ ὑσσώπῳ καὶ καρδάμῳ καὶ ὕδατι, ἕλμινθα πλατεῖαν καὶ στρογγύλην ἐκτινάσσειν· αἴρει δὲ καὶ ἀκροχορδόνας σὺν ἁλσὶ καταπλασσομένη.

Περὶ Σκορπιοειδοῦς. Κεφ. ρϟε΄.

Σκορπιοειδὲς βοτάνιον φύλλα ἔχον ὀλίγα καὶ σπέρματα, οὐραῖς σκορπίου ἐμφερῆ. βοηθεῖ δὲ καταπλασσόμενα σκορπιοπλήκτοις ἄκρως.

ΤΕΛΟΣ ΤΟΥ ΒΙΒΛΙΟΥ ΤΕΤΑΡΤΟΥ.

Heliotropium paruum. Cap. CXCIIII.

Heliotropion paruum, naſcitur in paluſtribus, iuxta lacus, foliis antedicto proximis, rotundioribus: ſemine, acrochordonum verrucarum modo, penſili, rotundo. Herba cum ſuo ſemine pota, adiecto nitro, hyſſopo, naſturtio, & aqua, latas tineas tereteſq; excutit. Penſiles verrucas, quæ acrochordones vocãtur, cum ſale illita tollit.

Scorpioides. Cap. CXCV.

Scorpioides herbula eſt, foliis paucis, ſemine caudæ ſcorpionis effigie. Illita ſcorpionum ictibus præſentaneo eſt auxilio.

QVARTI LIBRI FINIS.

PEDANII DIOSCORIDIS Anazarbei de medicinali materia Liber quintus.

Io. Ruellio Sueßionēſi interprete.

SVPERIORIBUS quatuor libris, amiciſsime Aree, tradidimus de aromatibus, oleis, vnguentis, & earundem lachrymis ac fructibus: item animalibus, melle, lacte, adipe, cerealibus, oleribus, necnō de omni radicum, herbarum, ſuccorum, ſeminumq́ue ratione. In hoc autem totius operis quinto diſſeremus de vinis & metallicis, à vite noſtram commentationem auſpicati.

Vitis vinifera. Cap. I.

Folia vitium & triti capreoli, capitis dolores illitu mitigāt, & inflammationem ſtomachi ardorémque, cum polenta: folia etiam per ſe, vt quæ refrigerent & adſtringant, imponi ſolent. Potus eorū ſuccus dyſentericis, ſanguinē excreantibus, ſtoma-

ΠΕΔΑΚΙΟΥ ΔΙΟΣΚΟΡΙΔΟΥ ΑΝΑΖΑΡΒΕΩΣ ΠΕΡΙ ΥΛΗΣ ΙΑΤΡΙΚΗΣ ΒΙΒΛΙΟΝ ΠΕΜΠΤΟΝ.

ΑΠΟΔΟΝΤΕΣ ἐν τοῖς προγραφεῖσι τέτρασι βιβλίοις φίλτατε ἄρειε τὸν περὶ ἀρωμάτων καὶ ἐλαίων καὶ μύρων καὶ δένδρων, καὶ τῶν ἐξ αὐτῶν καρπῶν τὲ καὶ δακρύων· ἔτι τὲ ζώων καὶ μέλιτος καὶ γάλακτος καὶ στεάτων καὶ τῶν καλουμένων σιτηρῶν καὶ λαχάνων. καὶ τὸν σύμπαντα περὶ ῥιζῶν καὶ βοτανῶν καὶ χυλισμάτων, καὶ σπερμάτων λόγον. ἐν τούτῳ τελευταίῳ ὑπάρχοντι τῆς ὅλης πραγματείας. διαλεξόμεθα περὶ οἴνων καὶ τῶν καλουμένων μεταλλικῶν ἀρξάμενοι ἀπὸ τῆς περὶ ἀμπέλου παραδόσεως.

Περὶ Ἀμπέλου οἰνοφόρου. Κεφ. ά.

Ἀμπέλου οἰνοφόρου τὰ φύλλα καὶ αἱ ἕλικες λεῖαι καταπλασσόμεναι κεφαλαλγίας πραΰνουσι, φλεγμονὴν τοῦ στομάχου καὶ καῦσον σὺν ἀλφίτῳ· καὶ καθ' ἑαυτὰ ἐπιτιθέμενα τὰ φύλλα ψυκτικὰ καὶ στυπτικὰ ὄντα. καὶ ὁ ἐξ αὐτῶν δὲ χυλὸς ποθεὶς ὠφελεῖ δυσεντερικοὺς καὶ αἱμοπτοϊκοὺς

καὶ

καὶ στομαχικοῖς καὶ κισσώσαις. ἀποβραχεῖσαι δὲ καὶ αἱ ἕλικες ἐν ὕδατι καὶ ποθεῖσαι, τὰ αὐτὰ ποιοῦσι. τὸ δὲ δάκρυον αὐτῆς ὅμοιον ὂν κόμμει, περιπηγνύμενον τοῖς στελέχεσι, λίθους ἐκπυάσει πινόμενον σὺν οἴνῳ· ἰᾶται δὲ καὶ λειχῆνας καὶ ψώρας καὶ λέπρας καταχριόμενον, δεῖ δὲ προεκνιτροῦν τὸν τόπον· σὺν ἐλαίῳ δὲ ἐγχριόμενον συνεχῶς, ψιλοῖ τὰς τρίχας, καὶ μάλιστα ὁ ἀπὸ τῶν χλωρῶν καιομένων κλημάτων ἀφιδρέμενος ἰχώρ· ὃς καὶ μυρμηκίας ἐπιχριόμενος ἐκβάλλει. ἡ δὲ ἐκ τῶν κλημάτων καὶ στεμφύλων τέφρα, τὰ περὶ δακτύλιον ἀφαιρεθέντα κονδυλώματα καὶ θύμια, σὺν ὄξει καταπλασθεῖσα θεραπεύει, καὶ στρέμματα, καὶ ἐχιοδήκτοις ὠφελεῖ, καὶ σπληνὸς φλεγμονὰς σὺν ῥοδίνῳ καὶ πηγάνῳ καὶ ὄξει καταπλασσομένη.

Περὶ Ἀμπέλου ἀγρίας. Κεφ. β΄.

Ἄμπελος ἀγρία διττή, ἡ μὲν γὰρ αὐτῆς οὐ περκάζει τὴν σταφυλήν, ἄχρι δ᾽ ἀνθήσεως ἄγει τὴν λεγομένην οἰνάνθην. ἡ δέ τις τελεσφορεῖ μικρόρραξ οὖσα, καὶ μέλαινα, καὶ στυπτική. Δύναμιν δὲ ἔχει ταύτης τὰ φύλλα καὶ αἱ ἕλικες καὶ οἱ καυλοὶ, ὁμοίως τῇ ἡμέρῳ.

Περὶ Σταφυλῆς. Κεφ. γ΄.

Σταφυλή, ἡ μὲν πρόσφατος πᾶσα ἐκταράσσει κοιλίαν· καὶ ἐμ-

ſtomachicis, & grauidarum malaciæ medetur. Eadem efficiunt madefacti in aqua capreoli & poti. Lachryma vitium, quę veluti gummi in caudicibus concreſcit, ex vino pota calculos pellit: illita lichenas & pſoras lepráſque nitro prius perfrictas ſanat: eadem cũ oleo ſæpius pilis illitis, pſilothri effectum habet: maximéque ſanies, quàm accenſa ſarmenta vitium viridia exudarunt: qua & perunctæ verrucarum informicationes extrahuntur. Cinis ſarmentorum & vinaceorum, detractis in ſede condylomatis, & thymiis, illitus ex aceto medetur: prodeſt luxatis & viperarum morſibus: contra lienis inflammationem illinitur, cum roſaceo & ruta & aceto.

Labruſca. Cap. II.

Labruſca duorum generum eſt: alterius vua non matureſcit, ſed flore tenus œnanthen nominatam perducit. Altera ad frugem peruenit, paruis acinis, nigra, & adſtringens. Folia, caules, & clauiculæ quibus repunt, vim habent cultæ viti ſimilem.

Vua. Cap. III.

Vuæ recentes aluũ turbant, &

& ſtomachum inflant: innocentiores, quæ decerptæ diu pependere, (ideo quòd in eis copia humoris exiccatur) vtileſq; fiũt ſtomacho, ægriſque, atque cibi auiditatem excitãt. In vinaceis & ollis ſeruatæ, ori & ſtomacho gratæ ſunt: aluum ſiſtunt (ſed veſicam & caput tentant) & ſanguinem excreantibus conueniunt. Similesque, quæ in muſto fuere. Sapa aut paſſo conditæ, ſtomachum magis infeſtant. At quæ ſolem prius paſſæ in aqua cœleſti conduntur, minus vinoſæ ſunt, ſiticuloſis, ardentibus & longis febribus ſalubres. Reconditi vinacei inflammatis mammis, rigentibus ac præduris, cum ſale illinuntur: decoctura eorum dyſentericos, cœliacos, & fœminas fluxione vuluæ laborantes iuuat infuſa: ad deſeſſiones, ac fotus aſſumitur. Nuclei acinorũ adſtringendi vim obtinẽt, ſtomacho vtiles ſunt: inſpargitur farina toſtorũ, polentæ modo, dyſentericis, & cœliacis, & ſolutis ſtomacho.

καὶ ἐμπνευματοῖ στόμαχον· ἡ δὲ ἐπὶ χρόνον τινὰ κρεμασθεῖσαι, ὀλίγον μετέχει τούτων (διὰ τὸ πολὺ τῆς ἰκμάδος ἀνεξηράνθαι) εὐστόμαχός τε ἐστὶ καὶ ὀρέξεως ἀνακλητική, καὶ ἐπιτήδειος πρὸς τοὺς ἀσθενοῦντας. αἱ δὲ ἐκ τῶν στεμφύλων καὶ ἐκ τῶν βικῶν, εὔστομοι, εὐστόμαχοι· κοιλίας ἐφεκτικαὶ (κύστεως δὲ καὶ κεφαλῆς ἅπτονται) ἁρμόζουσι δὲ καὶ αἱμοπτοϊκοῖς. ὅμοιαι δέ εἰσι καὶ αἱ εἰς τὸ γλεῦκος ἐμβαλλόμεναι. αἱ δὲ ἐκ τοῦ ἑψήματος καὶ γλυκέοις κακοστομαχώτεραι. συντίθενται δὲ καὶ μετ' ὀμβρίου ὕδατος προσταφιδωθεῖσαι, γίνονται δὲ αἱ τοιαῦται ἐπ' ὀλίγον οἰνώδεις, διψώδεσι δὲ καὶ καυσώδεσι καὶ χρονίοις πυρετοῖς χρήσιμοι. τὸ δὲ στέμφυλον αὐτῶν ἀποτεθὲν, καταπλάττεται μεθ' ἁλῶν πρὸς φλεγμονὰς καὶ σκληρίας καὶ σπαργῶσιν μαστῶν· τὸ δὲ ἀφέψημα τῶν στεμφύλων, δυσεντερικοῖς καὶ κοιλιακοῖς καὶ ῥοϊκαῖς ὠφελεῖ ἐνιέμενον· καὶ εἰς ἐγκαθίσματα καὶ προσκλύσματα λαμβάνεται. τὰ δὲ ἐξ αὐτῶν γίγαρτα στυπτικὰ, εὐστόμαχα· φρυγέντα δὲ καὶ αὐτὶ ἀλφίτου ἐπιπλασσόμενα λεῖα, ἁρμόζει δυσεντερικοῖς, καὶ κοιλιακοῖς καὶ τοῖς τὸν στόμαχον ἀναλελυμένοις.

Vua paſſa alba. Cap. IIII.

Vua paſſa alba adſtringẽtior eſt:

Περὶ Σταφίδος. Κεφ. δ'.

Τῆς δὲ σταφίδος στυπτικωτέρα ἐστὶν ἡ λευκή·

ἡ λευκή· ὠφελεῖ δὲ καὶ ἡ σὰρξ αὐτῶν ἐσθιομένη ἀρτηρίας καὶ βῆχας καὶ νεφροὺς καὶ κύστιν καὶ δυσεντερίαν σὺν τοῖς γιγάρτοις ἐσθιομένη καθ' ἑαυτήν· μιγεῖσα δὲ ἀλεύρῳ κεγχρίνῳ καὶ κριθίνῳ καὶ ᾠῷ, καὶ τηγανισθεῖσα μετὰ μέλιτος καὶ λαμβανομένη, εἴς τε ἀποφλεγματισμοὺς καθ' ἑαυτήν· καὶ σὺν πεπέρει μασσωμένη εὐθετεῖ. διδύμων τε φλεγμονὰς παύει, καταπλασθεῖσα μετὰ ἀλεύρου κυάμου, καὶ κυμίνου. ἐπινυκτίδας δὲ καὶ ἄνθρακας καὶ κηρία καὶ τὰς περὶ ἄρθρα σηπεδόνας καὶ γαγγραίνας, χωρὶς γιγάρτων ἰᾶται λεία σὺν πηγάνῳ ἐπιτιθεμένη· πρὸς τὴν ποδάγραν ἁρμόζει μετὰ τοῦ ὀποπάνακος καταπλασσομένη· καὶ ὄνυχας δὲ θᾶττον ἀφίστησι σαλευθέντας ἐπιπλασθεῖσα.

Περὶ οἰνάνθης. Κεφ. ε.

Οἰνάνθη καλεῖται ὁ τῆς ἀγρίας ἀμπέλου καρπὸς, ὁπότε ἀνθεῖ. ἀποτίθεσθαι δὲ δεῖ εἰς ἀκόνιτον ἀγγεῖον ὀστράκινον, συλλέγοντας καὶ ξηραίνοντας ἐπὶ ὀθονίου, ἐν σκιᾷ. καλλίστη δὲ γίνεται ἐν συρίᾳ καὶ κιλικίᾳ καὶ φοινίκῃ. Δύναμις δὲ αὐτῆς στυπτική. ὅθεν πινομένη εὐστόμαχος καὶ οὐρητική· κοιλίαν ἐφιστῶσα καὶ αἵματος πτύσιν· ξηρὰ δὲ καταπλασθεῖσα, καὶ πρὸς ἀσώδη καὶ ὀξύνοντα στόμαχον ποιεῖ· ἔστι δὲ καὶ κεφαλαλγίαις ἐμ-

eſt: prodeſt eſitata caro earum tuſsi, faucibus, renibus ac veſicæ. Eſtur in dyſenteria per ſe cum nucleis: & decocta in patinis cum melle, admiſta milij ac hordei farina & ouo, valet ad purgandum caput: eiuſdemq; gratia cum pipere commanducatur. Teſtium inflammationes ſedat, illita cum lomento fabarum, aut cumini farina. Fauos, epinyctidas, carbunculos, enatas in articulis putredines, & gangrænas, ſine nucleis trita, & cum ruta impoſita ſanat: podagræ conuenienter cũ panacis ſucco illinuntur: mobiles vngues illita celerius extrahit.

Oenanthe. Cap. V.

Oenanthe vocatur vitis ſylueſtris fructus, cum floret. Recondi debet fictili non picato, collectáque ſubſtrato linteo, in vmbra ſiccatur. Laudatiſsima in Syria & Cilicia & Phœnice. Vis ei adſtrictoria: quare pota ſtomacho ac ciundæ vrinæ vtilis: aluum ſiſtit, ac ſanguinis excreationes: contra faſtidia, & acorem ſtomachi, ſicca & illita efficax eſt: capitis doloribus

 tam

tam viridis, quàm ſicca: ex aceto & roſaceo perfunditur: ſanguolenta vulnera cataplaſmate, & incipientes ægilopas, oris vlcera, & genitalium nomas, trita cum melle, croco, myrrha, & roſaceo, ab inflammatione vindicat: peſsis miſcetur, ad ſiſtendum ſanguinem: contra oculorum delachrymationem, & ſtomachi ardores, cum pollinæ polentæ & vino illinitur. Cinis crematæ in teſta, candentibus prunis, facit ad oculorum medicaméta: reduuias & pterygia, abſcedentes gingiuas, cruentáſque, cum melle ſanat.

Omphacium. Cap. VI.

Omphacion, ſuccus eſt acerbæ vuæ, nondũ matureſcentis, è Thaſia vite aut Aminæa. Oportet auté ante Canis ortum, expreſſam melliginé in rubro ære, linteo coop●rto, inſolare, vſq; dum cogatur, ſemperque quod ceruici vaſis cócretũ hęſit, reliquo humori permiſcere: noctúq; à ſubdialibus locis in lectũ referre: quãdoquidé nocturni rores ipſum cócreſcere non ſinunt. Eligendũ eſt flauũ, friabile, veheméter adſtringés, & linguam mordens. Sunt qui coquendo mellignem cogant.

Prodeſt

ἔμβρεγμα, σὺν ὄξει καὶ ῥοδίνῳ χλωρά τε καὶ ξηρά· κατάπλασμά τε ἐναίμων ἀφλέγμαντον, καὶ ἀρχομένων αἰγιλώπων, καὶ τῶν ἐν στόματι οὔλων, καὶ νομῶν τῶν ἐν αἰδοίοις, σὺν μέλιτι καὶ κρόκῳ καὶ ῥοδίνῳ καὶ σμύρνῃ λεανθεῖσα· εἴς τε πεσσοὺς μίγνυται πρὸς ἐπίσχεσιν αἵματος καὶ ῥεύματα ὀφθαλμῶν καὶ καυσούμενον στόμαχον καταπλάσσεται σὺν παιπάλῃ ἀλφίτου καὶ οἴνου. καυθεῖσα δὲ ἐν ὀστράκου διαπύροις ἄνθραξι, ποιεῖ πρὸς τὰ ὀφθαλμικά· παρωνυχίας τε καὶ πτερύγια καὶ οὖλα ἀφεστῶτα καὶ αἱμασσόμενα σὺν μέλιτι θεραπεύει.

Περὶ Ὀμφακίου. Κεφ. ϛʹ.

Ὀμφάκιον, ἐστι μὲν χυλὸς ὄμφακος θασίας σταφυλῆς μήπω περκαζούσης, ἢ ἀμιναίας. δεῖ δὲ πρὸ κυνὸς ἐκθλίβοντα τὸν χυλὸν ἡλιάζειν ἐν χαλκώματι ἐρυθρῷ ἐσκεπασμένῳ ὀθονίῳ, μέχρις οὗ συστραφῇ ὅλον ἀεὶ τὸ περιπηγνύμενον μίσγοντα τῷ ὑγρῷ· νύκτωρ δὲ αἴρειν αὐτὸ ἀπὸ τοῦ ὑπαιθρείου· κωλύουσι γὰρ αἱ δρόσοι τὴν σύστασιν αὐτῶν. ἐκλέγου δὲ τὸ ξανθὸν, καὶ εὔθρυπτον, στύφον ἱκανῶς καὶ δάκνον τὴν γλῶσσαν. ἔνιοι δὲ ἕψοντες τὸν χυλὸν συστρέφουσιν.

Αρμόζει

Ἁρμόζει δὲ πρὸς παρίσθμια καὶ σταφυλήν· ἄφθας, οὖλα πλαδαρά, ὦτα πυορροοῦντα σὺν μέλιτι ἢ γλυκεῖ· πρὸς δὲ σύριγγας καὶ παλαιὰ ἕλκη καὶ νομὰς σὺν ὄξει. ἐγκλύζεται δὲ ἐπὶ δυσεντερικῶν καὶ ῥοϊκῶν· ἔστι δὲ καὶ ὀξυδερκές, τραχύτησι δὲ ὀφθαλμῶν ἁρμόζει καὶ περιβρώσεσι κανθῶν· πίνεται καὶ πρὸς αἵματος πτύσιν τὴν πρόσφατον καὶ κατὰ ῥῆξιν γινομένην· ὑδαρεῖ δὲ δεῖ χρῆσθαι λίαν καὶ ὀλίγῳ· ἐπικαίει γὰρ ἱκανῶς.*

Prodeſt contra tõſillas, vuam, vlcera oris, humida gingiuarũ vitia, purulẽtas aureis, cũ melle aut paſſo: itẽ ad fiſtulas, vetera vlcera, nomáſq;, ex aceto. Dyſentericis, & mulieribꝰ fluxione vuluæ laborãtibus clyſtere infunditur: oculorum claritati, & ſcabritiæ, & eroſionibꝰ angulorũ cõuenit. Bibitur ad recentẽ ſanguinis excreationẽ, etiã ſi rupta parte aliqua cõtingat, ſed pauco, et aquatiore eſt vtendũ: valde ſiquidẽ exurit.

Περὶ ποιότητος τῶν οἴνων ἐκ τῆς ἡλικίας. Κεφ. ζ'.

Οἶνοι οἱ μὲν παλαιοὶ νεύρων βλαπτικοὶ καὶ τῶν λοιπῶν αἰσθητηρίων, πρὸς δὲ γεῦσιν ἡδίονες· ὅθεν ἐπὶ τῶν ἀσθενές τι μέρος ἐχόντων ἔνδον, παραιτητέον. ἐπὶ μέντοι τῆς ἐν ὑγείᾳ χρήσεως ὀλίγος τε καὶ ὑδαρὴς λαμβάνεται ἀβλαβῶς. ὁ δὲ νέος ἐμπνευματικός, δύσπεπτος, δυσόνειρος, οὐρητικός. ὁ δὲ μέσος τῇ ἡλικίᾳ, ἐκπέφευγε τὰ ἀμφότερα ἐλαττώματα· ὅθεν ἐγκριτέος ἐστὶν ἔν τε ὑγείας καὶ ἀσθενείας χρήσεσιν.

Vini natura. Cap. VII.

VINO vetere nerui lædũtur, & reliqui ſenſus, quod tamen guſtu ſuauius eſt: quare cauendum ijs qui inteſtinæ alicuius partis imbecillitatẽ ſentiunt. Attamen in ſecunda valetudine paucum, aqua dilutũ, innoxiè ſumitur. Nouũ inflat, ægrè coquitur, inſomnia parit grauia, & vrinam ciet. Ætate medium, vtraque vitia fugit: quare ad victus ſanorũ ægrorúmque vſurpatur.

Ἐκ τῆς χρόας. Κεφ. η'.

Ἔτι ὁ μὲν λευκὸς λεπτός τε καὶ εὐανάδοτος καὶ εὐστόμαχος ὑπάρχει. ὁ δὲ μέλας παχὺς καὶ δύσπεπτος· μέθης καὶ σαρκῶν γεννητικός.

Vinũ album. Cap. VIII.

Albũ, tenue, ſtomacho vtile eſt, ac facile in membra diſtribuitur. Nigrum verò, craſſum eſt, & concoctu difficile: carnem alit, & ebrietatem creat.

ὁ δὲ

Giluum,

Giluũ,vtpote quod mediũ eſt, medias inter vtrũque vires habet:in ſecũda tamen & ſiniſtra valetudine,cũ primis laudatᷓ albũ.Quin & vina ſapore diſtãt.

Vinum ſapore differens, & mixtione. Cap. IX.

Siquidem dulce craſsis partibus cõſtat,& difficilius à corpore expirat:ſtomachũ inflat: aluum & interanea, vt muſtũ, turbat:ſed minus inebriat,renibus & veſicæ aptiſsimũ.Auſterum,per vrinam celerius tranſit:ſed capita dolore tentat, & temulẽtiam gignit. Acerbũ,ad ciborum per mẽbra digeſtionem accõmodatiſsimũ:aluum, & cæteras fluxiones cohibet, minúſq; vrinã expellit.nouum neruos minus tentat. Vinum aqua marina factũ, ſtomacho aduerſatur: ſitim ſtimulat,neruos infeſtat,aluo aptum, à valetudine ſe recolligentibus inutile. Paſſũ,quod vuis ſole ſiccatis in area, aut in ſarmento torrefactis exprimitur, Creticũ cognomine,aut pramnion, aut protropon: & ſapa quæ fit muſto igni decocto, Græci ſirion aut hepſema appellãt: nigra quidẽ, & quæ dicũtur mel ãpſithia,craſſa ſunt,& corpora multũ alũt: candidũ,tenui⁹:

&

ὁ δ' ὁ κιῤῥὸς μέσος ὤν, μέσην ἔχει, καὶ τὴν πρὸς ἑκάτερα τούτων δύναμιν· αἱρετώτερος μέν τοι ἔν τε ὑγείᾳ καὶ ἀσθενείᾳ ὁ λευκός. ἔτι καὶ πρὸς τὴν ποιότητα διαφέρουσιν.

Ἐκ τῆς γεύσεως καὶ τῶν μεμιγμένων. Κεφ. θ'.

Ὁ μὲν γὰρ γλυκὺς οἶνος, ἁδρομερής τε ἐστὶ καὶ δυσδιάπνευστος· στομάχου πνευματωτικός. κοιλίας τε καὶ ἐντέρων ταρακτικός, ὥσπερ καὶ τὸ γλεῦκος· ἧττον δὲ μεθύσκει. κύστει δὲ καὶ νεφροῖς εὔθετος. ὁ δὲ αὐστηρὸς οὐρητικώτερος· κεφαλαλγίας τε καὶ μέθης ποιητικός, ὁ δὲ στρυφνὸς εὐθετώτατος πρὸς ἀνάδοσιν σιτίων· κοιλίας τε σταλτικὸς, καὶ τῶν ἄλλων ῥευματισμῶν. ὁ δὲ ἁπαλὸς ἧττον ἅπτεται τοῦ νευρώδους, καὶ ἧττον ἐστὶν οὐρητικός. ὁ δὲ τεθαλασσωμένος, κακοστόμαχος, διψοποιὸς, νεύρων κακωτικὸς, εὐκοίλιος, ἀνεπιτήδειος τοῖς ἐξ ἀσθενείας. ὁ δ' ἐκ τῆς θειλοπεδευθείσης σταφυλῆς ἢ ἐπὶ τῶν κλημάτων ἐπιληθείσης, καὶ τειβομένης γινόμενος, γλυκὺς καλούμενος κρητικὸς ἢ πρότροπος ἢ πράμνιος· καὶ ὁ καθεψομένου τοῦ γλεύκους σείριος, ἢ ἕψημα καλούμενος· ὁ μὲν μέλας, καλούμενος δὲ μελαμψίθιος παχύς ἐστι καὶ πολύτροφος· ὁ δὲ λευκὸς, λεπτότερος.

ὁ δὲ

ὁ δὲ μέσος, μέσην ἔχει καὶ τὴν δύναμιν. στυπτικὸς δὲ πᾶς ὅμως, σφυγμῶν ἀνακτητικός· ποιῶν πρὸς πάντα τὰ θανάσιμα ὅσα κατὰ ἕλκωσιν ἀναιρεῖ. πινόμενος σὺν ἐλαίῳ, καὶ ἐξεμούμενος· καὶ πρὸς μηκώνειον δὲ καὶ φαρικὸν, καὶ τοξικὸν, καὶ κώνειον. καὶ γάλα θρομβωθέν· καὶ πρὸς κύστιν καὶ νεφροὺς ὀδαξουμένους καὶ ἑλκουμένους. εἰσὶ δὲ πνευματικοὶ καὶ κακοστόμαχοι. ἰδίως δὲ ἐπὶ τῶν τὴν κοιλίαν ῥευματιζομένων ἁρμόζει* ὁ μελαμψίθιος. ὁ δὲ λευκὸς μαλακτικὸς κοιλίας τῶν ἄλλων μᾶλλον. ὁ δὲ τὴν γύψον ἔχων κακωτικὸς* τῶν νεύρων, καρηβαρικὸς, πυρώδης, κύστει ἄθετος· πρὸς δὲ τὰ θανάσιμα τῶν ἄλλων εὐθετώτερος. οἱ δὲ πίσσαν ἢ ῥητίνην πιτυΐνην ἔχοντες θερμαντικοὶ, καὶ πεπτικοί· ἄθετοι δὲ τοῖς αἱμοπτοϊκοῖς. οἱ δὲ καλούμενοι ἀπαράχυτοι, ἔχοντες δὲ ἕψημα μεμιγμένον, κεφαλῆς εἰσὶ πληρωτικοὶ, μέθης γεννητικοὶ, δυσδιάπνευστοι, κακοστόμαχοι.

Περὶ Διαφορᾶς ἐκ τῶν τόπων. Κεφ. ι.

Ὁ μὲν οὖν δοκῶν πρωτεύειν τῶν ἐν Ἰταλίᾳ οἴνων φάλερνος δὲ καλούμενος, παλαιωθεὶς ἄγαν εὔπεπτος, σφυγμῶν ἀνακλητικὸς, κοιλίας στεγνωτικὸς, καὶ εὐστόμαχος· κύστει ἄθετος, καὶ ἀμβλυωποῦσι,

καὶ

& heluola iter hęc media, medias ſortiuntur vires. Omnia tamē adſtringunt, & pulſus reuocant: faciunt aduerſus venena, quæ exulcerando necăt, ex oleo pota, & vomitionibꝰ red dita, cōtra cicutas, meconium, pharicon, toxica & cōcretum in grumos lac: item contra renum ac veſicæ pruritus, roſiones, exulcerationéſque. Inflant tamen, & ſtomacho aduerſantur. Priuatim, prodeſt melampſithium, ſi vēter rheumatiſmū ſentiat. Albū, magis cæteris emollit aluum. Gipſo conditum neruis officit, caput aggrauat, & incendit, ac veſicæ aduerſatur: cōtra venena cæteris aptiꝰ. Picata, aut reſinata, excalfaciunt, concoquunt: ſanguinem excreantibus inimica. Quę verò aparachyta vocant, vt quæ admiſtam ſapam recipiunt, caput implent, temulentiam gignunt, ægrius in halitum expirant, ſtomachum malè habent.

Vinū loco differēs. Cap. X.

INTER Italica vina Falernum principem locū obtinet, quod inueteratū perquā facilè coquitur, pulſus exuſcitat, aluum adſtrĭgit, ſtomacho vtile: ſed veſicæ nocet, atque iis qui viſus hebetudinem ſentiunt,

&

& ad potus crebros minimè idoneum. Albana craſsioribus conſtant partibus, dulcia ſtomachum inflant, ventrem emolliunt (ſed concoctionem non æquè adiuuant,) & neruoſa minus, infeſtant: vetuſtate, eadem auſterum ſaporem cõcipiunt. Cecubum cum ſit dulce, eſt & Albano craſsius: corpus & colorem alit: ægrè tamẽ coquitur. Surrentinũ valde auſterum eſt: quare inteſtinorum & ſtomachi fluxiones cohibet, & cum tenue ſit, caput minus tentat: inueteratũ ſuauius redditur, & ſtomacho vtile. Adrianum & Mamertinũ in Sicilia æquè craſsis partibus gignunt: modicè adſtringunt, & ocyſsimè inueterantur, minusq; ob ſuam tenuitatẽ, neruos tẽtant, Parætypianum, quod ex Adriatico ſinu defertur, odoratũ ac tenuius eſt: quare liberaliter epotum fallit, diu ſeruat ebrietatem, & ſoporem adfert. Iſtricum Parætypiano ſimile eſt, ſed vrinam vehementius pelit. Chium tamen antedictis mollius, et aptũ potui eſt: bene alit, & minꝰ inebriat, fluxiões cohibet, oculorũ medicamẽtis vtile. Lesbium facilè mẽbra ſubit, Chio leuius, & aluo idoneũ.

Epheſium

καὶ πρὸς πολυποσίαν ἀνάρμοστος. ὁ δὲ ἀλβανὸς ἁδρομερέστερος τοῦ φαλερίνου ἔγγλυκος· ἐμπνευματοῖ στόμαχον, κοιλίαν τε μαλάττων (πέψει τε οὐχ ὁμοίως συνεργῶν) τοῖς δὲ νευρώδεσιν ἧττον κακωτικός· παλαιωθεὶς δὲ καὶ οὗτος αὐστηρὸς γίνεται. ὁ δὲ καίκουβος γλυκὺς ὤν, ἁδρομερέστερός ἐστι τοῦ ἀλβανοῦ· σαρκῶν τε καὶ εὐχροίας γεννητικός· πέψει δὲ ἄθετος. ὁ δὲ συρεντῖνος αὐστηρὸς ἱκανῶς ἐστιν· ὅθεν ἐντέρων καὶ στομάχου ῥεῦμα ἵστησι, κεφαλῆς τε ἧττον ἅπτεται λεπτομερὴς ὤν· παλαιωθεὶς δὲ εὐστόμαχος καὶ ἡδίων γίνεται. ὁ δὲ ἀδριανὸς καὶ ὁ μαμερτῖνος γεννώμενοι ἐν σικελίᾳ, κατ' ἴσον εἰσὶν ἁδρομερεῖς· μετρίως στύφοντες, καὶ τάχιον παλαιοῦνται, ἧττον τε τοῦ νευρώδους ἅπτονται, διὰ τὸ ἐν αὐτοῖς λεπτόν. *οἱ δὲ πραιτιανὸς καὶ αὐτὸς ἐκ τῶν κατ' ἀδρίαν κομιζόμενος τόπων, εὐώδης καὶ λεπτότερός ἐστιν. οὗ δὲ λανθάνει πολὺς πινόμενος, φυλάττει τε ἐφ' ἱκανὸν τὴν μέθην καὶ καροῖ. ὁ δ' ἰστρικὸς λεγόμενος, ἔοικε τῷ πραιτιανῷ, οὐρητικώτερος ὑπάρχων· ὁ μέντοι χῖος ἁπαλώτερος τῶν προειρημένων, εὔτροφος, πότιμος, ἧττον μεθύσκων, ῥεύματος σταλτικός, χρήσιμος εἰς τὰ ὀφθαλμικά· ὁ δὲ λέσβιος εὐανάδοτος, κουφότερος τοῦ χίου καὶ εὐκοίλιος.

τὴν

τὴν αὐτὴν δὲ τούτῳ κέκτηται δύναμιν, ὁ κατὰ ἔφεσον γινόμενος, καλούμενος δὲ φυγελίτης· ὁ δὲ ἐκ τῆς ἀσίας μεσογείτης ἐκ τοῦ μώλου, κεφαλαλγὴς καὶ νεύρων βλαπτικός. ὁ δὲ κῷος, καὶ κλαζομένιος διὰ τὸ θαλάττης πολλῆς μετέχειν εὔφθαρτος, καὶ ἐμπνευματώδης, κοιλίας τε ταρακτικὸς καὶ νεύρων ἐπιβλαπτικός.

Περὶ δυνάμεως τῶν οἴνων. Κεφ. ια.

Κοινῶς δὲ πᾶς ἀμιγὴς οἶνος καὶ ἀκέραιος, αὐστηρὸς δὲ τὴν φύσιν, θερμαντικὸς, εὐανάδοτος, εὐστόμαχος, ὀρεκτικὸς, θρεπτικὸς, ὑπνοποιὸς, ῥωστικὸς, εὐχροίας παρασκευαστικός. ἱκανῶς δὲ ποθεὶς, βοηθεῖ τοῖς κώνειον, ἢ κόριον, ἢ φαρικὸν, ἢ ἰξίαν, ἢ μηκώνειον, ἢ λιθάργυρον, ἢ σμίλακα, ἢ ἀκόνιτον, ἢ μύκητας εἰληφόσι. πρός τε ἑρπετῶν δηγμοὺς καὶ πληγὰς πάντων, ὅσα πλήξαντα ἢ δακόντα κατὰ ψύξιν ἀναιρεῖ ἢ ἀνατρέπει στόμαχον. ποιεῖ καὶ πρὸς ἐμπνευμάτωσιν χρονίαν καὶ δῆξιν ὑποχονδρίου, καὶ πλατυσμὸν, καὶ λύγγα στομάχου, ἐντέρων τε καὶ κοιλίας ῥευματισμόν. καὶ ἐφιδροῦσι καὶ διαφορουμένοις ἁρμόζουσι, μάλιστα δὲ οἱ λευκοὶ καὶ παλαιοὶ καὶ εὐώδεις. οἱ μέν τοι παλαιοὶ καὶ γλυκεῖς,

καὶ

Epheſium eandem vim habet, quod Phygelites nominatur: verùm Aſianũ è Tmolo mõte, Meſogites appellatum, capitis dolores ciet, & neruos lædit. Coum verò et Clazomenium, quoniã multã ſibi maris aquã vendicant, facilè corrũpuntur: flatus mouent, aluum turbant, neruis officiunt.

Vini facultas. Cap. XI.

Vinum omne (vt reliqua in commune dicãtur) merum ac ſyncerum, & ſua natura auſterum excalfacit, facilè in membra diſtribuitur, ſtomachũ adiuuat appetentiam ciborũ inuitat, vires alit, ac robur auget: ſomnum conciliat, & cõmendat colorem. Potum liberalius auxilio eſt contra aſſũmptã cicutam, coriãdrum, pharicum, ixiam, meconiũ, argẽti ſpumã, taxum, aconita, fungóſve: contra ſerpentiũ morſus, et omniũ ictus quæ refrigerando necãt, aut ſtomachum in vomitiones effundunt. Facit ad lõgas inflationes, roſioneſq; p̃cordiorũ, ac diſtẽtiones, ſtomachi reſolutionẽ, & ſi vẽter aut interanea rheumatiſmũ ſentiant. Cõueniũt ſudatoribus. & quib⁹ corpus immodico ſudore digerit, maximè alba vetera et odora-

ta. Quæ

Quę tamẽ vetuſtate dulceſcũt, renibus ac veſicæ accõmodatiora reddũtur: vulneribus, inflammationibúſque in ſuccida lana imponuntur: tetra vlcera, & phagedænica, & fluxionibꝰ obnoxia, cõmodè perfunduntur. Quæ marinam nõ receperunt, auſtera & alba, ad ſanorum victus vſurpantur. In his præſtãt Italica, Falernum, Surrentinũ, Cecubum, Signinum, & permulta Campaniæ, & Paraetypianũ ab Adriatico ſinu, & Siculũ quod Mamertinum appellatur. Ex Græcis Chium, Lesbium, & Phygelites ex Epheſo. Craſſa verò & nigra, ſtomacho negotium exhibẽt, inflationem pariunt, corpus augent. Tenuia tamen & auſtera ſtomacho proſunt, & minus carnes alunt. Vetera valde tenuia, & candida vehementius vrinam ciunt, & dolores capitis mouent, neruóſque largius pota tentãt. In media ætate, vt à ſeptimo anno, potui ſaluberrima ſunt. Modus autem pro ætate, & tempore anni, & cõſuetudine, & qualitate vini definiatur. Non ſitire, & modicè cibos prolui, optimũ eſt pręceptũ. Nocet ebrietas omnis, & maximè aſſidua: ſiquidem

καὶ πρὸς τὰ περὶ κύστιν καὶ νεφροὺς ἐπιτηδειότεροι· πρός τε τραύματα καὶ φλεγμονὰς σὺν ἐρίοις οἰσυπηροῖς ἐπιτιθέμενοι. καταντλοῦνται δὲ ὠφελίμως πρὸς τὰ θηριώδη καὶ φαγεδαινικὰ καὶ ῥευματιζόμενα ἕλκη. πρὸς δὲ τὴν ἐν ὑγείᾳ χρῆσιν εὔθετοι οἱ ἀθάλασσοι αὐστηροὶ καὶ λευκοί. διαφέρουσι δὲ τούτων οἱ ἰταλικοί. ὡς ὁ φαλερῖνος, συρεντῖνος καὶ κέκουβος, ὅ τε σιγνῖνος καὶ ἄλλοι πολλοὶ οἱ ἀπὸ τῆς καμπανίας, καὶ ὁ πραιτιανὸς ἀπὸ τοῦ *ἀδριανοῦ, καὶ σικελιωτικὸς ὁ μαμερτῖνος καλούμενος. ἑλληνικῶν δὲ χῖος, λέσβιος, φυγελίτης ὁ ἐν ἐφέσῳ γινόμενος. οἱ δὲ παχεῖς καὶ μέλανες κακοστόμαχοι, φυσώδεις, σαρκὸς μέν τοι γεννητικοί. οἱ μέν τοι λεπτοὶ καὶ αὐστηροὶ εὐστόμαχοι, ἧττον δὲ σαρκοποιοί. οὐρητικώτεροι δὲ καὶ κεφαλαλγεῖς οἱ σφόδρα παλαιοὶ καὶ λεπτοὶ καὶ λευκοί, ἅπτονται δὲ τοῦ νευρώδους πλεονασθέντες. οἱ μέσοι δὲ τὴν ἡλικίαν ἄριστοι πρὸς πόσιν. ὡς οἱ ἀπὸ ζ ἐτῶν, ἡ δὲ ποσότης παρὰ τὴν ἡλικίαν καὶ τὴν τοῦ ἔτους ὥραν, καὶ ἔθη καὶ ποιότητα τοῦ οἴνου ὁριζέσθω. καὶ τὸ μὴ διψῆν δὲ ἄριστον ἐστὶ παράγγελμα, καὶ τὸ μετρίως βραχῆναι τὴν τροφήν. μέθη δὲ πᾶσα, καὶ μάλιστα ἡ συνεχὴς ἐπιβλαβής·

τά

πί τε γὰρ νεῦρα πολιορκούμενα καθ' ἑκάστην ἐνδίδωσι καὶ παθῶν ὀξέων ἀρχὰς ἐμποιεῖ καθημέραν ἡ πολυποσία. μετρίως δὲ οἰνοῦσθαι ἐπί τινων ἡμερῶν, καὶ μάλιστα ἐπὶ ὑδροποσίας ὠφέλιμον· μετασυγκρίνει γάρ πως ταῖς τε αἰσθηταῖς ἀνακαθαῖρον ἐκκρίσεις, καὶ ἀδήλως πορροποιοῦν. δεῖ μέντοι γε μετὰ τὴν οἴνωσιν ὕδωρ πίνειν· ἀπὸ θεραπείας γάρ τινος χάριν τῆς συγκειμένης οἰνώσεως, τρόπον ἀπάγει βοηθείας.

Περὶ ὀμφακίτου οἴνου. Κεφ. ιβ'.

Ὁ δὲ καλούμενος ὀμφακίτης σκευάζεται ἰδίως ἐν Λέσβῳ, θηλοπαιδευομένης μήπω κατὰ πάντα πεπείρου τῆς σταφυλῆς οὔσης, ἔτι δὲ ὀξιζούσης, ἐπὶ ἡμέρας γ' ἢ δ'. ἕως ἂν ῥυσσωθῶσιν οἱ βότρυες, καὶ μετὰ τὸ ἐκθλιβῆναι ἡλιάζεται ἐν κεραμίοις οἶνος. Στυπτικὴν δὲ ἔχει τὴν δύναμιν καὶ εὐστόμαχον,* καὶ κοιλιώδεσι καὶ εἰλεώδεσι καὶ τοῖς ἐν ἀπέπτοις καὶ ἐκλελυμένοις τὸν στόμαχον ἁρμόζουσι· δοκεῖ δὲ καὶ λοιμικαῖς διαθέσεσι βοηθεῖν καταρροφούμενος. χρήζουσι δὲ οἱ τοιοῦτοι οἶνοι ἐτῶν πλειόνων, ἄλλως γὰρ οὐκ εἰσὶ πότιμοι.

Περὶ Δευτερίας καὶ ἀδυνάμου. Κεφ. ιγ'.

Ὁ δὲ καλούμενος δευτερίας, ὃν ἔνιοι πότιμον καλοῦσι, σκευάζεται τοῦτον τὸν τρόπον· εἰς τὰ στέμφυλα, ὧν

ſiquidẽ obſeſſos neruos quotidie remittit: largiórq; pot⁹, acutorum morborũ adfert initia. Mediocris tamen vinolentia, aliquot diebus, maximè poſt aquæ potus, vtilis: nanq; modo quodã ex alto euocat, ſenſiléſque expurgat excretus, & per cæca corporis ducit ſpiracula. Sed aquã poſt vinolẽtiã bibere oportet: ſiquidẽ valetudinis alicuius gratia factæ temulentiæ remedium affert frigida.

Omphacites. Cap. XII.

OMPHACITES nomine, peculiariter fit in Lesbo, ſiccata ſole acri vua, paulò ante maturitatẽ decerpta, triduo aut quatriduo, donec racemi in rugas contrahantur, expreſſúmque vinum cadis inſolatur. Vim adſtringendi habet: prodeſt diſſolutis ſtomacho, & ilei dolore laborantibus: item prægnantium malaciæ, & crudis: in peſtilentia quoque ſorptum auxiliari dicitur. Huiuſmodi vina non niſi poſt multos annos bibi poſſunt.

Lora. Cap. XIII.

Lora, quã deuteriã, alij potimõ appellãt, fieri ſolet, adiectis metretis trib⁹ aquæ, ĩ vinacea, quibus

quibꝰ triginta vini metretę extractæ fuerint:calcatis vinaceis,expreſſóq; decocto ad tertias parteis,& additis in ſingulos congios modi eius qui remanſit,binis ſalis ſextariis,poſt hyemem transfunditur in vaſa. Lora intra annum vtẽdum: etenim celeriter exoleſcit.Cõuenit ægris quibꝰ timemus noxam vini,coacti ſæpe deſideriis eorum obtemperare:item à longa valetudine ſe recolligentibus. Fit & vinum quod adynamon vocant, loræ vires habens, hoc modo: Pares aquæ, & muſti menſuræ coquũtur molli igne, donec abſumatur aqua: quod, vbi refrixerit, elutriaton,picato vaſe reconditur. Alij marinæ, & cœleſtis aquæ, mellis & muſti pares miſcent portiones,decapulant, & quadraginta diebꝰ inſolant: quo ad annum vtuntur ad omnia eadem.

Vinum è ſylueſtri vua expreſſum. Cap. XIIII.

VINVM è ſyueſtri vua nigrum adſtringit: prodeſt alui & ſtomachi fluxionibus, & cæteris quibus conſtrictione, & contractione opus eſt.

Vinum

ὧν ἐξέθλιψας οἴνου μετρητὰς λ΄. βάλε ὕδατος μετρητὰς γ΄. καὶ μίξας καὶ πατήσας ἔκθλιψον, καὶ ἀφέψησον εἰς τὸ τρίτον, χοεῖ δὲ ἑκάστῳ τῶν ὑπολειφθέντων μέτρων, μίξον ἁλὸς ξέστας β΄. καὶ μετὰ τὸν χειμῶνα διάχει εἰς κεράμια. χρῶ δὲ αὐτῷ μετ᾽ ἐνιαυτόν· ταχέως γὰρ ἐξίτηλος γίνεται. ἁρμόζει δὲ ἐφ᾽ ὧν διστάζομεν οἶνον διδόναι, ἀναγκαζόμενοι δι᾽ ἐπιθυμίαν τοῦ νοσοῦντος. καὶ ἐπὶ τῶν νόσων ἀναλαμβανόντων χρονίως. Γίνεται δὲ καὶ ἀδύναμος λεγόμενος τὴν αὐτὴν ἔχων τῷ δευτερείῳ δύναμιν. δεῖ δὲ ἴσον μέτρον ὕδατος τῷ τοῦ γλεύκους μίξαντας, ἑψῆσαι πραέως πυρὶ μαλακῷ ἄχρις ἂν ἐξαναλωθῇ τὸ ὕδωρ· καὶ μετὰ τοῦτο ψύξαντας καταγγίζειν εἰς ἀγγεῖον πεπισσωμένον. ἔνιοι δὲ θαλάττης πελαγίος καὶ ὕδατος ὀμβρείου καὶ μέλιτος καὶ γλεύκους ἴσα μίξαντες καὶ καταγγίσαντες, ἡλιάζουσιν ἐπὶ ἡμέρας μ΄. χρῶνται δὲ αὐτῷ πρὸς τὰ αὐτὰ μετ᾽ ἐνιαυτόν.

Περὶ οἴνου ἐκ τῆς ἀγρίας σταφυλῆς. Κεφ. ιδ΄.

Ὁ δὲ, ἐκ τῆς ἀγρίας σταφυλῆς μέλας, στυπτικὸς ὑπάρχων, ἁρμόζει κοιλίᾳ ῥευματιζομένῃ, καὶ στομάχῳ, καὶ πρὸς τὰ ἄλλα ὅσα στύψεως καὶ συστολῆς χρῄζει.

Περὶ Μελι-

Περὶ Μελιτίτου οἴνου. Κεφ. ιέ.

Οἶνος μελιτίτης, δίδοται μὲν ἐν χρονίοις πυρετοῖς ἀσθενῆ στόμαχον ἔχουσιν· ὑπομαλάττει γὰρ τὴν κοιλίαν, οὖρα κινεῖ, στόμαχον ἀποκαθαίρει, ἁρμόζει καὶ ἀρθριτικοῖς, καὶ νεφριτικοῖς, καὶ τοῖς ἀσθενῆ τὴν κεφαλὴν ἔχουσι· χρήσιμος δὲ καὶ γυναιξὶν ὑδροποτούσαις· εὐώδης γάρ ἐστι καὶ θρεπτικός. διαφέρει δὲ τοῦ οἰνομέλιτος, ὅτι ἐκεῖνος μὲν ἐξ αὐστηροῦ οἴνου, καὶ παλαιοῦ καὶ ὀλίγου μέλιτος σκευάζεται. ὁ δὲ μελιτίτης πρὸς ε. χόας αὐστηροῦ γλεύκους, μέλιτος χοῦν ἕνα καὶ ἁλὸς κύαθον ἕνα. σκευάζειν δὲ δεῖ ἐν μεγάλῳ ἀγγείῳ ἵνα τόπον ἔχῃ πρὸς τὸ ὑπερζεῖν παραπάσσοντας τοῦ προειρημένου ἁλὸς κατ' ὀλίγον ἄχρις ἂν ἐκζέσῃ, παυσαμένου δὲ *καταγγίζειν εἰς ἕτερα κεράμια.

Περὶ οἰνομέλιτος, Κε. ις'.

Οἰνόμελι δὲ διαφέρει τὸ ἐκ τοῦ παλαιοῦ οἴνου καὶ αὐστηροῦ καὶ μέλιτος καλοῦ γινόμενον· ἧττον γὰρ πνευματοῖ καὶ ταχέως παρίσταται τὸ τοιοῦτον. ἔστι δὲ τὸ μὲν παλαιὸν θρεπτικόν· τὸ δὲ μέσον εὐκοίλιον, οὐρητικόν· βλάπτει δὲ ἐπὶ τροφῇ ληφθέν· πινόμενον δὲ ἐν ἀρχῇ πληροῖ· ὄρεξιν δὲ μετὰ ταῦτα κινεῖ. σκευάζεται δὲ πρὸς δύο μετρητὰς ὡς ἐπὶ τὸ πολὺ, οἴνου ἑνὸς μετρητοῦ μέλιτος μιγνυμένου. οἱ δὲ, ἵνα τάχιον αὐτὸ παραστήσωσι, συνέψουσι τὸ μέλι τῷ οἴνῳ, καὶ οὕτω καταγγίζουσιν.

ἔνιοι

Vinũ melitites. Cap. XV.

Melitites datur in longis febribus, quæ ſtomachum infirmarunt: nanque aluum leuiter emollit, vrinam ciet, ſtomachũ expurgat. Prodeſt articulario morbo, renum viciis, imbecillo capiti, & mulieribus abſtemis: odoratum ſiquidem eſt, & corpus alit. Diſtat à mulſo qđ fit è vino vetere, auſtero, & melle exiguo. Melitites autem adiecto ad quinq; cõgios auſteri muſti, mellis cõgio, & ſalis cyatho. Cortinis magnis, quo magis ad efferueſcendum locus pateat, fieri oportet, ſenſim aſperſo ſale: cúmque efferuere deſierit, in alia vaſa trãsfunditur.

Mulſum. Cap. XVI.

Mulſum è vetere vino auſteróque, & bono melle factum, præfertur: minus enim inflat, ac celeriter id genus in vſum venit. Vetus, corpus alit: media ætate, aluo prodeſt, vrinã pellit: à ſummo cibo ſumptũ, nocet: & inter initia potum, implet: dein appetendi auiditatem reuocat. Fit mulſum duabus vini metretis, admixta vna mellis. Aliqui, quo celeriꝰ præberi poſsit, mel cum vino coquunt, & ita transfundunt.

Alij vtilitatis gratia, ad ſextarios ſex muſti feruentis, vnum mellis adiiciunt: & vbi ferbuerit vaſe recondunt. Dulce autem permanet.

Aqua mulſa. Cap. XVII.

Aqua mulſa eaſdẽ quas mulſum vires poſſidet. Cruda vtimur, cũ moliri deiectionẽ, aut vomitionẽ incitare volumꝰ, vt iis qui venena hauſerunt, ex oleo. Decocta datur imbecillis, & hominibus elãgueſcẽtis pulſus, quos illi dixere microſphyctos, tuſſiẽtibꝰ, peripneumonicis, & iis q̃ immodico ſudore digerunt̃. Iã paratũ cõditiuũq́;, quod aliqui hydromeli ꝓpriè vocant, media ætate adynamo vino, aut loræ in recreãdis viribus reſpõdet, & ſimilem vim adipiſcitur: quare inflãmationibus alicuius mẽbri plus q̃ lora ꝓdeſt. Inueterati tamẽ vſus dãnatur, inflãmatis, aut cõſtrictis: ſed laborãti ſtomacho, aut cibũ faſtidiẽti, ſudatoribúſve cõuenit. Fit, duabus pluuiæ aquæ veteris ad vnã mellis partẽ additis, & inſolatis. Alij fontanam aquam adiiciunt, & ad tertias parteis decoquũt, & ita recõdunt. Nec deſunt q̃ hydromeli appellẽt, ꝙ à melle elutis aqua fauis confici ac ſeruari ſoleat: ſed

ἔνιοι δὲ διὰ λυσιτέλειαν, γλεύκους ζέοντος ξέστας ϛ΄. πρὸς ξέστας α΄. μέλιτος μιγνύντες μετὰ τὸ ἀποζέσαι καταγγίζουσι. μένει δὲ γλυκύ.

Περὶ Μελικράτου. Κεφ. ιζ΄.

Μελίκρατον δὲ τὴν αὐτὴν τῷ οἰνομέλιτι δύναμιν κέκτηται. χρώμεθα δὲ τῷ ἀφεψημένῳ, ἐφ' ὧν κοιλίαν μαλάξαι βουλόμεθα. ἢ ἔμετον κινῆσαι, ὡς ἐπὶ τῶν θανάσιμον πεπωκότων. διδόντες αὐτὸ μετ' ἐλαίου, τῷ δὲ ἀφεψημένῳ ἐπὶ τῶν μικροσφύκτων καὶ ἀσθενῶν καὶ βηχόντων καὶ περιπνευμονικῶν καὶ διαφορουμένων. Τὸ δὲ σκευαστὸν καὶ ἀπόθετον ὃ ἰδίως, ἔνιοι ὑδρόμελι καλοῦσι, μέσον μὲν τῇ ἡλικίᾳ ὑπάρχον ἀναλογεῖ τῷ δευτερείᾳ καὶ ἀδυνάμῳ οἴνῳ ὅσον ἐπὶ τῷ τὰς δυνάμεις ἀνακτᾶσθαι· ὅθεν ἐπὶ τῶν φλεγμαινόντων τι μέρος ἐστὶν εὔθετον μᾶλλον τοῦ δευτερείου. τὸ δὲ παλαιότερον, ἀδόκιμον ἐπὶ τῶν φλεγμαινόντων καὶ στεγνῶν· ἐπὶ δὲ τῶν στόμαχον πεπονθότων ἢ ἀνορέκτων ἢ διαφορουμένων ἐπιτήδειον. Σκευάζεται δὲ πρὸς ἓν μέλιτος μέρος, δύο ὕδατος ὀμβρίου παλαιοῦ μιγνυμένου καὶ ἡλιαζομένου. οἱ δὲ, πηγαῖον μίξαντες ἀφεψοῦσιν εἰς τὸ τρίτον καὶ ἀποτίθενται. καλοῦσι δέ τινες καὶ τὸ ἀπὸ μέλιτος ἐκπλυνομένων τῶν κηρίων ὕδατι σκευαζόμενον, ὑδρόμελι, καὶ ἀποτιθέμενον.

ἠθημένον. δεῖ δὲ αὐτὸ καὶ ἀκρατέστερον ποιεῖν. οἱ δὲ, καὶ τοῦτο ἕψουσι. ἔστι δὲ ἄθετον ἐπὶ νοσούντων, διὰ τὸ πλεῖστον ἔχειν κνεφανθέμου.

Περὶ ὕδατος. Κεφ. ιη.

Ὕδωρ, τὴν μὲν ἐν τῷ καθόλου ἐπίκρισιν δυσχερῆ ἔχει διὰ τὰς τῶν τόπων ἰδιότητας καὶ ἰδιοσυγκρισίας, καὶ τοὺς ἀέρας καὶ ἄλλα οὐκ ὀλίγα. ὡς δὲ ἐπιτοπολὺ ἄριστόν ἐστι τὸ καθαρὸν καὶ γλυκὺ, ἀμέτοχον δὲ οἵας δηποτουοῦν ποιότητος καὶ τοῖς ὑποχονδρίοις μὴ δ᾽ ἐλάχιστον χρόνον ἐπιμένον. ἔτι τὲ ἀλύπως ἐνοδοῦν καὶ ἐμπνευματοῦν μὴ δὲ διαφθειρόμενον.

Περὶ Θαλασσίου ὕδατος. Κεφ. ιθ΄.

Θαλάττιον ὕδωρ θερμὸν, δριμὺ, κακοστόμαχον (κοιλίας γὰρ ταρακτικὸν) ἄγον φλέγμα. θερμὸν δὲ καταντλούμενον, ἐπισπᾶται καὶ διαφορεῖ· ἁρμόζον τοῖς περὶ νεῦρα πάθεσι καὶ χιμέτλοις πρὸ τοῦ ἑλκωθῆναι. ὠμηλύσεσί τε ἐπιτηδείως μίγνυται, καὶ ἐμπλάστροις καὶ μαλάγμασι διαφορητικοῖς εὔθετον. καὶ πρὸς τὰ κινώματα ἐνιέμενον χλιαρὸν· καὶ πρὸς στρόφους θερμὸν, ψώρας τὲ καὶ κνησμῶν καὶ λειχήνων καὶ κονίδων, καὶ μαστῶν σπαργώντων καταύτλημα. διαφορεῖ καὶ πελιώματα πυριώμενον, καὶ πρὸς τὰ τῶν θηρίων δήγματα

ἐστι

ſed meracius confieri cōuenit: aliqui id coquunt. Ægrotantibus noxium eſt, quoniam plurimum ceraginis ſibi vēdicat.

Aqua. Cap. XVIII.

De aquis in vniuerſum decernere, ꝓpter locorũ proprietates, & peculiares naturas, cœlum, & alia pleraq; difficile eſt. Magna tamē ex parte optima eſt dulcis, ſyncera, nullius omnino qualitatis particeps, & q̃ ne minimo quidē tempore in præcordiis cōmoratur: ad hęc, quæ & facili via fertur, & citra moleſtiā, nec inflationes creat, & minimè computreſcit.

Aqua marina. Cap. XIX.

AQVA maris calida eſt, & acris: ſtomacho aduerſatur (aluum enim conturbat) pituitam expellit. Si verò calida ad fotus adhibeatur, elicit & diſcutit: neruorum vitiis, & pernionibus, ante vlcera prodeſt. Miſcetur cataplaſmatis ex hordeacea farina, & emplaſtris, & diſcutientibus malagmatis. Ad mouendas deiectiones tepefacta infunditur & ad tormina: calida, pſoras, pruritus, impetigines, lendes, & mãmas rigētes, foueri vtile eſt: liuores fotu diſcutit: ad venenatos ictus,

 qui

qui tremorem & refrigerationem adferunt, ſalutaris intelligitur, maximè ſcorpionum, phalangiorum, aſpidúmque: etiam ſi quis in calidam deſcendat, auxiliatur. Et malo habitu confectis iam diu corporibus, neruíſque, balneæ ex ea vtiles: hydropicos, capitis dolores, auriũ grauitates, feruentis vapor leuat. Syncera, & ſine potabilis aquæ miſtione repoſita, virus deponit. Sunt qui etiam præcoquant, & ita recondant. Datur ad purganda corpora per ſeſe, aut ex poſca, aut cum vino, aut melle: verùm poſt deiectionem, dant gallinæ aut piſcium iuſcula, ad domandã morſus acrimoniam.

Thalaſſomeli.

Cap. XX.

QVOD thalaſſomeli vocatur, vehementer purgare cõſtat. Temperatur autem æquis portionibus maris, mellis, & imbris ex alto, defæcatis, & picato vaſe per Canis æſtus inſolatis. Alij ad binas marinæ coctæ ſingulas mellis adiiciũt, & vaſe condunt: huiuſmodi moderati⁹ eſt aqua marina & mitius.

Acetum. Cap. XXI.

Acetũ refrigerat, & adſtringit: ſtomacho

ὅσα τρόμους καὶ ψυγμοὺς φέρει, μάλιστα δὲ σκορπίων καὶ φαλαγγίων, καὶ ἀσπίδων, καὶ εἰ προσεμβαίνει τις εἰς θερμὸν αὐτὸ ὠφελεῖ. καὶ ταῖς χρονίαις καχεξίαις τοῦ σώματος καὶ τῶν νεύρων, ὠφέλιμον τὸ δι' αὐτοῦ λουτρόν· ὑπαλμιζόμενον δὲ θερμὸν, ὑδρωπικοὺς, κεφαλαλγίας καὶ δυσηκοΐας παρηγορεῖ. ἀποτιθεῖσα δὲ ἡ ἀκέραιος θάλασσα καὶ ἀμιγὴς ποτίμου ὕδατος, ἄβρωμος γίνεται. οἱ δὲ, προέψουσιν αὐτὴν καὶ οὕτως ἀποτίθενται. δίδοται δὲ καὶ πρὸς κάθαρσιν καθ' ἑαυτὴν ἢ μετὰ ὀξυκράτου, ἢ οἴνου ἢ μέλιτος· καὶ μετὰ τὸ καθαρθῆναι, ἐπιδιδόασι ζωμὸν ὄρνιθος ἢ ἰχθύων, πρὸς τὸ κατακεράσαι τὴν τῆς δήξεως δριμύτητα.

Περὶ Θαλασσομέλιτος.

Κεφ. κ'.

Θαλασσόμελι δοκεῖ καθαίρειν ἀνδρικῶς. σκευάζεται δὲ ἐκ μέλιτος καὶ ὕδατος ὀμβρείου καὶ θαλάσσης, ἴσων διυλισθέντων καὶ ἡλιασθέντων ἐν ἀγγείῳ πεπισσωμένῳ ἐν τοῖς ὑπὸ κύνα καύμασιν. οἱ δὲ, δύο μέρη θαλάσσης ἀφεψημένης καὶ ἓν μέλιτος καταμίξαντες, καταγγίζουσι· μετριώτερον δὲ γίνεται καὶ ἐπιεικέστερον τὸ τοιοῦτον τῆς θαλάσσης.

Περὶ Ὄξους. Κεφ. κα'.

ΟΞΟΣ ψύχει καὶ στύφει, εὐστόμαχόν

ἐυστόμαχόν τε ἐστὶ καὶ εὐόρεκτον σταλτικόν τε αἱμορραγίας πάσης, πινόμενόν τε καὶ ἐγκαθιζόμενον· καὶ ἐπὶ ῥευμάτων κοιλίας συνεψόμενον ταῖς τροφαῖς ἁρμόζει· ἔναιμόν τε ἐστὶ καὶ ἀφλέγμαντον σὺν ἐρείοις οἰσυπηροῖς ἢ σπόγγοις ἐπιτιθέμενον· στέλλει καὶ ὑστέραν καὶ ἕδραν προπεπτωκυῖαν· καὶ οὖλα ἀφεστῶτα καὶ αἱμορραγοῦντα. ποιεῖ καὶ πρὸς νομὰς καὶ ἐρυσιπέλατα, ἕρπητας, λέπρας, λειχῆνας, πτερύγια, σὺν τινι τῶν ἐπιτηδείων μιγνύμενον· φαγεδαινικά τε ἕλκη συνεχῶς ἀπαντλούμενον, καὶ νομὰς ἵστησιν· ὠφελεῖ καὶ ποδαγρικοὺς καταντλούμενον θερμὸν μετὰ θείου· ὑπώπιά τε αἴρει σὺν μέλιτι καταχριόμενον· πρὸς τε τὰς ἐγκαύσεις τῆς κεφαλῆς σὺν ῥοδίνῳ καὶ οἰσυπηροῖς ἐρείοις ἢ σπόγγῳ· ὑδρωπικούς τε καὶ δυσηκόοις ὑπατμισθὲν θερμὸν ὠφελεῖ, καὶ ἤχους καὶ συριγμούς· ἐνσταχθὲν δὲ κτείνει τοὺς ἐν ὠσὶ σκώληκας. στέλλει καὶ φύγεθλα χλιαρὸν καταντλούμενον, ἢ διὰ σπόγγων ἐπιτιθέμενον, καὶ κνησμοὺς παρηγορεῖ. πρός τε θηρίων δήγματα ὅσα ψύχει κατάντλημα θερμόν· ψυχρὸν δὲ τοῖς πυροῦσι τῶν ἰοβόλων. ποιεῖ καὶ πρὸς τὰ θανάσιμα πάντα πινόμενον θερμὸν καὶ ἐξεμούμενον, μάλιστα

ſtomacho vtile, & appetētiam excitat: erumpentem vndecūque ſanguinem, potu inſeſsúve ſiſtit: prodeſt alui fluxionibus coctum cū cibis: cruentis vulneribus inditur, & inflāmationes arcet, in ſuccidis lanis aut ſpongia impoſitum: reprimit procidentia ſedis, vuluæq́; : itē abſcedētes gingiuas, & ſanguine manantes. Ad nomas, & ignem ſacrum, vlcera quæ ſerpūt, lepras, impetigines, pterygia, cū aliquo conuenienti efficax eſt: phagedęnas vlcerum, nomáſque fotu continuo cohibet: podagricis calido fotu, cum ſulphure auxiliatur: ſugillationes rapit, cum melle illitū. Contra capitis ardores cū roſaceo in ſuccidis velleribꝰ, aut ſpongia imponitur. Ad aquam inter cutē, grauitatē aurium, & ſonitꝰ, ſibiloſq; feruētis vapor proficit: inſtillatū quoq; auriū vermes necat. Panos coërcet tepidi fotus, aut ſi imbuta aceto ſpōgia admoueatur, & pruritus ꝑmulcet. Cōtra venenatos ſerpentiū ictus, qui refrigerādo nocēt, calidū cōmodè fouetur: & frigidū, iis ꝗ exurēs virus eiaculant̄. Calidū potū, atq; vomitionibus redditū, aduerſus omnia venena efficax eſt, preſer-

præſertim contra meconium, & hauſtam cicutam, conglobatum in ventre ſanguinem, lac coagulatum, fungos, ixiam, taxúmque, cum ſale. Hauſtu voratas hirudines, ſi ſorbeatur, eiicit: tuſsim veterem mitigat, & recentem laceſsit. In orthopnœa calidum commodè ſorbetur: gutturis fluxiones gargarizatum inhibet, anginis & vuæ procidenti cõuenit: contra dentiũ dolorẽ, calidum colluitur.

Acetũ mulſum. Cap. XXII.

Acetum mulſum, quod oxymel vocant, hoc modo temperatur: Aceti heminas quinque, ſalis marini pondo, mellis minas decẽ, aquæ ſextarios quinque pariter coquito, decies efferueſcente cortina: atque vbi refrixerit, diffundito. Sumptum craſſos humores extrahere, & iſchiadicis, comitialibus, & articulorũ morbo conflictatis ꝓdeſſe credit̃. Cõtra morſũ eius viperæ quam ſepa vocant, hauſtũ meconiũ, ixiámve, auxilio eſt. Anginis vtiliter gargarizat̃.

Acidą muria. Cap. XXIII.

Acida muria, quã Græci oxalmen vocãt, cõtra nomas foṭu, putrida vlcera, canũ morſ°,

&

λιτα πρὸς μηκωνείου καὶ κωνείου πόσιν, καὶ αἵματος καὶ γάλακτος θρομβῶσιν ἐν κοιλίᾳ, πρός τε μύκητας καὶ ἰξίαν, καὶ σμίλακας σὺν ἁλσί. βδέλλας τὲ ποθείσας καταῤῥοφούμενον ἀποβάλλει· καὶ βῆχα χρονίαν πραΰνει, τὴν δὲ πρόσφατον ἐρεθίζει. ἁρμόζει καὶ καὶ πρὸς ὀρθόπνοιαν θερμὸν καταῤῥοφούμενον· στέλλει δὲ ἀναγαργαριζόμενον καὶ τὰ ἐν βρόγχῳ ῥεύματα, συναγχικοῖς τε ἁρμόζει καὶ πρὸς κιονίδα κεχαλασμένην καὶ πρὸς ὀδόντων πόνον θερμὸν διακλυζόμενον.

Περὶ Ὀξυμέλιτος. Κεφ. κβʹ.

Ὀξύμελι σκευάζεται οὕτω· λαβὼν ὄξους κοτύλας ε. καὶ ἁλὸς θαλασσίου μνᾶν μίαν, μέλιτος μνᾶς ι. ὕδατος κοτύλας ι. μίξας ἕψησον ἄχρις οὗ δεκάκις ἀναβράσῃ. καὶ ψύξας κατάγγισον, δοκεῖ δὲ λαμβανόμενον πάχος ἄγειν, ὠφελεῖν ἰσχιαδικούς, καὶ ἀρθριτικοὺς καὶ ἐπιληπτικούς. ἀρήγει δὲ καὶ τοῖς ὑπὸ ἐχίδνης τῆς καλουμένης σηπὸς δηχθεῖσι, καὶ τοῖς μηκώνειον ἢ ἰξίαν πιοῦσιν. ἀναγαργάεισμά τε συναγχικῶν ὠφέλιμον.

Περὶ Ὀξάλμης. Κεφ. κγʹ.

Θξάλμη ὠφελεῖ καταντλουμένη πρὸς νομὰς, σηπεδόνας, κυνόδηκτα, καὶ

κτα, καὶ τὰ ἀπὸ τῶν ἰοβόλων δήγματα. στέλλει δὲ καὶ τὰς ἐπὶ τῶν λιθοτομηθέντων αἱμοῤῥαγίας, εὐθέως μετὰ τὴν χειρουργίαν θερμὴ ἐγκλυζομένη, καὶ ἕδραν προπεπτωκυῖαν· ἐγκλύζεται δὲ ἐπὶ τῶν μετὰ νομῆς δυσεντερικῶν· δεῖ δὲ ἐπεγχυματίζειν γάλακτι. καταῤῥοφουμένη δὲ καὶ ἀναγαργαριζομένη βδέλλας κτείνει· σμήχει δὲ καὶ πίτυρα καὶ ἀχῶρας.

Περὶ Θυμοξάλμης. Κεφ. κδ΄.

Θυμοξάλμη, ᾗ ἐχρῶντο οἱ ἀρχαῖοι ἐπὶ τῶν ἀσθενῆ τὸν στόμαχον ἐχόντων. κατὰ τρεῖς ἢ τέσσαρας κυάθους πρὸς ὕδωρ θερμὸν κεραννύντες καὶ διδόντες, καὶ ἐπὶ ἀρθριτικῶν καὶ πνευματουμένων. ἄγει δὲ παχέα καὶ μέλανα. σκευάζεται δὲ οὕτω. θύμου λείου ὀξύβαφον, ἁλῶν ἴσον ἀλφίτων, πηγάνου, γλήχωνος, ἑκάστου ὀλίγον βαλὼν εἰς ἄγγος, ἐπίχει ὕδατος κοτύλας ς΄. ὄξους ἡμικοτύλιον περιθείς τε ὀθόνιον ἐξαιθρίαζε.

Περὶ Σκιλλητικοῦ ὄξους.

Κεφ. κε΄.

Τὸ δὲ σκιλλητικὸν ὄξος σκευάζεται τοῦτον τὸν τρόπον· καθάρας λευκὴν σκίλλαν καὶ κατατεμὼν καὶ διείρας λίνῳ ὥστε μὴ θιγγάνειν τοὺς τόμους ἀλλήλων, ξηράνας ἐν σκιᾷ ἐπὶ ἡμέρας μ΄, λαβὼν μνᾶν μίαν ἐξ αὐτῆς

καθεὶς

& venenatos ictus auxilatur. Sanguinis fluxiones poſt exciſos calculos ſiſtit, ſi ſtatim calida in vulnus iniiciatur, & prociduam ſedem reprimit: dyſentericis, ſi nomas ſentiant, infunditur: oportet autem ex lacte inſtillare. Hirudines ſorbitione aut gargarizatu necat: furfures, & manantia capitis vlcera exterget.

Thymoxalme. Cap. XXIIII.

Thymoxalme veteres vtebãtur, dabãtq; laborãtibus imbecillitate ſtomachi, ternos quaternósve cyathos, aqua calida dilutos, in articularibꝰ morbis, et inflationibꝰ. Craſſos humores, atrósq; trahit, Hoc modo factitat: Thymi triti acetabulũ, ſalis idẽ modꝰ, rutæ, pulegij, polentæ, ſingulorũ exiguæ portiones in vas coniiciuntur, aquæ terni ſextarij, & aceti terni cyathi infunduntur, & circũpoſito linteo ſub dio madeſcunt.

Scillinum acetum.

Cap. XXV.

SCILLINVM acetum hoc modo fit: Scilla, quæ candida fuerit, expurgata conciditur, traiectáque lino ſegmenta modicis interuallis, ne ſe contingãt, ſiccãtur in vmbra quadraginta diebus: mina eorum

 in

in aceti boni ſextarios duodecim immergitur, & vaſe diligẽter operto ſeptenis diebus in ſole madeſcit:poſt eum numerum dierum ſcilla eximitur, & expreſſa abiicitur : defæcatum acetum transfunditur, & repo nitur. Aliqui ſcillæ minã, quinque aceti ſextariis miſcent. Alij circa exiccationem repurgantes,parem menſuram adiiciũt, & ſenis menſibus macerari patiuntur. Id multò magis humorum lentitias digerit : gingiuas humore prægnãtes collutione ſtringit firmatq;,& motos dentes ſtabilit: putredines oris, & graues halitus tollit:durat fauces ſorbitione,& calloſas facit: vocem expedit, & lympidã canoramq; reddit. Datur ſtomachicis,ægrè cibum concoquẽtibus, melancholicis,comitialibus,vertiginoſis,mẽte captis: item vuluarum ſtrangulationibus,lienis incremento laborãtibus, iſchiadicisq;. Imbecillos admodũ recreat: corpus ſanũ reddit,& bonum colorẽ præſtat:oculorum aciem exacuit: tarditatem quoque auriũ infuſione purgat. In ſũma,ad omnia efficax. Cauẽdum tamẽ inteſtinis exulcerationibus, in capitis dolore,aut neruorũ vitiis.

Datur

κάθες εἰς ξέστας ὄξους καλοῦ ιβ΄. ἄφες τε ἡλίῳ ἡμέρας ζ΄. βρέχεσθαι, πωμάσας τὸ ἀγγεῖον ἐπιμελῶς· μετὰ δὲ ταῦτα ἀνελόμενος τὴν σκίλλαν καὶ ἐκπιέσας, αὐτὴν μὲν ῥῖψον· τὸ δὲ ὄξος ὑλίσας, κατάγγιζε καὶ ἀποτίθεσο. ἔνιοι δὲ μνᾶν πρὸς ὄξους ξέστας ε΄. μίσγουσιν. οἱ δὲ, αὐτόθεν καθάραντες δίχα τοῦ ξηράναι, τὸν σταθμὸν ἴσον βάλλουσι, καὶ ἐῶσι μῆνας ϛ΄. γίνεται δὲ τὸ τοιοῦτον τμητικώτερον. Εὐθετεῖ δὲ διακλυζόμενον, πρὸς οὖλα μυδῶντα στέλλον καὶ στερροποιοῦν αὐτά· καὶ ὀδόντας κινουμένους· καὶ τὰς περὶ τὸ στόμα σηπεδόνας καὶ δυσωδίας, ἱκανῶς ἀνασκευάζον· καταρροφούμενον δὲ τόν τε βρόγχον στερεοῖ καὶ τυλώδη ποιεῖ καὶ τὸν ἦχον εὔτονον καὶ λαμπρὸν ἀποτελεῖ. παραλαμβάνεται δὲ πρὸς στομαχικοὺς καὶ δυσπεπτοῦντας, ἐπιληπτικούς, σκοτοδινιῶντας, μελαγχολικούς, ἀπηλιθιωμένους· ἔτι δὲ καὶ πρὸς ὑστερικὰς πνίγας, καὶ σπλῆνας ὑπερόγκους καὶ ἰσχιάδας. ἀναλαμβάνει δὲ καὶ τοὺς λίαν ἀσθενεῖς· καὶ τὸ σῶμα ὑγιεινόν, καὶ εὔχρουν κατασκευάζει· ἔστι δὲ καὶ ὀξυδερκές· καὶ πρὸς δυσηκοΐαν ἐνσταλῆναι δυνατόν, ἐὰν ἐγχυματίζηται. καὶ καθόλου πρὸς ἅπαντα ἐνεργεῖ. πλὴν ἑλκώσεων τῶν ἐντὸς κεφαλαλγιῶν καὶ νευρικῶν.

δίδου

δίδου δὲ καθ' ἡμέραν ῥοφεῖν νήστει, τὴν μὲν ἀρχὴν ὀλίγον, κατὰ βραχὺ δὲ προσαύξων ἄχρι κυάθου. τινὲς δὲ κυάθοις β' διδόασιν ἢ καὶ πλεῖον.

Datur quotidie ieiunis ſorbendum, inter initia exiguum, paulatim adaugendo, ad cyathum vſque. Nonnulli binos dát cyathos, aut largius.

Περὶ Σκιλλητικοῦ οἴνου.
Κεφ. κϛ'.

Ὁ δὲ ἀπὸ τῆς σκίλλης οἶνος γίνεται οὕτως· κατατεμὼν ὡς εἴρηκα τὴν σκίλλαν, ξήρανον ἐν ἡλίῳ, ἔπειτα κόψας αὐτῆς μνᾶν μίαν καὶ διαστήσας λεπτῷ κοσκίνῳ, ἔνδησον ὀθονίῳ ἀραιῷ, καὶ κάθες εἰς γλεύκους καλοῦ καὶ προσφάτου ξέστας κ'. τρίμηνόν τε ἔασον βραχῆναι, μετὰ δὲ ταῦτα μετεράσας τὸν οἶνον εἰς ἕτερον ἀγγεῖον, ἀπόθου περισφηνώσας ἐπιμελῶς. ἔνεστι δὲ καὶ ὑγρᾷ τῇ σκίλλῃ χρῆσθαι. ἐπιτέμνοντα αὐτὴν γογγυλίδος τρόπον, καὶ τὴν ὁλκὴν διπλασιάσαντα· δεῖ δὲ ἡλιάζειν ἐπὶ ἡμέρας μ'. καὶ παλαιοῦν ἄγαν. Ἔτι δὲ καὶ οὕτω σκευάζεται ὁ προειρημένος οἶνος· λαβὼν σκίλλης ἐντετμημένης καὶ κεκαθαρμένης μνᾶς γ'. κάθες εἰς γλεύκους καλοῦ μετρητὴν ἰταλικόν, καὶ μῆνας ἓξ ἔασον πωμάσας· εἶτα ὑλίσας καὶ μετεράσας ἀπόθου, εὐθετεῖ δὲ πρὸς ἀπεψίας καὶ διαφθορὰς τροφῆς, καὶ τοὺς ἀπεμοῦντας ταύτην. ἐφ' ὧν τε πάχος κοιλίᾳ παράκειται ἢ στομάχῳ. σπληνικοῖς καὶ καχέκταις, καὶ ὑδρωπικοῖς, ἰκτε-

Scillinum vinum.
Cap. XXVI.

Scillinum vinum fit hoc modo: Diſſectam, vti dictum eſt, ſcillam, & ſole ſiccatá contundito, minam eius tenui cribro incernito, & linteo raro illigatam, in vicenos ſextarios muſti recētis ac boni demergito: vbi trimeſtri ſpatio maduerit, elutriatum vinum, obſtructo diligenter vaſe, recondito. Licet quoque ſic humida ſcilla vti: In orbiculos rapi modo, diſſectam duplicato pondere, quadraginta diebus inſolari oportet, & valde inueteraſcere. Alia parandi ratio: Scillæ diſſectæ & repurgatæ tres minas, in Italicam metretá muſti demittito, & ſenos menſes in vaſe obſtructo macerari ſinito: poſt id tempus defæcatum & excolatum vinum recondito. Vtile eſt cōtra cruditates, & ciborum corruptiones: itē iis qui reuomūt cibum, etſi pituita in ventre, aut ſtomacho coierit. Prodeſt lienoſis, malè habitis corporibus, aquæ inter cutem, regio-

regio morbo, difficili vrinę, torminoſis, inflationibus, reſolutioni neruorum, horroribus longis, vertiginoſis, & vulſis. Menſes pellit, miniméque neruos infeſtat. Hoc vinum vetuſtate fit melius. Cauendus in febre vſus, aut ſi interanea vlcus ſentiant.

Marina vina.
Cap. XXVII.

Marina variè factitantur: Aliqui enim ſtatim quum decerptæ ſunt vuæ, aquam maris admiſcent. Alij in area vuas ſole ſiccant: quibus calcatis, marinam adiiciunt. Alij paſſas prius vuas in doliis marina aqua macerāt, mox calcatas exprimūt: id magis paſsi generibus adſcribitur. Quæ tamen auſteriore guſtu temperantur, contra febrium aduētantium indicia valent, ſi modo meliora non adſint: aluum ſubducunt: proſunt purulenta extuſsientibus, aut ſi dura aluꝰ exerceat. Quæ ex Aminæis vuis fiunt, caput tentāt, ſtomacho aduerſantur, flatus creant. Verùm quo plenior habeatur hiſtoria, iis qui huius ſtudio tenentur, non inutile exiſtimamus varias vinorum compoſitiones adferre, non

ἰκτερικοῖς, δυσουροῦσι, στροφουμένοις, πνευματουμένοις, παραλυτικοῖς, ῥίγεσι χρονίοις, σκοτωματικοῖς. σπάσμασι, καταμηνίων τε ἀγωγός. ἥκιστα δὲ νεῦρα λυπεῖ, ἀμείνων δὲ ὁ παλαιότερος. φυλάττεσθαι δὲ δεῖ αὐτοῦ τὴν χρῆσιν ἔν τε πυρετοῖς, καὶ ἐπὶ τῶν ἐντὸς ἐχόντων ἕλκος.

Περὶ Θαλαττίων οἴνων.
Κεφ. κζ.

Οἱ δὲ διὰ θαλάττης οἶνοι, ποικίλως σκευάζονται· οἱ μὲν γὰρ εὐθέως αὐτῶν μετὰ τὸ τρυγηθῆναι τὴν σταφυλὴν, μιγνύουσι θάλασσαν. ἔνιοι δὲ προειλοπεδεύουσι· καὶ οὕτω πατοῦσι μιγνύντες θάλασσαν. οἱ δὲ, σταφιδώσαντες τὴν σταφυλὴν, βρέχουσιν ἐν πίθοις μετὰ θαλάσσης, καὶ οὕτω πατοῦντες ἐκθλίβουσι. γίνεται γὰρ ὁ τοιοῦτος γλυκύς. οἱ μέν τοι γε πρὸς τὴν γεῦσιν αὐστηρότερον σκευαζόμενοι, ποιοῦσι καὶ πρὸς πυρετῶν παρασκευὴν εἰ μὴ παρεῖεν ἀμείνους, καὶ πρὸς κοιλίας ὑπαγωγὴν, καὶ ἐμπύοις, σκληροκοιλίοις, καὶ ὅσοι ὑπὸ τῶν ἀμιναίων ψαύονται κεφαλῆς. κακοστόμαχοι μέν τοι καὶ οὗτοι καὶ πνευμάτων γεννητικοί. Οὐκ ἄχρηστον δὲ ὑπογράψαι νομίζομεν πρὸς τὸ πλήρη τὴν ἱστορίαν τοῖς φιλιστοροῦσι γενέσθαι καὶ τὴν τῶν ποικιλοτέρων οἴνων σκευασίαν, οὐχ

οὐχ ὅτι πολλή τις ἐστὶν ἢ ἀναγκαία ἡ χρῆσις αὐτῶν, ἀλλ' ἵνα καὶ τὰ μηδὲν αὐτῶν ἐλλείπειν δοκῶμεν. εἰσὶ δὲ αὐτῶν ἔνιοι, ἧττον περίεργοι καὶ πίπτοντες εἰς τὴν χρῆσιν· ὡς ὁ διὰ τῶν κυδωνίων καὶ ἀπίων καὶ κερατίων· ἔτι δὲ καὶ ὁ διὰ μυρτῶν σκευαζόμενος.

Περὶ Κυδωνίτου οἴνου.

Κεφ. κη΄.

Ο μὲν οὖν κυδωνίτης ὃν ἔνιοι μηλίτην καλοῦσι, σκευάζεται οὕτω· μήλων κυδωνίων ἐξελὼν τὸ σπέρμα καὶ τεμὼν ὡς γογγυλίδα εἰς μετρητὴν γλεύκους, χάλασον μνᾶς ιβ΄. πρὸς ἡμέρας λ΄, εἶτα διυλίσας ἀπόθου. σκευάζεται δὲ καὶ οὕτω· δεῖ μετὰ τὸ κόψαι καὶ ἐκθλίψαι τὰ κυδώνια, τοῦ χυλοῦ τούτων μίξαι τοῖς ιβ΄ ξέσταις, ἕνα ξέστην μέλιτος, καὶ οὕτω χρὴ ἀποθέσθαι. ἔστι δὲ στυπτικὸς, εὐστόμαχος, δυσεντερίαις ἁρμόζων, ἡπατικοῖς, νεφριτικοῖς τε, καὶ δυσουροῦσι.

Περὶ Μηλομέλιτος. Κεφ. κθ΄.

Καὶ μηλόμελι δὲ ὃ καὶ κυδωνόμελι ὀνομάζεται, σκευάζεται οὕτω· μήλων κυδωνίων ἐξαιρεθέντων τὰ σπέρματα καὶ βληθέντων εἰς μέλι ὅτι πλεῖστον, ὥστε ἐνεσφηνῶσθαι· γίνεται προσηνὲς μετ' ἐνιαυτὸν, οἰνομέλιτι ἐοικός. ἁρμόζει πρὸς ἃ καὶ ἡ πρὸ αὐτοῦ σκευασία.

Περὶ

non quod frequẽs eorum aut neceſſarius exiſtat vſus, ſed ne quid omiſiſſe videamur, quod ad eorum rationẽ attinet. Sunt autem quædam ex iis factitia, minoris curæ ac impẽdij, quæ cadunt in vſus: vti quæ ex cotoneis, malis, pyris, ſiliquis, itẽ myrti baccis componuntur.

Cydonites. Cap. XXVIII.

Cydonites nomine alio melites appellat̃, & ita fieri cõſueuit: Mala cotonea exẽptis ſeminib⁹, fruſtatim rapi modo ſcinduntur, & duodecim minarũ põdo, in muſti metretã, triginta dieb⁹ macerãtur, poſtea defęcatũ vinũ reponitur. Alia faciendi ratio: Oportet ad ſingulos mellis ſextarios, denos ſucci cotoneorũ tuſorũ preſſorũmq; adiicere, & ita recõdere. Vinũ hoc adſtringit: ꝓdeſt ſtomacho, dyſenteriæ, hepaticis, renũ vitiis, & vrinæ difficultati.

Melomeli. Cap. XXIX.

Melomeli, quod & cydomeli nominant, ſic fit: Cotonea mala ſeminibus ſuis caſtrata, in quamplurimum mellis, quo penitus demerſa contegantur, coniiciuntur: id poſt annum miteſcit, mulſo nõ diſſimile. Præſtat eadem quæ ſuperior compoſitio.

Hydro-

Hydromelum.
Cap. XXX.

Fit hydromelon duabus mẽſuris aquæ coctæ, & ſub caniculæ ſydus inſolatæ, additis ad vnam melomelitis facti ex cotoneis. Vis huius eadem eſt.

Omphacomelites.
Cap. XXXI.

Omphacomelitis faciẽdi ratio hæc eſt: Acerbæ vuæ adhuc immaturę, & tribus diebus inſolatæ exprimuntur, & ad ternas ſucci partes mellis optimi, deſpumati ſingulæ partes adiiciũtur: & inſolatur in vaſa trãſfuſum. Vim reprimendi ac refrigerandi habet: ſtomachicis cœliacíſq; conuenit. Vſus poſt annum eſt.

Apiites. Cap. XXXII.

Fit & è pyris, perinde atque cotoneis, vinũ, apiites nomine, ſed ita vt pyra nõ magnopere matureſcant. Ex ſiliquis etiam, meſpilis, ſorbis, ſimili modo tẽperatur. Omnia hæc genera acerba ſunt, & adſtringunt: ſtomacho vtilia ſunt atque inteſtinas fluxiones cohibent.

Oenanthinũ. Cap. XXXIII.

Fit è feraci vite ſylueſtri, quod vocatur œnãthinũ: Sicci flores minis duab⁹ muſti cado macerati, poſt triginta dies mutantur,

Περὶ Ὑδρομήλου. Κεφ. λʹ.

Ὑδρόμηλον δὲ σκευάζεται αἰγνυμένου τοῦ ἐκ τῶν κυδωνίων μηλομέλιτος μεμιγμένου ἑνὸς πρὸς βʹ μετρητὰς ἀφεψημένου ὕδατος καὶ ἡλιαζομένου ἐν τοῖς ὑπὸ κύνα. Δύναμις δὲ καὶ τούτου ἡ αὐτή.

Περὶ Ὀμφακομέλιτος.
Κεφ. λαʹ.

Ὀμφακόμελι δὲ σκευάζεται τοῦτον τὸν τρόπον· λαβὼν ὄμφακας μήπω περκαζούσας, ἡλίαζε ἐπὶ ἡμέρας γʹ. καὶ μετὰ ταῦτα ἐκθλίψας, βάλε πρὸς γʹ μέρη τοῦ χυλοῦ μέλιτος καλλίστου ἀπαφρισμένου μετρητοῦ μέρος ἕν· καὶ ἡλίαζε καταγγίσας εἰς κεράμια. Δύναμιν δὲ ἔχει σταλτικήν, ψυκτικήν· ὅθεν ἁρμόζει στομαχικοῖς, κοιλιακοῖς. ἡ χρῆσις δὲ αὐτοῦ μετ᾽ ἐνιαυτόν.

Περὶ ἀπίτου οἴνου. Κεφ. λβʹ.

Ἀπίτης σκευάζεται ὁμοίως, ὥσπερ καὶ ὁ κυδωνίτης, μὴ λίαν δὲ ἔστωσαν οἱ ἄπιοι πέπειροι. καὶ ὁ τῶν κερατίων δὲ καὶ ὁ τῶν μεσπίλων καὶ οὔων, ὁμοίως σκευάζεται. πάντες δὲ εἰσὶ στυπτικοὶ, στρυφνοὶ, εὐστόμαχοι, ῥεύματα ἔνδον ἐπέχοντες.

Περὶ Οἰνανθίνου.
Κεφ. λγʹ.

Ὁ δὲ οἰνάνθινος σκευάζεται οὕτω· λαβὼν τῆς ἀγρίας ἀμπέλου τὸ ἄνθος βρυούσης ξηρὸν μναῖ βʹ. εἰς μετρητὴν γλεύκους πρὸς ἡμέρας λʹ. εἶτα

εἶτα διυλίσας ἀπόθου. ποιεῖ δὲ πρὸς ἀτονίαν στομάχου, ἀνορεξίαν, κοιλιακοῖς, καὶ δυσεντερικοῖς.

Περὶ Ῥοίτου οἴνου.

Κεφ. λδ΄.

Ὁ ῥοίτης δὲ οἶνος σκευάζεται οὕτως· ῥόας ἀπυρήνους λαβὼν ὡρίμους καὶ ἀποθλίψας τὸν χυλὸν τῶν κόκκων ἀπόθου, ἢ ἀφεψήσας εἰς τρίτον οὕτως ἀποτίθεσο· ποιεῖ δὲ πρὸς τὰ ἐντὸς ῥεύματα καὶ πυρετοὺς ῥοώδεις. ἔστι δὲ εὐστόμαχος καὶ στεγνωτικὸς κοιλίας, καὶ οὐρητικός.

Περὶ Ῥοδίτου οἴνου.

Κεφ. λε΄.

Ῥοδίτης δὲ οὕτω σκευάζεται· ῥόδων ξηρῶν κεκομμένων μναῦ μίαν ἐνδήσας εἰς ὀθόνιον, κάθες εἰς γλεύκους ξέστας η΄· μετὰ δὲ τρεῖς μῆνας διυλίσας μετάγγιζε καὶ ἀποτίθεσο. χρήσιμος δὲ ἀπυρέτοις, πρὸς στομάχου πέψεις καὶ πόνους ἐπιπινόμενος, πρός τε καθύγρους κοιλίας καὶ δυσεντερείας. σκευάζεται δὲ καὶ διὰ χυλοῦ ῥόδων, καὶ μέλιτος μιγνυμένου, ὃ καλεῖται ῥοδόμελι, ἁρμόζει πρὸς τὰς ἐν ἀρτηρίᾳ τραχύτητας.

Περὶ Μυρτίτου οἴνου. Κεφ. λϛ΄.

Μυρτίτης δὲ σκευάζεται οὕτω· δεῖ μύρτα μέλανα παρακμάζοντα λαβόντα, κόπτειν καὶ ἐκθλίβειν τὸν χυλὸν δι᾽ ὀργάνου καὶ καταγγίζειν. ἔνιοι δὲ καὶ ἀφεψοῦσιν εἰς τρίτον, οἱ δὲ,

tantur, mox colatum vinũ recõditur. Facit aduerſus ſtomachi imbecillitatẽ, cibi faſtidia, cœliacos, & dyſentericos.

Rhœtes. Cap. XXXIIII.

Fit è punicis malis maturis quod rhœten nominãt, ſucco expreſſo ab acinis eorũ, quib⁹ lignoſus nucleus abeſt, apyrena vocant, ac decocto ad tertias, & ita repoſito. Efficax eſt cõtra fluxiones internas, & febrim cũ alui profluuio exortam: ſtomacho vtile: aſtringit aluum, & vrinam mouet.

Rhodites. Cap. XXXV.

Rhodites ſic fit: Roſarũ ſiccarum tuſarúmque minã linteolo deligatam in ſextarios octo muſti demergito: & poſt tres menſes, defæcatum vinum tranſfundens, recondito. Vtile iis qui febri carent, & ad ſtomachi coctiones, & dolores à cibo potum, & cõtra humidas aluos, & dyſenterias. Fit quoq; ex ſucco roſarũ, addito melle, quod rhodomeli vocant, quod arteriæ ſcabritiis conuenit.

Myrtites. Cap. XXXVI.

MYRTITES fit, baccis nigris, quę maturitatem exceſſerint, tuſis, & organo expreſſis. Aliqui ad tertias coquunt. Alij

Alij baccas prius ſole torrent, & quaternis ſextariis contuſarum, ternas aquæ heminas adiiciunt, & vini veteris parē modum poſtea exprimunt, & ſeruant. Magnopere adſtringit: ſtomacho vtile: fluxionibus vētris ac ſtomachi prodeſt: & cōtra inteſtinas vlcerationes, & profluuia: denigrat capillos.

Myrſinites. Cap. XXXVII.

Myrſinites ſic tēperatur: Rami nigræ myrti cū ſuis baccis & foliis tuſi, decem minarum pondo, in tribus muſti congiis feruеſcunt, donec duo ſuperſint, aut certè dimidium: id vinum colatum ad vſus reconditur. Contra furfures, vlcera in capite manātia, eruptiones papularum, gingiuas, tonſillas, & purulentas aureis efficax eſt: ſudores ſiſtit.

Lentiſcinum.
Cap. XXXVIII.

Lentiſcinū ſimiliter vt myrſinites temperatur.

Terebinthinum.
Cap. XXXIX.

Nec ſecus terebinthinū paratur. Nanq; bacciferi eorū rami ſumi debēt. Similes inſunt vires: adſtringunt, ſtomacho accōmodantur, & defluxionibus inte-

οἱ δὲ, καὶ προθειλοπεδεύουσιν ἐν ἡλίῳ, καὶ ξηράναντες μίσγουσι τῇ χοίνικι κοπείσῃ, τρεῖς κοτύλας ὕδατος καὶ οἴνου παλαιοῦ τὸ αὐτὸ, οὕτω τε ἐκθλίβουσι καὶ ἀποτίθενται. ἱκανῶς δὲ ἐστὶ συπτικὸς καὶ εὐστόμαχος, ῥευματιζομένῳ τε στομάχῳ καὶ κοιλίᾳ χρήσιμος πρός τε τὰς ἐντὸς ἑλκώσεις καὶ ῥοῦν· μελαίνει δὲ καὶ τρίχας ἐν κεφαλῇ.

Περὶ Μυρσινίτου οἴνου.
Κεφ. λζʹ.

Μυρσινίτης δὲ σκευάζεται οὕτω· δεῖ λαβόντα τῶν μελαίνων μυρσινῶν τοὺς ἀκρέμονας καὶ τὰ φύλλα σὺν τοῖς μύρτοις κόπτειν, καὶ βάλλειν εἰς τοὺς τρεῖς τῶν γλεύκοις χόας, τῆς μυρσίνης κεκομμένης μνᾶς ι. καὶ ἕψειν ἄχρις ἂν δύο ὑπολειφθῶσιν ἢ τὸ ἥμισυ, καὶ διυλίσαντας ἀποτίθεσθαι. ποιεῖ δὲ οὗτος πρός τε ἀχῶρας καὶ πίτυρα, ἐξανθήματα, οὖλα, παρίσθμια, ὦτα πυοῤῥοοῦντα· στέλλει καὶ ἱδρῶτας.

Περὶ Σχινίνου οἴνου. Κεφ. λή.

Καὶ ὁ σχίνινος δὲ ἐοικότως τῷ μυρσινίτῃ σκευάζεται.

Περὶ Τερεμινθίνου οἴνου.
Κεφ. λθʹ.

Καὶ ὁ τερεμίνθινος ὁμοίως. ἔγκαρποι γὰρ καὶ τούτων οἱ ἀκρέμονες λαμβάνονται. καὶ παραπλησίας εἰσὶ δυνάμεως, συπτικοὶ καὶ εὐστόμαχοι, ῥεύμασί τε ἁρμό-

ἁρμόζοντες στομάχου, ἐντέρων, κύστεως, αἱμορραγίας· κατουλοῦσι δὲ καὶ τὰ ῥευματικὰ πάντα ἕλκη ἐπαντλούμενοι· τοῖς τε περὶ ὑστέραν καὶ ἕδραν ῥευματισμοῖς στέλλουσιν ἐγκαθιζόμενοι.

Περὶ Φοινικίτου οἴνου.

Κεφ. μ΄.

Φοινικίτης· λαβὼν φοίνικας τοὺς χυδαίους πεπείρους, βάλε εἰς πιθάκνην τετρημένην ἐν τῷ πυθμένι, καὶ ἐσφηνωμένην καλάμῳ πεπισσωμένῳ· τὸ δὲ τρῆμα λίνῳ βεβύσθω, ἐπίχει δὲ τοῖς δέκα χοίνιξιν ὕδατος χόας γ΄. εἰ δὲ μὴ λίαν αὐτὸ γλυκὺ θέλῃς εἶναι, πέντε χόας ἐπίχει. ἔα δὲ ἐπὶ ἡμέρας ι΄. τῇ δὲ ια΄. ἀφαιρῶν τὸ ἀπὸ τοῦ καλάμου ὀθόνιον, ἀποδέχου οἶνον παχὺν καὶ γλυκὺν καὶ ἀποτίθεσο. Ἔστι δὲ ἡδὺς μὲν, κεφαλαλγὴς δέ· ποιῶν πρὸς ῥεύματα διὰ τὸ στῦφον· ὅθεν στομαχικοῖς, καὶ κοιλιακοῖς, καὶ αἱμοπτοϊκοῖς, καὶ ἁρμόζει. ἔνιοι δὲ τὸ αὐτὸ πάλιν τοῦ ὕδατος μίσγοντες δέχονται, καὶ τοῦτο τρίτον ποιοῦσι, καὶ τέταρτον, καὶ πέμπτον, ὅτε λοιπὸν ὀξίζει.

Περὶ Κατορχίτου οἴνου. Κεφ. μα΄.

Καὶ ὁ κατορχίτης δὲ, ὃν ἔνιοι συκίτην καλοῦσιν, ἐν Κύπρῳ σκευάζεται ὁμοίως τῷ φοινικίτῃ· διαφέρει δὲ ὅτι ἐπὶ τούτου ἔνιοι ἀντὶ ὕδατος, στεμφύλων ἀπόβρεγμα νεοθλίπτων, τὸ ἴσον μέτρον βάλλουσιν.

ἰσχά-

inteſtinorum, veſicę, & ſtomachi, & ſanguinis profluuio: vlcera omnia fluxionibus obnoxia, fotu ad cicatricem perducunt: fluxiones vuluæ ac ſedis, inſeſsione cohibent.

Palmeum vinum.

Cap. XL.

Palmulas maturas, quas vocãt chydæas, in vrceolum imo pertuſum, & obſtructũ picata arundine, demittito: lino foramẽ ſit obturatũ, & quadragenis ſextariis ternos aquæ congios infundito: qđ ſi ipſum ita dulce eſſe nõ libeat, quinq; cõgios infudiſſe ſatis eſt. poſt decẽ dies detracto ab arũdine linteo, aſſumito vinũ craſſum & dulce, & reponito. Suaue illud quidẽ, ſed capiti noxiũ: contra fluxiones, propter adſtrictoriã vim, efficax: ſtomachicis, cœliacis, ſanguinem expuentibus conuenit. Aliqui idẽ addita aqua iterũ capiũt, & tertio, quarto, quinto, ſextóve faciũt, quod tandem acore vitiatur.

Catorchites. Cap. XLI.

Catorchites, aliquibus ſycites vocatur, in Cypro fit, ita vt palmum: ſed hoc intereſt, quoniam pro aqua tãtundem humoris adiiciũt, in quo recenter preſſa vinacea maduerint.

Cari-

Caricæ quæ chelidoniæ, aut phœniceæ appellantur, præſertim nigræ macerantur, vti diximus, & poſt decem dies humor excipitur, atque iterum aut tertio, idem modus aquæ in qua vinacea maduerint infunditur: ſimili modo intercedéte ſpatio, quarto aut quinto aſſumitur. De maceratarum liquor non ſecus acoré contrahit, & aceti vſum prębet. Id tenue eſt: flatus gignit, ſtomacho aduerſatur, faſtidiũ parit, aluo tamen prodeſt, vrinã ciet, menſes trahit, lactis vbertatem facit, vitioſum ſanguinem creat, & elephantiaſin adfert, vt potio quam zython appellamus. Aliqui ſex amphoris: decem ſalis ſextarios adiiciunt. Alij muriæ amphoram: quod non facile vitiatur, & aluo idoneum fore cenſent. Alij thymum & fœniculum imo ſubiiciunt, & caricas ſuperponunt: & ita viciſsim, donec vas expleuerint.

ἰσχάδες δὲ λαμβάνονται αἱ χελιδόνιοι καλούμεναι, ἢ φοινικαῖ, μέλαιναι δὲ εἰσὶ καὶ ἀποβρέχονται ὡς προείρηται, μετὰ δὲ ἡμέρας δέκα ἐκλαμβάνεται τὸ ὑγρὸν, καὶ ἐκ δευτέρου καὶ τρίτου ἐπιχεῖται, τοῦ ἐκ τῶν στεμφύλων ἀποβρέγματος τὸ αὐτὸ μέτρον· ὁμοίως δὲ ἐκ διαστημάτων ἐκλαμβάνεται τὸ δ΄. καὶ ε. ἀπόβρεγμα ὁμοίως ὀξίζον, ᾧ αὐτὶ ὄξους χρῶνται. Λεπτομερὴς δέ ἐστι καὶ φυσώδης καὶ κακοστόμαχος, ἀποστρέφων ὄρεξιν, εὐκοίλιος μέν τοι καὶ οὐρητικὸς, κατασπᾷ δὲ καὶ ἔμμηνα, καὶ γάλα δαψιλὲς ποιεῖ, αἷμα δὲ φαῦλον κατασκευάζει, καὶ ἐλεφαντιάσεως ἐστὶ ποιητικὸν, ὡς καὶ τὸ ζῦθος, ἔνιοι δὲ καὶ ἁλῶν τοῖς ἓξ κεραμίοις ξέστας ἐμβάλλουσι δέκα. οἱ δὲ, ἅλμης κεράμιον· δυσμετάβλητον καὶ εὐκοίλιον ἔσεσθαι διανοούμενοι. οἱ δὲ, καὶ θύμον καὶ μάραθρον προϋποτιθέασι τῷ πυθμένι, εἶτα τὰς ἰσχάδας, καὶ ἐναλλὰξ τοῦτο ποιοῦσιν ἄχρις ἂν πληρώσωσι τὸ ἀγγεῖον.

Vinũ è ſycomoris factũ. Cap. XLII.

Fit & è ſycomoris eodé modo vinũ, ſed in acetũ acre degenerat: quoniã non ita præualet vis eorum, vt fluentis liquoris dulcedinem retinere poſsit.

Περὶ Συκομορίτου οἴνου. Κεφ. μβ΄.

Σκευάζεται δὲ καὶ ὁ ἐκ τῶν συκομόρων ὡσαύτως, ὄξος δὲ γίνεται δριμὺ, διὰ τὸ μὴ ἐξισχύειν τὴν δύναμιν αὐτῶν φυλάσσειν τὴν γλυκύτητα τοῦ ῥεύσαντος.

Περὶ Ῥητινίτου οἴνου.
Κεφ. μγ΄.

Ὁ δὲ ῥητινίτης καὶ κατὰ τὰ ἔθνη σκευάζεται· πλεονάζει δὲ ἐν γαλατίᾳ διὰ τὸ ἀποξιοῦσθαι τὸν οἶνον ἀπεπάντου μενούσης τῆς σταφυλῆς, διὰ τὸ ψύχειν, εἰ μὴ παραπλακῇ πευκίνῃ. κόπτεται δὲ σὺν τῷ φλοιῷ ἡ ῥητίνη, καὶ τῷ κεραμίῳ μίγνυται ἡμικοτύλιον. καὶ οἱ μὲν, ἀπηθοῦσι μετὰ τὸ ἀποζέσαι χωρίζοντες τὴν ῥητίνην. οἱ δὲ, ἐῶσι. παλαιωθέντες δὲ γίνονται ἡδεῖς. Πάντες δὲ κεφαλαλγεῖς οἱ τοιοῦτοι καὶ σκοτωματικοὶ, πεπτικοὶ μέντοι καὶ οὐρητικοὶ, καταρροιζομένοις καὶ βήσσουσιν ἁρμόζοντες· κοιλιακοῖς, δυσεντερικοῖς, ὑδρωπικοῖς, καὶ ῥοϊκαῖς γυναιξί· τοῖς δὲ ἐν βάθει ἑλκουμένοις ἔγκλυσμα. στυπτικώτερος μέντοι τοῦ λευκοῦ ἐστιν ὁ μελανίζων.

Reſinatum vinum.
Cap. XLIII.

Reſinatum vinũ populatim factitari ſolet: copioſum in Galatia: quoniã vinum illic coaceſcat, vua non matureſcente, ob cœli algoré, niſi picea reſina temperetur. Reſina autem cum cortice tonditur, & amphoræ dimidiata hemina permiſcetur. Aliqui vbi efferbuit, excolant, ſeparantes reſinã: alij relinquũt. Hæc vina vetuſtate dulceſcunt, Omnia capitis doloré, & vertigines faciunt, concoctioné tamen adiuuant, & vrinã cient: tuſsientibus, ac deſtillatione vexatis conueniunt: item cœliacis, dyſentericis, & hydropicis, & fœminis fluxione vuluæ laborãtibus: altis exulcerationibus infunditur. In hoc auté genere nigricans magis albo conſtringit.

Περὶ Στροβιλίτου οἴνου.
Κεφ. μδ΄.

Στροβιλίτης δὲ σκευάζεται ἐναποβρεχομένων τῷ γλεύκει στροβίλων προσφάτων καὶ τεθλασμένων. ποιεῖ δὲ τὰ αὐτὰ τῷ ῥητινίτῃ, ἐὰν δὲ γλεύκει ἐναποβρέξας τις τοὺς στροβίλους ἑψήσῃ, ἁρμόζει καὶ φθινώδεσιν ἱκανῶς πινόμενος.

Strobilites. Cap. XLIIII.

Strobilites fit maceratis in muſto nucibus, pineis, recentibus fractiſq;, præbétq; reſinati effectus. Si quis madefactas nuces pini muſto decoquat, potum affatim conuenit iis, qui tabitudine conficiuntur.

Περὶ Κεδρίνου. Κεφ. με΄.

Ὁ δὲ κέδρινος ἢ ἀρκεύθινος, ἢ κυπαρίσσινος, ἢ δάφνινος ἢ πιτύϊνος, ἢ ἐλά-

Cedrinum vinũ. Cap. XLV.

Cedrinum, iuniperinum, cupreſsinũ, laurinum, pineũ, aut

abiegnum, ſimili ratione fiunt. Diuiſos recenter ramos, cùm fructum ædũt, aut ſoli, aut balneo, aut igni, admouere oportet, vti conſudent, congióque vini minam vnam permiſcere, & poſt duos menſes transfundere, & antequàm recondantur, inſolare. Factitiorum vinorum vaſa impleri debẽt: nanq; non plenis vaſis, vina in acorẽ corrumpuntur. Medicata autẽ vina, rectè valentibus inſalubria. Omnia excalfaciunt, vrinam cient, & ſubſtringũt. Laurinum tamen vehemẽtius excalfacit. Fit quoq; è fructu cedri maioris vinum, congio muſti, adiecta tuſarum baccarum ſelibra: diebus quadraginta inſolari debet, & defæcatum in vaſa transferri.

Vinum è iuniperis. Cap. XLVI.

Fit etiam vinum è baccis iuniperi, non aliter quàm cedrites, & ad eadem valens.

Cedrites. Cap. XLVII.

Cedrites hoc modo fit: Cedriã dulci aqua lauãt, & ſingulas amphoras ſingulis cyathis diluũt, & ita muſto replẽt. Hoc genus vini excalfacit, extenuat, tuſſi antiquæ vtile ſine febre, pecto-

ἐλάτινος, σκευάζεται ὁμοίως. χρὴ γὰρ τὰ ξύλα νεότμητα σχίζοντας, ὅτε τὸν καρπὸν ἐκδίδωσι, τιθέναι πρὸς ἥλιον ἢ ἐν βαλανείῳ, ἢ ἐν πυρὶ ὥς τε συνιδρῶσαι, καὶ μίσγειν τῷ χοῒ τοῦ οἴνου μναῦ μίαν καταμίξαντάς τε ἐᾶν μῆνας β΄. εἶτα μεταγγίζειν, καὶ ἡλιάσαντα ἀποτίθεσθαι. πληροῦν δὲ δεῖ τὰ ἀγγεῖα τῶν σκευαστῶν οἴνων· ἀποξυνει γὰρ τὰ ἀπόκενα. ἄθετοι μέντοι οἱ φαρμακώδεις οἶνοι τοῖς ὑγιαίνουσι. θερμαντικοὶ δὲ πάντες, οὐρητικοὶ, ὑποστύφοντες. ὁ μέντοι δάφνινος θερμαντικώτερος. γίνεται δὲ καὶ ἐκ τοῦ καρποῦ τῶν μειζόνων κέδρων οἶνος, δεῖ δὲ τῷ χοῒ τοῦ γλεύκους ἡμιμναῖον κεκομμένων τῶν κεδρίδων μῖξαι· ἡλιάζειν τε ἐφ᾽ ἡμέρας μ΄. μετὰ δὲ ταῦτα διυλίζειν, καὶ μεταγγίζειν.

Περὶ Ἀρκευθοδίτου οἴνου. Κεφ. μϛ΄.

Γίνεται καὶ ἐκ τοῦ τῶν ἀρκευθίδων καρποῦ. ὁμοίως τῷ κεδρίτῃ τὰ αὐτὰ ποιῶν.

Περὶ Κεδρίτου. Κεφ. μζ΄.

Κεδρίτης δὲ γίνεται οὕτω· κεδρίαν πλύναντες ὕδατι γλυκεῖ, διακλύζουσιν ἕκαστον κεράμιον κυάθῳ ἑνὶ, καὶ οὕτω πληροῦσι γλεύκους. θερμαντικὸς δὲ, καὶ οὕτως γίνεται καὶ λεπτυντικὸς, βηχὶ παλαιᾷ ἁρμόζων δίχα πυρετῶν, καὶ πο-

καὶ πόνοις θώρακος, πλευρῶν, στρόφοις, ἕλκεσι τοῖς ἐν κοιλίᾳ, καὶ ἐντέροις, ἐμπυϊκοῖς, ὑδρωπικοῖς, ὑστερικαῖς· ποιεῖ καὶ πρὸς ἕλμινθας, καὶ πρὸς ῥίγη· βοηθεῖ θηριοδήκτοις καὶ ἑρπετὰ κτείνει· ὠταλγίας τε ἐνσταζόμενος ἰᾶται.

Περὶ Πισσίτου οἴνου. Κεφ. μη'.

Οἶνος πισσίτης σκευάζεται διὰ πίσσης ὑγρᾶς, καὶ γλεύκους. δεῖ δὲ τὴν πίσσαν πρότερον πλύνειν θαλάσσῃ ἢ ἅλμῃ ἐφ' ἱκανὸν μέχρις ἂν λευκανθῇ, καὶ ἡ θάλασσα καθαρὰ ἀπορρέῃ, ἔπειτα ὕδατι γλυκεῖ· καὶ τοῖς η. χοεῦσι μίσγειν οὐγγίας πίσσης α. ἢ β'. καὶ ἐὰν· μετὰ δὲ τὸ ἀναζέσαι καὶ καταστῆναι καταγγίζειν. ἔστι δὲ θερμαντικός, πεπτικός, σμηκτικός, ἀνακαθαρτικός· εὔθετος τοῖς περὶ θώρακα, κοιλίαν, ἧπαρ, σπλῆνα καὶ ὑστέρας πόνοις, δίχα πυρετοῦ, καὶ χρονίοις ῥεύμασι, καὶ ἑλκώσεσι τοῖς ἐν βάθει· ποιεῖ καὶ πρὸς βῆχας, βραδυπεψίας, πνευματώσεις, ἄσθματα, καὶ πρὸς στρέμματα δὲ μᾶλλον μετ' οἰσυπηρῶν ἐρίων.

Περὶ Ἀψινθίτου οἴνου. Κεφ. μθ'.

Ἀψινθίτης ποικίλως σκευάζεται. οἱ μὲν γὰρ τοῖς μ. καὶ η. ξέσταις τῶν ἰταλικῶν κεραμίων, μίξαντες ἀψινθίου ποντικοῦ λίτραν μίαν ἕψουσι μέχρι τὸ γ' ἀπολειφθῇ. ἔπειτα

pectoris laterúmq; doloribus, torminib⁹, vẽtris & interaneorũ vlceribus, purulentis excreationibus, mulierib⁹ vuluæ cauſariis, hydropiciſq;: facit aduerſus ventris tineas & horrores: cõtra venenatos ictus auxiliatur: ſerpentes necat: aurium doloribus inſtillatum medetur.

Picatũ vinũ. Cap. XLVIII.

Picatum ex liquida pice & muſto tẽperatur. Picem autem primum marina aut muria tãtiſper eluere oportet, dũ inalbuerit, & ſyncera maris aqua defluat, mox aqua dulci proluẽda: cõgiis octo muſti, vncia picis vna aut altera adijcitur: vbi efferbuerit & cõſtiterit, in vaſa diffunditur. Hoc genus vini excalfacit, cõcoquit, purgat, abſtergit: vtile doloribus pectoris, alui, iocineris, lienis & vuluæ, ſi ſine febre ſint, veteri rheumatiſmo, exulcerationib⁹ in altũ recedẽtibus, tuſsi, ſuſpiriis, cõcoctionibus tardis, inflationibus, & luxatis, præſertim in ſuccida lana impoſitum.

Abſinthites. Cap. XLIX.

Abſinthitę faciũdi ratio euariat. Aliqui enim duodequinquaginta ſextariis Italicarũ amphorarũ, admiſtã abſinthij Põtici librã decoquũt ad tertias: &

&vbi ĩfuderint ſex aceti ſextarios, & abſinthij ſelibrã,ac diligẽter ꝑmiſcuerint,diffundũt in vas:dũq; cõquieuerit, defæcãt. Alij abſinthij minã ĩ amphorã demittũt,tuſamq;, & raro lĩteo deligatã,ĩ cado muſti macerãt, binis mẽſib⁹. Alij abſinthij quadrãtẽ,alij triẽtẽ,& nardi Syriacæ,cinnamomi,caſsiæ,floris iũci odorati,calami,elatæ,palmarũ, ſingulos ſextãtes iniiciũt in metretã muſti,et tũdẽtes pri⁹ pila, obſtructo vaſis ſpiraculo,binis terníſve mẽſib⁹ dimittũt:poſtea defæcatũ vinũ trãsfundũt ad vſus. Alij addũt ĩ muſti cadũ, Celticæ nardi darchmas xiiij. & abſinthij drachmas xl. linteo ĩuolutas:& poſt quadrageſimũ diẽ elutriãt. Alij in ſenos ſextarios muſti,abſinthij librã,& ſiccę pinireſinę ſextãtẽ immittũt, & poſt decẽ dies excolãt,et recõdũt. Vtile eſt ſtomacho:vrinã cit:tardã cõcoctionẽ accelerat:hepaticis,regio morbo,et renũ vitiis auxiliat̃:faſtidia diſcutit: iis ꝓdeſt quib⁹ ſtomach⁹ negotiũ exhibet:valet cõtra lõgã ꝑcordiorũ diſtẽtionẽ,& ĩflationes,teretéſq; vẽtris tineas,& remoratos mẽſes: cõtra hauſta ixię venena q̃ plurimũ potũ,& vomitionibus redditũ,auxiliat̃.

Hyſſo-

ἔπειτα προσεπιχέαντες * γλεύκους ξέστας ϛ΄· καὶ ἀψινθίου ἡμίλιτρον ἐπιμελῶς μίξαντες. καταγγίζουσι· κατασταθέντα δὲ διυλίζουσιν. οἱ δὲ, μνᾶν ἀψινθίου εἰς τὸ κεράμιον καθιᾶσι, * κόψαντες καὶ ἐνδήσαντες εἰς ὀθόνιον ἀραιὸν ἐῶσιν ἐπὶ μῆνας δύο. οἱ δὲ, ἀψινθίου οὐγγίας γ΄. ἔνιοι δὲ τέσσαρας, καὶ νάρδου συριακῆς, κινναμώμου, κασσίας, σχίνου ἄνθους, καλάμου, ἐλάτης, φοίνικος ἀνὰ οὐγγίας β΄. καθιᾶσιν εἰς μετρητὴν γλεύκους, καὶ εἰς ὅλμον κόψαντες καὶ σφηνώσαντες, ἐῶσι δίμηνον ἢ τρίμηνον· εἶτα διυλίσαντες καὶ μεταγγίσαντες ἀποτίθενται. Οἱ δὲ, εἰς γλεύκους μετρητὴν νάρδου κελτικῆς < ιδ΄ καὶ ἀψινθίου < μ΄. καθιᾶσιν ἐν ὀθονίῳ δήσαντες· καὶ μετὰ ἡμέρας μ΄ μεταγγίζουσιν. οἱ δὲ, εἰς τοὺς ξέστας κ΄ τοῦ γλεύκους λίτραν α΄. ἀψινθίου ἐμβάλλουσι, καὶ πιτύινης ξηρᾶς ῥητίνης οὐγγίας β΄. μετὰ δὲ ἡμέρας ι΄. διυλίσαντες ἀποτίθενται. ἔστι δὲ εὐστόμαχος, οὐρητικὸς, χρήσιμος βραδυπέπτουσιν, ἡπατικοῖς τε καὶ νεφριτικοῖς, καὶ ἰκτερικοῖς, ἀνορέκτοις, κακουμένοις στόμαχον· καὶ πρὸς ὑποχονδρίων τάσιν χρόνιον, καὶ πρὸς ἐμπνευματώσεις, ἕλμινθας στρογγύλας, ἔμμηνα ἐπεχόμενα· πρὸς τὸ ἰξίου πόσιν πλεῖστος ποθεὶς καὶ ἐξεμούμενος ἁρμόζει.

Περὶ Ὑσσώ-

Περὶ Ὑσσωπίτου οἴνου. Κεφ. ν'.

Ὑσσωπίτης δὲ ὁ ἐκ τοῦ Κιλικίου ὑσσώπου, κάλλιστός ἐστι, σκευάζεται δὲ ὁμοίως τῷ ἀψινθίτῃ, δεῖ δὲ τῷ κεραμίῳ τοῦ γλεύκους λίτραν μίαν τοῦ ὑσσώπου κεκομμένων τῶν φύλλων προσδιδόναι. ἐνειλοῦντας εἰς ὀθόνιον ἀραιὸν, συγκαθίενται δὲ λιθάρια, ἵνα τῷ πυθμένι προσκαθίσῃ ὁ ἔνδεσμος· μετάγγιζε δὲ δι' ἡμέρας μ' διυλίζων. ἁρμόζει δὲ πρὸς τὰ ἐν θώρακι καὶ πλευρῷ καὶ πνεύμονι πάθη, βῆχας τε παλαιάς, καὶ ἆσθμα· ἔστι δὲ καὶ οὐρητικός, καὶ στροφουμένοις ἁρμόζει, πρός τε ῥίγη τὰ ἐν περιόδοις· κινεῖ δὲ καὶ ἔμμηνα.

Περὶ Χαμαιδρυΐτου οἴνου. Κεφ. να'.

Καὶ ὁ Χαμαιδρυΐτης ὁμοίως τῷ ὑσσωπίτῃ σκευάζεται. θερμαντικὸς ὢν καὶ διαλυτικός· ἁρμόζων σπασμοῖς καὶ ἰκτέροις, ὑστερικαῖς πνευματώσεσι, βραδυπεψίαις, ὕδρωπι ἀρχομένῳ. ἀμείνων δὲ παλαιούμενος γίνεται.

Περὶ Στοιχαδίτου οἴνου. Κεφ. νβ'.

Σκευάζεται καὶ στοιχαδίτης ὁμοίως. δεῖ δὲ τοῖς ς' χοεῦσι μνᾶν μίαν στοιχάδος διδόναι. διαλύει δὲ πάχη, καὶ πνευματώσεις, καὶ πόνους πλευρᾶς καὶ νεύρων, καὶ καταψύξεις· διδο-

Hyſſopites. Cap. L.

Hyſſopites è Cilicio hyſſopo maximè laudatur, fitque ſimiliter, foliorum hyſſopi tuſorum libra in amphoram muſti coniecta, linteolo raro, cum quibuſdam lapillis, folia inuoluuntur, vt degrauatus ponduſculo faſciculus ſidat: vinũ poſt quadraginta dies defæcatũ elutriatur, Contra pectoris, laterum, & pulmonis vitia, veterem tuſsim, & ſuſpiria prodeſt: vrinam cit: torminibus, & horroribus febrium circuitu repetentibus auxiliatur: menſes mouet.

Chamædryites. Cap. LI.

Simili modo chamædryites fieri ſolet. Excalfacit, diſcutit: conuulſis, regio morbo, vuluæ inflationibus, tardæ concoctioni, incipiẽti aquæ inter cutem, ſubuenit. Inueteraſcens melius redditur.

Stœchadites. Cap. LII

Stœchadites nõ ſecus tẽperatur. Cõgiis ſex ſtœchadis minã addere oportet. Craſsitiẽ, inflationes, laterũ, neruorũq; cruciatus, & perfrictiones diſcutit:

comitialibus commodè datur, cum pyrethro & ſagapeno.

Acetũ ex ſtœchade herba.

Cap. LIII.

Fit ad eadem acetum è ſtœchade herba, vt paulò ante diximus, aceto macerata, quod eoſdem implet effectus.

Vinum è betonica.

Cap. LIIII.

Fit vinum è betonica, quam ceſtron pſychotrophon appellant. Herbam ſemine maturo prægnantem, cum ſuis ramulis minæ pondo, congiis duobus vini macerant, & poſt ſeptimũ menſem transfundũt. Ad multa interaneorum vitia, vt frutex ipſe, pollet. Et vt in vniuerſum dicatur, factitia vina, ſibi miſturarũ vires adſciſcũt: quare non difficile fuerit, iis qui illarum naturas norint, vinorum vires coniectura quadam conſequi: veruntamen vinorum vſus febricitantibus abdicandus. Fit etiamnum è betonica acetum, ad eadem vitia vtile.

Tragoriganites. Cap. LV.

Tragoriganites fit quaternis tragorigani drachmis linteolo colligatis, in quaternos muſti ſextarios cõiectis, et poſt tertiũ mẽſẽ trãsfuſis. Prodeſt tormini bus, vulſis,

δίδοται δὲ καὶ ἐπιληπτικοῖς ὠφελίμως μετὰ πυρέθρου καὶ σαγαπηνοῦ.

Περὶ Ὄξους στοιχαδικοῦ.

Κεφ. νγ΄.

Γίνεται καὶ ὄξος διὰ στοιχάδος πρὸς τὰ εἰρημένα, ἐναποβρεχομένης ὄξει τῆς πόας ὡς προείρηται, ποιεῖ δὲ πρὸς τὰ αὐτά.

Περὶ Κεστρίτου οἴνου.

Κεφ. νδ΄.

Γίνεται καὶ ἐκ τοῦ κέστρου τοῦ ψυχοτρόφου οἶνος. δεῖ δὲ λαμβάνειν τὴν πόαν σπέρματος πλήρη περιέρου σὺν τοῖς κλάδοις, καὶ μνᾶν μίαν βάλλειν εἰς οἴνου χοᾶς β΄. ἐᾶν τε ἑπτὰ μῆνας, καὶ οὕτω μεταγγίζειν. ποιεῖ δὲ πρὸς πολλὰ τῶν ἐντὸς καθάπερ καὶ ὁ θάμνος αὐτῆς. καὶ καθόλου πάντες οἱ σκευαστοὶ οἶνοι ἀναλαμβάνουσι τὴν δύναμιν τῶν μιγμάτων· διὸ τοῖς τὰς ἐκείνων ἐπεγνωκόσι φύσεις εὐχερὲς καὶ τὰς τῶν οἴνων δυνάμεις συμβάλλειν· ἀπυρέτοις μέν τοι ἐστὶν ἡ τῶν οἴνων χρῆσις. καὶ ὄξος δὲ ἐξ αὐτοῦ γίνεται πρὸς τὰ ἐοικότα πάθη χρησιμεῦον.

Περὶ Τραγοριγανίτου οἴνου.

Κεφ. νε΄.

Τραγοριγανίτης· τραγοριγάνου < δ΄. εἰς γλεύκους ξέστας δ΄. ἐν ὀθονίῳ χάλα πρὸς μῆνας γ΄. καὶ μετάγγιζε. ἁρμόζει στρόφοις, σπάσμασι

σπάσμασι, ῥήγμασι, πόνοις πλευρῶν, πνευμάτων διαδρομαῖς, δυσπεψίαις.

Περὶ Βουνίτου οἴνου.

Κεφ. νϛʹ.

Οἶνος διὰ βουνίου· βουνίου < βʹ κόψας, κάθες εἰς κοτύλας γλεύκους τέσσαρας, καὶ τ' ἄλλα ὁμοίως ποίει. ἁρμόζει δὲ στομαχικοῖς κεκοπωμένοις δι' ὁπλομαχίαν, ἢ ἱππασίαν πολλήν.

Περὶ Δικταμνίτου οἴνου.

Κεφ. νζʹ.

Δικταμνίτης· δικτάμνου < δʹ * εἰς γλεύκους κοτύλας ηʹ. ἀπόβρεχε ὁμοίως. ποιεῖ δὲ ἀσωμένοις στόμαχον, ἄγει καὶ λόχια καὶ ἔμμηνα.

Περὶ Πρασίτου οἴνου.

Κεφ. νηʹ.

Ὁ διὰ πρασίου· πρασίου τοῦ ἀκμαίου φύλλα κόψας χοίνικας βʹ, κάθες εἰς μετρητὴν γλεύκους, καὶ τ' ἄλλα ὁμοίως ποίει· ἁρμόζει δὲ τοῖς περὶ θώρακα καὶ πρὸς ὅσα τὸ πράσιον.

Περὶ Θυμίτου οἴνου.

Κεφ. νθʹ.

Θυμίτης· θύμου κεκομμένου καὶ σεσυσμένου οὐγγίας ρʹ ἐνδήσας εἰς ὀθόνιον, κάθες εἰς γλεύκους κεράμιον. ἁρμόζει πρὸς δυσπεψίας, ἀνορεξίας, δυσεντερείας, νεύρων πόνους, ὑποχονδρίων, φρει-

bus, vulſis, ruptis, laterũ doloribus, ſpirituum diſcurſationi, ægris concoctionibus.

Bunites vinum.

Cap. LVI.

E napis fit vinum, nomine bunites, drachmis duabus tuſi napi in ſextarios duos muſti additis, & cæteris eodem modo factis, Prodeſt ſtomachicis, & dimicatione, aut longo equitatu fatigatis.

Dictamnites.

Cap. LVII.

Dictamni drachmas quatuor macerato quaternis muſti ſextariis. Facit aduerſus ſtomachi faſtidia: menſes, & purgamentum à partu ſubducit.

Vinum ex marrubio.

Cap. LVIII.

Marrubij adulti folia tundito, & ſextarios octo in muſti metretam demittito, & reliqua conſimiliter facito. Conuenit hoc vinũ pectoris vitiis, & omnibus quibus marrubiũ.

Vinum ex thymo.

Cap. LIX.

Thymi tuſi & cribrati vncias centum linteo colligatas, in amphoram muſti adiicito. Valet cõtra ægras coctiones, faſtidia, dyſenteriam, neruorum & præcordiorũ dolores,

hybernos algores, & venenata animalia, quorũ morſum frig⁹ inſequitur, aut putreſcit locus.

φρίκας χειμερινὰς, καὶ πρὸς ἰοβόλα τὰ ψύχοντα καὶ σήποντα.

Vinum è ſatureia.

Cap. LX.

Simili modo è ſatureia vinũ fit, quod eadem quæ thymites præſtat.

Περὶ Θυμβρίτου οἴνου.

Κεφ. ξ'

Θυμβρίτης ὁμοίως σκευάζεται. καὶ πρὸς τὰ αὐτὰ ποιεῖ, πρὸς ἃ καὶ ὁ θυμίτης.

Origanites.

Cap. LXI.

Sic quoque origanites ex heracleotico origano conficitur ſimiliter cum ſupradicto. Facit eadem quæ thymites.

Περὶ Ὀριγανίτου οἴνου.

Κεφ. ξα'.

Ὀριγανίτης δι' ὀριγάνου ἡρακλεωτικῆς σκευάζεται ὁμοίως τῷ θυμίτῃ· ποιῶν πρὸς τὰ αὐτά.

Vinum è calamintha.

Cap. LXII.

E calamintha, pulegio, & abrotono vina fiunt eodem quo thymites modo, proſunt ſtomachicis, cibũ faſtidiẽtibus, & regio morbo: ꝙ vrinã moueant.

Περὶ Καλαμινθίτου γληχωνίτου καὶ ἀβροτονίτου οἴνου.

Κεφ. ξβ'.

Καλαμινθίτης γληχωνίτης, ἀβροτονίτης, ὁμοίως σκευάζεται τῷ διὰ θύμου· ποιοῦσι δὲ στομαχικοῖς καὶ ἀνορεκτοῦσι, καὶ πρὸς ἴκτερον· οὐρητικοὶ γάρ εἰσιν.

Vinum è conyza.

Cap. LXIII.

Fit item è conyza vinum, contra venenata ante alia efficax.

Περὶ Κονυζίτου οἴνου.

Κεφ. ξγ'.

Οἶνος κονυζίτης ὁμοίως σκευάζεται· ἔστι δὲ πάντων μᾶλλον θηριακός.

Aromatites.

Cap. LXIIII.

Aromatites ita fit: Palmæ, aſpalathi, calami, nardi gallici, ſingulorum quatuor ſextarios ſumito: poſtquam contriueris, paſſo ſubigito, coactis ingentibus offis, & in ſextarios duodecim auſteri muſti deiectis, oper-

Περὶ Ἀρωματίτου οἴνου.

Κεφ. ξδ'.

Ὁ δὲ ἀρωματίτης οὕτω κατασκευάζεται· φοίνικος, ἀσπαλάθου, καλάμου, νάρδου κελτικῆς, ἑκάστου χοίνικα λειώσας, φύρασον γλυκεῖ, καὶ ποιήσας εὐμεγέθεις μάζας, βάλε εἰς γλεύκους αὐστηροῦ ξέστας ιβ'. καὶ ἔα-

καὶ ἔασον ἡμέρας μ΄. σφηνώσας ἀγγεῖον· εἶτα διυλίσας ἀποτίθεσο. σκευάζεται δὲ καὶ ἄλλως· καλάμου ὁλκὰς η΄. φοῦ < ζ΄. κόστου < β΄. νάρδου συριακῆς < ϛ΄. κασσίας < η΄. κρόκου < δ΄. ἀμώμου < ε΄. ἀσάρου < δ΄. ταῦτα ὁμοῦ λειώσας καὶ ἐν ὀθονίῳ δήσας χάλασον εἰς μετρητὴν γλεύκους, καὶ μετὰ τὸ ἀποζέσαι τὸν οἶνον μετάγγιζε. ποιεῖ δὲ πρὸς πόνους θώρακος, πλευρῶν, πνεύμονος, δυσουρίαις τε καὶ ῥίγεσιν, ἐμμηνίοις ἐπισχεθεῖσι, καὶ τοῖς διὰ κρυμὸν ὁδεύουσιν ἁρμόζει πινόμενος· καὶ πρὸς τοὺς πάχος φλυνῶντας· περιποιεῖ δὲ καὶ εὔχροιαν, ὑπνωτικός τε ἐστὶ καὶ ἀνώδυνος τοῖς περὶ κύστιν, καὶ νεφροῖς ἁρμόζων πάθεσι.

Περὶ οἴνου τοῦ ἐκ σμύρνης, πεπέρεως, καὶ ἴρεως. Κεφ. ξέ.

Σκευάζεται δὲ οἶνος πρὸς καταῤῥους, βῆχας, ὠμότητας, ἐμπνευματώσεις καὶ πλάδον στομάχου· σμύρνης < β΄. πεπέρεως λευκοῦ < α΄. ἴρεως < ϛ΄. ἀνήθου* < γ΄. ταῦτα ὁλόκοπα* ἐνδήσας εἰς ὀθόνιον, κάθες εἰς ξέστας ϛ΄. οἴνου· μετὰ δὲ τρίτην διυλίσας ἀποτίθεσο εἰς λάγηνον. καὶ πότιζε μετὰ περίπατον διδοὺς ἄκρατον κύαθον α΄.

Περὶ

operculato vaſe, quadraginta diebus quieſcere ſinito: deinde vbi fæce expurgatū fuerit, recōdito. Alia eius ratio: calami vncia, phu drachmę ſeptem, coſti drachmæ duæ, nardi ſyriaci drachmæ ſex, caſsiæ vncia, croci drachmæ quatuor, amomi drachmæ quīq;, aſari drachmæ quatuor: omnia ſimul trita & linteo colligata in cadū muſti demerguntur, & poſtquā vinū deferbuerit, trāſfunditur. Facit ad pectoris, & laterum, & pulmonis dolores: difficili vrinæ, horroribꝰ, retardatis mēſibus, atq; iis qui per frigora iter faciūt, potū cōuenit: pituitæ craſſitiē extenuat: colorē alit, ſomnū conciliat, dolorem finit, renum & veſicæ vitiis auxiliatur.

Vinum ex myrrha, pipere & iride. Cap. LXV.

Fit & vinū ad deſtillatiōes, cruditates, tuſsim, inflationes, & ſi humor in ſtomacho coiit: Myrrhæ duæ drachmę, piperis cādidi drachma vna, iridis drachmę ſex, aniſi drachmæ tres: oīa plenius tuſa & linteolo inuoluta ī ſex vini ſextarios cōiiciunt: vinum poſt triduū colatur, & in lagena reconditur. Datur poſt deambulationem, meraculum, cyathi vnius menſura.

Nectarites

Nectarites. Cap. LXVI.

FIT quoque nectarites ex helenio herba: Radice ſicca pondo quinque drachmarum linteolo colligata, & in cõgios ſex muſtis addita, & poſt tres mẽſes effuſa. Facit ad ſtomachi & pectoris vitia: vrinam pellit.

Vinum ex Syriaca nardo, & Celtica, malabatróq;. Cap. LXVII.

E Syriaca nardo, & Celtica, malabathróq; vinũ factitatur, hac ratione: Singulorũ ſelibrã in binos muſti cõgios mittito, poſt menſes duos colato. Datur cyathus vnꝰ cũ tribꝰ aquę. Hoc vinum efficax eſt contra vitia renum, hepaticos, regium morbum, & vrinæ difficultatẽ: prodeſt ſtomachicis, atque iis quos pallor decolorat, Alij vnciam, aut ſextantem acori, & Celticæ nardi quadrantem, in muſti amphoram adiiciunt.

Vinum aſarites. Cap. LXVIII.

Aſari quadrantem in ſenos muſti ſextarios itidem demittito. Id vini genus vrinam ciet: hydropicis, & regio morbo laborantibus, hepaticis, iſchiadicíſque conuenit.

Vinum

Περὶ Νεκταρίτου οἴνου. Κεφ. ξϛ΄.

Ὁ δὲ νεκταρίτης σκευάζεται ἐκ τοῦ ἑλενίου· ὃ ἔνιοι μηδικήν, οἱ δὲ σύμφυτον, οἱ δὲ ἰδαῖον φλόμον, οἱ δὲ ὀρέστιον, οἱ δὲ νεκτάρειον καλοῦσιν· ἑλενίου ῥίζης ξηρᾶς < ε΄. ἐνδήσας εἰς ὀθόνιον, κάθες εἰς χόας ϛ΄. γλεύκους, καὶ μετὰ γ΄. μῆνας ἀπόχει. ποιεῖ δὲ πρὸς στόμαχον, θώρακα· ἄγει δὲ καὶ οὖρα.

Περὶ τοῦ διὰ συριακῆς νάρδου καὶ κελτικῆς καὶ μαλαβάθρου οἴνου. Κεφ. ξζ΄.

Ὁ δὲ διὰ συριακῆς νάρδου, καὶ κελτικῆς, καὶ μαλαβάθρου, σκευάζεται οὕτως· ἑκάστου ἡμίμναιον λαβὼν, εἰς δίχουν γλεύκους κάθες καὶ μετὰ μῆνας β΄. διύλιζε. δίδου δὲ καὶ κύαθον α΄. πρὸς τρεῖς ὕδατος. ποιεῖ νεφριτικοῖς, ἰκτερικοῖς, ἡπατικοῖς, δυσουροῦσιν, ἀχροοῦσι, στομαχικοῖς. οἱ δὲ ἀκόρου οὐγγίας α΄ ἢ β΄. κελτικης νάρδου οὐγγίας γ΄. ἐν κεραμίῳ γλεύκους σκευάζουσιν.

Περὶ Ἀσαρίτου οἴνου. Κεφ. ξη΄.

ΑΣΑΡΙΤΗΣ ἀσάρου οὐγγίας γ΄. κάθες εἰς γλεύκους κοτύλας ιβ΄. ὁμοίως. ἔστι δὲ διουρητικός, ὑδρωπικοῖς ἁρμόζων, καὶ ἰκτεριῶσι, ἡπατικοῖς, ἰσχιαδικοῖς.

Περὶ

Περὶ τοῦ διὰ τῆς ἀγρίας νάρδου οἴνου. Κεφ. ξθ'.

Ὁ δὲ διὰ τῆς ἀγρίας νάρδου· νάρδου ἀγρίας τῆς ῥίζης προσφάτου λειώσας σεσησμένης κάθες οὐγγίας η'. εἰς χοῦν γλεύκους ὁμοίως. καὶ ἔα μῆνας β'. χρήσιμος ἡπατικοῖς, δυσουροῦσι, πνευματουμένοις, στομαχικοῖς.

Περὶ δαυκίτου οἴνου. Κεφ. ο'.

Δαυκίτης· δαύκου τῆς ῥίζης ὁλοκόπου < ς'. εἰς γλεύκους κεράμιον κάθες ὁμοίως καὶ μετάγγιζε. ποιεῖ δὲ πρὸς πόνους θώρακος, ὑποχονδρίων, ὑστέρας· ἄγει ἔμμηνα, ἐρυγὰς κινεῖ, καὶ οὖρα· ἁρμόζει βηχὶ, σπάσμασι, ῥήγμασιν.

Περὶ Ἐλελισφακίτου οἴνου. Κεφ. οα'.

Ἐλελισφακίτης ὁμοίως· ἐλελισφάκου οὐγγίας η'. ὁμοίως εἰς γλεύκους ἀμφορέα* ὅ ἐστι κεράμιον, κάθες. ποιεῖ δὲ πρὸς νεφρῶν πόνους, καὶ κύστεως καὶ πλευρῶν, αἵματος ἀναγωγὰς, βῆχα, ῥήγματα, σπάσματα, θλάσματα, ἔμμηνα ἐστεγνωμένα.

Περὶ Πανακίτου οἴνου. Κεφ. οβ'.

Πανακίτης, πάνακος οὐγγίαν α'. εἰς χόα γλεύκους καθεὶς ὁμοίως μετάγγιζε. ποιεῖ σπάσμασι, ῥήγμασι, θλάσμασιν, ὀρθοπνοίαις· λεπτυντικὸς πάχους σπληνός· ποιεῖ δὲ καὶ πρὸς στρόφους, ἰσχιάδας,

βραδυπεψίας·

Vinum ex nardo ſylueſtri. Cap. LXIX.

Radicis ſylueſtris, nardi recentis & tritæ cribratæq́; beſſem in congium muſti coniicito, duos menſes quieſcere ſinito. Vtile eſt hepaticis, difficili vrinæ, inflationibus, ſtomachicis.

Vinum ex dauco herba. Cap. LXX.

Radicis dauci contuſæ drachmas ſex in muſti amphoram imponito, & ſimiliter tráſfundito. Facit ad dolores thoracis, præcordiorum, & vuluæ: menſes pellit, ructus ciet, & vrinã: prodeſt tuſsi, ruptis, vulſisq́;.

Vinum ex ſaluia. Cap. LXXI.

SALVIÆ vnciam in muſti amphorã, quod idem cum ceramio eſt, mittito. Valet cõtra renum, veſicæ, & laterum dolores, reiectiones ſanguinis, tuſsim, rupta, vulſa, & ſuppreſſos menſes.

Vinũ ex panace. Ca. LXXII.

Panacis vnciã in muſti congium mittito, & transfundito. Prodeſt ruptis, vulſis, contuſis, orthopnœæ: lienis craſsitiem extenuat: contra tormina, coxendicum dolores, efficax eſt:

tardas

tardas cõcoctiones accelerat: mẽſes & partus extrahit: aquæ inter cutem, & ſerpentiũ ictibus auxiliatur.

Vinũ ex acoro. Ca. LXXIII.

Vinum ex acoro & dulci radice cõſimili modo fiũt. Oportet enĩ ſingulorũ vncias octo in ſenos cõgios mittere, tribus mẽſibus macerare, mox in vas transferre. Faciũt ad pectus, & latera, & vrinam mouent.

Vinũ ex apio. Ca. LXXIIII.

Seminis apij recentis, maturi & cribrati vnciæ nouẽ in linteo colligatæ in muſti amphorã demittant̃. Appetitũ excitat: ſtomachicis, & difficili vrinæ auxiliatur: faciles ſpiritus facit.

Vinum ex fœniculo & anetho. Cap. LXXV.

Ex fœniculo, anetho, & petroſelino, vina eodem modo fiunt, & ad eadem efficacia.

Vinum ex ſalis flore. Cap. LXXVI.

Fit & è flore ſalis vinũ, multò ad purgandum efficacius, quàm vinũ aqua marina tẽperatum. Fauces, veſicã, renes, & ſtomachum infeſtat: quare neque in ſecunda, neque aduerſa valetudine prodeſt.

Vinũ phthoriõ. Ca. LXXVII.

Fit etiã vinũ qđ phthoriõ vocant,

βραδυπεψίας· καταμήνια ἄγει καὶ ἔμβρυα· ὑδρωπικοῖς, καὶ θηριοδήκτοις ἁρμόζει.

Περὶ Ἀκορίτου οἴνου.

Κεφ. ογ΄.

Ἀκορίτης δὲ καὶ ὁ ἀπὸ γλυκυρίζης ὁμοίως σκευάζεται. δεῖ γὰρ ἑκάστου οὐγγίας * π΄. εἰς χόας ς΄. πρὸς μνᾶς γ΄. ἀποβρέχοντας μεταγγίζειν. ποιοῦσι δὲ πρὸς πλευρὰν, καὶ θώρακα, κινοῦντες καὶ οὔρησιν.

Περὶ Σελινίτου οἴνου. Κεφ. οδ΄.

Σελίνου σπέρματος ὡρίμου νέου σεσησμένου οὐγγίας θ΄. ἐνδήσας εἰς ὀθόνιον, βάλε εἰς κεράμιον γλεύκους ὁμοίως. ποιεῖ δὲ ὄρεξιν· καὶ στομαχικοῖς ἁρμόζει. καὶ δυσουροῦσιν. ἔστι δὲ καὶ εὔπνους.

Περὶ Μαραθρίτου καὶ ἀνηθίνου οἴνου. Κεφ. οε΄.

Καὶ μαραθρίτης καὶ ἀνήθινος, καὶ πετροσελινίτης ὁμοίως σκευάζονται πρὸς τὰ αὐτὰ ποιοῦντες.

Περὶ Ἁλοσανθίνου.

Κεφ. ος΄.

Σκευάζεται καὶ δι' ἁλὸς ἄνθους καθαρτικώτερος τοῦ διὰ θαλάσσης. κακοῖ δὲ φάρυγγα, καὶ νεφροὺς, κύστιν, στόμαχον· ὅθεν οὔτε πρὸς ὑγείαν οὔτε πρὸς πάθη χρήσιμος ὁ τοιοῦτος.

Περὶ Φθορίου ἐμβρύων.

Κεφ. οζ΄.

Γίνεται δὲ καὶ φθόριος ἐμβρύων οἶνος,

οἶνος, φυτευομένοις γὰρ ταῖς ἀμπέλοις συμφύεται ἐλλέβορος ἢ σίκυς ἄγριος, ἢ σκαμμωνία, ὧν ἀναλαμβάνει ἡ σταφυλὴ τὴν δύναμιν. καὶ ὁ ἐξ αὐτῶν οἶνος γίνεται φθόριος. γίνεται δὲ προεμημεκυίαις νήστεσι κυάθων πλῆθος ή κεκραμένος.

cant,quoniam partus necat,& abortꝰ facit,veratro aut ſcãmonia,aut ſylueſtri cucumere,iuxta radices vitiũ ſato:ſiquidem vites ſibi illorũ vires adſciſcũt. Id vinũ partꝰ enecat: datur ieiunis mulieribus,quæ antè vomuerunt,cyathorum octo mẽſura,dilutum.

Περὶ Θυμελαίτου οἴνου.
Κεφ. οή.

Ὁ θυμελαίτης τῶν κλώνων σὺν τοῖς φύλλοις καὶ τῷ καρπῷ < λ'. βάλε εἰς γλεύκους χόας γ'. καὶ σκεύαζε ἕψων κούφως, ἄχρις ἂν β'. ἀπολιφθῶσι χόες, καὶ διυλίσας ἀποτίθεσο. καθαίρει ὑδατώδη καὶ σπλῆνα τήκει.

Vinum ex thymelæis.
Cap. LXXVIII.

Rhamorũ thymelææ cũ ſuis foliis,& fructu triginta drachmas mittito in cõgios tres muſti,& leui igne coquito, donec congij duo ſuperſint, defæcatũq; recondito.Aquoſa purgat excremẽta,& lienẽ abſumit.

Περὶ Χαμαιλαίτου.
Κεφ. οθ'.

Χαμαιλαίτης ἐπειδὰν ἀνθῇ ὁ θάμνος, μετὰ τῶν φύλλων κόψας καὶ σήσας βάλε < ιβ'. εἰς γλεύκους χοῦν, καὶ μετὰ μῆνας β'. μετάγγιζε. ποιεῖ δὲ ὑδεριῶσιν, ἡπατικοῖς, κεκοπωμένοις. καὶ ταῖς ἐκ τοκετοῦ δυσκαθάρτοις.

Vinum ex chamelæa.
Cap. LXXIX.

Chamelæa dum floret,cũ foliis tuſa & cribrata decẽ drachmarum pondere, in muſti cõgium additur. Poſt duos menſes vinum in vas transfertur Aquæ inter cutem, hepaticis, & laſsitudine cõfractis,efficax eſt:item mulieribus quę à partu ægrè purgantur.

Περὶ Χαμαιπιτυΐνου.
Κεφ. π'.

Χαμαιπιτύϊνος ὁμοίως σκευάζεται, καὶ πρὸς τὰ αὐτὰ ἁρμόζει διουρητικὸς ὤν.

Chamæpityinum.
Cap. LXXX.

Chamæpityinum ſimili modo fit,& ad eadẽ conueniens: vrinam quoque ciet.

Περὶ

Vinum

Vinum ex mandragora. Cap. LXXXI.

Librum radicis mãdragoræ cõcidito, ſegméta lino traiicito, quod ſelibrã ęquat in muſti cadum demittito, ibiq; eſſe ſinito ad mẽſes treis, deinde traſfundito. Media potio, heminæ dimidiũ: bibitũ, paſſo in duplũ addito. Aiunt heminã vini cõgio miſtã, potu ſoporem adferre: cyathus vnus cũ ſextario vini pot⁹, enecat: mediocris vſus ei⁹ doloris ſenſũ aufert: fluxiones incraſſat: olfactu, potúq;, & cum inditur idẽ præſtat.

Vinũ ex verano. Ca. LXXXII.

In cõgiũ muſti aqua marina diluti, drachmas xij. nigri veratri triti ĩ linteo mũdo, mittito: dũq; efferbuerit, in marinæ aquæ cõgios xiiij. aut xv, vbi pleniuſcule fregeris, iniicito: poſt aliquot dies colato, & vtitor. Dato cyathum vnum ex aqua balnei in potu, ad aluũ ſoluẽdã, iis qui euomuerũt à cœna. Alia ratio: Veratri drachmas viginti, iũci odorati vncias duodecĩ, ſpicæ Syriacæ vncias tredecim, cribratas, & linteo colligatas in ſeptẽ vini Coi ſextarios dieb⁹ quadraginta macerãdas indito, poſtmodum calato: dabis in potu ſeſquiheminam.

Aliter:

Περὶ Μανδραγορείτου. Κεφ. πα΄.

Μανδραγορείτης, τοῦ φλοιοῦ τῆς ῥίζης κατατεμὼν, ἔνειρον εἰς λίνον ἢ μιμναῖον, καὶ κάθες εἰς μετρητὴν γλεύκους πρὸς μνᾶς γ΄. εἶτα μετάγγιζε. ἡ μέση πόσις ἡμικοτύλιον· πίνεται δὲ γλυκέως προσδιδομένου εἰς διπλάσιον. φασὶ δὲ κοιμίζειν καὶ καρωῦν κοτύλην αὐτοῦ χοῒ ἑνὶ μιχθεῖσαν, καὶ ποθεῖσαν· μετὰ ξέστου δὲ οἴνου κύαθος εἷς ποθεὶς ἀναιρεῖ· ἔστι δὲ ἡ σύμμετρος χρῆσις ἀνώδυνος· ῥευμάτων παχυντική· ὀσφραινόμενος δὲ καὶ ἐγκλυζόμενος τὸ αὐτὸ ποιεῖ.

Περὶ Ελλεβορίτου. Κεφ. πβ΄.

Ελλεβορείτης εἰς χοῦν γλεύκους τεθαλασσωμένου μέλανος ἐλλεβόρου < ιβ΄ λείου βάλε ἐν ὀθονίῳ καθαρῷ, μετάχει δὲ ὅταν ἀναζέσῃ* εἰς θαλάσσης χόας ιε. ἢ ιδ΄. ὁλοσχερῶς συνθλάσας βάλε, καὶ μεθ᾽ ἡμέρας τινὰς διυλίσας χρῶ. πότιζε δὲ κύαθον α΄, πρὸς κοιλίας λύσιν μεθ᾽ ὕδατος ἐκ βαλανείου, ἐμημεκόσιν, ἀπὸ δείπνου. ἢ ἐλλεβόρου < κ΄. σχίνου οὐγγίας ιβ΄. στάχυος συριακοῦ οὐγγίας ιγ΄. σεσησμένα ἐν ὀθονίῳ δήσας. κάθες εἰς κοτύλας ιδ΄. κῴου οἴνου ἐπὶ ἡμέρας μ΄, εἶτα ἀπηθήσας πότιζε τρία ἡμικοτύλια.

ἢ εἰς

εἰς γλεύκους κεράμιον θαλάττης πελαγίας ἑψημένης ξέστας ιβʹ. ἐλλεβόρου λευκοῦ λίτρας ϛʹ. ἔμβρεχε ἡμέρας μʹ. καὶ ἀπηθήσας χρῶ. ἢ ἐλλεβόρου < ιβʹ. ἀφρονίτρου < δʹ γλεύκους κοτύλας ιβʹ. βρέχε ἐπὶ ἡμέρας ιεʹ. καὶ ἀπηθήσας χρῶ μετὰ μῆνας ἕξ. τοῦτο καὶ βρέφη ἐκτιτρώσκει, ἢ καὶ ἐκθηλοπεδευομένης σταφυλῆς βάλε εἰς γλεύκους μετρητὴν (ἔστι δὲ ὁ μετρητὴς χόες ι) καὶ βάλε γύψον εἰς τὸν οἶνον < κʹ. καὶ ἔασον ἡμέρας βʹ. καὶ κάθες ἔνδεσμον ἐλλεβόρου μέλανος* οὐγγίας λʹ. σχίνου οὐγγίας λʹ. καλάμου οὐγγίας λʹ. ἀρκευθίδων ἡμιχοίνικον καὶ δʹ. σμύρνης δὲ καὶ κρόκου ἀνὰ οὐγγίαν αʹ. ἐνειλήσας ὀθονίῳ κρέμασον ἡμέρας μʹ. εἶτα διύλιζε καὶ δίδου κυάθους γʹ. ἢ βʹ. κεράσας. καθαίρει τὰς ἐκ τοκετῶν καὶ ἐκ φθορῶν· καταστᾷ δὲ καὶ ἔμβρυα καὶ πρὸς τὰς ὑστερικὰς πνίξας ποιεῖ.

Περὶ Σκαμμωνίτου. Κεφ. πγʹ.

Σκαμμωνίτης· σκαμμωνίας τῆς ῥίζης < ιεʹ. ὀρυττομένης ἐν πυραμητῷ ἔμβαλε εἰς γλεύκους χοῦν ἕνα λείας, δήσας ἐν ὀθονίῳ ἐπὶ ἡμέρας λʹ. καθαίρει

Aliter: Decoctæ marinæ aquæ ex alto petitæ ſextarios duodecim, veratri candidi libras ſex, in muſti amphora quadrageſimo die, q̃ madefeceris, colato, & vtitor. Alia ratio: Veratri drachmas duodenas, et aphronitri quaternas, in ſenis, muſti ſextariis diebus quiniſdenis macerato, mox colato: & ſemeſtri exacto, vtitor. Id vini genus abortus facit, & partus necat. Aut vuas in ſole ſiccatas imponito in muſti metretã (implet autẽ metreta cõgios duodecim) & gypſum in vinũ mittito põdo drachmarum viginti, & biduo reſidere ſinito, coniicio veratri nigri drachmas triginta, iunci odorati, calami, ſingulorũ drachmas triginta, baccarũ iuniperi ſextarios duos, & triẽtẽ, myrrhæ & croci ſingulorũ drachmam, inuoluẽs linteolo diebus quadraginta appẽdito, poſtea colato. Dabis heminas treis aut duas dilutas. Purgat à partu, & abortu fœminas: fœtꝰ extrahit, cõtra ſtrãgulatꝰ vuluæ efficax.

Scãmonites. Cap. LXXXIII.

Scammonites ſic fit: Radicis ſcammoniæ per meſſes effoſſæ, tritæ, & linteo colligatæ drachmas quinq; in muſti cõgium mittito, ad dies triginta. Aluum

Aluum purgat, bilem & pituitam extrahit.

METALLICA OMNIA, & primum Cadmia. Cap. LXXXIIII.

Ex cadmiæ generibus optima eſt Cypria, botryitis nomine, denſa, modicè grauis, & in leuitatem magis declinans, racemoſa facie, colore ſpodij, q̃ fracta cinerulenta eſt, & erugi noſa. Proxima habet̃ foris cœrulea, intus candidior, internatis venarum diſcurſibus, onychitæ lapidi ſimilis, cuiuſmodi ſunt, quæ è veteribus metallis effodiuntur. Quædam etiã placodes, id eſt, cruſtoſa dicit̃, ſegmentis quibuſdã perinde quaſi zonis cincta, ob quod eam zonitin appellauere. Alia oſtracitis nominatur, gracilis, & magna ex parte nigra. Sed quæ teſtaceam faciem habet, terrã amplexa eſt. Improbatur candida. Oculorum medicamentis botryitis nomine, & onychitis, vtiles: reliquæ ad emplaſtra, & farinas quę cicatricibus inducendis inſparguntur. Ad eadem Cypria prodeſt. Ex Macedonia verò, Thracia, & Hiſpania delata improbãtur. Cadmiæ effectus adſtringere, caua explere, ſordes expurgare, exiccare,

καθαίρει δὲ κοιλίαν, ἄγων χολὴν καὶ φλέγμα.

ΠΕΡΙ ΠΑΝΤΟΣ λιθοῦ μεταλλικοῦ.

Περὶ Καδμείας. Κεφ. πδʹ.

Καδμείας ἀρίστη μὲν ἐστιν ἡ κυπρία, καλουμένη δὲ βοτρυΐτις, πυκνὴ, βαρεῖα μέσως, καὶ μᾶλλον ἐπὶ τὸ κουφότερον ῥέπουσα, ἔχουσα τὴν ἐπιφάνειαν βοτρυώδη, χρώματι σποδοειδὴς, θλασθεῖσα δὲ ἔντεφρος ἔνδοθεν καὶ ἰώδης. ἐχομένη δέ ἐστιν ἡ ἔξωθεν μὲν κυανίζουσα, ἔνδοθεν δὲ λευκοτέρα, διαφύσεις ἔχουσα ἐμφερεῖς ὀνυχίτῃ λίθῳ, τοιαῦται γάρ εἰσιν αἱ ἐκ τῶν παλαιῶν μετάλλων ὀρυσσόμεναι. Ἐστι δὲ καὶ πλακώδης τις λεγομένη ὥσπερ ζώνας ἔχουσα τὰς διαφύσεις, ὅθεν καὶ ζωνῖτιν αὐτὴν ἐκάλεσαν. καλεῖται δέ τις καὶ ὀστρακῖτις ἰσχνὴ, καὶ ὡς ἐπιτοπολὺ μέλαινα. γεώδης δὲ ἡ ὀστρακώδει κεχρημένη ἐπιφανίᾳ. φαύλη δὲ ἡ λευκή. χρησιμεύει δὲ πρὸς μὲν τὰ ὀφθαλμικὰ φάρμακα ἡ βοτρυῖτις καὶ ὀνυχῖτις καλουμένη· αἱ δὲ λοιπαὶ εἰς ἐμπλάστρους καὶ ξηρὰ κατουλωτικὰ δυνάμεναι. καὶ πρὸς ταῦτα χρησιμεύει ἡ κυπρία. ἡ γὰρ ἐκ μακεδονίας καὶ θράκης καὶ ἱσπανίας κομιζομένη, ἄθετος. Δύναμιν δὲ ἔχει συπτικὴν, κοιλωμάτων ἀναπληρωματικὴν, καθαρτικὴν ῥυπαρῶν παρεμπλάσσει

παρεμπλάσσει δὲ καὶ ξηραίνει καὶ ἐσχαροῖ, καὶ στέλλει τὰ ἐκσαρκώματα, καὶ τὰ κακοήθη τῶν ἑλκῶν ἀπουλοῖ. Γεννᾶται δὲ ἡ καδμεία ἐκ τοῦ χαλκοῦ καμινευομένου, προσιζανούσης τῆς λιγνύος τοῖς τοίχοις καὶ τῇ κορυφῇ τῶν καμίνων. εἰσὶ δὲ αὗται σιδηραῖ παμμεγέθεις, ὑπὸ τῶν μεταλλουργῶν καλούμεναι ἀκεσίδες, κατὰ κορυφὴν συνημμέναι πρὸς τὸ κατέχεσθαι καὶ ἐφιζάνειν τὰ ἀναφερόμενα σώματα ἀπὸ τοῦ χαλκοῦ. ἅπερ δὴ καὶ μᾶλλον ἐφιζάνοντα ἐκσωματοῦται, καὶ ποτὲ μὲν ἓν εἶδος αὐτῆς, ποτὲ δὲ δύο, ἢ ἅπαντα ἀποτελεῖται. μεταλλουργεῖται δὲ ἐκ τοῦ προσυπερκειμένου σολέου ὄρους τοῦ λεγομένου πυρίτου λίθου καιομένου· ἐν δὲ τῷ αὐτῷ ὄρει εὑρίσκεται οἱονεὶ διαζώματά τινα χαλκίτεως, μίσυος, σώρεως, μελαντηρίας κυανοῦ, χρυσοκόλλης, χαλκάνθου, διφρυγοῦς. τινὲς δὲ καὶ ἐν μετάλλοις φασὶ λιθίνοις εὑρίσκεσθαι καδμείαν πλανώμενοι ὑπὸ λίθων πολλὴν ἐμφέρειαν ἐχόντων· ὥσπερ καὶ ὁ ἐν τῇ κύμῃ λίθος εὑρισκόμενος. Δύναμιν δὲ οὐδεμίαν ἐνδεικνύμενος. ἐπιγινωσκομένων αὐτῶν ἐκ τοῦ κουφοτέρους αὐτοὺς εἶναι τῆς καδμείας, καὶ διαμασσηθέντας μὴ *ἐπιεικεῖς ἐν τῇ γεύσει.

ἀγανακτεῖν

exiccare, corporis meatus infarcire, excreſcentia in carne coërcere, cruſtas creare, & vlcera quæ cachoëte vocantur, ad cicatricem perducere. Gignitur cadmia ex ære in fornacibus candente, fuligine egeſta flatu, & lateribus cameríſque fornacum inhærēte. Prægrandes autem ac ferreæ ſunt rudes ab officinis appellatę aceſtides, per ſūma faſtigia cōnexæ & concameratæ, vt quæ ab ære iactantur ſurſum corpuſcula cohæreāt, & inibi detineantur: quæ cum ſpiſsius inſident, in corpus concreſcunt, & modo gen⁹ vnū eius, modo duo, modo omnia perficiunt. Extrahitur & cadmia ī Cypro è monte, qui Solis incumbit, cremato lapide cui pyritæ cognomen eſt: in quo etiā monte quædam quaſi venæ chalcitis, miſyos, ſoreos, melanteriæ, cærulæi, chryſocollæ, atramēti ſutorij, diphrygiſq; inueniunt. Nec deſunt qui cadmiā in lapidum fodinis inueniri tradant, falſi quadā lapidum cognatione: qualis inuenit, & apud Cumas lapis, nullam ſui vim oſtēdens. Ii eo deprehenduntur, ꝙ ſunt cadmia leuiores, nullumq; alienū mādētibus ſaporē exhibent.

bent;

bent:commanducatus item lapis, dentes offendit:cadmia, vtpote cum cedat, eſum non reſpuit. Alio autem diſcerni poſſunt argumento: Cadmia in farinā detrita, & aceto ſubacta, atq; in ſole ſiccata, coit:quod in lapide nō accidit. Item tritꝰ & igni appoſitus lapis, proſilit, & fumum igni ſimilem eiaculatur: cadmia verò quieta manet, fuliginéq; luteo colore aut æreo ſplendentem expuit, vario zonarum diſcurſu. Inſuper lapis ignem expertus, atq; refrigeratus, colorem mutabit, ac leuior multò fiet. ſed cadmia nihil euariat, niſi quis eam multis diebus cremauerit. Fit & in argenti fornacibus candidior, ac minus ponderoſa, ſed viribus nequaquam comparāda ærariȩ. Vritur cadmia ſuperior carbonibus obruta, donec tranſlucida ſpectetur, & ferrei ſtercoris modo bullet: mox extinguitur vino Amineo, q̄ ad emplaſtra præparatur: ſed quæ ad pſorarum medicamenta præparatur, aceto. Alij hoc modo exuſtā conterunt in vino, rurſúmq; fictili crudo torrēt, donec pumicoſa videatur: iterūq; tritam ex vino, tertio vrūt, donec prorſus in cinerē redigatur,

ἀγανακτεῖν δὲ τοὺς ὀδόντας ἐν τῇ γεύσει εἰ λίθος εἴη ἐν τῇ διαμασήσει. εἰ δὲ καδμεία εἴη, ἀνέχεσθαι τῆς διαβρώσεως συνοικούσης αὐτῆς. ἔτι διακρίνεται καὶ τῷ τὴν μὲν καδμείαν λειοτριβηθεῖσαν σὺν ὄξει, καὶ ξηρανθεῖσαν ἐν ἡλίῳ ἐκπιέζειν. τὸν δὲ λίθον μὴ πάσχειν τοῦτο. καὶ ἐκ τοῦ ἐπιθέντα μὲν τὸν λίθον τετριμμένον πυρὶ ἀποπηδᾶν, καὶ τὸν ἐξ αὐτοῦ καπνὸν ὁμοειδῆ ὑπάρχειν τῷ πυρί· τὴν δὲ καδμείαν, μένειν τε καὶ ἀναδιδόναι αἰθάλην μηλίζουσαν καὶ χαλκοφανῆ, ὡσπερεὶ ζώνην τινὰ ποικίλην. ἔτι ὁ μὲν λίθος πυρωθεὶς καὶ ψυγεὶς ἀλλοιωθήσεται τῷ χρώματι, καὶ κουφότερος ἔσται. ἡ δὲ καδμεία κατ' οὐδὲν μεταβάλλει, εἰ μή τις αὐτὴν ἐφ' ἱκανὰς ἡμέρας ἐγκαύσει. γίνεται δὲ καὶ ἐκ τῶν ἀργυρείων λευκοτέρα καὶ κουφοτέρα οὖσα, κατὰ δὲ τὴν δύναμιν ἥττων. καυστέον δὲ τὴν προειρημένην καδμείαν ἐγκρύπτοντας εἰς ἄνθρακας, ἕως οὗ διαφανὴς γίνηται, καὶ πομφολυγήσῃ ὡς σιδήρου σκωρία· εἶτα ἐν οἴνῳ σβεννύναι ἀμιναίῳ, τὴν δὲ εἰς τὰ ψωρικὰ ὄξει. τινὲς δὲ τὴν οὕτω καεῖσαν ἀναλεάναντες, οἴνῳ κατοπτῶσι πάλιν ἐν ὠμῇ χύτρᾳ μέχρι κισσηρώδης τὴν ὄψιν γίνηται· πάλιν δὲ μετ' οἴνου λεοτριβήσαντες τρίτον, καίουσι μέχρι τελείως εἰς σποδὸν ἀναλυθῇ,

tur, μηδὲν

μηδὲν ἔχουσα τραχύ· καὶ ἀντὶ σποδίου χρῶνται τῇ τοιαύτῃ. πλύνεται δὲ ἐν θυίᾳ τριβομένη σὺν ὕδατι, ἀποχεομένου τοῦ ὕδατος ἄχρι μηδὲν ἐφίσταται ῥυπαρόν, καὶ ἀναπλασθεῖσα ἀποτίθεται.

Περὶ Πομφόλυγος.

Κεφ. πε΄.

Πομφόλυξ σποδίου εἰδικῶς διαφέρει, γενικὴν γὰρ οὐκ ἔχει παραλλαγήν. ἡ μὲν γὰρ ὑπομελανίζει καὶ βαρυτέρα ἐστὶ κατὰ τὸ πλεῖστον, ἔμπλεως καρφῶν, καὶ τριχῶν καὶ γῆς ὥσπερ ἀπόψηγμά τι καὶ σύρμα τῶν ἐν τοῖς χαλκουργείοις ἐδάφων καὶ καμίνων οὖσα· ἡ δὲ πομφόλυξ λιπαρὰ ὑπάρχει καὶ λευκή, *ἔτι δὲ κουφοτάτη, ὡς δύνασθαι ἐπιπτᾶσθαι τῷ ἀέρι. καὶ ταύτης δὲ δύο ἐστὶν εἴδη. τὸ μὲν, ἀερίζον καὶ ὑπόπιμελον· τὸ δὲ, λίαν λευκόν, καὶ ἄκραν ἔχον κουφότητος. γίνεται δὲ ἡ λευκὴ πομφόλυξ, ὅταν ἐν τῇ κατεργασίᾳ καὶ τελειώσει τοῦ χαλκοῦ, πυκνότερον οἱ ἐκ τῶν χαλκουργείων συνεμπάσσωσι λελεασμένην καδμείαν, βελτιοῦν αὐτὴν βουλόμενοι. ἡ γὰρ ἀπὸ ταύτης ἀναφερομένη αἰθάλη λευκοτάτη οὖσα πομφολυγοῦται. οὐ μόνον δὲ ἐκ τῆς τοῦ χαλκοῦ κατεργασίας τε καὶ ὕλης γίνεται πομφόλυξ, ἀλλὰ καὶ ἐκ καδμείας προηγουμένως ἐκφυσωμένης εἰς γένεσιν αὐτῆς.

ποιεῖται

tur, nihil ſcabritiæ retinés: hac ſpodij vice vtuntur. Lauatur autem in mortario trita, effuſa ſubinde aqua, dum ſordidum nihil emergat: dein coacta in paſtillos reponitur.

Pompholyx.

Cap. LXXXV.

Pompholyx ſpecie ſola, non genere, à ſpodio diſtat. Siquidẽ ſpodos nigricat, & plerunque ponderoſior eſt, palearum pilorúmque plena, quaſi purgamentum quoddam, quod ab ærariarum officinarum pauimẽtis & fornacibus euerritur, pompholyx verò pinguis eſt, & candida, vſqueadeò leuis, vt in auras euolare poſsit. Cuius duo fluxerũt genera: vnum ad aëris colorem vergens, ſubpingue: alterum magnopere candidum, ſummámque leuitatem nactum. Candida fit pompholyx, quoties in perficiũdo ære, fabri præſtantiorem facere volentes, detritam cadmiam cumulatius inſparſerint. Nanque tenuiſsima fauilla, quæ effertur, in pompholygen coit. Cæterùm pompholyx non ex æris modo materia, & fabrili induſtria factitatur, ſed ex cadmia quoque, ad gignẽdam ipſam, eximiè follibus proflata.

 Cuius

Cuius faciundæ ratio hæc eſt: In domo gemina cõtignatione operta, fornax extruitur, iuxta quã mediocris feneſtra ad tabulatum à ſupernis partibus pateat: domicilij paries fornaci proximus, tenui foramine ad fornacẽ vſque perforetur, ad excipiendam follis narem: oſtium mediocre habeat, pro exitu ingreſſúq; artificis fabricatum: domũcula altera huic coniuncta ſit, in qua & folles, & flator ſuo munere fungantur: deinde carbonibus in camino ſuccenſis, aſsidens artifex cadmiam particulatim fractam inſpargit, à locis ſupra infurnibulum extructis: idem negotium obit inferné artificis miniſter, ſimúlq; carbones adiicit, vſque dum indita cadmiæ copia prorſus abſumatur. Itaq; egeſta ſuffitu tenuis pars, & leuis materiæ in ſummã domũ euolat, & parietibus, tectis, forniciq; adhereſcit: cõflatum autem inde corpus, inter initia erumpentibus aquarum bullis ſimile prodit, poſtea maius incrementũ capeſſens, glomuſculis vellerũ ſimile redditur. Ponderoſius autẽ in ima loca ſe recipit: ſed hoc fornacib⁹ effũdit, illud dom⁹ pauimẽto coheret. Quod

ποιεῖται δὲ οὕτως· ἐν οἴκῳ διστέγῳ κατασκευάζεται κάμινος, καὶ κατὰ ταύτην πρὸς τὸ ὑπερῷον ἐκτομὴ σύμμετρός τε καὶ ἐκ τῶν ἄνωθεν μερῶν ἀνεῳγμένη. ὁ δὲ τοῖχος τοῦ οἰκήματος ᾧ πλησιάζει ἡ κάμινος, τιτρᾶται λεπτῷ τρήματι ἄχρις αὐτῆς τῆς χώνης εἰς παραδοχὴν φυσητῆρος· ἔχει δὲ καὶ θύραν σύμμετρον πρὸς εἴσοδον καὶ ἔξοδον κατεσκευασμένην ὑπὸ τοῦ τεχνίτου· συνῆπται δὲ τούτῳ τῷ οἰκήματι ἕτερος οἶκος, ᾧ αἱ φῦσαι καὶ ὁ φυσητὴρ ἐργάζεται· λοιπὸν ἄνθρακες ἐντίθενται τῇ καμίνῳ καὶ πυροῦνται, ἔπειτα παρεστὼς ὁ τεχνίτης ἐμπάσσει λελεπτοκοπημένην τὴν καδμείαν ἐκ τῶν ὑπὲρ κεφαλὴν τῆς χώνης τόπων· ὁ ὑπὸ χεῖρά τε τὸ αὐτὸ ποιεῖ ἅμα καὶ ἀνθρακιὰν προσεμβάλλει, ἄχρις ἂν ὁ προστέθειται πλῆθος ἀναλώσῃ. ἐκθυμιωμένης οὖν αὐτῆς, τὸ μὲν λεπτομερὲς καὶ κοῦφον, εἰς τὸν ἄνω ἀναφέρεται οἶκον, καὶ προσπλάζεται τοῖς τοίχοις αὐτοῦ καὶ τῇ ὀροφῇ· τὸ δὲ σῶμα τὸ ποιούμενον ὑπὸ τῶν ἐπιφερομένων, κατ᾽ ἀρχὰς μὲν ταῖς ἐπανισταμέναις τῶν ὑδάτων πομφόλυξιν ἐοικὸς γίνεται, ὕστερον δὲ πλείονος τῆς αὐξήσεως συμβαινούσης ἐρίων τολύπαις ἀφομοιοῦνται· τὸ δὲ βαρύτερον εἰς τοὺς ὑπὸ πόδα χωρεῖ τόπους, καὶ περιχεῖται τοῦτο μὲν τῇ καμίνῳ, τοῦτο δὲ τῷ ἐδάφει τοῦ οἴκου· ὁ καὶ

ὃ καὶ φαυλότερον τοῦ λεπτομεροῦς ἡγητέον, διὰ τὸ γεῶδες καὶ ἔμπλεων ἀκαθαρσίας εἶναι ἐν τῇ συγκομιδῇ. τινὲς δὲ μόνως οὕτως οἴονται γίνεσθαι τὴν προειρημένην σποδόν. ἀρίστην δὲ ἡγητέον τὴν κυπρίαν ἐν τῷ ὄξει φυραθεῖσαν, ἀποφορὰν μὲν ἔχουσαν χαλκοῦ, χρόαν δὲ πιττίζουσαν πως, ἔτι δὲ βορβορίζουσαν ἐν τῇ γεύσει· κἂν ἐπ᾽ ἄνθρακος διαπύρου ἐπιτεθῇ ἄδολος, ἐπιζεῖ ἀερόχρους γινομένη. ἐπιμελῶς δὲ προσεκτέον τοῖς προειρημένοις κριτηρίοις. δολοῦται γὰρ ὑπό τινων ταυροκόλλῃ ἢ πνεύμοσιν ἀρνείοις ἢ θαλασσίοις ἢ κεκαυμένοις ὀλύνθοις καί τισιν ἄλλοις παραπλησίοις, εὐχερὲς δὲ τὸ διαγνῶναι· οὐδὲν γὰρ τῶν προειρημένων ἐν τῇ δοκιμασίᾳ ἐπὶ τούτων εὑρίσκεται. πλυτέον δὲ κοινῶς πομφόλυγα τὸν τρόπον τοῦτον· ἐνδήσας αὐτὴν ἐν καθαρῷ ὀθονίῳ μέσως ἐχούσῃ ἀραιότητος, ἢ ξηρὰν ἢ ὕδατι πεφυραμένην, κάθες εἰς λεκάνην ὕδωρ ἔχουσαν ὄμβριον. καὶ ἔκκλυζε ὧδε κἀκεῖσε διαφέρων τὸν ἔνδεσμον· οὕτω γὰρ τὸ μὲν ἰλυῶδες καὶ νόσιμον αὐτῆς ἀπορρυήσεται, τὸ δὲ σκύβαλον πᾶν ἐν τῷ ὀθονίῳ μενεῖ. εἶτα ἐάσας καταστῆναι, ἀπόθησον τὸ ὕδωρ σὺν τῇ σποδῷ, καὶ πάλιν ἄλλο ἐπιχέας ἀνατάρασσε καὶ ἀπόχει·

καὶ

Quod tenuiore deterius exiſtimandum eſt, ideo quod multum terræ collegerit, & ſpurcitia in aceruatione referciatur. Sunt qui hoc modo tantũ fieri ſpodium arbitrantur, de qua antedictum eſt. Optima creditur Cypria, quę accepto aceto halitum æris præſtat, colore aliquantum piceo, ſapore cœni horrido: & ſi fraudem nõ experta flagranti carbone inferueſcit, aëreum colorem contrahit. Antedictis autem notis diligenter attẽdendum eſt. Siquidem à nonnullis adulteratur à taurino glutine, ouillo pulmone aut marino, aut crematis groſsis, & quibuſdã cõſimilibus, quod facile cognitu fuerit: quippe nihil in iis probandis inuenietur eorum quæ ante dicta ſunt. Pompholygẽ in cõmune ita lauari oportet: Ligatã linteo mũdo modiceq; raro, aut ſiccã, aut aqua reſperſam, in labellũ demittito, quod imbrẽ contineat, & huc atque illuc faſciculũ deferẽs, immergito: ita enim limoſa pars eius ac vtilis effluet, & omne ſedimentũ in linteolo remanebit. Poſtea reſidere ſinẽs, aquã cũ cinere colis incernito, & nouã infundẽs, agitato, & effundito:

muta-

mutata tantiſper aqua, & colata, dum arenoſi nihil ſidat. Demum aquam exprimito, & ſiccatum cinerem recondito. Alij, quantum maximè fieri poteſt, ſiccant, & manibus in aqua conterunt, dum mellis craſſamentum imitetur. deinde linteo faucibus excepturi vaſis obtento, aut laxius illigato, colát, & quò facilius tranſeat, infuſa per linteum largiore aqua, cinerem conturbant: mox ſpumoſum, quod traiectum eſt. & ſupernatat vaſi, concha excipiunt, & fictili nouo ad vſus recondunt. Quod vero reſedit, ſenſim cribratum in aliud vas transfundunt, relicto arenoſo quod peſſum ierat: rurſus lapidoſa ſidere patiuntur, & in vas aliud excolant: hoc identidem faciũt, donec cinis merus & arenæ expers inueniatur. Alij paulatim integram in aqua reſpergunt, arbitrati arenas lapillóſque ſuo pôduſculo degrauatos, peſſum ire: pilos autem & paleas leuitate ſua in ſublime attolli. Cæterùm cinerem medium ſeparant, & in pilá coniectum, vt cadmiam, eluunt.

Quinetiã

καὶ ταῦτα ποίει ἀπηθῶν τε καὶ ἀποχέων, μέχρις ἂν μηδὲν ἀμμῶδες ὑφιζάνῃ. λοιπὸν τὸ μὲν ὕδωρ ἐξίπωσον, τὴν δὲ σποδὸν ξηράνας ἀποτίθεσο. τινὲς δὲ ξηράναντες ἐφ' ὅσον ἐνδέχεται, ταῖς χερσὶ λεαίνουσι μετ' ὕδατος, καὶ μελιτώδη τὴν σύστασιν ποιήσαντες, διηθοῦσι δι' ὀθονίου περιτετάσαντες αὐτὸ τὸ ὑποδέχεσθαι μέλλοντι* ἀγγείῳ, ἢ καὶ ἀποδήσαντες οὐ λίαν ἀπεσταμένον, πρὸς δὲ τὸ ῥᾳδίως διεξελθεῖν δαψιλὲς ὕδωρ ἐπιχέαντες τῷ ὀθονίῳ, ἀναταράσσουσι τὴν σποδόν· εἶτα τὸ διυλισθὲν καὶ ἐπινηχόμενον αὐτῆς τῷ ἀγγείῳ ἀφρῶδες ὄν, αὐτόθεν μύακι ἀναλαμβάνοντες, ἀποτίθενται εἰς ὀστράκινον καινὸν ἀγγεῖον. τὸ δὲ ἐγκαθήμενον ἠρέμως διασήσαντες μεταχέουσιν εἰς ἕτερον ἀγγεῖον, ἀπολειπομένου τοῦ ἐν τῷ πυθμένι ἀμμώδους· πάλιν δὲ ἐάσαντες ὑποστῆναι τὰ λιθώδη εἰς ἄλλο ἀγγεῖον καθαρὸν ἀπηθοῦσι· καὶ τοῦτο πολλάκις δρῶσιν ἕως ἂν καθαρὰ καὶ ἀμέτοχος ἄμμου γένηται ἡ σποδός. ἄλλοι δὲ ὡς ἔστιν ὁλομερὴς εἰς ὕδωρ κατ' ὀλίγον ἐμπάσσουσι τὴν προειρημένην, οἰόμενοι ἄμμον μὲν καὶ τὰ λιθώδη τῷ ἰδίῳ βάρει εἰς τὸν πυθμένα τοῦ ἀγγείου καταρρυήσεσθαι· τρίχας δὲ καὶ κάρφη καὶ τὰ ὅμοια ἐπαιωρηθήσεσθαι διὰ τὴν κουφότητα· λοιπὸν χωρίσαντες αὐτῶν τὴν σποδὸν ἐν μέσῳ οὖσαν καὶ εἰς θυΐαν βαλόντες, πλύνουσιν ὡς καδμείαν·

πλύνεται

πλύνεται δὲ καὶ οἴνῳ Χίῳ τεθαλασσωμένῳ κατὰ τοὺς προειρημένους τρόπους· καὶ γίνεται στυπτικωτέρα τῆς ὕδατι πλυνομένης. Δύναμιν δὲ ἔχει ἡ πομφόλυξ στυπτικήν, ψυκτικήν, ἀναπληρωτικήν, καθαρτικήν, ἐμπλαστικήν, καὶ ποσῶς ξηραντικήν*. ἐὰν δὲ ὀπτῆσαι δέῃ τὴν σποδόν, λεάνας ἐπιμελῶς αὐτὴν καὶ ἀναδεύσας ὕδατι, ποιήσας τροχίσκους, θὲς ἐπ᾽ ὄστρακον καινόν, ἐπιτίθει δὲ τοῦτο ἐπὶ λεπτὴν καὶ κούφην ἀνθρακιάν, καὶ στρέφε τοὺς κυκλίσκους συνεχῶς, ἄχρις ἂν πυρροὶ καὶ ξηροὶ γένωνται. γνωστέον δὲ ὅτι ἐκ τοῦ χρυσοῦ καὶ ἀργύρου ἔτι δὲ καὶ μολύβδου γίνεται σποδιά· καὶ ἔστι μετὰ τὴν κυπρίαν ἡ ἐκ τοῦ μολύβδου ἀρίστη.

Περὶ Ἀντισπόδων. Κεφ. πϛ´.

Ἐπειδὴ δὲ καὶ τὰ ἀντίσποδα ἱκανῶς εὐχρηστεῖ, ὑστερούσης πολλάκις σποδοῦ, τὰ ἰσοδυναμοῦντα ἀναγκαῖον ἐστὶν ὑποδεῖξαι, τίνα τε ὑπάρχει καὶ ὃν τρόπον παραληφθείη. λαβὼν τοίνυν μυρσίνης τὰ φύλλα σὺν τοῖς ἄνθεσι καὶ τοῖς μύρτοις ἀώροις ἔτι οὖσιν, ἔμβαλε εἰς ὠμὴν χύτραν, καὶ περιπλάσας τὸ πῶμα κατατετρημένον συνεχέσιν ὀπαῖς, δὸς εἰς κάμινον κεραμικήν, ὅταν δὲ ὀπτηθῇ ὁ κέραμος, εἰς ἄλλην χύτραν ὠμὴν μετάρασον αὐτό, καὶ πάλιν κατοπτηθείσης καὶ τῆς δευτέρας, ἐξελὼν πλῦνε καὶ χρῶ.

Quinetiã lauat̃ vino Chio marina aqua diluto, modis quos ſuprà diximus: & ita reddit̃ adſtringentiõr, quàm aquis elota. Vis põpholygis adſtringere, refrigerare, explere, purgare, obſtruere, & aliquàtum exiccare. Inter medicaméta numeratur, quę leniter cruſtas obducunt. Quod ſi ſpodõ torrere libet, diligenter tritam, & irrigatam aqua, colliges in paſtillos, fictiliq; nouo, ſubiectis leuibus prunis, orbiculos cõtinuò verſabis, dum aſsicati fulueſcant Neq; ignorãdum, ex auro, argẽto, plumbóq; fieri ſpodion: verùm poſt Cypriũ, plũbeum maximè commendatur.

Antiſpoda. Cap. LXXXVI.

Quoniam ſpodos ſæpenumero deſideratur, neceſſe eſt oſtẽdere, quę ſimili virtute polleant, vt in ſpodij locum ſuffici poſsint, antiſpoda vocant, quóque modo ſumi debeant. Folia itaque myrti, cum floribus & baccis immaturis, in fictile crudum coniecta, indito operculo continua foramina habente, vruntur fornacib9 donec figlinum percoquatur: iterum in fictile aliud crudũ trãſferuntur, quod vbi peraſſatum fuerit, exẽpta lauãtur ad vſus.

Idem quoq; fit è termite ſylueſtris oliuæ, ſi habeatur: ſi ſecus, ſatiuæ cũ ſuis florib⁹, aut malis cotoneis diſſectis, & detractis oſsibus, aut gallis, aut laceratis linteolis: item ex moris immaturis, id eſt cãdidis, in ſole pri⁹ arefactis, aut terebintho, aut lẽtiſco, œnãthe, aut mollibus rubi folijs, vel è buxi coma, vel pſeudocypero cum flore. Alij ficulneas frondes in ſole antea ſiccatas, eodem modo parant: alij taurinum gluten: alij ſuccidas lanas aſperas, pice aut melle irrigatas: quæ omnia in ſpodij vicem vſurpantur.

Æs vſtum. Cap. LXXXVII.

ÆS vſtum probatur rubrum, & quod contritu colore cinnabarim imitetur: nigrum verò pluſquam deceat, exuſtum eſt. Fit autem è clauis ſolutarum nauiũ, fictili crudo compoſitis: ſubſperſo ſulphure cum ſale pari, omnibus viciſsim inſparſis, fictile, circũlito figulari creta ſpiramento, fornacibus inditur, donec figilinum percoquatur. Quidã pro ſulphure & ſale alumẽ inſpargunt. Alij ſine ſulphure ac ſale, fictili multos dies vrunt. Alij ſulphure ſolo vtuntur, fuliginem tamen excutiunt.

Alij

ὡσαύτως δὲ καὶ θαλλίαν σκευάσας παραλάμβανε. ἔξω δὲ τῆς ἀγρίας ἐλαίας· εἰ δὲ μὴ, τῆς ἡμέρου σὺν τοῖς ἄνθεσιν, ἢ δὲ μὴ μῆλα κυδώνια κατατετμημένα, καὶ ἐξοστεισμένα, ἢ κηκῖδα, ἢ ῥακηλινᾶ, ἢ ἄωρα συκάμινα λευκὰ προεξηραμμένα ἐν ἡλίῳ, ἢ σχῖνον, ἢ τέρμινθον, ἢ οἰνάνθην, ἢ βάτου τὰ ἁπαλὰ φύλλα, ἢ πύξου κόμας, ἢ τὸν λεγόμενον ψευδοκύπερον σὺν τῷ ἄνθει. τινὲς δὲ κράδας συκῆς προεξηραμένας ἐν ἡλίῳ, ὡσαύτως σκευάζουσιν· ἄλλοι δὲ ταυρείαν κόλλαν· οἱ δὲ, ἔρια οἰσυπηρὰ βραχέα πίσσῃ ἢ μέλιτι δεύσαντες, ὁμοίως σκευάζουσι*.

Περὶ κεκαυμένου χαλκοῦ. Κεφ. πζ´

Ὁ δὲ κεκαυμένος χαλκός ἐστι καλὸς ὁ ἐρυθρὸς καὶ ἐν τῇ τρίψει κινναβαρίζων· ὁ δὲ μέλας πλέον ἢ δεῖ κέκαυται. σκευάζεται δὲ ἐκ τῶν ἥλων τῶν λελυμένων πλοίων, συντεθειμένων ἐν ὠμῇ χύτρᾳ, ὑποπασσομένου θείου μετὰ ἁλῶν ἴσων, καὶ ἐπιπασσομένων ἐναλλὰξ, πωμασθεῖσα δὲ ἡ χύτρα καὶ ὑποχρισθεῖσα πηλῷ κεραμικῷ, δίδοται εἰς κάμινον, ἄχρις οὗ τελείως ὀπτηθῇ. οἱ δὲ, ἀντὶ τοῦ θείου καὶ τῶν ἁλῶν στυπτηρίαν παρεμπάσσουσιν. ἔνιοι δὲ δίχα τοῦ θείου καὶ τῶν ἁλῶν συνθέντες ἐν χύτρᾳ, καίουσιν ἐφ' ἱκανὰς ἡμέρας. οἱ δὲ, τῷ θείῳ μόνῳ χρῶνται, ἀποσβολοῦνται μέντοι.

ἄλλοι

ἄλλοι δὲ χρίοντες τοὺς ἥλους σχιστῇ στυπτηρίᾳ μετὰ θείου καὶ ὄξους, καίουσιν ἐν ὠμῇ χύτρᾳ. ἄλλοι δὲ ἐν χαλκῇ χύτρᾳ ὄξει καταρραίνοντες αὐτοὺς οὕτως ὀπτῶσι, μετὰ δὲ τὸ καῆναι πάλιν τὸ αὐτὸ ποιοῦσιν ἐπὶ τρὶς, ἔπειτα ἀποτίθενται. πρωτεύει δὲ ὁ ἐν μέμφιδι καιόμενος· ἔπειτα ὁ ἐν κύπρῳ. δύναται δὲ στύφειν, ξηραίνειν, λεπτύνειν, καταστέλλειν, ἐπισπᾶσθαι, ἀνακαθαίρειν ἕλκη ἀπουλοῦν· σμήχειν τὰ ἐν ὀφθαλμοῖς, τήκειν τὰ ὑπερσαρκοῦντα, νομὰς ἱστᾷν. κινεῖ δὲ καὶ ἐμέτους μετὰ ὑδρομέλιτος ποθεὶς ἢ ἐκλειχθεὶς σὺν μέλιτι, ἢ διαχριόμενος. πλύνεται δὲ ὡς ἡ καδμεία τετράκις τῆς ἡμέρας ἀλλασσομένου τοῦ ὕδατος, ἄχρι μηδεμία ἐφίστηται λάμπη. καὶ ἡ σκωρία δὲ αὐτοῦ ὡσαύτως πλυνομένη, τὴν αὐτὴν ἔχει δύναμιν, ἀσθενεστέραν μέντοι.

Περὶ Ἄνθους χαλκοῦ.

Κεφ. πη'.

Χαλκοῦ δὲ ἄνθος ὃ τινὲς τῶν παλαιῶν ἥλων ψῆγμα ἐκάλεσαν, ἄριστόν ἐστι τὸ εὔθρυπτον καὶ κατάπυρρον ἐν τῷ λεαίνεσθαι, κεγχροειδές τε τῷ ῥυθμῷ καὶ βραχὺ καὶ βαρὺ καὶ μέσως στίλβον, ἔτι δὲ ῥινισμάτων χαλκοῦ ἀμέτοχον οἷς δολοῦται. ἐλέγχεται δὲ πλατυνομένων αὐτῶν τοῖς τῶν ὀδόντων ἐπερείσεσι. γίνεται

Alij oblitos ſciſsili alumine clauos, cum ſulphure & aceto, fictili crudo cremant. Alij in ænea olla aceto reſperſos, vrũt. & iterum ac tertio idem efficiunt, poſtea recondunt. Principem locum tenet, in Memphide combuſtum: proximum in Cypro. Adſtringit, exiccat, reprimit, extenuat, attrahit: vlcera purgat, & ad cicatricem perducit: vitia oculorum emẽdat, excreſcẽtia in carne conſumit, nomas cohibet, vomitus ciet, cum hydromelite potum, aut cum melle delinctum, illitúmve. Lauatur vt cadmia, mutata quater die aqua, donec nulla prorſus ſordes emergat. Aeris recrementum, ſtercúſve quam ſcoriam vocant, eodem modo lauatur: & eãdem vim, ſed imbecilliorem habet.

Flos æris. Cap. LXXXVIII.

Flos æris, quẽ nõnulli clauorum veterũ pſegma quaſi reſegmẽ aut ſegmentũ, nominarũt, optimus eſt friabilis, in attritu fulueſcens, milij effigie, & numero, breuis, põderoſus, modicè ſplẽdens, atq; cõſtringẽs, q̃ delimatã ęris ſcobẽ nõ recepit, qua ſæpe adulteratur. Sed id facile deprehẽditur, cũ dentium illitu dilatantur ramenta. Fit

Fit autem, cum es fornacibus fuſum, in receptacula delabitur, per cola fiſtularum ad ea pertinentium: tum huic negotio addicti miniſtri, ſordes expurgantes, aquam clariſsimam infundunt, refrigerandi propoſito: itaque repentino concretu, ac addenſatione, velut expuitur, & erumpit antedictus flos. Aſtringit, & exceſcétia coërcet: offuſam oculis caliginé emendat, ſed magnopere mordet. Quaternûm obolorum pondere datus, craſſum humorem extrahit: carnoſa narium & ſedis vitia abſumit: eruptiones papularum cum vino cohibet. Candidus contra diuturnas aurium grauitates tritus, in eas per fiſtulam flatu impellitur: vuam, tonſilláſque reprimit, farina eius cum melle admota.

Squáma ęris. Cap. LXXXIX.

Squáma ęris excuſſa ex Cypriis officinarum clauis, craſſa quidé ipſa pręſtátior quæ helitis, id eſt clauaris, nominatur. ſed ex vili promiſcuóq; ęre, aut cádido vitioſa intelligitur: quá, vtpote tenué, & inualidá, damnamus, maximè approbantes craſſam, rufam, præſertim ſi aceti reſperſu ęruginé cótrahat.

Vim

γίνεται δὲ οὕτως, ὅταν ἐν μεταλλικαῖς χώναις τακεὶς ὁ χαλκὸς εἰς τὰς δεξαμενὰς καταῤῥυῇ διὰ τῶν ἠθμῶν τῶν διηκόντων σωλήνων, διακαθαίροντες τὴν ἀκαθαρσίαν οἱ πρὸς τούτοις ὄντες, ὕδωρ ἐπιχέουσιν ἀκραιφνέστατον αὐτῷ, ψύξαι προαιρούμενοι· ὑπὸ οὖν τῆς αἰφνιδίου πυκνώσεως καὶ συναγωγῆς, ὡσπερεὶ ἐκπτύεται καὶ ἐπανθεῖ τὸ προειρημένον. στύφει δὲ καὶ τοῦτο καὶ καταστέλλει τὰς ὑπεροχάς· καὶ σμήχει τὰ ταῖς κόραις ἐπισκοτοῦντα, δάκνον ἱκανῶς. ἔστι δὲ καὶ πάχους ἀγωγὸν τετραωβόλου πλῆθος διδόμενον· ἐκτήκει δὲ καὶ τὰ ἐν μυκτῆρσι σαρκώματα· καὶ δακτυλίων ἐξανθήματα σὺν οἴνῳ στέλλει. καὶ πρὸς δυσκώφους χρονίοις τὸ λευκὸν ἐμφυσᾶται διὰ σίφωνος λεῖον· στέλλει δὲ καὶ κιονίδας καὶ παρίσθμια, λεῖον σὺν μέλιτι προσαπτόμενον.

Περὶ Λεπίδος.

Κεφ. πθ΄.

Λεπὶς δὲ ἡ μὲν ἐκ τῶν κυπρείων* χαλκουργικῶν ἥλων, παχεῖα καλουμένη δὲ ἡλῖτις, καλή. φαύλη δὲ ἡ ἐκ τοῦ χαλκοῦ λευκοῦ λεπτὴ καὶ ἀσθενὴς ὑπάρχουσα, ἣν ἀποδοκιμάζομεν, ἐγκρίνοντες τὴν παχεῖαν καὶ ἔγκιῤῥον, καὶ ὄξους ἐπιῤῥαινομένου ἰουμένην.

Δύναμιν

Δύναμιν δὲ ἔχει στυπτικήν, λεπτυντικήν· νομῶν ἐφεκτικήν, σηπτικήν, ἀπουλωτικήν· πινομένη δὲ μετὰ μελικράτου, ὕδωρ ἄγει. τινὲς δὲ φυρῶντες αὐτὴν μετ' ἀλεύρου, ἐν καταποτίῳ διδόασι. μίγνυται δὲ καὶ ταῖς ὀφθαλμικαῖς δυνάμεσι, ξηραίνει γὰρ * τὰ βλέφαρα τὰ τραχέα ἀποτήκουσα, καὶ τὰ ῥεύματα. πλύνεται δὲ οὕτως· καθάρας τῆς ξηρᾶς λεπίδος ἡμιμναῖον, βάλε εἰς θυΐαν μεθ' ὕδατος διαυγοῦς, καὶ συνταράξας τῇ χειρὶ ἐπιμελῶς, ἄχρις οὗ ὑποστῇ ἡ λεπίς· ἀφαίρει τὰ ὑφεστῶτα, ἀποχέας τε τὸ ὕδωρ, ἐπίχει ὀμβρίου ὕδατος κύαθον α'. πλατεία τε τῇ χειρὶ τρῖβε εὐτόνως ἐν τῇ θυΐᾳ, οἱονεὶ ἀποψήχων· ἐπὰν δὲ ἄρξηται ἀνιέναι τινὰ γλισχρότητα, κατὰ μικρὸν ὕδωρ προσεπίχει ἄχρι κυάθων ς'. τρίβων εὐτόνως· ἀναλαβών τε τὴν λεπίδα τῇ χειρὶ, ὡς πρὸς τὸ πλευρὸν τῆς θυΐας, τρῖβε εὐτόνως· καὶ ἐξιπώσας ἀνελοῦ τὸ ἀποῤῥυὲν εἰς πυξίδα ἐρυθροῦ χαλκοῦ. τοῦτο γάρ ἐστι τὸ ὥσπερ ἄνθος τῆς λεπίδος καὶ εὔτονον τῇ δυνάμει, καὶ εὐτονοῦν εἰς τὰ ὀφθαλμικά. τὸ δὲ λοιπὸν, ἄτονον καὶ τὸ καταληφθὲν ἐστὶ ὁμοίως, πλύνων, ἀναιροῦ μέχρις ἂν μηδεμίαν γλισχρότητα ἀποκρίνῃ, τὸ δὲ λοιπὸν σκεπάσαντα δεῖ ὀθονίῳ ἐᾶσαι ἀκίνητον ἐπὶ δύο ἡμέρας,

εἶτα

Vim habet adſtrictoriam, extenuantem, reprimentem, & erodentem: nomas coërcet, vlcera ad cicatricem perducit: pota ex aqua mulſa, aquam trahit. Aliqui farina ſubactam, dant in catapotio. Additur ad oculorum medicaméta, quòd genarum ſcabritiam abſumit, & fluxiones exiccat. Lauatur hoc modo: Siccæ æris ſquammæ expurgatæ ſelibra, cum nitida aqua in mortario manu diligenter conturbatur, quouſque peſſum ierit: abiicitur quod ſubſidit, & effuſa aqua, hemina cœleſtis imbris adiicitur, & diſtenta manu, ſquamma, quaſi deſtringenda ſit, vehementer confricatur: dúmque lentorem emittere cœperit, aqua ſenſim ad ſex heminas vſque ſuperinfunditur, terendo validé: ſquamma ad latus mortarij colligitur, ibíque apprimitur: quo facto, expreſſus humor pyxide ex ære rubro facta, excipitur. Hoc eſt enim velut flos ſquammæ, valés viribus, & ad ocularia medicaméta cũ primis efficax. Inutile imbecillumque quod ſupereſt, lauatur donec nullam prorſus létitiã excernat, & linteo apertũ biduo cõquieſcere ſinitur,

effu

effuſaque extãte aqua, vbi ſiccatum erit, reconditur pyxidicula. Alij vt cadmiam lauant, & reponunt.

Stomoma. Cap. XC.

Squammæ ex acie aut mucronibus decuſſæ, quam vocant ſtomoma, eadem vis. Lauatur modo ſimili, & reconditur: ſed ad moliendam alui deiectionem, inefficacior eſt.

Ærugo raſilis. Cap. XCI.

Ærugo raſa fit his modis: In cadum, aut aliud conſimile vas acetũ quàm acerrimũ infunditur: ſuperponitur inde inuerſum æneum vas, præſertim cõcameratum: ſin minus, planũ: ſitq; obſtructum, nullumq; habeat ſpiramentum, exempto, quo doliũ obturaueris operculo: decimum poſt diem inſidẽs ærugo deraditur. Aut æris lamina in cadis ſuper acetum ita ſuſpenditur, ne ipſum attingat, & totidẽ poſt dies raditur. Aut maſſula æris, aut lamina vna pluréſve, vinaceis nõ recẽtib⁹, ſed iã aceſcẽtibus cõduntur, & ſimili modo verſantur. Quinetiam ex delimata æris ſcobe æruginem facere licet, necnon è laminis, quibus bracteæ auri concluſæ malleo ducuntur: ſi quis

εἶτα ἀποχέαντας τὸ ἐφεστηκὸς ὕδωρ καὶ ξηράναντες ἀποτίθεσθαι εἰς πυξίδα. ἔνιοι δὲ καὶ ταύτην πλύναντες, ὡς τὴν καδμείαν ἀποτίθενται.

Περὶ Λεπίδος στομώματος. Κεφ. ϛ΄.

Λεπίδος δὲ στομώματος δύναμις ἐστὶν ἡ αὐτὴ τῇ τοῦ χαλκοῦ λεπίδι. καὶ πλύσις καὶ ἀπόθεσις ὁμοία· ἐν μέν τοι τῷ τὴν κοιλίαν καθαίρειν λείπεται τῆς τοῦ χαλκοῦ.

Περὶ Ἰοῦ ξυστοῦ. Κεφ. ϛα΄.

Ἰὸν δὲ ξυστὸν οὕτω σκευαστέον· εἰς πιθάκνην ἢ ἄλλο ὅμοιον ἀγγεῖον ἐγχέας δριμύτατον ὄξος· ἐπικατάστρεψον χαλκοῦν ἀγγεῖον, καλὸν μὲν εἰ καμαροειδές· εἰ δὲ μή γε, ἰσόπεδον· ἔστω δ᾽ ἐσμηγμένον καὶ διαπνοὴν μηδεμίαν ἔχον, διὰ δὲ ἡμερῶν δέκα ἀναμεσύμενος τὸ πῶμα, ἀπόξυε τὸν ἐπιτρέχοντα ἰόν. ἢ λεπίδα ἀπὸ τοῦ αὐτοῦ ποιήσας χαλκοῦ, ἐγκρέμασον εἰς τὸ ἀγγεῖον, ἵνα μὴ ψαύσῃ τοῦ ὄξους, καὶ διὰ τῶν ἴσων ἡμερῶν ἀπόξυε. ἢ εἰς τὰ στέμφυλα* μὴ πρόσφατα ὄντα ὀξίζοντα ἐγκρύψας μάζαν ἢ λεπίδα μίαν ἢ καὶ πλείονας, ὡσαύτως ἀνάστρεφε. ἔνεστι δὲ καὶ ἐκ ῥινισμάτων ποιῆσαι ἢ λεπίδων, αἷς περιεχόμενα τὰ χρυσᾶ πέταλα ἐλαύνεται, ἐάν τις

ἐὰν τις αὐτὰ ἐπιρραίνων ὄξει, ἀνακινῇ τρὶς ἢ τετράκις, ἄχρις ἂν παντελῶς ἰωθῇ. γίνεσθαι δέ φασι τοῦτον τὸν ἰὸν καὶ ἐν τοῖς κυπριακοῖς μετάλλοις, τὸν μὲν, λίθοις τισὶν ἐπανθοῦντα ἔχουσι τὸν χαλκόν· τὸν δὲ ἔκ τινος σπηλαίου στάζοντα ἐν τοῖς ὑπὸ κύνα καύμασι· καὶ τὸν μὲν ὀλίγον τε καὶ κάλλιστον εἶναι· τὸν δὲ ἐκ τοῦ σπηλαίου, δαψιλῆ μὲν ἐπιρρεῖν καὶ εὔχρουν, φαῦλον δὲ ὑπάρχειν διὰ τὸ πολλοῖς ἀναμεμῖχθαι λιθώδεσι. δολοῦται δὲ καὶ ἄλλοις πολλοῖς μισγόμενος, μᾶλλον δὲ τούτοις· τινὲς μὲν γὰρ κισσήρει· οἱ δὲ, μαρμάρῳ, ἄλλοι δὲ χαλκάνθῳ κιρνῶσιν αὐτόν. καταληψόμεθα δὲ τὴν μὲν κίσσηριν καὶ τὸ μάρμαρον, διὰ τοῦ νοτίσαι καὶ τὸν ἀντίχειρα τῆς εὐωνύμου χειρὸς καὶ τῷ ἑτέρῳ προστρίβειν τι μέρος ἰοῦ· συμβαίνει γὰρ τὸ μὲν, αὐτοῦ διαχεῖσθαι, τὰ δ᾽ ἀπὸ τῆς κισσήρεως καὶ μαρμάρου μέρη ἀδιάχυτα μένειν, καὶ τέλος ἀπολευκαίνεσθαι τῇ ἐπιπλέον παρατρίψει καὶ τῇ τοῦ ὑγροῦ παραπλοκῇ. οὐ μὴν, ἀλλὰ διὰ τῆς καὶ τῶν ὀδόντων ἐπερείσεως· λεῖον γὰρ ὑποπίπτει καὶ οὐ τραχὺ τὸ ἀμιγές. τὸ δὲ χάλκανθον ἀπελέγχεται τῷ πυρί· εἰ γάρ τις ἐμπλάσας τὸν οὕτω δεδολωμένον ἰὸν ἐπὶ λεπίδα ἢ ὄστρακον, καὶ τὸ ἕτερον τούτων ἐπιθήσει ἐν θερμῇ τέφρᾳ ἢ ἐπὶ ἄνθραξι, μετα-

ſi quis eas aceto reſpargat, & ter aut quater verſet, donec æruginem contrahant. Tradunt ęruginem in Cypriis metallis gigni, lapidibus quibuſdam nonnihil æris habẽtibus, quibus ærugo effloreſcit: adduntque per caniculæ æſtus è quodam ſpecu manare: ſed illam paucam & optimam eſſe: hanc ſpeluncis effluentem, copioſam quidem, & boni coloris, ſed vitioſam, quòd lapides multos collegerit. Pluribus autem modis adulterant: aliqui pumice admiſto, alij marmore, alij atramento ſutorio. Sed deprehendemus pumicem aut marmor, dum pollice ſiniſtræ manus madefacto, æruginis portiunculam altero atterimus: ſiquidem eam diffundi conſtat, marmoris autem pumicisque partes coëunt nõ diſſipatæ, demúmque tractatione crebra & humoris complexu dealbeſcunt. Quin & dentium appreſſu: ſi quidem ſyncera cedit, læuis, & ſine aſperitate. Atramentum verò ſutorium igne coarguitur: nanque ſi fictile, aut lamina, adulterata ærugine illinatur, & feruenti cinere aut carbonibus incaleſcat alterutrum, muta-

mutabitur, rubeſcetq; id quod atramentum ſutorium acceperit: quod id vſtum ſuapte natura talem ſortitur colorem.

Scolecia. Cap. XCII.

Æruginis quam vocant ſcoleciam, duo ſunt genera quædam foſsilis eſt, altera factitia ad hunc modum: In mortario Cyprij æris dimidiam heminam aceti albi acriſque, piſtillo cupreo conterito, donec ſtrigmẽti craſsitudinẽ imitetur: deinde aluminis rotũdi drachmã vnam, cũ ſalis foſsitij, trãſlucentis, aut marini quàm albiſsimi, ſolidíque, aut certè cũ nitri pari pondere terito in ſole, æſtuoſiſsimis dieb⁹, ſub ſydus caniculæ, donec colorẽ æruginis cõtrahat, & cõcretu ſtrigmentoſum fiat: vbi autẽ ſe in vermiculorũ Rhodiacis ſimiliũ ſpeciẽ coegerit, recõdito. Efficax & valde boni coloris redditur, ſi duas parteis vrinę veteris cũ vna aceti adieceris, & alia, quę dicta ſunt, peregeris. Sũt q̃ æruginẽ raſilẽ, quę in apparatu nõ reſpõdit, gũmi miſto digerãt in formas, & ita vẽdant: quod genus, vt vitioſum, improbatur. Fit & quædã ærugo ab aurificib⁹, mortario & piſtillo Cyprij æris, cum vrina pueri impubis, qua

μεταβάλλεται, καὶ ἐρυθραίνεται τὸ χαλκανθῶδες· διὰ τὸ φύσει καιόμενον αὐτὸ τοιαύτην ἔχει χροιάν.

Περὶ ἰοῦ σκώληκος. Κεφ. ϟβ.

Τοῦ δὲ λεγομένου σκώληκος ἰοῦ διττὸν εἶδος ὑπάρχει· ὁ μὲν γὰρ ὀρυκτός ἐστιν, ὁ δὲ σκευάζεται οὕτως· εἰς θυίαν κυπρείου χαλκοῦ ἔχουσαν δὲ καὶ * δοίδυκα ἀπὸ τῆς αὐτῆς πεποιημένον ὕλης, ἐγχέας ὄξους λευκοῦ, καὶ δριμέως κοτύλης ἥμισυ, τρῖβε ἕως οὗ γλοιωθῇ· εἶτα ἔμβαλλε στυπτηρίας στρογγύλης * ∠ α. καὶ ἁλὸς ὀρυκτοῦ διαφανοῦς, ἢ θαλασσίου ὡς ὅτι λευκοτάτου καὶ στερεοῦ, εἰ δὲ μή γε νίτρου τὸ ἴσον, εἶτα λέαινε ἐν ἡλίῳ ἐν τοῖς ὑπὸ κύνα καύμασιν, ἕως τῇ μὲν χροιᾷ ἰώδης, τῇ δὲ συστάσει γλοιώδης γένηται· καὶ οὕτως ἀναπλάσας σκώληκας τοῖς ῥοδιακοῖς ὁμοίους, ἀπόθεσο. ἐνεργὴς δὲ καὶ εὔχρους γίνεται ἄγαν, ἐὰν ὄξους μὲν λάβῃ μέρος ἕν. οὔρου δὲ παλαιοῦ μέρη δύο, τὰ δ᾽ ἄλλα ὡς προείρηται. τινὲς δὲ τὸν ἀποτετευγμένον ἐν τῷ ξυστῷ κόμμει μίξαντες ἀναπλάσσουσι,* ὃν παραιτητέον ὡς φαῦλον. ἔστι δέ τις καὶ ὑπὸ τῶν χρυσοχόων γινόμενος ἰὸς διὰ θυίας καὶ δοίδυκος κυπρείου χαλκοῦ, ἔτι δὲ οὔρου παιδίου, ᾧ τὸ

ῷ τὸ χρυσίον κολλῶσιν. ἀναλογοῦσι δὲ κοινῶς οἱ προειρημένοι ἰοὶ κεκαυμένῳ χαλκῷ, μᾶλλον δ᾽ ἐῤῥωμένοι περὶ τὴν ἐνέργειαν. ἰστέον δὲ ὅτι προέχει μὲν αὐτῶν ὁ ὀρυκτὸς σκώληξ· ἐχόμενος δέ ἐστιν ὁ ξυστός· εἶτα ὁ σκευαστός. δηκτικώτερος μέν τοι καὶ μᾶλλον στύφων οὗτος ὑπάρχει. ὁ δὲ τῶν χρυσοχόων ἀνάλογος τῷ ξυστῷ. Δύναται δὲ πᾶς ἰὸς στύφειν, θερμαίνειν, ἀποσμᾶν τὰς ἐν ὀφθαλμοῖς οὐλὰς καὶ λεπτύνειν, δάκρυον ἄγειν, νομὰς ἴσχειν, τραύματα ἀφλέγμαντα τηρεῖν. ἀπουλοῦσι ἕλκη σὺν ἐλαίῳ καὶ κηρῷ· σὺν μέλιτι δὲ ἑψηθέντες, τύλους καὶ τὰ ῥυπαρὰ τῶν ἑλκῶν ἀνακαθαίρουσιν· ἀμμωνιακῷ δὲ ἀναληφθέντες εἰς κολλύρια, σύριγγας καὶ τύλους ἐκτήκουσι. χρήσιμοι δὲ καὶ πρὸς ἐπουλίδας καὶ τὰς τῶν οὔλων ἐξοχάς. ἱκανῶς δὲ καὶ βλέφαρα λεπτύνουσι σὺν μέλιτι ἐγχριόμενοι· δεῖ δὲ πυριᾶν μετὰ τὴν ἔγχρισιν σπόγγῳ ἐξ ὕδατος θερμοῦ. ἀναληφθέντες δὲ ῥητίνῃ τερεβινθίνῃ σὺν χαλκῷ ἢ νίτρῳ, λέπρας ἐξάγουσι. καυστέον δὲ ὃν ἂν ἐθέλῃς ἰὸν οὕτω, θλάσας αὐτὸν εἰς ὁλοσχερέστατα μέρη, καὶ τηγάνῳ κεραμέῳ ἐπιθεὶς, ἀπερείσας ἐφ᾽ ἀνθράκων διαπύρων, κίνει ἕως ἂν μεταβάλλῃ καὶ σποδίσῃ τῇ χρόᾳ· λοιπὸν δὲ ψύξας. ἀπο-

qua aurũ ferruminãt. Antedicta æruginum genera, vſto æri omnino reſpondent, ſed magis effectu valent. Sciendum foſsilem ſcoleciam præſtantiſsimã eſſe: deraſam ſequi: poſtremo loco factitiã. Mordaciſsima tamen eſt hæc, & magis adſtringens. Aurificum autem ærugo raſæ reſpondet. Æruginesomnes adſtringunt, extenuant, excalfaciunt: oculorum cicatrices emendant, lachrymas ciẽt, nomas ſiſtunt, vulnera ab inflammatione tuẽtur. Vlcera ex oleo ceráque ad cicatricẽ perducunt: callos & ſordida vlcera purgant, cum melle coctæ: callum fiſtularũ erodunt, cum ammoniaco, collyrij modo in eas adactæ. Ad gingiuarũ autẽ excreſcentias, & extuberationem vtiles. Magnopere extenuant genarũ craſsitiem, cum melle illitæ: verùm poſt illitionẽ ſpongia ex aqua calida locus fouendus eſt. Reſina terebinthina exceptæ, cum ære & nitro lepras abigũt. Vritur ærugo, quancunq; velis, minutiſsimè fracta cõminutáq;, in fictili patina, flagrãtibus prunis ſuperpoſita: verſatúrque donec ſe mutet, & colorem cinereũ concipiat: poſtea refrigerata repo-

reponitur ad vſum, Sunt qui cruda olla eã vrant, vti dictum eſt: ſed non prorſus eundẽ colorem cremata reddit.

Rubigo ferri. Cap. XCIII.

Rubigo ferri reſtringit: ſiſtit fœminarũ profluuia, admota, potúq; præſtat ne concipiant. Illita ex aceto, ignibus ſacris, & papularũ eruptionibus medetur. Perquàm vtilis ad ſcabritias genarũ, reduuias, & pterygia, condylomatis prodeſt, gingiuas firmat, podagras illita lenit, alopecias replet. Vinum aquáve in qua candens ferrum ſit reſtinctum, potu cœliacis, dyſentericis, lienoſis, cholera laborantibus, & diſſolutis ſtomacho auxiliatur.

Scoria ferri.
Cap. XCIIII.

Stercus ferri, quam ſcoriã vocant, eadẽ poteſt quæ rubigo, ſed inefficacius. Aconito, ex aceto mulſo potum, opitulatur.

Plumbum elotum.
Cap. XCV.

Lotura plumbi ſic fit: In mortarium plumbeum aquam inii ciens, piſtillo plumbeo terito, donec nigreſcat aqua, & limi modo craſſeſcat, aut lutulenta reddatur: linteolo deinde colato, aquam ſuperinfundens,

quo

ἀποτίθεσο καὶ χρῶ. τινὲς δὲ ἐν ὠμῇ χύτρᾳ καίουσιν αὐτὸν ὡς προείρηται. οὐκ εἰς τὸ αὐτὸ δὲ παντοτε καιόμενος μεταβάλλει χρῶμα.

Περὶ Ἰοῦ σιδήρου. Κεφ. ϛγ΄.

Ἰὸς δὲ σιδήρου στύφει· ῥοῦν τε γυναικεῖον προστεθεὶς ἴσχει, πινόμενός τε ἀσυλληψίαν ποιεῖ. ἐπιχριόμενος δὲ σὺν ὄξει ἐρυσιπέλατα καὶ ἐξανθήματα ἰᾶται. πρὸς τὲ παρωνυχίας καὶ πτερύγια καὶ τραχέα βλέφαρα εὔχρηστος, καὶ κονδυλώματα καὶ οὖλα κρατύνει, ποδαγρικοῖς τε ὠφελεῖ ἐπιχριόμενος, καὶ ἀλωπεκίας δασύνει. σίδηρος δὲ πεπυρωμένος ἐνσβεσθεὶς ὕδατι ἢ οἴνῳ καὶ πινόμενος, ἁρμόζει κοιλιακοῖς, δυσεντερικοῖς, σπληνικοῖς, χολερειῶσι, καὶ στομάχῳ ἀναλελυμένῳ.

Περὶ Σκωρίας σιδήρου.
Κεφ. ϛδ΄.

Ἡ δὲ σκωρία τοῦ σιδήρου δύναται ὅσα καὶ ὁ ἰὸς τοῦ σιδήρου. ἐπ' ἔλαττον δέ. βοηθεῖ δὲ ἀκονίτῳ μετ' ὀξυμέλιτος ποθεῖσα.

Περὶ Μολίβδου πεπλυμένου. Κεφ. ϛέ.

Σκευάζεται καὶ ὁ πεπλυμένος μόλιβδος τοῦτον τὸν τρόπον· ἐμβαλὼν εἰς μολιβδίνην * θυΐαν ὕδωρ, τρίβε μολιβδίνῳ δοίδυκι, ἕως ἂν μελανθῇ τὸ ὕδωρ καὶ γένηται ἰλυῶδες· εἶτα διήθει αὐτὸ δι' ὀθονίου, προσεπιχέων τὲ ὕδωρ,

ἵνα

ἵνα πᾶν τὸ διαλυθὲν ὑλισθῇ· καὶ ποίει τὸ αὐτὸ πάλιν ἄχρις ἄν σοι αὐτάρκως ἔχειν δόξῃ. εἶτα ἐάσας καταστῆναι τὸ πεπλυμένον, ἀποχέας τε τὸ ὕδωρ καὶ ἄλλο ἐπιχέας, πλῦνε ὡς τὴν καδμείαν, ἄχρις ἂν μηκέτι ἐφίστηταί τις μελανία· ἀναπλάσας δὲ τροχίσκοις ἀποτίθεσο. οἱ δὲ, καθαρὸν μόλιβδον ῥινήσαντες, τρίβουσιν ἐν λιθίνῃ θυίᾳ δοίδυκι λιθοίνῳ, ἢ ταῖς χερσὶ μεθ' ὕδατος ὑπὸ χεῖρα κατ' ὀλίγον ἐπιχέοντες τὸ μελαινόμενον· ὅπερ ἐάσαντες ὑποστῆναι καὶ ἀποχέαντες, ἀναπλάσσουσιν εὐθέως. τὸ γὰρ ἐφ' ἱκανὸν τριβόμενον, γίνεται ψιμμυθίῳ ὅμοιον. ἔνιοι δὲ προσεμβάλλουσι τοῖς ῥινίσμασιν ὀλίγην μολίβδαιναν, φάσκοντες βελτίονα εἶναι τὸν οὕτω πλυνόμενον μόλιβδον· Δύναται δὲ ψύχειν, στύφειν, παρεμπλάττειν, μαλάττειν, πληροῦν τὰ κοιλώματα, στέλλειν τὰ ἐν τοῖς ὀφθαλμοῖς ῥεύματα, καὶ τὰ ὑπερσαρκοῦντα τῶν ἑλκῶν. ἔστι δὲ καὶ ἴσχαιμος· καὶ πρὸς τὰ ἐν τῷ δακτύλῳ ἕλκη, κονδυλώματα, αἱμορροίδας μετὰ ῥοδίνου· καὶ τὰ δυσκατούλωτα· καὶ καθόλου ποιεῖ ὅσα καὶ ἡ σποδὸς, δίχα τοῦ ἐσχαροῦν. ὁ δὲ ἀκέραιος μόλιβδος παρατριβόμενος βοηθεῖ τῇ τοῦ θαλασσίου σκορπίου καὶ δράκοντος πληγῇ.

Περὶ

quo facilius quicquid eſt reſolutum incerni poſsit. Hoc iterum facito, vſque dum ſatis tibi habuiſſe videatur. Vbi conſederit, priore aqua effuſa, nouam adiiciens, vt cadmiam lauato, donec nulla extet nigritia: poſtea in paſtillos cogens reponito. Quidā ſcobem mundi plumbi lima quæſitam, mortario piſtillóque lapideis terunt, aut manibus cum aqua paulatim adiecta fricant, donec nigreſcat: mox vbi id peſſum ierit, effuſa aqua colligunt in paſtillos. Nam tritum vehementer, ceruſæ ſimile redditur. Alij elimatæ ſcobi modicam plumbaginem adiiciūt, affirmantes ita elotum plumbum præſtantius eſſe. Poteſt refrigerare, adſtringere, inducere, mollire, explere caua, ſiſtere oculorum fluxiones, & vlcerum excreſcentia. Sanguinem ſupprimit: prodeſt contra ſedis vlcera, condylomata, & hæmorrhoidas, ex roſaceo: item ad ea quæ ægrè cicatricē ducunt: & in totū ſpodij effectus præbet, niſi quod non obducit cruſtas. Syncerum plumbum affrictu, marini ſcorpionis draconiſq; plagis auxiliatur.

O Plum-

Plumbum vſtum. Cap. XCVI.

Vritur plumbum ſic: Super quam tenuiſsimas plumbi laminas, fictili nouo inditas, ſulphur inſpargito, additiſque aliis rurſus laminis, interiecto ſemper ſulphure, vſquedũ vas expleueris, ſuccẽdito: flagrante autem plumbo, ferrea rude verſato, donec perfectè redigatur in cinerẽ, nihilq; è plumbo vſtũ hæſerit: tũ demũ, obſtructis naribus, eximito: alioquin halitus plũbi noxius ſentitur. Aut elimatam plumbi ſcobem in olla ſulphure vrito. Alij laminas in fictili crudo, vt dictum eſt, imponũt fornaci, aut foco, & circumlinentes operculum, dato exili ſpiramento, vrunt. Alii pro ſulphure ceruſſam aut hordeum inſpargunt. Alii integras laminas imponẽtes, acri igne vtuntur, & rudicula ferrea continuè mouent, dum in cinerem ſoluãtur. Sed difficilis huiuſmodi vſtio, & ſi vehementius vratur, contrahit ſpumę argenti colorẽ. Magis tamen nobis placet prima vrẽdi ratio. Plumbum vſtum lauatur vt cadmia, & recõditur. Eoſdẽ effectus habet, quos plumbum elotum, ſed multò acriores.

Scoria

Περὶ Μολίβδου κεκαυμένου. Κεφ. ϛϛʹ.

Καίεται δὲ ὁ μόλιβδος οὕτω· λαβὼν μολίβδου ἐλάσματα ὡς ὅτι λεπτότατα, ἐπίθες εἰς καινὴν λοπάδα, καὶ ἐπιπάσας θεῖον, πάλιν ἕτερα ἐπίθες πέταλα, καὶ θεῖον ἐπίπασσε, καὶ πάλιν ἕτερα, καὶ τοῦτο ποίει ἄχρις ἂν πληρώσῃς τὴν λοπάδα, εἶτα ὑπόκαιε· ἀναφθέντος δὲ τοῦ μολίβδου, κίνει σιδήρῳ ἄχρις ἂν ἀποτεφρωθῇ τελέως καὶ μηδὲν ἔχῃ μολιβδῶδες· καὶ ἀναιροῦ σκεπάσας τοὺς ῥώθωνας· βλαβερὰ γὰρ ἡ ἀποφορά. ἢ ῥινίσματα μολίβδου βαλὼν μετὰ θείου εἰς λοπάδα οὕτω καῖε· οἱ δὲ, εἰς χύτραν ὠμὴν βαλόντες τὰ πέταλα ὡς εἴρηται, καμίνῳ ἐντιθέασιν, ἢ ἐπ' ἐσχάρας περιπλάσαντες τὸ πῶμα καὶ ὀλίγην δόντες ἀναπνοὴν, καίουσιν. οἱ δὲ, ψιμμύθιον παρεμπάσσουσιν αὐτῷ τοῦ θείου ἢ κριθάς. οἱ δὲ, ἀκεραίοις τὰς λεπίδας ἐντιθέντες ὀξεῖ πυρὶ χρῶνται, καὶ κινοῦσιν ἐπιτεταμένως σιδηρείῳ, ἄχρις ἂν ἐκτεφρωθῇ. ἔστι δὲ δυσχερὴς ἡ τοιαύτη καῦσις, καὶ ἐπιπλέον δὲ καεὶς, οὕτω λιθαργύρου λαμβάνει τὸ χρῶμα. ἡμῖν μέντοι ἀρέσκει ἡ προτέρα καῦσις. δεῖ δὲ πλύνειν αὐτὸν ὡς τὴν καδμείαν καὶ ἀποτίθεσθαι. Δύναμιν δὲ ἔχει τὴν καὶ ὁ πεπλυμένος μόλιβδος, εὐτονωτέραν δὲ μᾶλλον.

Περὶ Σκω-

Περὶ Σκωρίας μολίβδου.
Κεφ. ϛζʹ.

Σκωρία μολίβδου, ἀρίστη ἐστὶν ἡ ψιμμυθιοφανὴς, πυκνὴ καὶ δύσθραυστος, μηδὲν ἔχουσα μολιβδῶδες, μηλοειδὴς δὲ τῷ χρώματι καὶ ὑελίζουσα. δύναται δὲ τὰ αὐτὰ τῷ κεκαυμένῳ μολίβδῳ στύφουσα μᾶλλον. πλύνεται δὲ ἐν θυίᾳ ἐπιχεομένου ὕδατος* καὶ ἀποχεομένου τοῦ ἐφισταμένου μηλίνου χρώματος· πολλάκις τε τοῦτο γίνεται ἄχρις ἂν ἀναλωθῇ ἡ σκωρία. τὸ δὲ λοιπὸν ἐάσαντες ὑποστῆναι αὐτὴν, ἀποχέομεν τὸ ὕδωρ, καὶ οὕτως ἀναπλάσσομεν.

Περὶ τοῦ μολιβδοειδοῦς λίθου. Κεφ. ϛηʹ.

Καὶ ὁ μολιβδοειδὴς δὲ λίθος, ἀνάλογον ἔχει τὴν δύναμιν τῇ σκωρίᾳ, πλύνεται δὲ ὁμοίως.

Περὶ Στίμμεως.
Κεφ. ϛθʹ.

Στίμμι δὲ κράτιστόν ἐστι τὸ στιλπνότατον, καὶ λαμπυρίζον, ἐν τῇ θραύσει πλακῶδες, μηδὲν ἔχον γεῶδες ἢ ῥυπαρὸν, εὐχερῶς τε θλώμενον, τοῦτο οἱ μὲν στίβι, οἱ δὲ, πλατυόφθαλμον, οἱ δὲ, λάρβασον ἐκάλεσαν. Δύναμιν δὲ ἔχει ἐμπλαστικὴν, στυπτικὴν, ψυκτικὴν, σταλτικὴν τῶν ὑπερσαρκούντων, ἀπουλωτικὴν ἑλκῶν καὶ κα-

Scoria plumbi.
Cap. XCVII.

Recrementũ plumbi, quod ſcoriã vocant, optimũ eſt denſum, fractu cõtumax, ceruſam planè repræſentans, nihil plumboſi habens, quod ad luteũ colorem accedit, & vitri ſplendorem imitatur. Eadẽ quæ plumbum exuſtũ poteſt, ſed magis adſtringit. Lauatur in mortariis infuſa aqua, & refuſa ſumma aquæ parte, quę luteum colorem duxit: idque ſæpius, dum recremẽtum abſumatur. Dein vbi conſederit craſſamentum, aqua effuſa, digeritur in paſtillos.

Lapis molybdoides.
Cap. XCVIII.

Molybdoides lapis à plumbi ſimilitudine dictus, reſpondentem excremento vim habet, & eodem modo lauatur.

Stibium. Cap. XCIX.

Stimmi optimũ, quod ſplendidiſsimum eſt, modóque nitedularum emicat, confractu cruſtoſum, nihil terræ aut ſordidi habẽs, friabile, quod ſtibi appellarunt, alii platyophthalmon. Vis eiꝰ adſtringere, meatus obſtruere, refrigerare, excreſcentia in carne cohibere, vlcera ad cicatricẽ perducere,

ſordes & vlcera oculorum expurgare. Siſtit & ſanguinem è cerebri membrana profluentem: & vt in vniuerſum dicatur, vis vſto plumbo ſimilis eſt. Priuatim, ambuſta igni, in puſtulas erumpere non patitur, cum adipe recenti illitum: cruſtoſas vlcerationes ad cicatricem perducit, cum cera & exigua ceruſa. Torretur pinſita farina circumlitum, & carbonibus obrutum, donec carbũculetur cruſta, exemptúmque reſtringuitur mulieris lacte, quæ marẽ peperit, aut vetere vino. Vritur etiã carbonib⁹ ſuccẽſis efflatũ, quo ad igni deflagret: ſi enim paulò magis cõcremetur, plumbum fit. Lauatur, vt cadmia & æs. Sunt qui vt plũbi recrementum eluant.

καὶ καθαρτικὴν ῥυπαρειῶν καὶ τῶν ἐν ὀφθαλμοῖς ἑλκῶν. ἐπέχει δὲ καὶ τὰς ἐκ μήνιγγος αἱμορραγίας· καὶ καθόλου δὲ ἐμφερής ἐστιν ἡ δύναμις αὐτοῦ τῷ κεκαυμένῳ μολίβδῳ. ἰδίως δὲ τὰ κατακαύματα οὐκ ἐᾷ ἐσχαροῦσθαι σὺν στέατι καταχρισθὲν νεαρῷ· καὶ ἀπουλοῖ τὰ ἐσχαροῦντα κηροῦ καὶ ὀλίγου ψιμμυθίου μιχθέντων. ὀπτᾶται δὲ στέατι περιπλασθὲν καὶ ἐγκρυβὲν εἰς ἄνθρακας, ἄχρις ἂν ἀνθρακωθῇ τὸ στέαρ, ἐξαιρεθὲν δὲ σβέννυται γάλακτι ἀρρενοτόκου γυναικὸς ἢ οἴνῳ παλαιῷ. καίεται δὲ ἐπ' ἀνθράκων ἐπιτεθὲν καὶ ἐμφυσηθὲν ἄχρι πυρώσεως· ἐὰν γὰρ ἐπιπλέον καῇ, μολιβδοῦται. πλύνεται δὲ ὡς ἡ καδμεία καὶ ὁ χαλκός. ἔνιοι δὲ ὁμοίως τῇ τοῦ μολίβδου πλύνουσι σκωρίᾳ.

Molybdæna, ſeu plumbago. Cap. C.

Molybdẹna optima eſt flaua, argẽteæ ſpumẹ æmula, modicè ſplendẽs, cũ teritur rufa, cocta cũ oleo iocineris colorẽ trahit. Vitioſa eſt, quẹ aërẽ aut colorẽ plũbeũ refert. Gignitur ex auro & argẽto. Eſt etiã quẹdã foſſilis, ad Sebaſtiam & Corycũ inuenta. Quo in genere probatur, quæ lapidoſa nõ ſit, aut recremẽtoſa, ſed nitens & flaua. Vim

Περὶ Μολιβδαίνης. Κεφ. ρ'.

Μολίβδαινα δὲ ἀρίστη ἐστὶν ἡ λιθαργυροφανής, ξανθή, ὑπόστιλβουσα, καὶ κιρρὰ ἐν τῷ λειοτριβεῖσθαι, ἑψηθεῖσα τε ἐλαίῳ, ἡπατοειδὴς τῷ χρώματι γίνεται. ἡ δὲ ἀερίζουσα ἢ μολιβδόχρους φαύλη. γίνεται δὲ ἐξ ἀργύρου καὶ χρυσοῦ. ἔστι δέ τις καὶ ὀρυκτὴ κατὰ Σεβάστειαν καὶ Κώρυκον εὑρισκομένη. καὶ ταύτης ἐστὶ βελτίων ἡ μὴ σκωριώδης μηδὲ λιθώδης, ξανθὴ δὲ καὶ στίλβουσα. Δυνά-

Δύναμιν δὲ ἔχει ὁμοίαν λιθαργύρῳ καὶ σκωρίᾳ μολίβδου. πλύνουσι δὲ καὶ καίουσιν τὴν αὐτήν. μίγνυται δὲ ἐπιτηδειότερον αὔτη, καὶ ταῖς λιπαραῖς καὶ ἀνεπιδήκτοις ἐμπλάστροις χρησίμως. οὖσα σαρκωτικὴ καὶ ἀπουλωτική· ταῖς μέντοι κολλητικαῖς καὶ σμηκτικαῖς οὐχ ἁρμόζει δυνάμεσιν.

Περὶ Σκωρίας ἀργύρου.

Κεφ. ρα΄.

Η δὲ τοῦ ἀργύρου σκωρία καλεῖται ἕλκυσμα, ἢ ἔγκαυμα, τὴν αὐτὴν δὲ ἔχει δύναμιν τῇ μολυβδαίνῃ· ὅθεν ἐμπλάστροις φαιαῖς μίγνυται καὶ ἀπουλωτικαῖς, στυπτικὴ οὖσα καὶ ἐπισπαστική.

Περὶ Λιθαργύρου.

Κεφ. ρβ΄.

Λιθάργυρος, ἡ μέν τις ἐκ τῆς μολιβδίτιδος καλουμένης ἄμμου γίνεται χωνευομένης ἄχρι τελείας ἐκπυρώσεως. ἡ δ' ἐξ ἀργύρου· ἡ δ' ἐκ μολίβδου. διαφέρει δὲ ἡ ἀττική· δευτερεύει δὲ ἡ ἱσπανή· μεθ' ἃς ἡ ἐν δικαιαρχίᾳ, καὶ ἐν καμπανίᾳ, καὶ σικελίᾳ· πλείστη γὰρ ἐν τοῖς δὲ τοῖς τόποις γίνεται· μολιβδίνων ἐλασμάτων ἐκφλογουμένων. καλεῖται δὲ ἡ μὲν ξανθὴ καὶ στίλβουσα χρυσῖτις, ἥ τις ἐστὶ κρείττων· ἡ δ' ἐν σικελίᾳ ἀργυρῖτις·

ἡ δ'

Vim habet ſpumæ argenti, aut recreméto plũbi ſimilé. Vritur lauaturq́; eodé modo. Miſcetur cõuenientiſsimè medicamétis, quæ liparas vocãt, atq; emplaſtris minimè mordétibus. Carnem recreat, & vlcera ad cicatricé perducit: glutinantibus tamen medicamentis, aut abſtergentibus non conuenit.

Argenti recrementum.

Cap. CI.

Recremétũ argéti quod ſcoriã vocãt, aut helcyſma, aut encauma, molybdenę vim habet: quare emplaſtris quas phæas appellãt, additur, ac medicamẽtis quę cicatricé obducũt, vtpote cũ adſtringat, extrahatq́;.

Spuma argenti.

Cap. CII.

Spuma argéti quædã gignitur ex arena, quã molybditin vocãt, in fornacib⁹ cõflata, donec ꝑfectè igni incãdeſcat. Altera ex argéto: tertia ex plũbo. Probatiſsima eſt Attica: ſecũda, Hiſpanienſis: has ſequitur quæ fit Dicæarchiæ, id eſt Puteolis, Baiis, in Cãpania, & Sicilia: plurima enim hiſce locis è flagrãtibus laminis plumbeis gignitur. Quæ flauo colore ſplédet, chryſitis appellatur, omniũ optima: quæ in Sicilia, argyritis:

quæ ex argento,calabritis. Vis aũt adſtringere,mollire,explere caua,excreſcẽtia in carne reprimere,ad cicatricẽ ducere,refrigerare, & occludere. Vritur argẽti ſpuma,cõfractis partibꝰ ad magnitudinẽ iuglandiũ,prunæ ſuperpoſitis:ita accẽſa follibus, vt conflagret, abſtergitur inſidens ſpurcitia,& recõditur. Aliqui ter aceto aut vino reſtinguẽtes, rurſus vrunt, & eadem proſequuti,reponunt.Lauatur vt cadmia . Vt argyritidi nominatæ, aut, ſi deſideretur, alteri candor detur,ea in parteis magnitudine fabarum cõfracta,chœnicis atticæ menſura,fictili nouo ſuperfuſa aqua, addito candidi tritici pari pondere, priuatimq; pugillo hordei,linteolo puro,raro, anſulis vaſis alligato, coquitur, donec hordeum fractum diſſiliat:deinde omnia in nouum craterẽ oris ampli transfunduntur:triticum abiicitur,ſpuma argenti vehemẽter manibus affricando infuſa aqua lauatur, aſsicatáque in Thebaico mortario teritur,affuſa feruẽte aqua,donec ſoluta fatiſcat: excolata aqua,iterum tota die teritur, & veſperi infuſa calida aqua ſinitur : mane colis excernitur,

alia

ἡ δὲ ἐκ τοῦ ἀργύρου καλαυρῖτις. Δύναμιν δὲ ἔχει στυπτικήν, μαλακτικήν, κοιλωμάτων πληρωτικήν, σταλτικὴν τῶν ἐκσαρκούντων καὶ ἀπουλωτικήν, ψυκτικήν, παρεμπλαστικήν. καύσεις δὲ αὐτὴν οὕτω· κατακόψας εἰς καρύων μεγέθη, καὶ ἐπιθεὶς ἐπ᾽ ἄνθρακας, ἐκριπίσας τε ἄχρι πυρώσεως, καὶ περιμάξας τὴν περικειμένην ἀκαθαρσίαν, ἀποτίθεσο. ἔνιοι δὲ ὄξει ἢ οἴνῳ σβέσαντες αὐτὴν ἐπὶ τρεὶς, πάλιν καίουσι, καὶ ταῦτα ποιήσαντες ἀποτίθενται. πλύνεται δὲ ὡς ἡ καδμεία. λευκαίνεται δὲ οὕτω· λαβὼν τῆς ἀργυρίτιδος λεγομένης, εἰ δὲ μή γε τῆς ἄλλης κατάθραυσον εἰς μεγέθη κυάμων, ὅσον χοίνικα ἀττικήν, βαλών τε εἰς καινὴν χύτραν, ἐπίχει ὕδωρ, προσεμβάλλων πυρῶν λευκῶν χοίνικα, καὶ ἰδίᾳ ἐν ὀθονίῳ καθαρῷ ἀραιῷ κριθῶν δράκα δήσας ἀπὸ τοῦ ὠτὸς τῆς χύτρας κρέμασον, ἕψε δὲ ἕως ἂν ῥαγῶσιν αἱ κριθαί· εἶτα κατεράσας πάντα εἰς κρατῆρα πλατύστομον καινόν. τοὺς μὲν πυροὺς ῥῖψον χωρίσας, τὸν δὲ λιθάργυρον πλύνων ἐπιχέας ὕδωρ, βιαίως ταῖς χερσὶ περιτρίβων ἅμα, εἶτα ἀνελόμενός τε αὐτὴν καὶ ξηράνας, τρῖβε ἐν θυίᾳ θηβαϊκῇ, ἐπιχέων θερμὸν ὕδωρ, ἕως ἂν διαλυθῇ, καὶ ἀπηθήσας τὸ ὕδωρ πάλιν τρῖβε δι᾽ ὅλης τῆς ἡμέρας, εἰς ἑσπέραν δὲ ἐπιχέας ὕδωρ θερμὸν ἔασον· καὶ πρωῒ ἀπηθήσας

ἄλλο

ἄλλο ἐπίχει καὶ ἀπίθει τῆς ἡμέρας τρίς. τοῦτο ποίει ἐπὶ ἡμέρας ζ΄. εἶτα μίξας τῇ μνᾷ τῆς λιθαργύρου ἁλῶν ὀρυκτῶν < ε΄, θερμόν τε παραχέων, λέαινε τρὶς τῆς ἡμέρας ἀπιθῶν καὶ μιγνὺς ὕδωρ. ὅταν δὲ λευκὴ γένηται θερμὸν ἐπιχέων, τὸ αὐτὸ ποίει ἄχρις ἂν μηδεμίας ἔμφασιν ἁλυκότητος ἔχει. καὶ ξηράνας ὀξυτάτῳ ἡλίῳ, περιεκβάλλων τὴν ἰκμάδα ἀπόθεσο. εἰ δὲ μή, μνᾶν μίαν λαβὼν τῆς ἀργυρίτιδος, λέαινον ἐπιμελῶς. καὶ τρίψας μίξον ἁλῶν τριπλάσιον, λείων, ὀρυκτῶν, καὶ βάλλε εἰς καινὴν χύτραν ἐπιχέας τε ὕδωρ, ὥστε ὑπερέχειν αὐτό, κίνει ἑκάστης ἡμέρας πρωῒ καὶ δείλης προσεπιχέων ὕδωρ, μηδὲν τοῦ προτέρου ἀποχέων. καὶ ποίει τοῦτο ἐπὶ ἡμέρας λ΄. μὴ κινουμένου γὰρ ἀποστρακοῦται. μετὰ δὲ ταῦτα ἀποχέας πραέως τὴν ἅλμην ἐν Θηβαϊκῇ θυΐᾳ, τὴν λιθάργυρον λέαινε, καὶ βαλὼν αὐτὴν εἰς κεραμεοῦν ἀγγεῖον, ἐπιχέας τε ὕδωρ, κίνει ταῖς χερσὶν ἐπιμελῶς, ἀποχέων τὸ πρότερον καὶ ἐπιχέων τὸ ἕτερον, ἄχρις ἂν μηδεμίαν ἔμφασιν ἁλυκότητος ἔχῃ. εἶτα ἀποχέας τὸ λευκὸν τῆς λιθαργύρου εἰς ἄλλο ἀγγεῖον, ἀνάπλασσε τροχίσκους καὶ ἀπόθου εἰς μολιβδίνην πυξίδα. οἱ δὲ καταθραύσαντες εἰς μεγέθη κυάμων τὴν λιθάργυρον,

καὶ

alia infunditur, atq; ter die excolatur. Id ſeptem diebus fieri ſolet: poſtea additis ad ſingulas minas ſpumæ argenti, quinis ſalis foſsilis drachmis, infuſaque calida aqua, ter die teritur, & addita aqua excolatur: cúmq; inalbuerit, calida infuſa, idem facito, dum nullam prorſus ſalſediné reſipiat. Demum ardentiſsimo ſole ſiccata, eiecto prius humore, reconditur. Sin minus, mina ſpumæ argyritidis diligenter teritur, addito ſale foſſili trito, triplicato pondere, in fictile nouum coniicitur, aqua infunditur, ita vt ſuperemineat: mouetur quotidie mane & veſperi, aquáque ſuperinfunditur, priore nequaquam effuſa. Hoc fit triginta diebus: nanq; niſi moueatur, craſſeſcit, vſque in duritiem teſtæ. Poſt hæc effuſa leniter muria, in Thebaico mortario ſpuma argenti teritur, coniectáq; in fictile aquã continens, manibus diligenter agitatur, mutata ſubinde aqua donec nullũ ſalſuginis indiciũ præbeat. Deinde quod ex argẽti ſpuma candidum apparet, in vas aliud trãsfertur, & redactũ in paſtillos, plũbea pyxide cõditur. Alij ſpumã argenti in fabarũ magnitudines confractã,

 in

in ventre ſuillo crudo ex aqua coquunt, dũ viſcus eliqueſcens contabeſcat, exemptámq; cum ſale pari terunt, & vt ſuprà dictum eſt lauant. Sunt qui ſalis libram vnam, & ſpumæ argenti tantundem, in ſole terant, aqua continuè mutata, dũ candor ei detur. Alia ratio: Sumito quantam vis argenti ſpumam: vbi lana candida inuolueris, fictili nouo indita aqua, cum pugillo fabarum recentiũ repurgatarúmq; decoquito. Cumq; fabæ diſruptę dehiſcent, lanáq; non denigretur, exemptam argenti ſpumã, & altera lana inuolutam, iterum coquito, cyathum aquæ & parem fabarum modum adiiciens: eadẽ tertio, quę ſuprà, facito: in ſumma, tãtiſper, dũ lana iam non inficiatur. Inſuper trãsfundẽs in mortarium, ad ſingulas ſalis foſsitij libras, adiicito octogenas ſpumæ argenti drachmas Atticas, & terito: intermittensque, nitri quamalbiſsimi cũ aqua diluti drachmas quadraginta ſeptem indito: iterum terito, donec ſatis candoris cõtraxiſſe videatur. Ita autẽ fundens eã ex alto in fictile oris ampli, adiecta largiore aqua, vbi conſidere deſierit, colato: tum nouam

ſuper

καὶ βαλόντες εἰς χοίρειον κοιλίαν ὠμὴν ἕψουσιν ἐν ὕδατι, ἄχρις ἂν τακερωθῇ τὸ σπλάγχνον, εἶτα ἐξελόντες καὶ μετ' ἴσων ἁλῶν τρίψαντες, πλύνουσιν ὡς προείρηται. ἔνιοι δὲ ἁλῶν λίτραν μίαν καὶ λιθαργύρου τοσοῦτον, τρίβουσιν ἐν ἡλίῳ μεθ' ὕδατος συνεχῶς ἀποχέοντες ἄχρις ἂν λευκὸν γένηται. ἢ καὶ οὕτω· λαβὼν τῆς λιθαργύρου ὅσον θέλεις, καὶ εἰλήσας ἐρίοις λευκοῖς, καὶ θεὶς εἰς κεραμέαν χύτραν καινὴν, ἐπιδοὺς τε ὕδωρ καὶ κυάμων καθαρῶν καὶ νέων δράκα μίαν ἕψε. ὅταν δὲ οἱ κύαμοι διαρραγῶσι, τό, τ' ἔριον λεανθῇ, ἐξελὼν τὴν λιθάργυρον καὶ ἑτέρῳ εἰλήσας ἐρίῳ, ἐκ δευτέρου ἕψε, κύαθον ἐπιδοὺς ὕδατος, κυάμων τε τὸ ἴσον πλῆθος, καὶ τὰ αὐτὰ ποίει τοῖς προειρημένοις ἐκ τρίτου· καὶ καθόλου ἕως τὸ ἔριον μηκέτι βάπτηται. καὶ τὸ λοιπὸν καταρράσας εἰς θυίαν πρὸς < π΄. ἀττικὰς λιθαργύρου, μίξον ἁλὸς ὀρυκτοῦ λίτραν α΄. καὶ λέαινε. διαλιπὼν τε ἐπίδος νίτρου πάνυ λευκοτάτου διειμμένου μεθ' ὕδατος ὁλκὰς μζ΄. καὶ πάλιν τρίβε ἄχρις ἂν ἡ λιθάργυρος ἱκανῶς λευκὴ γένηται. οὕτω δὲ * καταντλήσας αὐτὴν εἰς κεραμεοῦν πλατύστομον ἀγγεῖον, καὶ προσεπιχέας δαψιλὲς ὕδωρ, ἐάσας τε καταστῆναι, τὸ μὲν ἀπήθησον· ἕτερον δὲ

ἐπι-

ἐπιδοὺς ὕδωρ καὶ ταῖς χερσὶν ἀναταράξας, πάλιν ἐάσεις καταστῆναι ἀπίθησον. ἐναλλὰξ δὲ τοῖς προειρημένοις ποίει, ἕως ἂν καθαρὸν ἄγῃ τὸ ἀπορρέον ὕδωρ, καὶ γλυκὺ καὶ ἁλυκότητος ἀμέτοχον γένηται. ἐπὶ πᾶσι δὲ κατερράσας αὐτὴν εἰς λοπάδα κεραμέαν καινὴν, ἀπηθημένου παντὸς πρότερον τοῦ ὑγροῦ, θὲς ἐν ἡλίῳ ἡμέρας μ΄. ὑπὸ κύνα, καὶ ξηράνας χρῶ. δοκεῖ δὲ ἡ πεπλυμένη ἁρμόζειν εἰς τὰ ὀφθαλμικὰ, καὶ οὐλὰς ἀπρεπεῖς, καὶ ἐρρακωμένα πρόσωπα· καὶ σπίλων ἔμπλεα.

Περὶ Ψιμμυθίου. Κεφ. ργ΄.

Ψιμμύθιον δὲ γίνεται οὕτως· εἰς πιθάκνην πλατύστομον ἢ εἰς κεραμέαν γάστραν, ἐγχέας δριμύτατον ὄξος, ἀπέρεισον μολιβδίνην πλίνθον ἐπὶ τὸ στόμα* τῆς κεραμέας, προϋποκειμένου καλαμίνου ψιαθίου· ἄνωθέν τε αὐτῇ ἐπίρριψον σκεπάσματα πρὸς τὸ μὴ διαπνεῖσθαι τὸ ὄξος, ὥστ᾽ ἂν διαλυθῇ, καὶ συγκαταρρυεῖσα διαπέσῃ, καὶ τὸ μὲν ἐπαιωρούμενον καὶ καθαρὸν ὑγρὸν ἀπήθει, τὸ δὲ γλοιῶδες εἰς ἀγγεῖον ἐγχυτέον· καὶ ξηραντέον ἐν ἡλίῳ, εἶτα ἀλεστέον ἐν χειρομύλωνι, ἢ λεαντέον ἄλλως καὶ σηστέον* καὶ μετὰ ταῦτα λοιπὸν τοῦ στερεμνίου λεπτοποιητέον, καὶ σηστέον ἐναλλὰξ τε τὰ αὐτὰ καὶ τρίτον καὶ τέταρτον ποιητέον.

ἄμεινον

ſuperadiiciés aquam, manibus probè verſatam, ſinito vt conſidat, ac rurſus per collum traiicito. Alternis eadé proſequere, dum pura aqua dulcisq́; effluat, & nullã ſalſediné præ ſe ferat. Poſtremò in fictile nouũ trãslatam, colato ſenſim omni humore, ſoli quadraginta diebus ſub caniculæ ſydus exponito, & ſiccata vtitor. Elotã autem conſtat ad oculorũ collyria ꝓdeſſe, & ad cicatricũ fœditates tollẽdas, ad rugoſas facies, & cicatricoſas, laceratáſque, & macularum plenas.

Ceruſa. Cap. CIII.

Ceruſa fit hoc modo: Infuſo in vrceum oris lati, aut fictile labellum quamacerrimo aceto, laminam plumbeam ſupra fictilis ſpiraculũ, ſubiecta prius arundinea tegete, firmato: ſuperiectíſque velaminibus, ne halitum expiret acetũ, vbi reſoluta fuerit, defluénſque deciderit, humorem purũ ad ſumma delatum colato, craſſamẽtúmq; trãsfundito: debet quoque ſiccari in ſole, mox truſatili mola teri, aut aliâs tritũ cribrari. Poſtea quod ſupereſt duri, in tenues partes redigendũ, cribrandúmque: viciſsim eadem tertio quartoq; facienda.

Melior,

Melior, quę primò cribrata eſt, & medicamẽtis oculorum aſſumenda. Secũdum locum tenet ſequens, & reliquæ ſuo ordine. Nec deſunt qui ligneas rudes, in medio vaſe appendant, & deraſo ceu ſitu impoſito, ita vt acetum non contingat, inditóque operculo circumlinentes dimittunt. Poſt dies decem, laxato obturaméto viſunt: cúmque reſoluta materia fuerit, reliqua, vt ſuprà diximus, exequuntur. Si autem quis in paſtillos velit digerere, aceto acri ſubacta, diuiditur in paſtillos, qui in ſole ſiccantur. Æſtate tamen ſupradictũ opus obeundum eſt: ita enim candida atque efficax redditur. Quinetiam hyeme paratur, vrceis ſupra furnos, balnea, aut fornaces impoſitis: aſcendens enim calor, idem quod ſol præſtat. Laudatiſsimam fieri putãt Rhodi, & Corinthi, aut Lacedæmone, proximam Puteolis. Torretur hoc modo: Flagrantibus igni carbonibus, fictili nouo, maximè Attico, tritam ceruſam imponito, & aſsiduè verſato, cúmque cinereum colorem traxit, eximens refrigerato, & vtitor. Eſt & aliud vrendi genus:

Trita

ἄμεινον δέ ἐστι τὸ πρῶτον ἀποσηθὲν, ὃ καὶ εἰς τὰς ὀφθαλμικὰς παραπλέκειν δυνάμεις. δευτερεύει δὲ τὸ ἐχόμενον, καὶ κατὰ τάξιν τὰ λοιπά. *τινὲς δὲ κατὰ μέσον τὸ ἀγγεῖον κατερείσαντες τὸν ῥίπον ἐπιτιθέασιν ὡς μικρὸν ψαύειν τοῦ ὄξους, τὸ δὲ στόμα αὐτοῦ πωμάσαντες καὶ περιχρίσαντες ἐῶσι. καὶ δι' ἡμερῶν ἀφαιρούμενοι τὸ πῶμα ἐπισκοποῦνται· ὅτε δὲ διαλυθῇ, τὰ ἄλλα ποιοῦσιν ὁμοίως τοῖς προειρημένοις. εἰ δὲ ἀναπλάσαι τις αὐτὸ ἐθέλει, ὄξει δριμεῖ φυρατέον, καὶ οὕτως ἀναπλαστέον, καὶ ξηραντέον ἐν ἡλίῳ θέρους μέντοι ἐργαστέον τὰ προειρημένα. οὕτω γὰρ λευκὸν καὶ ἐνεργὲς γίνεται. σκευάζεται δὲ καὶ χειμῶνος τῶν πιθακνῶν ὑπεράνω ἰπνῶν ἢ βαλανείων ἢ καμίνων τιθεμένων· ἡ γὰρ ἄνωθεν φερομένη θερμασία τὸ αὐτὸ δρᾷ τῷ ἡλίῳ. κάλλιστον δὲ ἡγητέον τὸ ἐν Ῥόδῳ σκευασθὲν, ἢ ἐν Κορίνθῳ, ἢ ἐν Λακεδαίμονι, δευτερεύει δὲ τὸ ἐκ Δικαιαρχίας. ὀπτητέον δὲ αὐτὸ τὸν τρόπον τοῦτον· ἐπ' ἀνθράκων πεπυρωμένων θεὶς ὄστρακον καινὸν καὶ μάλιστα ἀττικὸν, ἔμπλασσον λεῖον τὸ ψιμμύθιον, καὶ κίνει συνεχῶς, ὅταν δὲ τῇ χρόᾳ ἔνσποδον γένηται, ἀνελόμενος ψῦχε καὶ χρῶ. *καῦσαι δὲ θέλων εἰς καινὴν λοπάδα λεῖον ἀπόδος,

ἐπιθεὶς

ἐπιθεὶς τε ἐπὶ τοὺς ἄνθρακας, νάρθηκι κίνει ἕως ἂν τὴν χρόαν ἐοικὸς σανδαράχῃ γένηται· καὶ ἀνελόμενος χρῶ. τὸ δὲ οὕτω σκευασθὲν, σάνδυξ ὑπό τινων λέγεται. πλύνεται δὲ τὸ ψιμμύθιον ὁμοίως τῇ καδμείᾳ. Δύναμιν δὲ ἔχει ψυκτικὴν, ἐμπλαστικὴν, μαλακτικὴν, πληρωτικὴν, λεπτυντικήν· ἔτι τε πράως καταστελτικὴν ὑπεροχῶν, καὶ κατουλωτικήν. μιγνύμενον κηρωταῖς καὶ λιπαραῖς ἐμπλάστροις, καὶ τροχίσκοις· ἔστι δὲ καὶ τῶν ἀναιρετικῶν.

Περὶ Χρυσοκόλλης. Κεφ. ρδʹ.

Χρυσοκόλλα δὲ διαφέρει ἡ ἀρμενιακὴ, τῇ χρόᾳ κατακόρως πρασίζουσα. δευτερεύει δὲ ἡ μακεδονικὴ, εἶτα ἡ κυπρία, καὶ ταύτης τὴν καθαρὰν προκριτέον· τὴν δὲ γῆς καὶ λίθων ἔμπλεων ἀποδοκιμαστέον. πλυτέον δὲ τὴν προειρημένην οὕτω· κόψας αὐτὴν ἔμβαλε εἰς θυΐαν, καὶ ἐπιχέας ὕδωρ τρῖβε πλατείᾳ τῇ χειρὶ πρὸς τὴν ἴγδην εὐτόνως, εἶτα ἐάσας ἀποκαταστῆναι, ἀπήθησον. καὶ ἕτερον ἐπιχέας ὕδωρ πάλιν τρῖβε· ταῦτα δὲ ποίει ἐναλλὰξ, ἕως καθαρὰ καὶ εἰλικρινὴς γένηται. λοιπὸν ξηράνας ἐν ἡλίῳ, ἀποτίθεσο, καὶ χρῶ. ἐὰν δὲ καῦσαι θέλῃς καὶ κατὰ τὸν τρόπον τοῦτον, λεάνας αὐτῆς τὸ αὔταρκες, ἐπίθες εἰς τήγανον, καὶ ἀπόθου ἐπ᾽ ἀνθράκων,

καὶ

Trita patinis nouis ſupra prunas imponit, & ferulacea rude mouet, donec colore ſimilis ſandarachæ fiat: extractaq; ad vſus miniſtratur. Quæ verò ita parata eſt, ſandyx à quibuſdã dicit. Lauat ceruſa cadmiæ modo. Vis ei refrigerare, occludere, emollire, explere, extenuareq;: inſup excreſcentia leniter reprimere, & ad cicatricẽ ꝑducere. Miſcet ceratis, & emplaſtris, q̃ liparæ vocant, paſtilliſque: eſt autẽ letalis eius potus.

Chryſocolla. Cap. CIIII.

Chryſocolla laudatiſsima Armeniaca, colorem porri quãſimillimè reddens. Secundum locum ſibi vendicat Macedonica, & proximnm Cypria, quo in genere præfertur pura: damnatur, quæ terram aut calculos collegerit. Ratio lauandi hæc eſt: Tuſam infuſa aqua, mortario expaſſa manu ad pilam vehemẽter fricato, & ſtatim quàm conſederit, colato. Alterã infundens aquã, rurſum terito: hæc viciſsim ꝓſequere: donec pura ſynceráque ſpectetur. Dein ſiccato in ſole, et ad vſus recõdito. Quòd ſi vrere volueris, ex ea terens quod ſatis eſſe videbitur, patinis ſupra carbones adponito,

& alia

& alia facito quæ ſuprà diximus. Dos chryſocollæ ad purgandas cicatrices: excreſcentem carnem coercet: adſtringit, purgat, excalfacit, & modicè corpus mordendo exeſt. Inter medicaméta intelligitur, quæ vomitiones concitant, & necem inferre poſſunt.

καὶ τὰ ἄλλα ποίει ὡς προείρηται ἐπὶ τῶν πρὸ αὐτοῦ. Δύναμιν δὲ ἔχει ἡ χρυσοκόλλα σμηκτικὴν οὐλῶν, καταστaλτικὴν σαρκωμάτων, καὶ ἀνακαθαρτικήν, συπτικήν τε καὶ θερμαντικὴν, σηπτικὴν μετρίως μετὰ τοῦ ἐπὶ ποσὸν δάκνειν. ἔστι δὲ καὶ τῶν ἔμετον κινούντων καὶ ἀναιρεῖν δυναμένων.

Lapis armeni9. Cap. CV.

Περὶ Ἀρμενίου λίθου. Κεφ. ρε΄.

Armenius lapis pręfertur lęuis, colore cœruleo, perquàm æquabilis, calculo carés, & friabilis. Eadem quæ chryſocolla præſtat, ſed inefficacius. Quinetiam vſum habet ad pilos in palpebris alendos.

Ἀρμένιον δὲ προκριτέον τὸ λεῖον καὶ τὸ χρῶμα κυάνεον, ὁμαλόν τε ἄγαν καὶ ἄλιθον, εὔθρυβές. τὰ αὐτὰ ποιεῖ τῇ χρυσοκόλλῃ, περὶ τὴν εὐτονίαν μόνον λειπόμενον αὐτῆς. ἔστι δὲ καὶ τῶν ἐν βλεφάροις τριχῶν αὐξητικόν.

Cœruleus. Cap. CVI.

Περὶ Κυανοῦ. Κεφ. ρς΄.

COERVLEI origo ex ærariis metallis in Cypro: copioſior ex arena littorali: ſecundum quoſdam ſub cauatos ſpecus maris inuenitur, qui magis probatur. Eligi debet inebriatus. Vritur vt calcitis, lauatur vt cadmia. Vim habet reprimentem, & modicè erodentem: cruſtas gignit, & exulcerat.

Κυανὸς δὲ γεννᾶται μὲν ἐν Κύπρῳ ἐκ τῶν χαλκουργῶν μετάλλων· ὁ δὲ πλείων ἐκ τῆς αἰγιαλίτιδος ἄμμου εὑρισκόμενος κατά τινας σπηλαιώδεις ὑποσκαφὰς τῆς θαλάσσης, ἥτις καὶ διαφέρει. παραληπτέον δὲ τὴν σφόδρα κατακορῆ. καυστέον δὲ ὡς χαλκῖτιν, καὶ πλυτέον ὡς καδμείαν. Δύναμιν δὲ ἔχει καταστaλτικὴν καὶ μετρίως σηπτικήν, ἐσχαρωτικήν τε καὶ ἑλκωματικήν.

Indicum. Cap. CVII.

Περὶ ἰνδικοῦ λίθου. Κεφ. ρζ΄.

Indici duo genera, vnum ſua ſpōte naſcit, tanquā ſpuma, germinatione Indicis arūdinibus exiés. Alterū infectorię dāt officinæ: & eſt ſpuma purpurea innatans

Τοῦ δὲ λεγομένου ἰνδικοῦ, τὸ μὲν αὐτομάτως γίνεται, οἱονεὶ *ἔκβρασμα ὂν τῶν ἰνδικῶν καλάμων, τὸ δὲ βαφικόν ἐστιν ἐπανθισμὸς πορφυροῦς ἐπαιωρούμενος

ἐπωνομασμένος τοῖς χαλκείοις, ὃν ἀποσύραντες ξηραίνουσιν οἱ τεχνῖται. ἄριστον δὲ ἡγητέον εἶναι τὸ κυανοειδές τε καὶ ἔγχυλον, λεῖον. ἔστι δὲ τῶν στυφόντων ἐλαφρῶς καὶ ῥησσόντων φλεγμονὰς καὶ οἰδήματα· ἀνακαθαίρει δὲ καὶ καταστέλλει ἕλκη.

Περὶ Ὤχρας, Κεφ. ρη'.

Ὤχραν δὲ ληπτέον τὴν κουφοτάτην καὶ μηλίνην διόλου. κατακορῆ δὲ καὶ ἄλιθον καὶ εὔθρυπτον, ἀττικὴν δὲ τῷ γένει. καυστέον δὲ, καὶ πλυτέον καὶ ταύτην ὡς τὴν καδμείαν. Δύναμιν δὲ ἔχει στυ*πτικήν, σκεδαστικὴν φλεγμονῶν καὶ φυμάτων· καταστέλλει τε τὰ ὑπερσαρκοῦντα· καὶ τὰ κοῖλα πληροῖ* σὺν κηρωτῇ, καὶ πώρους θρύπτει.

Περὶ Κινναβάρεως. Κεφ. ρθ'.

Κιννάβαρι οἴονταί τινες ταυτὸν ὑπάρχειν τῷ καλουμένῳ* ἀμμίῳ, πλανώμενοι. τὸ μὲν γὰρ ἄμμιον σκευάζεται ἐν ἰσπανίᾳ, ἐκ λίθου τινὸς μεμιγμένου τῇ ἀργυρείτιδι ψάμμῳ, ἄλλως δὲ οὐ γινώσκεται. ἐν δὲ τῇ χώνῃ μεταβάλλει εἰς εὐανθέστατον καὶ φλογωδέστατον χρῶμα· ἔχει δὲ τὴν ἀποφορὰν ἐν τοῖς μετάλλοις πνιγώδη. περιτίθενται γοῦν οἱ ἐπιχώριοι τοῖς προσώποις φύσας πρὸς τὸ βλέπειν μὲν, μὴ σπᾶν δὲ τὸν ἀέρα. χρῶνται δὲ αὐτῷ οἱ ζωγράφοι εἰς τὰς πολυτελεῖς τῶν τοίχων* ἐγκοσμήσεις. Τὸ

innatás cortinis, quã detractã artifices ſiccant. Optimũ exiſtimatur quod cœrulei ſpeciem præbet, ſuccũ ſuum ſorbet, & læue. Inter medicamenta eſt q̃ læuiter adſtringunt, & inflammationes, tumoresq; rumpũt: purgat, & reprimit vlcera.

Ochra. Cap. CVIII.

Ochrã læuiſsimã, & omnino luteã eligere oportet, ſaturatã, nõ lapidoſam, friabilẽ, natione Atticã. Vritur hæc, & lauatur cadmiæ modo. Vis eius adſtringere, erodere, collectiones & tubercula diſsipare: excreſcẽtia in carne reprimit: caua cum cerato explet, & articulorum tofos comminuit.

Cinnabaris. Cap. CIX.

Hallucinantur qui cinnabarin minio eandem eſſe exiſtimant. Minium enim in Hiſpaniis ex lapide quodam argenteæ arenæ permiſto, temperari ſolet, alioqui non dignoſcitur. Fornacibus autẽ in florẽtiſsimum flagrãtiſsimúmq; colorẽ permutatur: in metallis verò ſtrangulantem halitum eructat: itaq; facies incolæ veſicis obuelant, vt per illas ſpectent, nec reſpirando noxiũ aërẽ attrahant. Eo pictores ad ſũptuoſa parietum ornamẽta vtũtur.

Cinnabaris

Cinnabaris verò ex Aphrica defertur, & magno cõſtat: hactenꝰ inuenitur, vt vix verſicoloribus pictorũ lineis ſatisfaciat: intẽto colore nec diluto p̃ditũ: quare quidã ſanguinẽ eſſe draconis exiſtimauerunt. Vim habet cinnabaris hæmatitæ lapillo eandẽ: cõuenit ad oculorũ medicamẽta, verùm efficacius: magis enim adſtringit, & ſanguinem cohibet. Ambuſtis igni, & papularũ eruptionibus cerato excepta medetur.

Argentũ viuũ. Cap. CX.

ARGENTVM viuum fit ex minio, quod abuſiuè cinnabaris dicitur, patinis fictilibus, impoſita ferrea cõcha cinnabarin continente, & calice cooperta, argilla ſuperlita, carbonibus ſuccendunt: ſiquidem deterſa fuligo, quæ calici inſidet, refrigerata in argentum viuum coit. Quinetiam inuenitur in argenti fodinarum tectis, ſtillatim concretum. Alij per ſeſe in metallis inueniri tradunt. Seruatur in vitreis, aut plumbeis, aut ſtagneis, aut argenteis vaſis: ſiquidem aliam materiam omnem exedit, & defluere facit. Potum vim pernicialẽ habet: ſuo enim pondere interna exeſt. Remedio

σεις. Τὸ δὲ κιννάβαρι τοῦτο κομίζεται μὲν ἀπὸ λιβύης, πιπράσκεται δὲ πολλοῦ· καὶ τοσοῦτον ἐστὶν ὡς μόλις ἐξαρκεῖν τοῖς ζωγράφοις εἰς τὴν ἐν ταῖς γραμμαῖς ποικιλίαν· ἔστι δὲ καὶ βαρύχρουν, ἢ βαθύχρουν· ὅθεν ἐνόμισάν τινες αὐτὸ εἶναι αἷμα δράκοντος. Δύναμιν δὲ ἔχει τὸ κιννάβαρι τὴν αὐτὴν τῷ αἱματίτῃ. ἁρμόζον εἰς ὀφθαλμικὰ, πλὴν ἐπιτεταμένως· μᾶλλον γὰρ στῦφον ἐστὶ καὶ ἴσχαιμον, καὶ πυρίκαυτα καὶ ἐξανθήματα ἀναληφθὲν κηρωτῇ θεραπεύει.

Περὶ ὑδραργύρου. Κεφ. ρί.

Ὑδράργυρος δὲ σκευάζεται ἀπὸ τοῦ ἀμμίου λεγομένου, καταχρηστικῶς δὲ καὶ τούτου κινναβάρεως λεγομένου, θέντες γὰρ ἐπὶ λοπάδος κεραμέας κόγχον σιδηροῦν ἔχοντα κιννάβαρι, περικαθάπτουσιν ἄμβικα περιαλείψαντες πηλῷ, εἶτα ὑποκαίουσιν ἄνθραξιν· ἡ γὰρ προσίζουσα τῷ ἄμβικι αἰθάλη ἀποξεσθεῖσα καὶ ἀποψυχθεῖσα, ὑδράργυρος γίνεται. εὑρίσκεται δὲ καὶ ἐν τῷ μεταλλεύεσθαι τὸν ἄργυρον ἐν ταῖς στέγαις κατὰ σταλαγμοὺς συνεστῶσα. ἔνιοι δὲ ἱστοροῦσι καὶ καθ' ἑαυτὴν ἐν τοῖς μετάλλοις εὑρίσκεσθαι τὸ ὑδράργυρον. φυλάττεται δὲ ἐν ὑελίνοις ἢ μολιβδίνοις ἢ κασσιτερίνοις ἢ ἀργυροῖς ἀγγείοις· τὴν γὰρ ἄλλην ὕλην πᾶσαν διεσθίει, καὶ ποιεῖ ἀπορρεῖν.

Δύναμιν

Δύναμιν δὲ ἔχει φθαρτικὴν ποθεῖσα· τῷ βάρει διαβιβρώσκουσα τὰ ἐντός. βοηθεῖται δὲ γάλακτι πολλῷ πινομένῳ καὶ ἐξεμουμένῳ, ἢ οἴνῳ σὺν ἀψινθίῳ, ἢ ἀφεψήματι σελίνου, ἢ ὁρμίνου σπέρματι ἢ ὀριγάνῳ, ἢ ὑσσώπῳ σὺν οἴνῳ.*

Remedio eſt lac multum ſubinde potum, & vomitionibus reiectum, aut vinũ cum abſinthio, aut apij decoctũ, aut ſemen hormini, aut origanũ, vel hyſſopũ cũ vino; auri limata, ſcobs, id eſt, ramẽtũ q̃ tenuiſſimũ epotũ mirabili eſt auxilio.

Περὶ Μίλτου σινωπικῆς.

Κεφ. ρια΄.

Rubrica Sinopica.

Cap CXI.

Μίλτος σινωπική· κρατίστη ἡ πυκνὴ, καὶ βαρεῖα, ἡπατίζουσα, ἄλιθος, ὁμόχροος, πολύχυτος ἐν τῇ ἀνέσει. συλλέγεται δὲ ἐν τῇ καππαδοκίᾳ ἐν σπηλαίοις τισὶ, διυλίζεται δὲ καὶ φέρεται εἰς σινώπην καὶ πιπράσκεται· ὅθεν καὶ τὴν ἐπωνυμίαν ἔσχηκε. Δύναμιν δὲ ἔχει ξηραντικὴν, ἐμπλαστικήν· διὸ καὶ ἐμπλάστροις τραυματικοῖς μίγνυται, καὶ τροχίσκοις ξηραντικοῖς καὶ στυπτικοῖς. ἵστησι δὲ καὶ κοιλίαν ἐν ᾠῷ λαμβανομένη καὶ ἐγκλυζομένη· δίδοται καὶ ἡπατικοῖς.

Rubrica Sinopis maximè ꝓbatur grauis, dẽſa, ad iocineris imaginẽ vergẽs, calculorũ expers, cõcolor, cũ diluit̃ ĩpẽdio fuſilis. Effoditur ĩ Cappadocia, ſpeluncis q̄buſdã, expurgataq́; defert̃ in Sinopẽ vrbẽ, ĩ qua vẽdit̃: vnde cognomẽtũ accepit. Vim habet exiccatoriã, quaſi inducendo obſtruentẽ, & adſtrictoriã: quapropter vulnerariis emplaſtris, & paſtillis exiccãtibus, & adſtrictoriis cõmiſceri ſolet. Aluum ſiſtit, in ouo ſumpta aut clyſtere infuſa: datur iocineris vitio laborãtib⁹.

Περὶ Τεκτονικῆς.

Κεφ. ριβ΄.

Rubrica fabrilis.

Cap. CXII.

Η δὲ τεκτονικὴ ἥττων ἐστὶ κατὰ πάντα τῆς σινωπικῆς. ἀρίστη δὲ ἡ αἰγυπτιακὴ καὶ ἡ καρχηδονικὴ, ἄλιθος, εὔθρυβής. γίνεται καὶ ἐν τῇ πρὸς ἑσπέραν ἰβηρίᾳ, τῆς ὤχρας καιομένης καὶ μεταβαλλούσης εἰς μίλτον.

Rubrica fabrilis, ad omnia Sinopide ĩferior eſt. Optima Ægyptia, & Carthaginenſis, lapidum expers, friabilis. Gignitur etiam in Iberia, quæ ad occidẽtem ſpectat, ochra exuſta, & degenerante in rubricam.

Περὶ

Lemnia

Lemnia terra.
Cap. CXIII.

Lemnia terra, cuniculoſo in ſpecu nata è Lemno inſula, paluſtri loco defertur, inibi electa, & caprino ſanguini permiſta: quam incolæ cogunt in paſtillos, et imagine capræ ſignãt: vnde & ſphragida ægos, hoc eſt, ſigillum capræ, appellauere. Vim antidoti habet contra pernicioſa venena ſingularem, pota cum vino, & præſumpta, euomi venena cogit. Contra ictus morſúsque animalium, quę exitiale virus eiaculantur, prodeſt. Antidotis familiaris. Sunt qui hac ad ſacrificia vtãtur: eſt & dyſenteriæ vtilis.

Atramentum ſutorium.
Cap. CXIIII.

Atramentum ſutorium genere quidem vnum & idem eſt, molle & concretum: ſed in ſpecie differentias treis habet. Vnum nanque humoribus ſtillatim in cuniculos quoſdã collatis, concreſcit: quare ab iis qui Cypria metalla perficiunt, ſtillatitium appellatur. Peteeſius ipſum pinarion vocat: alij ſtalacticon, id eſt, ſtillatitium. Alterum ſimplici ratione fit in ſpeluncis: poſtea transfuſum in excauatos ſcrobes, cõcrementum

Περὶ Λημνίας γῆς.
Κεφ. ριγ'.

Ἡ δὲ λημνία λεγομένη γῆ, ἔστιν ἔκ τινος ὑπονόμου ἀντρώδους, ἀναφερομένη ἀπὸ λήμνου τῆς νήσου, ἐχούσης ἑλώδη τόπον, κἀκεῖθεν ἐκλέγεται καὶ μίγνυται αἵματι αἰγείῳ· ἣν οἱ ἐκεῖ ἄνθρωποι ἀναπλάσσοντες καὶ σφραγίζοντες εἰκόνι αἰγὸς, σφραγῖδα καλοῦσιν αἰγός. Δύναμιν δ' ἔχει ἀντιδότου θανασίμων φαρμάκων ἔξοχον, πινομένη σὺν οἴνῳ, καὶ προληφθεῖσα ἐξεμεῖσθαι ἀναγκάζει τὰ δηλητήρια. ἁρμόζει δὲ καὶ πρὸς τὰς τῶν θανασίμων ἰοβόλων πληγὰς καὶ δήξεις. μίγνυται δὲ καὶ ἀντιδότοις. χρῶνται δέ τινες καὶ εἰς τελετὰς αὐτῇ. ἔστι δὲ καὶ δυσεντερίαις χρήσιμος.

Περὶ Χαλκάνθου. Κεφ. ριδ'.

Χάλκανθον τῷ μὲν γένει ἓν καὶ ταυτὸν ὑπάρχει, ὑγρὸν γάρ ἐστι, πεπηγός· εἰδικὰς δὲ ἔχει διαφορὰς τρεῖς. τὸ μὲν, γὰρ κατὰ σταλαγμὸν διηθουμένων ὑγρῶν εἴς τινας ὑπονόμους συνίσταται· ὅθεν καὶ σταλακτὶς καλεῖται ὑπὸ τῶν τὰ κυπριακὰ μέταλλα ἐργαζομένων. Πετεήσιος δὲ αὐτὸ καλεῖ πινάριον· οἱ δὲ, σταλακτικὸν, πηκτὸν, ἑφθὸν, ἀρακτὸν, λογχωτόν. τὸ δὲ ἁπλῶς ἐργαζόμενον ἐν σπηλαίοις· ἔπειτα μεταχεόμενον εἰς βόθρους,

τὴν

τὴν πῆξιν λαμβάνει. ὃ δὴ καὶ πηκτὸν ἰδίως ὀνομάζεται. τὸ δὲ τρίτον καλεῖται μὲν ἑφθὸν, σκευάζεται δὲ ἐν Ἱσπανίᾳ· σκευὴν δὲ ἔχει τοιαύτην *ἄχρηστόν τε καὶ ἀσθενέστατον ὑπάρχον. ὕδατι δεύσαντες αὐτὸ ἕψουσιν, εἶτα εἰς τὰς δεξαμενὰς καταρράσαντες, ἐῶσι. τοῦτο δὴ πήγνυται τεταγμέναις ἡμέραις, εἰς πολλὰ διαιρούμενον κυβοειδῆ σχήματα, βοτρυδὸν ἀλλήλοις *προσεχόμενα. ἄριστον δ᾽ αὐτοῦ ἡγητέον τὸ κυάνεον καὶ βαρὺ, πηκτόν τε καὶ διαυγές· οἷόν ἐστι τὸ σταλακτὸν, ὑπ᾽ ἄλλων δὲ λογχωτὸν καλούμενον. ἐχόμενον δὲ τὸ *πηκτόν. τὸ δὲ ἑφθὸν πρὸς μὲν βαφὰς καὶ μελάσματα ἐπιτηδειότερον τῶν ἄλλων δοκεῖ εἶναι· πρὸς δὲ ἰατρικὴν, ἀσθενέστερον ἡ πεῖρα δείκνυσι. Δύναται δὲ στύφειν, θερμαίνειν, ἐσχαροῦν· ἕλμινθας πλατείας ἀναιρεῖν < α. βάρος καταπινόμενον, ἢ μετὰ μέλιτος ἐκλειχόμενον· ἐμέτους τε κινεῖ· καὶ μύκητας λαβοῦσι βοηθεῖ σὺν ὕδατι ποθέν· κεφαλήν τε καθαίρει ἐνεθὲν ὕδατι· καὶ δι᾽ ἐρίου ῥινεγχυτούμενον. καίεται δὲ ὡς ὑποδείξομεν αὐτίκα ἐπὶ τῆς χαλκίτεως.

Περὶ Χαλκίτεως. Κεφ. ριε.

Χαλκῖτιν προκριτέον τὴν χαλκοειδῆ καὶ εὔθρυπτον, ἄλιθόν τε καὶ οὐ παλαιὰν, ἔτι δὲ τὰς ἴνας

ἐπιμήκεις

cõcrementũ capeſsit, quod pecton, id eſt cõcretitiũ, propriè nominat̃. Tertiũ dicitur coctile, & in Hiſpania fieri ſolet: ſed inutile ac iualidiſsimũ eſſe cõſtat. Ratio parãdi hęc eſt: Aqua madefactũ decoquũt, mox in piſcinas trãsfundũt, & reſidere patiũtur. Hoc certis dieb⁹ coaleſcit, in complureis formulas digeſtũ, teſſerarũ ſpeciẽ reddẽtes, quæ racematim inter ſe cohæreſcunt. Optimũ eſſe creditur, cœruleũ, graue, cõcretum, trãſlucẽs: cuiuſmodi ſtillatitiũ eſt, ab aliis lõchoton nominatum. Proximũ, cõcretitiũ. Coctile verò ad infectus & denigrationes, apti⁹ cæteris eſſe cõpertũ eſt: ſed ad medicinæ vſũ inualidius eſſe, experimẽta docẽt. Valet adſtringere, calfacere, & cruſtas inducere: latas vẽtris tineas necat, drachmæ põdere deuoratũ, aut cum melle linctũ: vomit⁹ ciet: aduerſ⁹ hauſta fungorum venena, ex aqua potũ auxiliatur: purgat caput, aqua dilutũ, & in vellere naribus inſtillatũ. Vritur, vt paulò poſt in mẽtiõe chalcitis oſtẽdemus.

Chalcitis. Cap. CXV.

Chalcitis præfertur ſimilis æri, friabilis, nec lapidoſa, nec inueterata, intercurſantibus

P oblõgis

oblongis venis,ſplēdentibúsq;. Huic abſterſoria vis eſt, excalfaciēs,& cruſtās vlcerib⁹ obducens: purgat q̄ oculis & eorūdem angulis hærēt. In genere leuiter exedētium eſt. Ad ignē ſacrū,& vlcera quæ ſerpūt,efficax eſt.Sāguinē è vulua, & narib⁹ erūpentē,cum ſucco porri ſiſtit: gingiuarū vitia, depaſcētia vlcera,tōſillásq;, eius farina cōpeſcit.Vſta,& cum melle trita,oculorū medicamentis lōgè vtilior redditur. Callum genarum,& ſcabritiē abſumit, abſtergétque.Fiſtulas tollit, collyrij modo in eas adacta.

Pſoricum. Cap. CXVI.

Fit ex calcite medicamētum quod pſoricon vocāt, duabus eius partibus, cū vna Cadmiæ additis,et ex aceto tritis.Oportet autem in fictili obruere fimo,dieb⁹ quadraginta.ꝑ caniculæ ardores:ſic enim fit acri⁹. Idē quod chalcitis poteſt. Alij pares vtriuſq; portiones in vino terūt, & eadē ꝓſequuntur. Vritur chalcitis fictili nouo, viuis carbonib⁹ ſuperpoſito.Modus aūt vſtionis in humidioribus eſt,dum ipſa chalcitis bullas excitare deſierit, & ꝑfectè inaruerit:in reliquis verò,dum mutata ī floridū colorē fuerit,

&

ἐπιμήκεις καὶ ἀποστιλβούσας ἔχουσαν. Δύναμιν δὲ ἔχει *συπτικήν τε καὶ θερμαντικὴν, καὶ ἐσχαρωτικὴν· ἀποκαθαρτικὴν τῶν περὶ κανθοὺς καὶ ὄμματα, ἔστι δὲ καὶ τῶν μετρίως *συφόντων. ποιεῖ δὲ καὶ πρὸς ἐρυσιπέλατα, ἕρπητας. αἱμοῤῥαγίας τὰς ἐξ ὑστέρας καὶ μυκτήρων σὺν πρασίου χυλῷ· ξηρὰ δὲ πρός τε ἐπουλίδας καὶ νομὰς καὶ παρίσθμια. κεκαυμένη δὲ πρὸς τὰ ὀφθαλμικὰ μᾶλλον χρησιμεύει λεία σὺν μέλιτι. τετυλωμένα μὲν βλέφαρα καὶ τραχέα ἀποτήκει καὶ σμήχει. σύριγγας δὲ αἴρει ἐν κολλυρίου σχήματι ἐντιθεμένη.

Περὶ Ψωρικοῦ. Κεφ. ρις΄.

Σκευάζεται δὲ ἐξ αὐτῆς τὸ καλούμενον ψωρικόν. διπλασίονος χαλκίτεως πρὸς ἁπλῆν καδμείαν μιγνυμένου, καὶ σὺν ὄξει λεαινομένου· δεῖ δὲ ἐν κεραμέῳ ἀγγείῳ κατορύσσειν ἐν κοπρίᾳ ἐν τοῖς ὑπὸ κύνα καύμασιν ἡμέρας μ΄. γίνεται γὰρ δριμύτερον. δυνάμενον ὅσα καὶ ἡ χαλκῖτις. ἔνιοι δὲ ἴσα μίξαντες οἴνῳ λεαίνουσι καὶ τὰ αὐτὰ ποιοῦσι. καυστέον δὲ αὐτὴν ἐν ὀστράκῳ καινῷ ἐντιθέντας, καὶ διαπύροις ἄνθραξιν ἀπερισταμένους. μέτρον δὲ ἔστω τῆς καύσεως, ἐπὶ μὲν τῆς πολύχεων τὸ ἀπομφολύγωτον καὶ καλῶς ξηρὸν γίνεσθαι· ἐπὶ δὲ τῶν λοιπῶν ἡ ἐπὶ τὸ εὐανθέστερον μεταβολή,

ὅταν

ὅταν γὰρ* μιλτώδης γένηται τὴν χρόαν κατὰ βάθος, ἀναιρετέον αὐτήν. τὴν δὲ προσκαθημένην ἀκαθαρσίαν ἀποφυσητέον καὶ ἀποθετέον. ὀπτᾶται δὲ ἐπ' ἀνθράκων ἐμφυσωμένων, μέχρι τοῦ ὕπωχρον αὐτὴν γενέσθαι· ἢ ἐπ' ὀστράκου καὶ διαπύρων ἀνθράκων στρεφομένη πυκνῶς, ἕως ἂν πυρωθῇ καὶ μεταβάλλῃ τὴν χρόαν.

Περὶ Μίσυος. Κεφ. ριζ΄.

Μίσυ δὲ παραληπτέον τὸ κύπριον, χρυσοφανὲς, σκληρὸν, καὶ ἐν τῷ θραύεσθαι χρυσίζον, καὶ ἀποστίλβον ἀστεροειδῶς. Δύναμιν δὲ ἔχει καὶ καῦσιν τὴν αὐτὴν τῇ χαλκίτιδι, δίχα τῆς τοῦ ψωρικοῦ κατασκευῆς, ἐν τῷ μᾶλλόν τε καὶ ἧττον διαφέρειν. τὸ δὲ αἰγύπτιον, πρὸς μὲν τὰ ἄλλα διαφέρει ἐμπρακτικώτερον ὄν, πρὸς δὲ τὰς ὀφθαλμικὰς δυνάμεις, πολλῷ λείπεται τοῦ προειρημένου.

Περὶ Μελαντηρίας. Κεφ. ριη΄.

Τῆς δὲ μελαντηρίας, ἡ μέν τις τοῖς τῶν ὀρυγμάτων στομίοις ἀφ' ὧν ἂν μεταλλευθῇ ὁ χαλκὸς ἐκπήγνυται ἁλμυρίδος τρόπον. ἡ δὲ, ἐκ τῆς ἄνωθεν ἐπιφανείας τῶν προειρημένων τόπων, ἥ τις καὶ γεώδης ἐστίν. εὑρίσκεται δέ τις καὶ ὀρυκτὴ ἐν κιλικίᾳ καὶ ἐν ἄλλοις τισὶ τόποις. διαφέρει δ' αὐτῆς ἡ θειόχρους λεία, ὁμαλὴ, καθαρὰ, καὶ ἐν τῷ θιγεῖν ὕδατος μελαινομένη ταχέως.

Δύναμιν

& ſanguineū aut miniatū colorem cōtraxerit, tum demum eximenda eſt. Inſidens autem ſpurcitia flatu expellenda, mox reponenda. Torretur etiānum perflatis carbonib⁹, vſquedum luteo colore palleſcat: aut fictili ſubditis candentibus prunis ſubinde verſata, donec igni cōflagret, & colorem mutet.

Miſy. Cap. CXVII.

Miſy aſsumendū natiōe Cyprium, auri ſimile, durū quod friādo auri colorē imitatur, & ſtellæ modo ſplendet. Vim habet, & vſtionē cum chalcitide eandē, prę̨terquā ꝙ pſoricū ex eo non cōficitur, exceſſus defectusq; ratiōe tantū differēs. Ægyptium autem cæteris prę̨ſtat, vtpote qđ efficaci⁹ habeatur, ſed ad ocularia medicamēta multò ſupradicto inferius.

Melāteria. Cap. CXVIII.

Melāteria geminæ eſt originis: quædā in faucibus cuniculorū qb⁹ æs eruit, ſalis modo cōcreſcit. Alia verò in ſūma facie ſupradictorū locorū coit, q̃ terrena eſt. Quinetiā inuenitur in Cicilia, & aliis quibuſdā regiōnibus, foſsilis quędam. Præſtat, quæ ſulphuris colorē trahit, leuis, pura, æquabilis, & quæ cōtactu aquæ cōfeſtim nigreſcit.

Vim cauſticam eam obtinet, quam & miſy.

Δύναμιν δὲ ἔχει καυστικὴν τῇ αὐτῇ τῷ μισυΐ.

Sory. Cap. CXIX.

Περὶ Σώρεως. Κεφ. ριθʹ.

Sory exiſtimarũt aliqui melanteriã eſſe, aberrãtes, ſiquidẽ ſui generis eſt ſory, ei nõ abſimile: verũ ſoręi virus ineſt graue, & nauſeã mouẽs. Inuenitur etiã in Ægypto, & aliis quibuſdã regionibus, vt in Libya, Hiſpania, & Cypro. Præfert̃ Ægyptiũ, quodq; friãti nigrius apparet, ĩ multa foramina dehiſcẽs, ſuppingue, inſuper adſtringẽs, & olfactu deuorationeq; magnũ virus olẽs, ita vt ſtomach⁹ in vomitiones effundat̃. Quod autem friatũ ſcintillas miſyos modo nõ emittit, & alteri⁹ generis eſſe, & inualidũ cẽſendũ eſt. Vim & vſtionẽ ſupradictis ſimilẽ habet: dolori dentiũ, cauernis inditũ medetur, eóſque labãtes firmat: iſchiadicis ex vino infuſum auxiliatur: illitũ cũ aqua, varos extinguit. Medicamẽtis admiſcetur, quæ capillos denigrãt. Hæc aũt ferè omnia, & alia quæ vſtionẽ experta nõ ſunt, peruſtis validiora eſſe exiſtimantur: prẹter ſalem, & vini fæcem, nitrum, calcem, & conſimilia, quæ cruda remiſsiora ſunt. Combuſta enim, viribus efficaciora redduntur.

Τὸ δὲ σῶρυ ἔνιοι ὑπέλαβον μελαντηρίαν πλανώμενοι, ἴδιον γάρ ἐστι γένος, οὐκ ἀφόμοιον· βρωμῶδες δὲ στερρὸν δὲ τὸ σῶρυ καὶ ναυτίας ποιητικόν. εὑρίσκεται δὲ ἐν Αἰγύπτῳ, καὶ ἐν ἄλλοις δὲ τόποις, ὡς ἐν Λιβύῃ καὶ Ἱσπανίᾳ καὶ Κύπρῳ. προκριτέον δὲ τὸ αἰγύπτιον, καὶ ἐν τῷ θραυσθῆναι μελάντερον φαινόμενον. κατατρήσεις τε πολλὰς ἔχον, καὶ ὑπολίπαρον, ἔτι δὲ στῦφον, καὶ πρὸς τὴν κατάποσιν ἢ ὄσφρησιν βρωμῶδες καὶ ἀνατρεπτικὸν στομάχου. τὸ δὲ μὴ λαμπυρίζον ἐν τῷ θραυσθῆναι ἐμφερῶς μισυΐ, ἑτερογενές τε καὶ ἀσθενὲς οἰητέον εἶναι. Δύναμιν δὲ ἔχει καὶ καῦσιν τὴν αὐτὴν τοῖς προειρημένοις· ἰᾶται δὲ καὶ ὀδονταλγίας ἐντιθέμενον εἰς τὰ βρώματα, καὶ τοὺς ὑποσείοντας δὲ ὀδόντας κρατύνει· καὶ ἰσχιαδικοῖς βοηθεῖ μετ᾽ οἴνου ἐγκλυζόμενον· ἰόνθους τε σβέννυσι μεθ᾽ ὕδατος καταχρισθέν. μίγνυται καὶ εἰς τριχῶν μελάσματα. κοινῷ δὲ τρόπῳ ἐπὶ τούτων σχεδὸν καὶ τῶν ἄλλων πάντων δυναμικώτερα τὰ ἄκαυστα τῶν κεκαυμένων ἡγητέον· πλὴν ἁλῶν καὶ τρυγὸς, καὶ νίτρου καὶ τιτάνου καὶ τῶν ὁμοίων, ὅσα ὠμὰ ὄντα ἀνίεται. καιόμενα γὰρ τὴν δύναμιν ἐμπρακτότερα γίνεται.

Diphryges.

Περὶ

Περὶ Διφρυγοῦς. Κεφ. ρκ'.

Τοῦ δὲ διφρυγοῦς τρία ἡγητέον εἴδη. τὸ μὲν γὰρ μεταλλικόν ἐστιν, ὃ δὴ ἐν κύπρῳ μόνῃ γίνεται· πηλῶδες γὰρ ὂν ἀναφέρεται ἐκ βυθοῦ τινὸς τῶν ἐκεῖ τόπων* εἶτα ἀνενεχθὲν ξηραίνεται ἐν ἡλίῳ καὶ μετὰ ταῦτα φρυγάνοις κύκλῳ περιτεθειμένοις καίεται· ὅθεν καὶ διφρυγὲς ἐκλήθη, διὰ τὸ ὑπὸ ἡλίου καὶ τῶν φρυγάνων καίεσθαι, καὶ ξηροποιεῖσθαι, καὶ οἱονεὶ φρύγεσθαι. τὸ δὲ ἕτερον τοῦ κατεργαζομένου χαλκοῦ ὥσπερ ὑποστάθμη τις καὶ τρὺξ ὑπάρχει· μετὰ γὰρ τὴν τοῦ ψυχροῦ ὕδατος περίχυσιν, ὡς ἀνωτέρω ἔφαμεν περὶ ἄνθους χαλκοῦ διαλεγόμενοι, μετὰ τὴν ἀναίρεσιν τοῦ χαλκοῦ εὑρίσκεται ἐν τῇ χώνῃ ἐγκείμενον τῷ πυθμένι αὐτῆς τὸ τοιοῦτον εἶδος, τήν τε στύψιν καὶ τὴν γεῦσιν χαλκοῦ ἔχον. τὸ δὲ τρίτον σκευάζεται οὕτω· λίθον τὸν λεγόμενον πυρίτην συνθέντες εἰς κάμινον οἱ περὶ τούτοις ὄντες, καίουσιν ἐπὶ ἡμέρας ἱκανὰς τίτανον, ὅταν δὲ ἡ χρόα μιλτώδης γένηται, ἀνελόμενοι ἀποτίθενται. τινὲς δέ φασιν ἐκ μόνης τῆς τὸν χαλκοῦν λίθον ἀποτελούσης ὕλης γίνεσθαι τὸ προειρημένον· ὅταν ὀπτηθεῖσα ἐν ταῖς λεγομέναις ἅλωσιν*, ἀνενεχθῇ εἰς τοὺς βόθρους καὶ ἐνταῦθα καίηται. τόν τε γὰρ κύκλῳ τόπον τῶν βόθρων ἐπιλαμβάνει, καὶ μετὰ τὴν ἀναίρεσιν τῶν λίθων οὐδὲν ἧττον εὑρίσκεται. προ-

προκριτέον

Diphryges. Cap. CXX.

Diphrygis tria genera eſſe. creduntur. Quoddam enim metallicum eſt, quod in Cypro ſola gignitur: lutoſum nanque extrahitur, ex luto cuiuſdam inibi ſpecus: extractum, ſole ſiccatur, mox circumpoſitis ſarmentis vritur. diphryges ideo vocatũ eſt, quod & à ſole, & à ſarmentis vratur, areſcat, & fermè torreatur. Alterum perfecti æris, quaſi ſubſidens fæx eſt: ſiquidem poſt frigidæ aquæ offuſionem, vt ſuprà retulimus, cum de flore æris differeremus, ſublato ære, fornacum ima parte cohærens id genus inuenitur, & adſtrictionem & guſtum æris habens. Tertium ſic fit; Lapidem pyriten, vt calcem multos dies cremant in camino: cúmque colorem rubricæ contraxerit, eximentes recondunt. Quidam tradunt hoc ex ſola materia, quæ lapidem æris gignit fieri: quãdo in dictis arëis aſſata, & in ſcrobes trãſlata peruritur. Tũc enim ambientẽ ſcrobis locum comprehendit, & exemptis lapidib⁹ nihilominus inuenitur.

 Prȩfertur

Prefert quod ſaporẽ æris reddit, æruginiſq́;, adſtringens, & vehemẽter exiccans linguã: qđ ſibi exuſta ochra nõ vendicat: quę cremata diphrygis vice venit. Vis ei⁹ adſtringere perpurgare, extergere, ſiccare, excreſcentia conſumere, vlcera ſerpentia, & quę cacoëthe vocãt, ad cicatricem perducere. Suppurationes terebinthina aut cerato exceptum diſcutit.

Auripigmentũ. Cap. CXXI.

Auripigmentũ in eiſdẽ metallis, quib⁹ ſandaracha gignitur. Optimũ exiſtimatᷣ cruſtoſum, aureo colore micãs, nulli materiæ permiſtũ, in ſquãmas fiſsile: quale in Myſia Helleſpõti naſcitur. Huius duo genera fluxerunt: Vnum ſupradictum eſt. Alterũ glandis effigie, pallidũ, & colore ſandarachã imitans, gleboſum, ex Ponto & Cappadocia defertur: qđ etiã ſecũdum locũ tenet. Torretur in teſta noua viuis carbonibus ſubiectis, aſsiduoq́; verſatᷣ, donec igne flagret, & mutet colorem: deinde refrigeratũ, tritúmque recõditur. Vim habet adſtrictoriã, & erodentẽ, cruſtas cum vehemẽti vredine, & violẽto morſu excitat: reprimit q̃ excreſcũt, & capillos euellit.

Sanda-

κριτέον δ' αὐτοῦ τὸ τῇ γεύσει ἔγχαλκον.* ἰῶζον στῦφόν τε καὶ ἀναξηραῖνον ἱκανῶς τὴν γλῶτταν. ὃ παρ' ἡ κεκαυμένη ὤχρα οὐ κέκτηται· ἣν δὴ καίοντες ἀντὶ διφρυγοῦς πιπράσκουσι. Δύναμιν δὲ ἔχει στυπτικήν τε καὶ ἀνακαθαρτικὴν ἐπιτεταμένως, σμηκτικήν τε καὶ ξηραντικὴν καὶ κατασταλτικὴν ὑπερσαρκώσεως, ἀπουλωτικὴν κακοήθων καὶ ἑρπυστικῶν. διαφορεῖ καὶ ἀποστήματα ἀναληφθὲν τερεβινθίνῃ ἢ κηρωτῇ.

Περὶ Ἀρσενικοῦ. Κεφ. ρκά.

Ἀρσενικὸν κατὰ τὰ αὐτὰ γίνεται μέταλλα τῇ σανδαράχῃ. ἄριστον δὲ ἡγητέον τὸ πλακῶδες καὶ χρυσίζον τῇ χρόᾳ, τάς τε πλάκας λεπιζομένας ἔχον ὡς ἀεὶ ἐπικειμένας ἀλλήλαις· ἔστι δὲ ἀμιγὲς ἑτέρας φύσεως· τοιοῦτον δέ ἐστι τὸ γινόμενον ἐν μυσίᾳ τῇ ἐν ἑλλησπόντῳ. ἔστι δὲ αὐτοῦ δύο εἴδη. τὸ μὲν ἓν οἷον προείρηται.* τὸ δὲ ἄλλο βαλανοειδὲς καὶ ὠχροειδὲς καὶ σανδαραχίζον τῇ χρόᾳ* ἐκ πόντου καὶ καππαδοκίας φερόμενον· δευτερεύει δὲ τὸ τοιοῦτον. ὀπτᾶται δὲ οὕτως*. ἐπ' ὀστράκου καινοῦ ἐπερεισάμενος αὐτὸ θὲς ἐπὶ διαπύρου ἄνθρακος καὶ στρέφε συνεχῶς, ὡς δ' ἂν πυρωθῇ καὶ μεταβάλλῃ, ψύξας καὶ λεάνας ἀποτίθεσο. Δύναμιν δὲ ἔχει σηπτικήν τε καὶ στυπτικὴν καὶ ἐσχαρωτικὴν μετὰ πυρώσεως καὶ βιαίου δήξεως· ἔστι δὲ καὶ τῶν στελλόντων, ψιλοῖ δὲ τρίχας.

Περὶ

Περὶ Σανδαράχης. Κεφ. ρκβ'.

Σανδαράχην δὲ προκριτέον τὴν κατακορῆ, πυῤῥὰν, εὔθραυστον, εὐλέαντόν τε καὶ καθαρὰν, κινναβαρίζουσαν τὴν χρόαν, ἔτι δὲ θειώδη ἀποφορὰν ἔχουσαν. Δύναμιν δὲ ἔχει καὶ ὄπτησιν τὴν αὐτὴν τῷ ἀρσενικῷ· θεραπεύει δὲ καὶ ἀλωπεκίας ἀναληφθεῖσα ῥητίνῃ, καὶ λεπροὺς ὄνυχας σὺν πίσσῃ ἀφίστησι· καὶ πρὸς φθειριάσεις σὺν ἐλαίῳ ποιεῖ· φύματά τε σὺν στέατι διαφορεῖ. ἁρμόζει δὲ καὶ πρὸς τὰ ἐν ῥισὶ καὶ στόμασιν ἕλκη, καὶ πρὸς τὰ λοιπὰ ἐξανθήματα σὺν ῥοδίνῳ· καὶ πρὸς κονδυλώματα. δίδοται καὶ ἐμπυϊκοῖς, σὺν οἰνομέλιτι. καὶ ὑποθυμιᾶται σὺν ῥητίνῃ καὶ πρὸς παλαιὰν βῆχα, διὰ σίφωνος ἑλκομένου τοῦ ἀτμοῦ τῷ στόματι. φωνήν τε ἀποκαθαίρει ἐκλειχομένη σὺν μέλιτι, καὶ ἀσθματικοῖς σὺν ῥητίνῃ καταπότιον δίδοται.

Περὶ Στυπτηρείας. Κεφ. ρκγ'.

Στυπτηρείας δὲ σχεδὸν πᾶν εἶδος, ἐπὶ τῶν αὐτῶν ἐν τῇ αἰγύπτῳ μετάλλων εὑρίσκεται· ἔστι γὰρ σχιστὴ οἱονεὶ τῆς βωλίτιδος ἄνθος. γεννᾶται δὲ καὶ ἐν ἄλλοις τισὶ τόποις, ἐν μήλῳ, ἐν μακεδονίᾳ, ἐν λιπάραις, καὶ σαρδονίᾳ, καὶ ἱεραπόλει τῆς φρυγίας, λιβύῃ, ἀρμενίᾳ, καὶ ἐν ἄλλοις δὲ τόποις πλείοσιν ὥσπερ ἡ μίλτος· ἔστι δὲ αὐτῆς εἴδη πλεῖστα.

πρὸς

Sandaracha. Cap. CXXII.

Sandaracha probatur rufa, & ſaturatior,& aliena materia vacans, friabilis,cinnabaris colore, ſulphuris virus redolens, Dos eadem & vſtio,quæ auripigmento: explet alopecias,reſina excepta, & ſcabros vngues cum pice eximit: contra phthiriaſin ex oleo efficax eſt. Tubercula cum adipe diſcutit. Prodeſt ad narium oriſque vlcera, & cæteras pabularum eruptiones cum roſaceo: item condylomata. Datur ex mulſo, puruléta extuſsiétibus. Suffitur quoq; cum reſina, aduerſus veterem tuſsim, rapto per fiſtulam nidore: vocem expedit, cũ melle delincta ſuſpirioſis cum reſina in catapotio optimè datur.

Alumen. Cap. CXXIII.

OMNE aluminis genus ferè in Ægypto, & in eiſdé metallis inuenitur: etenim ſciſsile quoddam, quaſi flos gleboſi intelligitur. Gignitur & in aliis quibuſdam locis, in melo, in Macedonia, in Liparis, Sardinia, Hierapoli Phrygiæ. Aphrica, Armenia, & pleriſque aliis regionibus, ſicut & rubrica. Plurimæ eius ſpecies:

 verùm

verū ad medēdi vſum, ſciſsile, rotundū, et liquidū expetūtur. Optimū eſt ſciſsile, præſertim recens, cādidiſsimū, guſtu perquàm adſtringēs, graue olens, calculorū expers, nec glebuloſe aut aſſuloſe cōpactū, ſed ſigillatim in capillamēta quædā caneſcētia dehiſcens, quale eſt quod trichites, quaſi capillare nominat̃, in Ægypto natū. Reperitur quoq; lapis huic alumini perſimilis, qui guſtus iudicio dignoſcit̃, quod nō adſtringat. Dānat̃ in rotūdi genere, quod manu confictū eſt. ſed ex figura deprehenditur. Aſsumendū autem ſuapte natura rotundū, bullis turgēs, albo propius, atque validius adſtringens, præterea nōnihil palloris cū quadā pinguitudine præ ſe ferens, ſine arenis, friabile, natiōe Ægyptiū, aut ex inſula Melo. Liquidi probatio, vt ſit lympidū, lacteum, æquale, & ſemper ſucco madēs, ſine lapidibus, atque quendā coloris igniculū expirās. Vim habent excalfaciendi ſtringēdi, & expurgādi, q̄ caliginē pupillis oculorū offūdūt: genarū carnē, cæteráſq; excreſcētias extenuāt. Sciſsile rotundo efficacius intelligitur. Vri et torreri chalcitidis mō debent.

Putreſcētia

πρὸς δὲ ἰατρικὴν χρῆσιν λαμβάνεται ἥ τε σχιστὴ καὶ ἡ στρογγύλη καὶ ἡ ὑγρά. ἀρίστη δὲ ὑπάρχει ἡ σχιστή, καὶ ταύτης ἡ πρόσφατος καὶ λευκὴ ἄγαν, καὶ ἄλιθος* καὶ βαρύοζος στύφουσά τε εὐτόνως, ἔτι τε οὐ πεπιεσμένη βωληδὸν, ἢ σχιδακηδὸν, ἀλλ' ἐξασμένη κατὰ μονάδας πολιαῖς θριξὶν ἐμφερῶς, οἵα ἐστὶν ἡ λεγομένη τριχῖτις, γινομένη δὲ ἐν αἰγύπτῳ. εὑρίσκεται δὲ καὶ λίθος ἐμφερὴς αὐτῇ ἄγαν, ὃν διακριτέον τῷ τῆς γεύσεως κριτηρίῳ μὴ στύφοντα. τῆς δὲ στρογγύλης ἡ χειροποίητος ἀδόκιμος ὑπάρχει· γνωρίζεται δὲ ἐκ τοῦ σχήματος. παραληπτέα δ' ἂν εἴη ἡ φυσικῶς στρογγύλη καὶ πομφολυγώδης, ὑπόλευκός τε καὶ στύφουσα ἐρρωμένως, ἔτι δὲ ποσὸν ὠχρότητος ἅμα καὶ λιπαρείας ἔχουσα, πρὸς δ' τούτοις ἄλιθός τε καὶ εὐθρυβὴς, καὶ γένει μηλία ἢ αἰγυπτία. τῆς δὲ ὑγρᾶς τὴν μάλιστα διαφανῆ προκριτέον καὶ γαλακτώδη, ὁμαλήν τε καὶ δι' ὅλου χυλώδη, ἔτι δὲ ἄλιθον καὶ πυρῶδες ἀποπνέουσαν. Δύναμιν δὲ ἔχουσι θερμαντικὴν, στυπτικήν,* ἀποκαθαρτικὴν τῶν ἐπισκοτούντων ταῖς κόραις· τήκουσι δὲ καὶ τὰς ἐπὶ τῶν βλεφάρων σάρκας καὶ τὰ ἄλλα ὑπερσαρκώματα. ἐνεργεστέραν δὲ τῆς στρογγύλης τὴν σχιστὴν ἡγητέον. καίονται δὲ καὶ ὀπτῶνται ὡς χαλκῖτις·

ἰχῶρι

ἴσχουσι δὲ καὶ σηπεδόνας· αἱμοῤῥαγίας· οὖλα πλαδῶντα στέλλουσι· καὶ ὀδόντας σειομένους κρατύνουσι σὺν ὄξει ἢ μέλιτι. ἄφθας δὲ ὠφελεῖ σὺν μέλιτι, καὶ ἐξανθήματα καὶ ῥεύματα ἐν ὠσὶ σὺν πολυγόνου χυλῷ· λέπραις δὲ ἁρμόζουσι σὺν κράμβης φύλλοις, ἢ σὺν μέλιτι ἑψηθεῖσαι· καὶ κνησμοῖς, ὄνυξί τε λεπροῖς καὶ πτερυγίοις καὶ χιμέτλοις σὺν ὕδατι καταιονούμεναι. σὺν τρυγὶ δὲ ὄξους καταχριόμεναι μετὰ κηκίδος ἴσης κεκαυμένης πρὸς φαγεδαινικά, πρὸς δὲ νομὰς σὺν ἁλσὶ διπλοῖς· πιτυριάσεις δὲ σὺν ὀρόβῳ καὶ πίσσῃ σμήχουσι καταχριόμεναι· κονίδων τε καὶ φθειρῶν καὶ πυρικαύτων σὺν ὕδατι καταχριόμεναι, βοήθημα. *οἰδήμασί τε καὶ μασχαλῶν καὶ βουβώνων δυσωδίαις καταχρίουσι. ἡ δὲ μηλία καὶ πρὸς ἀσυλληψίαν συνεργεῖ πρὸ τῆς συνόδου παρατεθεῖσα τῷ στόματι τῆς ὑστέρας· καὶ ἔμβρυα ἐκτινάσσει· ἐπουλίσι τε καὶ σταφυλαῖς καὶ παρισθμίοις ἐπιτήδειοι· καὶ στόμασι καὶ πρὸς ὦτα καὶ αἰδοῖα σὺν μέλιτι ἐπιχρίουσι.

Περὶ Θείου. Κεφ. ρκδʹ.

Θεῖον δὲ ἄριστον ἡγητέον, τὸ ἄπυρον καὶ λαμπυρίζον τῇ χρόᾳ, διαφανές ἐστι καὶ ἀλίθον. τοῦ δὲ πεπυρωμένου, τὸ χλωρόν ἐστι καὶ ἐνλιπές. γονα-

Putreſcétia vlcera compeſcũt: ſanguinis fluxiones inhibent: gingiuas humore prægnantes cõprimũt: motus détiũ cũ aceto & melle firmãt. Proſunt cũ melle vlcerib⁹ oris, eruptionibus papularũ, & fluxionibus auriũ, cum ſanguinalis herbæ ſucco: lepris cõueniũt cũ braſſicæ foliis aut melle cocta: ité pruritui, & vnguium ſcabritiis, pterygiis, & pernionib⁹, aſperſa cũ aqua. Valent cũ aceti fæce, & galla, pari põdere cremata, ad phagedænas vlcerum, & cũ ſalis duab⁹ partib⁹, ad vitia quę paſcũt: furfures cũ eruo et pice illita abſtergũt: ad lendes, pediculos, ambuſta, cum aqua illita auxilio ſunt. Cõtra tumores, & graue alarũ inguinũque vir⁹, illinunt. Ex Melo aũt aduectũ, mulieribus pręſtat ne cõcipiãt, ante coitũ ori vuluæ inditũ: partus quoq; extrahit: gingiuis, ſi caro excreuit, vuæ ac tõſillis accõmodãtur: ori, auribus & verẽdis cũ melle illinuntur.

Sulphur. Cap. CXXIIII.

Sulphur optimũ exiſtimatur viuũ, quod apyron vocãt, nitedulæ modo ſplédidũ, perlucés, minimè lapidoſum. Probat in genere ſulphuris igné expti, qđ viret, ac præpingue ſpectatur.

Pluri-

Plurimum in Melo & Lipara gignitur. Supradictum ſulphur calfacit, diſcutit, & celeriter cõcoquit: prodeſt tuſsib⁹, ſuſpirioſis, purulenta extuſsientibus in ouo ſumptũ, aut ſuffitum: præterea partus, vſti nidore extrahit: lepras, lichenas, ſcabros vngues, cum reſina terebinthina miſtum, aufert: cum aceto autẽ illitum, ad lepras efficax eſt: vitiligines tollit: ſcorpionis ictibus, addita reſina, medetur cũ aceto verò, draconis marini ſcorpionisq; plagas ſanat. Pruritus toto corpore erumpẽtes, cum nitro deterſum, ſedat: regium morbum emendat, inſparſum fronti cochlearis menſura, aut in ſorbili ouo ſumptũ. Facit ad grauedinẽ, & deſtillationes: ſudores quoq; conſperſum inhibet: podagricis, cũ aqua & nitro illitum, conducit: grauitatem auditus, ſuffiti nidore raptim per fiſtulam hauſto, ſanat: lethargicos ſuffitu excitat: erumpẽtem vndecunque ſanguinem ſiſtit: contuſis auribus, cum vino & melle illitum medetur.

Pumex. Cap. CXXV.

Pumicis probatio, vt magnopere leuis, ſpongioſus, ſciſsilis, nec arenoſus, item teri facilis,

&

γεννᾶται δὲ πλεῖστον ἐν μήλῳ καὶ λιπάρᾳ. θερμαίνει δὲ τὸ προειρημένον καὶ διαφορεῖ καὶ πεπαίνει ταχέως· βῆχας τε καὶ ἐμπύοις καὶ ἀσθματικοὺς ὠφελεῖ ἐν ᾠῷ λαμβανόμενον καὶ ὑποθυμιώμενον· πρὸς δὲ τούτοις ἔμβρυα καταφέρει ὑποθυμιαθέν· καὶ λέπρας, ἔτι δὲ λειχῆνας καὶ ὄνυχας λεπρώδεις αἴρει τερεβινθίνῃ μιχθὲν ῥητίνῃ· σὺν ὄξει δὲ καταχειόμενον, ποιεῖ μὲν καὶ πρὸς λέπρας· αἴρει δὲ καὶ ἀλφούς· ἰᾶται καὶ σκορπίων πληγὰς μιγὲν ῥητίνῃ· σὺν ὄξει δὲ καὶ δρακοντίου θαλασσίου καὶ σκορπίων πληγὴν ἰᾶται. παύει καὶ τοὺς καθ' ὅλον τὸ σῶμα κνησμοὺς σὺν νίτρῳ συγχεόμενον· ἀποκαθαίρει δὲ καὶ ἴκτερον, κοχλιαρίου πλῆθος ἐπιπασσόμενον τῷ μετώπῳ, ἢ μετὰ ᾠοῦ ῥοφητοῦ λαμβανόμενον. καὶ πρὸς κόρυζαν δὲ καὶ κατάρρουν ποιεῖ· καὶ ἱδρῶτας στέλλει καταπασσόμενον· καὶ ποδαγρικοῖς σὺν νίτρῳ καὶ ὕδατι καταχρισθὲν συμβάλλεται· καὶ δυσηκοΐαν ὑποθυμιώμενον διὰ σίφωνος θεραπεύει· καὶ ληθαργικοὺς ὑποθυμιώμενον· αἱμορραγίαν τε ἴσχει· θλάσεις τε ὤτων σὺν οἴνῳ * καὶ μέλιτι καταχειόμενον ἰᾶται.

Περὶ Κισσήρεως. Κεφ. ρκέ.

Κίσσηριν δὲ προκριτέον τὴν ἄγαν κούφην, καὶ πολύκενον, σχιστήν τε καὶ ἄλιθον, ἔτι δὲ ψαθυράν τε

καὶ

καὶ λευκὸν. καυστέον δὲ οὕτω· λαβὼν αὐτῆς ὁπόσον ἂν θέλῃς, διαπύροις ἔγκρυψον ἄνθραξιν, ὡς δ' ἂν ἐκπυρωθῇ, ἀνελόμενος σβέσον οἴνῳ εὐώδει· καὶ πάλιν πυρώσας σβέσον· τὸ δὲ τρίτον ἀνελόμενος αὐτὴν καθ' ἑαυτὴν, ἔα ψυγῆναι, καὶ ἀποθέμενος χρῶ. Δύναμιν δὲ ἔχει στυπτικήν τε καὶ σμηκτικὴν οὔλων, ἀποκαθαρτικὴν τῶν ἐπισκοτούντων ταῖς κόραις μετὰ τοῦ θερμαίνειν· ἑλκῶν τε πληρωτικὴν καὶ κατουλωτικήν· ἔτι δὲ καὶ κατασταλτικὴν ὑπεροχῶν, καὶ σμηκτικὴν ὀδόντων λεία. καὶ ἐσχαρωτικὴν σώματος· καὶ εἰς ψίλωσιν τριχῶν ἐπιτήδειον. Θεόφραστος δὲ ἱστορεῖ, ἐὰν εἰς ζέοντά τις οἴνου πίθον καθῇ κίσσηριν, παύεσθαι παραχρῆμα τὴν ζέσιν τοῦ οἴνου.

Περὶ Ἁλῶν. Κεφ. ρκϛ'.

Τῶν δὲ ἁλῶν ἐνεργέστερον μέν ἐστι τὸ ὀρυκτόν· τούτου δὲ κοινῶς μὲν τὸ ἄλιθον καὶ λευκὸν καὶ διαφανὲς, πυκνόν τε καὶ ὁμαλὸν τῇ συγκρίσει. ἰδίως δὲ τὸ ἀμμωνιακὸν τῷ γένει, εὔσχιστόν τε καὶ εὐθείας τὰς διαφύσεις ἔχον. τοῦ δὲ θαλασσίου τὸ πυκνὸν παραληπτέον καὶ λευκὸν καὶ ὁμαλόν. κάλλιστον δὲ ἐν κύπρῳ καὶ κύπρου τῇ σαλαμῖνι γίνεται καὶ μεγάροις, καὶ ἐν σικελίᾳ καὶ λιβύῃ. ἐν τοῖς λεγομένοις δὲ καὶ τὰ λιμναῖα προκριτέον. ἐντονώτατον

δὲ

& candidus. Crematur flagrãtiſsimis carbonibus obrutus, & vbi canduerit, extractus, vino reſtinguitur odorato: iterumq́ue incenſus extinguitur: & tertia vſtione exemptus, & per ſe refrigeratus, ad vſus conditur. Vis eius adſtringere, gingiuas abſtergere: purgat cum calfactione, quæ caliginem pupillis offundunt: explet vlcera, & ad cicatricem perducit: excreſcentia cohibet. Fit ex farina eius dentifricium. Corpori cruſtam obducit: auellendis capillis aptus. Theophraſtꝰ author eſt, ſi quiſquam in bullientem vrceum vini pumicem iniecerit, feruorem ſtatim ſedari.

Sal. Cap. CXXVI.

Sal foſsilis efficacior eſt: cõmuniter, ſi eſt candidus, calculis vacans, & perſpicuus, denſus, æquali compage. Peculiariter ammoniacus natione laudatur, ſi modo findi facilè poſſit, & in recta ſegmenta diduci. In marino ſale eligendus eſt cãdidus, æqualis, dẽſus. Probatiſsimus in Cypro fit, & Salamine Cypri, & Megaris, in Sicilia & Aphrica. Sed inter dicta ſalis genera lacuſtris præfertur: ſed multò validiſsimus

eſt

eſt Phrygius nomine tapeus, aut tritæus, aut gãtæus. Salis natura in commune perquã vtilis eſt: adſtringit, abſterget, expurgat, diſsipat, reprimit, extenuat, & cruſtas inducit. Sed hoc intereſt, quod alius alio ſit præſtantior. Quin & à putredine vindicat. Admiſcetur medicamentis pſoras abſtergentibus. Excreſcentia in oculis reprimit, & pterygia cõſumit, cæteráſq; carnis extuberationes tollit: clyſteribus infunditur: diſcutit laſsitudines ex oleo illitus. Contra hydropicorum tumores auxiliatur, doloréſq; in ſaccis fotu mitigat, & pruritus ſedat, ex oleo & aceto infrictus ad ignem, donec ſudent. Item lichenas, lepras, pſoráſque. Anginam ex melle, aceto, & oleo illitus leuat: tonſillis vuęque, cum melle toſtus. Vlceribus in ore manantibus, gingiuis quas humor vexat, & phagedænis vlcerum, cum polenta crematus illinitur. aduerſus ſcorpionum ictus, cum lini ſemine: contra ſerpentium morſus, cum origano, melle, hyſſopo: aduerſus ceraſten, cũ pice, aut cedria, aut melle auxiliatur. Contra ſcolopendræ morſus, cum melle & aceto: aduer-

δὲ αὐτοῦ ἐστι τὸ φρύγιον, καλούμενον δὲ ταπταῖον. Δύναμιν δὲ ἔχουσιν οἱ προειρημένοι ἅλες κοινῶς πολύχρηστον, στυπτικήν τε καὶ σμηκτικὴν, καὶ ἀποκαθαρτικὴν καὶ διαχυτικὴν, ἔτι δὲ καταστάλτικὴν καὶ ἰσχνωτικὴν, καὶ ἐσχαρωτικήν. τῷ μᾶλλον καὶ ἧττον διαφέροντες. εἰσὶ δὲ καὶ σηπεδόνων ἐφεκτικοί. καὶ σμήγμασι ψωρικοῖς μίγνυνται. στέλλουσι καὶ τὰς ἐν ὀφθαλμοῖς ὑπεροχὰς, καὶ πτερύγια τήκουσι, καὶ τὰς ἄλλας δὲ ὑπερσαρκώσεις αἴρουσι· καὶ κλυσμοῖς ἔνθετοι· καὶ κόπου λυτήριοι, σὺν ἐλαίῳ χριόμενοι. καὶ πρὸς τὰ οἰδήματα τῶν ὑδρωπικῶν, πυρία τε ἡ δι' αὐτῶν ἐν σακκίοις πραϋντικὴ ἀλγημάτων, καὶ κνησμοὺς δὲ παύουσι μετ' ἐλαίου καὶ ὄξους συγχριόμενοι παρὰ πυρὶ ἄχρις ἂν ἱδρώσωσιν. ὁμοίως καὶ λειχῆνας καὶ ψώρας καὶ λέπρας. συναγχικοὺς δὲ κουφίζουσι σὺν μέλιτι καὶ ὄξει καὶ ἐλαίῳ διαχριόμενοι. πρὸς δὲ παρίσθμια καὶ κιονίδας σὺν μέλιτι ὀπτοὶ καὶ ἄφθας καὶ ἑλκῶν πλάδον καὶ πρὸς φαγεδαίνας σὺν ἀλφίτῳ κεκαυμένοι καταπλάσσονται. πρὸς δὲ σκορπίων πληγὰς σὺν λινοσπέρμῳ· πρὸς δὲ * ἐχέων δήγματα σὺν ὀριγάνῳ καὶ μέλιτι καὶ ὑσσώπῳ· πρὸς δὲ κεράστου μετὰ πίσσης ἢ κεδρίας ἢ μέλιτος· πρὸς δὲ σκολοπένδρας δῆγμα σὺν μέλιτι καὶ ὄξει·

πρὸς

πρὸς δὲ σφηκῶν πληγὰς καὶ τερηδόνας καὶ πρὸς ψυδράκια τὰ ἐν κεφαλῇ, θύμους τε καὶ φύματα σὺν στέατι μοσχείῳ ἀναληφθέντες· σὺν σταφίδι δὲ ἢ στέατι ὑείῳ ἢ μέλιτι, δοθιῆνες διαφοροῦσι. καὶ ὄρχεων οἰδήματα, σὺν ὀριγάνῳ καὶ ζύμῃ θᾶττον *πεπαίνουσι. καὶ κροκοδειλοδήκτοις βοηθοῦσιν, ἐνδεθέντες εἰς ὀθόνιον λεῖοι, καὶ βαπτόμενοι εἰς ὄξος σφιγγομένων τῶν μερῶν τοῖς ἐνδέσμοις. θηριοδήκτοις τε βοηθοῦσι, καὶ πρὸς ὑπώπια προσώπου σὺν μέλιτι. καὶ πρὸς ὀποῦ μήκωνος πόσιν, καὶ πρὸς μύκητας σὺν ὀξυμέλιτι πινόμενοι, πρὸς δὲ στρέμματα σὺν ἀλεύρῳ καὶ μέλιτι· πρὸς πυρίκαυτα δὲ σὺν ἐλαίῳ ἐπιτεθέντες οὐκ ἐῶσι φλυκταινοῦσθαι· ποδαγρικοῖς τε ὁμοίως ἐπιτίθενται, πρὸς ὠταλγίαν τε σὺν ὄξει· ἐρυσιπέλατά τε καὶ ἕρπητας ἴσχουσι μετ᾽ ὄξους καταχρισθέντες ἢ καταπλασθέντες σὺν ὑσσώπῳ. καίουσι δὲ αὐτοὺς εἰς ὀστράκινον ἀγγεῖον ἐμβαλόντες καὶ ἐπιμελῶς πωμάσαντες, ἵνα μὴ ἐξάλλωνται, ἀνθρακιᾷ τε ἐγκρύψαντες ἄχρις ἐκπυρώσεως. τινὲς δὲ τοὺς ὀρυκτοὺς σταιτὶ περιπλάσαντες εἰς ἄνθρακας ὑποτιθέντες, ἐῶσιν ἄχρις ἂν τὸ σταῖς κατακαῇ. ἔνεστι δὲ καὶ τοὺς κοινοὺς ἅλας τοῦτον τὸν τρόπον καίειν. ἀποκλύσας αὐτοὺς ἅπαξ ὕδατι, καὶ ἐάσας ξηρανθῆναι, ἔμβαλε εἰς χύτραν, καὶ πωμάσας ὑπόκαιε κινῶν ἕως ἂν μηκέτι ἐξάλλωνται.

Περὶ

aduerſus veſparum ictus, & teredines, albidaſque capitis puſtulas, thymos & tubercula, cum ſeuo vitulino: furunculos cum vua paſſa, aut ſuillo adipe, aut melle diſcutit. Teſtium tumores cum origano, & fermento maturius concoquit. Crocodilorum morſibus auxiliatur, tritus, in linteolo & intinctus aceto, ita vt vinculis loca conſtringantur. Prodeſt ad beſtiarum morſus, ſugillationes in facie, ex melle. Contra hauſtũ opium & fungos, cũ aceto multo bibitur. Luxatis imponitur cũ farina, & melle: ambuſtis igni cũ oleo impoſitus, puſtulas erumpere nõ patitur. Podagricis itidem imponitur, & aurium doloribus cum aceto: ignes ſacros, & vlcera quæ ſerpunt cum aceto aut hyſſopo illitus ſiſtit. Vritur fictili, diligenter opertus ne exiliat, conditúſque prunis, vſquedum efferueſcat. Aliqui foſsilem ſubacto polline obliniunt, & carbonibus ſubiiciunt, vſquedum eius cruſta exuratur. Solet & ſal communis hoc modo vri: Aqua ſemel abluitur, & ſiccatus in ollam coopertam mittitur, ſubito igne, moueturque, donec iam non exiliat.

Salis

Salis ſpuma. Cap. CXXVII.

Spuma ſalis, ſpumoſi maris lanugo ſiue ramentum eſt, in exilibus petris inuentum, cui vis eadem quæ ſali.

Muria. Cap. CXXVIII.

Muria effectus ſalis præbet, abſtergítq;: dyſentericis infunditur, etiamſi nome inteſtina corripit: & iſchiadicis veteribus. Ad fotus, aquæ marinæ vſum præſtat.

Flos ſalis. Cap. CXXIX.

Flos ſalis flumine Nilo defluit: lacubus tamen quibuſdã innatat. Aſſumendus qui crocei coloris eſt, odore ingrato, ceu gari. Interdum longè magis virus olet, guſtúque mordaciter, & pinguiter lentus. Fucatus autem rubrica, aut ſcrupuloſus, improbatur. Pręterea ſyncerus non niſi oleo reſoluitur: adulteratus nõnulla ex parte, etiã aqua diluẽte factitiũ colorẽ. Ad vlcera quæ cacoëthe vocãtur, & phagedęnas, genitaliũ nomas, & purulẽtas aureis, efficax eſt: oculorũ hebetudines, cicatrices, albuginéſque tollit. Emplaſtris vnguentíſq; coloris cauſa, vt roſaceo, miſcet: ſudoré cit: aluũ turbat, in vino aut aqua ſũptus: ſtomachũ malè habet. Additur

Περὶ Ἄχνης ἁλός. Κεφ. ρκζʹ.

Ἁλὸς ἄχνη ἐπίψηγμά ἐστιν ἁλὸς ἀφρώδους, εὑρισκόμενον ἐπὶ τῶν πετριδίων. Δύναμιν δ᾽ ἔχει τὴν αὐτὴν τοῖς ἁλσίν.

Περὶ Ἅλμης. Κεφ. ρκηʹ.

Ἅλμη τὴν αὐτὴν τοῖς ἁλσὶν ἔχει ἐνέργειαν, σμηκτικήν· δυσεντερικοῖς τέ ἐστι τοῖς κατὰ νομὴν ἔγκλυσμα, καὶ ἰσχιαδικοῖς χρονίοις. πρός τε καταντλήσεις ἁρμόζει ἐφ᾽ ὧν θάλαττα ἐστὶ χρήσιμη.

Περὶ Ἄνθους ἁλός. Κεφ. ρκθʹ.

Ἁλὸς δὲ ἄνθος καταῤῥεῖ μὲν τῷ νείλῳ ποταμῷ· ἐφίσταται δὲ λίμναις τισί. παραληπτέον δὲ τὸ κροκίζον τῇ χρόᾳ ὑποδυσώδέστερον, ὥσπερ γάρος. ἐνίοτε δὲ καὶ *δυσωδέστερον μᾶλλον καὶ τῇ γεύσει δηκτικώτερον καὶ ὑπολίπαρον. τὸ δὲ ἔμμιλτον ἢ θρόμβους ἔχον, φαῦλον ἡγητέον. ἔτι τὸ ἀκέραιον ἐλαίῳ συνανίεται μόνον· τὸ δεδολωμένον δὲ ἐκ μέρους καὶ ὕδατος. ποιεῖ δὲ πρὸς τὰ κακοήθη καὶ φαγεδαινικὰ ἕλκη, καὶ νομὰς τὰς ἐν αἰδοίοις, καὶ ὦτα πυοῤῥοοῦντα, καὶ ἀμβλυωπίας καὶ τὰς οὐλὰς αἴρει καὶ λευκώματα. μίγνυται καὶ ἐμπλάστροις καὶ μύροις εἰς χρῶσιν ὡς καὶ ῥοδίνῳ· ἔστι δὲ καὶ ἱδρώτων κινητικόν· κοιλίας ταρακτικὸν, σὺν οἴνῳ καὶ ὕδατι ληφθέν· κακοστόμαχον·

μίγνυ-

μίγνυται καὶ ἀκόποις καὶ σμήγμασι πρὸς τριχῶν * λευκασμόν· καὶ καθόλου ἐστὶ δριμὺ, πυρωτικὸν ὥσπερ οἱ ἅλες.

Περὶ Νίτρου. Κεφ. ρλ'.

Νίτρον προκριτέον τὸ κοῦφον, καὶ ῥοδωπὸν ἢ λευκὸν τὴν χρόαν, κατατετρημένον, οἱονεὶ σπογγῶδές τι, τοιοῦτον δέ ἐστι τὸ ἐκ τῶν βουνῶν. Δύναμιν δὲ ἔχει μετασυγκριτικήν.

Περὶ Ἀφροῦ νίτρου. Κεφ. ρλα'.

Ἀφρὸς δὲ νίτρου, ἄριστος μὲν εἶναι δοκεῖ ὁ κουφότατος καὶ πλακώδης, εὔθρυπτός τε καὶ ἐμπόρφυρος ἢ ἀφρώδης, ἔτι δὲ δηκτικός· οἷος ἐστὶν ὁ ἐκ Φιλαδελφίας κομιζόμενος τῆς ἐν Λυδίᾳ. δευτερεύει δὲ ὁ αἰγύπτιος. γίνεται δὲ καὶ ἐν Μαγνησίᾳ τῆς Καρίας. Δύναμιν δὲ ἔχει καὶ καῦσιν οὗτός τε καὶ τὸ νίτρον ἅλσιν ἐμφερῆ. ἐκ πείρας δὲ τὸ νίτρον καὶ στρόφους παύει λειανθὲν μετὰ κυμίνου καὶ ποθὲν μετ' ὑδρομέλιτος ἢ μετὰ ἑψήματος ἢ τινὸς τῶν διαφορεῖν δυναμένων πνεύματα, οἷον πηγάνου ἢ ἀνήθου. ἔστι δὲ καὶ περιοδικῶν σύγχρισμα πρὸ τῆς ὑπόπτης προσβολῆς. μίγνυται καὶ διαφορητικοῖς καὶ ἐπισπαστικοῖς καὶ λεπρικοῖς ἐμπλάστροις καὶ λεπτυντικοῖς. σὺν ὕδατι δὲ θερμῷ ἢ οἴνῳ ἐγχεόμενον ἐμπνευματώσεις τε καὶ ἤχους ὤτων ἰᾶται καὶ πυορροίας. καθαί-

bet. Additur acopis, & ſmegmatis, quæ albādi capilli gratia cō ponūtur: & in vniuerſum acris eſt, & feruētis naturæ, vt ſal.

Nitrum. Cap. CXXX.

Prefertur nitrum leue, roſeo colore, aut cādido, in foramina dehiſcēs, perinde quaſi ſpōgioſum quiddam, quale ex Bunis affertur. Humores euocat, qui in alto concreuerunt.

Spuma nitri. Cap. CXXXI.

Spuma nitri optima eſſe putatur, leuiſsima, gleboſa, friabilis, colore penè purpureo, aut ſpumoſa, & mordēs: qualis ex Philadelphia Lydiæ defertur. Secunda eſt Ægyptia. Quin & in Magneſia Cariæ gignitur. Vim & vſtionē ſalis habet, tā nitrū, quàm ſpuma eius. Præterea nitrū tormina ſedat, ſi tritum cū cumino bibatur, in hydromelite, aut ſapa, aut aliquibus quæ inflationes diſcutere poſſunt, vti ruta, vel anetho. Febribus circuitu redeuntibus illinitur, ante ſuſpectam acceſsionem. Miſcetur emplaſtris, quę extrahunt, & diſcutiunt, extenuant, & lepras abſtergunt. Cum aqua autē calida aut vino infuſum, inflationes, purulētas aureis, & ſonitus earūdem ſanat, ſordes

ſordes expurgat, cum aceto inſtillatum. Canum morſibus ex aſinino adipe aut ſuillo medetur: reſinæ terebinthinæ admiſtum furunculos aperit: aquæ inter cutem cum fico illinitur: oculis ad claritatem viſus cum melle ſuccurrit: & venenis fungorũ, ex poſca potũ: aut ſi bupreſtis momorderit, ex aqua: iis verò qui taurinum ſanguinẽ biberint, ex laſerpitio: iiſque qui cibum non ſentiunt, vtiliter obducitur: opiſthotoniſque iam remiſsioribus, & luxatis, cum cerato: in reſolutione linguæ, pani commodè permiſcetur. Aliqui ſupradicta carbonibus vrũt, ſubiecta prius teſta noua, donec incandeſcant.

Fæx. Cap. CXXXII.

ELIGENDA fæx maximè à vino vetere, Italico: ſin minus, ab alio conſimili. Fæx aceti viribus longè acrior eſt. Crematur vt alcyonium, antè diligenter ſiccata. Sunt qui noua teſta igni largo vrãt, vſque dum penitus incendatur. Alij viuis carbonibus fæcis glebam obruunt, & idem opus proſequuntur. Experimentum eſt legitimæ vſtionis, vt aërio nitore inalbeſcat.

linguámq;

καθαίρει δὲ καὶ ῥύπον σὺν ὄξει ἐγχεόμενον. κυνοδήκτοις τε ἰᾶται σὺν στέατι ὀνείῳ ἢ ὑείῳ· ἀναστομοῖ δὲ καὶ δοθιῆνας ἀναληφθὲν τερμινθίνῃ ῥητίνῃ· μετὰ σύκων δὲ ὑδρωπικῶν ἐπὶ κατάπλασμα· σὺν μέλιτι δὲ ἐγχριόμενον ὀξυδερκές· καὶ πρὸς μύκητας σὺν ὀξυκράτῳ ποθὲν ἁρμόζει· πρὸς δὲ βουπρήστεις σὺν ὕδατι· πρὸς ταῦρον δὲ αἷμα σὺν σιλφίῳ· ἀτροφοῦσί τε χρήσιμον κατάπλασμα· παρακμάζουσί τε ὀπισθοτονικοῖς πάθεσι σὺν κηρωτῇ, καὶ στρέμμασι· μίγνυται καὶ ἄρτῳ ὠφελίμως ἐπὶ τῶν τὴν γλῶτταν παραλελυμένων. ἔνιοι δὲ καίουσι τὰ προειρημένα ἐπ᾽ ἄνθρακας πεπυρωμένους ἀπερειστάμενοι, προϋποκειμένου καινοῦ ὀστράκου, ἕως ἂν ἐκπυρωθῇ.

Περὶ Τρυγός. Κεφ. ρλβʹ.

Τρύγα δὲ παραληπτέον μάλιστα μὲν τὴν ἀπὸ οἴνου παλαιοῦ ἰταλικοῦ· εἰ δὲ μὴ ἀπὸ ἄλλου ὁμοίου. ἡ γὰρ ἀπὸ ὄξους ἐπιτέταται τῇ δυνάμει. καυστέον δὲ ὡς ἀλκυόνιον προεξηρασμένην ἐπιμελῶς. τινὲς δὲ ἐπ᾽ ὀστράκων καινῶν θέντες καίουσι πυρὶ δαψιλεῖ, ἕως ἂν ἐμπυρωθῇ κατὰ βάθος. ἄλλοι δὲ εἰς ἄνθρακας πεπυρωμένους ἐγκρύψαντες βῶλον, τὸ ὅμοιον ποιοῦσι. σημεῖον δὲ τῆς δεξιᾶς καύσεως ἡγητέον, τὸ λευκὸν ἢ ἀερίζουσαν τοῦ χρώματος.

καὶ τὸ

καὶ τὸ προσενεχθεῖσαν τῇ γλώσσῃ οἱονεὶ φλέγειν αὐτήν. ὡσαύτως δὲ καὶ ἡ ἀπὸ ὄξους καίεται. Δύναμιν δὲ ἔχει καυστικὴν σφόδρα, καὶ σμηκτικὴν, καθουλωτικὴν, στυπτικὴν, καὶ σηπτικὴν ἄγαν καὶ ξηραντικήν. χρηστέον δὲ τῇ τρυγὶ προσφάτῳ οὔσῃ, ταχὺ γὰρ διαπνεῖται· ὅθεν οὐδὲ ἀσκέπαστον, οὐδὲ χωρὶς ἄγγους αὐτὴν ἀποθετέον. πλύνεται δὲ αὕτη ὡς πομφόλυξ. ἡ δὲ ἄκαυστος στέλλει οἰδήματα καὶ καθ᾽ ἑαυτὴν καὶ μετὰ μυρσίνης· κοιλίαν τε καὶ στόμαχον ῥευματιζόμενον καταπλασθεῖσα στέλλει· καὶ ῥοῦν γυναικεῖον κατὰ ἤβου καὶ αἰδίου καταπλαττομένη, πραΰνει· καὶ φύγεθλα ἀνέλκωτα διαφορεῖ καὶ φύματα· μαστούς τε σπαργῶντας ῥέοντας γάλα σβέννυσι σὺν ὄξει καταχρισθεῖσα. ἡ δὲ κεκαυμένη λεπροὺς ἀφίστησιν ὄνυχας σὺν ῥητίνῃ· καὶ μετὰ σχινίνου ἐλαίου συγχρισθεῖσα νύκτα ὅλην, ξανθὰς ποιεῖ τὰς τρίχας. πλυθεῖσα δὲ μίγνυται εἰς τὰ ὀφθαλμικὰ, ὡς σποδός· σμήχει τε οὐλὰς καὶ ἀχλῦς τὰς ἐν ὀφθαλμοῖς ἡ τοιαύτη.

Περὶ Ἀσβέστου. Κεφ. ρλγ΄.

Ἄσβεστος γίνεται οὕτω· τῶν θαλαττίων κηρύκων τὰ ὄστρακα λαβὼν, πυρὶ ἔγκρυψον, ἢ εἰς κλίβανον διάπυρον καθεὶς ἄφες ἐννυκτερεῦσαι· τῇ δὲ ἐχομένῃ ἐὰν μὲν λευκοτάτη γένηται, ἀνελοῦ·

εἰ δὲ

linguámq; tactu vrere videatur. Eadem vrendæ fæcis aceti ratio. Vis ei ſupra modũ vrens, & abſtergens: vlcera ad cicatricem perducit, adſtringit vehementer exeſt, ſiccátque. Sed recenti vtendum eſt, quoniam celeriter exanimatur: proinde non niſi in reconditorio, & vaſe aliquo reponi debet. Lauatur, vt pompholyx. Quæ vſtionem experta non eſt, tumores & per ſeſe, & cum myrto cohibet: ventris ſtomachíque fluxiones illita ſiſtit: muliebre profluuium, imo ventri aut genitalibus impoſita, mitigat: panos diſcutit, nondum exulceratos, & tubercula: rigentes mammas, ſuíque lactis impatientes, cum aceto peruncta extinguit. Cremata verò, vngues ſcabros cum reſina aufert: addito lentiſcino oleo, illita nocte tota, rufat capillum. Elota oculorum medicamentis, vt ſpodos, adijcitur: cicatrices eorum & caligines eadem abſtergit.

Calx viua. Cap. CXXXIII.

Calx viua hoc modo fit: Marinorũ buccinorum teſtas ignĩ condito, aut feruenti clibano, nocte dimittito: poſtera die, ſi cãdidiſsimæ fuerint, extrahito:

ſin aliter,iterum vrito,vſquedũ vehementer inalbuerint. Dein vbi in aquam frigidam immerſæ fuerint, in fictile nouũ cõiicito, & exactè pannis operiẽs, noctẽ vnam cõquieſcere ſinito: mane eã extrahẽs,vbi perfecto omni opere elaborata fuerit calx, recondito. Fit & è littoralibus calculis igne crematis,necnon è vili & fuſaneo marmore,quæ cæteris præfertur. Vis omni calci in cõmune ignea,mordens,adurẽs,& cruſtas inducens: quibuſdam aliis immiſta,vt adipi,oleo,concoquendi vim aſſumit, mollit & diſsipat: vlcera ad cicatricem perducit. Efficacior exiſtimatur recens,nec aſperſa aquis.

εἰ δὲ μή, πάλιν καὶ ἄχρις ἂν ἱκανῶς λευκανθῇ. εἶτα ἀποβάψας αὐτὰ εἰς ψυχρὸν ὕδωρ, ἔμβαλε εἰς χύτραν καινὴν, καὶ σκεπάσας αὐτὰ ῥάκεσιν ἐπιμελῶς, ἔασον ἐνταῦθα νύκτα μίαν· πρωῒ δὲ ἀνελόμενος ἀπειληφυῖαν τὸ παντελὲς τῆς κατεργασίας ἀποτίθεσο. σκευάζεται δὲ καὶ ἐκ λίθων κοχλάκων καιομένων, καὶ ἐκ τῆς χυδαίας μαρμάρου, ἥ τις καὶ προκρίνεται τῶν ἄλλων. Δύναμιν δὲ ἔχει πᾶσα κοινῶς ἄσβεστος πυρωτικὴν, δηκτικὴν, καυστικὴν, ἐσχαρωτικήν· μιγνυμένη δέ τισιν ἑτέροις ὡς στέατι ἢ ἐλαίῳ, γίνεται πεπτικὴ, μαλακτικὴ, διασκεδαστικὴ, κατουλωτική. ἐνεργεστέραν δὲ αὐτῆς ἡγητέον τὴν πρόσφατον καὶ ἄβρεχον.

Gypſum. Cap. CXXXIIII.

Gypſum vim habet adſtringendi, obſtruendi: ſanguinis eruptiones ſudoreſque cohibet: ſed potum, ſtrangulationis modo iugulat.

Περὶ Γύψου. Κεφ. ρλδʹ.

Γύψος δύναμιν ἔχει στυπτικὴν, ἐμπλαστικήν· αἱμορραγίας τε καὶ ἱδρώτων ἐφεκτικήν· ποθεῖσα δὲ πνίγει τῷ κατὰ πνιγμὸν τρόπῳ.

Sarmentitius cinis. Cap. CXXXV.

Sarmentorum cinis vrendi vim habet: cum axungia autem vel oleo illitus,fractis neruis,articulorum colliſionibus, & neruorum nodis prodeſt: cum nitro & aceto, excreſcentias carnis in ſcroto reprimit:

ſerpen

Περὶ Τέφρας κληματίνης. Κεφ. ρλέ.

Τέφρα κληματίνη δύναμιν ἔχει καυστικήν· σὺν ὀξυγγίῳ δὲ ἢ ἐλαίῳ καταπλασθεῖσα, θλάσματα νεύρων καὶ ἄρθρων λυγίσματα καὶ συστροφὰς νεύρων ὠφελεῖ· σὺν νίτρῳ δὲ καὶ ὄξει σαρκώσεις ὀσχέου στέλλει·

κατα-

καταπλασθεῖσα δὲ σὺν ὄξει, ἑρπετόδηκτα καὶ κυνόδηκτα ἰᾶται· ἐσχαρωτικοῖς τε μίγνυται. καὶ γίνεται ἡ ἐξ αὐτῆς κονία πρὸς πτώματα, καὶ μύκητας σὺν ὄξει καὶ ἁλσὶ καὶ μέλιτι.

Περὶ Ἀλκυονίου. Κεφ. ρλϛ´.

Τοῦ δὲ ἀλκυονίου πέντε γνωστέον εἴδη ὑπάρχειν· τὸ μὲν γὰρ πυκνόν ἐστι καὶ στρυφνὸν, καὶ τῷ ἰδεῖν σπογγῶδες, ἔτι δὲ βρωμῶδες * καὶ βαρὺ, καὶ ἰχθύος ὄζον, ὃ δὴ πλεῖστον ἐπὶ τῶν ἠιόνων εὑρίσκεται. τὸ δὲ ἑξῆς κατὰ μὲν τὸ σχῆμα πτερυγίῳ ὀφθαλμικῷ ἢ σπόγγῳ ἔοικε κοῦφόν τέ ἐστι καὶ πολύκενον, καὶ φυκώδη ἀποφορὰν ἔχον. τὸ δὲ τρίτον σκωληκοειδὲς ὑπάρχει τῷ τύπῳ, καὶ τῇ χρόᾳ πορφυρώτερον, ὅ τινες μιλήσιον καλοῦσι. τὸ τέταρτον δὲ ἐρίοις οἰσυπηροῖς ὅμοιον, πολύκενον, κοῦφον. τὸ δὲ πέμπτον ἔοικε μὲν κατὰ σχῆμα μύκητι ἄνοσμόν τέ ἐστι καὶ τραχὺ, ἔνδοθεν μὲν κισσήρει κατά τι ἐοικὸς, ἔξωθεν δὲ λεῖον, δριμὺ, ὃ πλεῖστον ἐν τῇ προποντίδι κατὰ τὴν καλουμένην βέσβικον νῆσον γίνεται, ὃ ἐπιχωρείως ἁλὸς ἄχνην καλοῦσι· τούτων τὸ μὲν πρῶτον καὶ τὸ δεύτερον εἰς σμήγματα παραλαμβάνεται γυναικῶν, καὶ πρὸς φακοὺς, λειχῆνάς τε καὶ λέπρας ἀλφούς τε καὶ μελανίας καὶ σπίλους τοὺς ἐπὶ προσώπου καὶ τοῦ λοιποῦ σώματος.

τὸ

ſerpētiū canúmq; morſibus illitus ex aceto medetur:cruſtas obducētibus medicamētis admiſcetur.Fit ex eo lixiuiū cōtra prȩcipitationes,& fungorū venena,cū aceto ſale & melle.

Alcyoniū. Cap. CXXXVI.

Alcyonij quinque eſſe genera compertum eſt: vnum enim ſpiſſum, acerbi ſaporis, ſpongioſa facie, item tetri odoris, ponderoſum, & piſcem olens, quod plurimum in littoribus inuenitur. Alterū pinnulæ oculorum aut ſpongiæ ſimile, fiſtuloſum, & leue, odorem algæ referens. Tertium vermiculi forma, & colore magis purpureum, quod Mileſium quidam vocant. Quartum ſuccidis velleribus non diſsimile, multis inanitatibus, hians, leue. Quintum figura fungi, ſine odore, aſperum, parte interna quodam modo pumicoſum, foris læue, acre, quod plurimum in Propontide iuxta inſulam Beſbicon appellatum gignitur, patrio nomine halos achnen vocant. Duo priora in fœminarū ſmegmata aſſumuntur contra lentigines, lichenas, lepras, vitiligines, nigritias, & maculas in facie reliquóque corpore.

Tertium iis qui difficili vrina vexantur, aut arenulas in veſica colligunt, idoneum eſt: item renibus affectis, aquæ inter cutem, lieni. Vſtum autem, & ex vino illitum, alopecias replet. Poſtremum dealbandis dentibus aptum eſt: in alia ſmegmata, pſilothráque aſſumitur, cum ſale miſtum. Si quiſquã alcyonium cremare velit, cum ſale in crudũ fictile mittat, & obliniẽs vaſis ſpiraculum luto, ita fornaci mandet, & cum figlinum percoctum fuerit, extrahens ad vſus recondat. Lauatur vt cadmia.

Adarces. Cap. CXXXVII.

Fit in Cappadocia quod adarces appellatur: eſt autem tanquam concreta ſalſilago, humidis & paluſtribus locis ſiccitate emergens, & arundinibus ac herbis agglutinata, colore flori lapidis Aſij ſimilis, & omni forma molli alcyonio, & aliquantum cauo proxima, vt videri poſsit lacuſtre alcyonium. Ad euellendas lepras, lentigines, lichenas, & vitia cutis in facie, & ſimilia, accommodatur: & in ſumma, vis ei acris. Humorem euocat qui in alto concreuit, & iſchiadicis prodeſt.

Spongiæ.

τὸ δὲ τρίτον εὐθετεῖ πρὸς δυσουροῦντας καὶ ἀμμώδη συλλέγοντας ἐν τῇ κύστει· καὶ πρὸς νεφρικούς, πρὸς ὕδρωπα, σπλῆνα. κάεν δὲ καὶ καταπλασθὲν σὺν οἴνῳ, ἀλωπεκίας δασύνει. τὸ δ᾽ ὕστατον ὀδόντας λευκαίνειν δύναται. παραλαμβάνεται δὲ καὶ πρὸς ἄλλα σμήγματα καὶ ψίλωθρα μιγνύμενον σὺν ἁλσί. καῦσαι δέ τι τούτων βουλόμενος, μεθ᾽ ἁλῶν εἰς ὠμὴν χύτραν ἔμβαλε, καὶ περιαλείψας τὸ στόμα αὐτῆς πηλῷ, δὸς εἰς κάμινον, ὅταν δὲ ὀπτηθῇ ὁ κέραμος αὐτῆς, ἀνελόμενος ἀπόθου καὶ χρῶ. πλύνεται δὲ ὡς ἡ καδμεία.

Περὶ Ἀδάρκου. Κεφ. ρλζ'.

Ὁ δὲ προσαγορευόμενος ἀδάρκης, γίνεται μὲν ἐν Γαλατίᾳ· ἔστι δέ, ὥσπερ ἐπίπαγος ὑφαλμυρίζων, καθ᾽ ὑγρῶν καὶ τελματωδῶν τόπων ἐν ξηρασίᾳ ἐπιγινόμενος, καὶ περιπηγνύμενος καλάμοις καὶ χορταρίοις, ἔοικε δὲ τὴν χρόαν ἄνθει ἀσίας λίθου, τῷ δὲ ὅλῳ τύπῳ ἀλκυονίῳ τῷ μαλακῷ, καὶ πολυκένῳ, καὶ ἔστιν οἱονεὶ λιμναῖον ἀλκυόνιον. εὐθετεῖ δὲ πρὸς ἐκδορὰν λεπρῶν καὶ ἐφηλίδων καὶ λειχήνων, καὶ φακῶν, καὶ τῶν ὁμοίων· καθόλου δέ ἐστι δριμύ. καὶ μετασυγκριτικόν, ὠφελεῖ καὶ ἰσχιαδικούς.

Περὶ

Περὶ Σπόγγων. Κεφ. ρλή.

Τῶν δὲ σπόγγων τοὺς μὲν ἄῤῥενας ἐκάλεσάν τινες λεπτοτρήτους καὶ πυκνοὺς ὄντας· ὧν τοὺς σκληροτέρους τράγους ὠνόμασαν. τοὺς δὲ, θήλεις οἱ ἐναντίως τοῖς προειρημένοις διάκειν(ται). καίουσι δὲ ἔχουσι τὴν αὐτὴν ἁλκυονίῳ. ὁ καινὸς δὲ καὶ ἄλιπης, τραυματικός τέ ἐστι καὶ οἰδήματα στέλλει· καὶ τὰ νεότρωτα κολλᾷ σὺν ὕδατι ἢ ὀξυκράτῳ· σὺν μέλιτι δὲ ἑφθῷ παλαιοῖς κόλποις παρακολλᾷ. ὁ δὲ παλαιὸς ἄχρηστος. διαστέλλουσι δὲ καὶ μεμυκότα ἕλκη, καὶ τύλους ἀποδεσμούμενοι λίνῳ καὶ αὐτοὶ ξηροὶ παρεντιθέμενοι ὥσπερ μότα, τὰ δὲ ῥευματικὰ ὑπόνομα καὶ χρόνια ἕλκη, ἐξικμάζουσιν ἐπιτιθέμενοι ἄνικμοι νέοι καὶ κενοί· ἐπέχουσι δὲ καὶ αἱμοῤῥαγίαν. σὺν ὄξει δὲ κεκαυμένοι, πρὸς ξηροφθαλμίας, καὶ ὅπου δεῖ σμῆξαί τι, ἢ στύψαι. βέλτιον δὲ ποιοῦσι πλυθέντες εἰς τὰ ὀφθαλμικά. σὺν δὲ πίσσῃ καέντες πρὸς αἱμοῤῥαγίαν ἁρμόζουσι. λευκαίνονται δὲ αὐτῶν οἱ ἁπαλώτατοι ἐν τοῖς *καύμασι, βρεχόμενοι τῇ ἐπὶ τῶν πετρῶν συνισταμένῃ ἁλὸς ἄχνῃ, καὶ ἡλιαζόμενοι, ἐπιβλεπέτω δὲ τὸ μὲν κοῖλον αὐτῶν ἄνω, κάτω δὲ ἡ ἀποτομή. εἰ δὲ εἴη αἰθρία θερεία καὶ ὑπὸ τῆς σελήνης τίθενται βρεχόμενοι ἁλὸς ἄχνῃ θαλάσσῃ, γίνονται δὲ λευκότατοι οἱ τοιοῦτοι.

Περὶ Κο-

Spongiæ. Cap. CXXXVIII.

E ſpongiis alias mares appellauere, tenui fiſtula, ſpiſſas: quarũ duriores tragos nominarũt. Fœminas autẽ, quæ contrarias dotes habẽt. Vruntur eæ vt alcyoniũ. Recentes ſine pinguetudine, vulnerariæ ſunt, & tumores reprimunt: recẽtia vulnera ex aqua poſcáve cõglutinant: veteres ſinus ex decocto melle iungũt. Vetuſtæ autẽ inutiles. Aridæ ligatæ lino, ſi penicilli modo adigãtur, occluſa vlcera, callóſq; laxant, ſiccę recentes & vacuæ ſenilia vlcera, & quæ fluxione laborant, aut cuniculatim excedũt, impoſitu ſiccant: ſanguinis profluuiũ ſiſtũt. Crematarũ cinis ex aceto, aridæ lippitudini auxiliatur: & vbi q̃d abſtergere aut adſtringere op⁹ eſt. Vtilius, in oculorũ medicamẽtis lauare cinerem. Omniũ cinis cũ pice crematarũ, profluẽtem ſanguinẽ ſiſtit. Cãdidę cura fiũt, è molliſsimis recẽtes, per ęſt⁹ tinctę ſalis ſpuma, quę petris cohæret: inſolãtur inuerſæ, hoc eſt, parte caua ſurſum ſpectãte, & qua abſciſſę fuerũt, deorſum. Si verò æſtiua ſerenitate ad lunã ſternant, perfuſæ ſalis ſpuma, aut maris aqua, maximũ cãdorẽ referẽt.

 Coral-

Coralliũ. Cap. CXXXIX.

Coralliũ, quod aliqui lithodendron appellarunt, marinũ eſſe fruticem conſtat, qui alto extractus, duratur ſtatim atq; emergit, tanquam offuſo aëre protinus cõcreſcat. Plurimum inuenitur ad Syracuſas, in ꝓmontorio cui Pachyno nomẽ eſt. Laudatiſsimum, rubens, colore antherici aut ſandycis ſaturatæ, nec ſecus terenti facile cedens, æquabili vſquequaque concremento, rurſus algæ aut fuci marini odore, quàm ramoſiſsimũ, forma fruticis, cinnamomi æmulum. Quod autẽ in lapidis duritiã coit, ſcrupuloſum, inane, & lacunoſum, vitioſum exiſtimatur. Adſtringit, & refrigerat mediocriter: excreſcentia coërcet: oculorũ cicatrices abſtergit: vlcerũ caua, & cicatrices explet: contra ſanguinis reiectiones magnopere efficax eſt, vrinæ difficultati auxiliatur. Quin & potum ex aqua lienem abſumit.

Antipathes. Cap. CXL.

Quod antipathes vocãt, corallium eſſe arbitrantur, ſpecie tantum diſtans. Eſt autem colore nigro, arboris figura, ramoſum magis. Vires ſupradicti habet.

Phry-

Περὶ Κοραλλίου. Κεφ. ρλθʹ.

Τὸ δὲ κοράλλιον ὅ περ ἔνιοι λιθόδενδρον ἐκάλεσαν, δοκεῖ μὲν εἶναι φυτὸν ἐνάλιον, στερροποιεῖσθαι δὲ ὅταν ἐκ τοῦ βυθοῦ ἑλκυσθῇ, ἔξαλον γινόμενον, καὶ βαπτόμενον ἤτοι πηγνύμενον ὥσπερ ὑπὸ τοῦ περικεχυμένου ἡμῖν ἀέρος. εὑρίσκεται δὲ πλεῖστον ἐν τῷ κατὰ Συρακούσας ἀκρωτηρίῳ τῷ καλουμένῳ Παχύνῳ. ἄριστον δέ ἐστι τὸ πυῤῥὸν τῇ χρόᾳ καὶ ἐμφερὲς ἀνθερικῷ χρώματι, ἢ σάνδυκι κατακορεῖ, εὐτριβές τε ὡσαύτως, καὶ ὁμαλὸν δι' ὅλης τῆς συγκρίσεως, ἔτι δὲ ὀσμὴν βρυώδη καὶ φυκίοις ἐμφερῆ ἔχον. πρὸς δὲ τούτοις πολύοζον καὶ κινναμωμίζον τῷ τύπῳ τῶν θαμνίσκων. τὸ δὲ λιθῶδες τῇ συγκρίσει καὶ τῇ χρόᾳ ψωρόν, σηραγγωμένον τε καὶ χαῦνον, φαῦλον οἰητέον εἶναι. στύφει δὲ τῇ δυνάμει καὶ ψύχει ἐπιεικῶς. καταστέλλει δὲ τὰ ὑπερέχοντα καὶ οὐλὰς σμήχει τὰς ἐν ὀφθαλμοῖς· πληροῖ δὲ καὶ κοιλώματα καὶ οὐλάς· πρός τε αἵματος ἀναγωγὰς ἱκανῶς ἐνεργεῖ, καὶ δυσουροῦσιν ἁρμόζει. καὶ σπλῆνα τήκει σὺν ὕδατι πινόμενον.

Περὶ Ἀντιπαθοῦς. Κεφ. ρμʹ.

Καὶ τὸ καλούμενον δὲ ἀντιπαθὲς, κοράλλιον οἰητέον ὑπάρχειν, εἰδικὴν ἔχον διαφοράν. ἔστι δὲ τῇ μὲν χρόᾳ μέλαν, δενδρίζον δὲ καὶ αὐτὸ καὶ ὀζῶδες μᾶλλον. Δύναμιν δὲ ἔχει τὴν αὐτὴν τῷ προειρημένῳ.

Περὶ Φρυ-

Περὶ Φρυγίου λίθου. Κεφ. ρμά.

Λίθος φρύγιος, ᾧ οἱ βαφεῖς ἐν φρυγίᾳ χρῶνται, ὅθεν καὶ ὠνόμασται, γίνεται ἐν καππαδοκίᾳ. ἄριστος δ' ἐστὶν ὁ ὠχρὸς καὶ μέσως βαρὺς, οὐκ εὔτονος τῇ συγκρίσει τοῦ σώματος, ἔχων δὲ διαφύσεις λευκὰς ὡς καδμεία. καίεται δ' ὁ λίθος οὕτω· βρέξας αὐτὸν καλλίστῳ οἴνῳ, διαπύρεις ἔγκρυφον ἄνθραξι, καὶ ῥίπιζε συνεχῶς, ἐὰν δὲ μεταβάλλῃ τὴν χρόαν κιῤῥότερος γινόμενος, ἐξελὼν αὐτὸν τῷ αὐτῷ * σβέσον οἴνῳ. καὶ πάλιν εἰς τοὺς ἄνθρακας ἀποθέμενος τὰ αὐτὰ ποίει. καῖε δὲ αὐτὸν ἐκ τρίτου, προσέχων μὴ θρυβῇ καὶ ἀπασβολωθῇ. Δύναμιν δὲ ἔχει ὠμός τε καὶ κεκαυμένος συπτικὴν ἐνεργῶς, ἔτι δὲ ἀνακαθαρτικὴν καὶ ἐσχαρωτικὴν ποσῶς, καταπλασμάτων τε ἰατικὴν σὺν κηρωτῇ. πλύνεται δὲ ὡς ἡ καδμεία.

Περὶ Ἀσίου λίθου. Κεφ. ρμβ΄.

Ἄσιον δὲ λίθον παραληπτέον τὸν κισσηρώδη τὴν χρόαν, χαῦνόν τε καὶ κοῦφον, ἔτι δὲ εὐθρυβῆ, καὶ διαφύσεις μηλίνας ἔχοντα διὰ βάθος. τὸ δὲ ἄνθος αὐτοῦ ἐστιν ἡ ἐφιζάνουσα ἐπίξανθος ἁλμυρὶς τῇ ἐπιφανείᾳ τῶν λίθων, τῇ μὲν συστάσει λεπτὴ, τῇ δὲ χρόᾳ τὸ μέν τοι λευκόν ἐστι, τὸ δέ τι ἔοικε κισσήρει, ἐπὶ τὸ μήλινον τετραμμένον· προσαγόμενόν τε τῇ γλώττῃ δάκνει ποσῶς.

Δυνα-

Phrygius lapis. Cap. CXLI.

Phrygius lapis, quo infectores in Phrygia vtuntur, à qua nomẽ accepit, naſcitur in Cappadocia. Optimus habetur pallidus, modicè grauis, non ſolida corporis compage, intercedentibus albis ſegmentis, vt in cadmia. Vritur autem vino optimo perfuſus, viuiſque carbonibus obrutus, perflatur aſſiduè follibus, donec mutato colore rufeſcat: rurſus extractus eodem vino reſtinguitur. Hoc iterum & trinis vicibus faciendum: attendendum tamẽ, ne minutim cõfringatur, & in fuliginem euaneſcat. Vis crudo vſtóque adſtrictoria, expurgans: vlceribus cruſtas quadamtenus inducit, ambuſtis cum cerato medetur. Lauatur vt cadmia.

Aſius lapis. Cap. CXLII.

Aſius lapis aſſumi debet pumicis colore, leuis, fungoſus, item friabilis, ſciſsiles venas lutei coloris ad imum actas habens. Eius flos, ſalſugo ſubflaua eſt, ſummo lapide inſidens, compage tenui, colore in aliquibus albo, in aliis pumici ſimili, ad luteũ vergente: admotus linguæ aliquãtum mordet.

Vim habet vterque adſtrictoriam, & modicè erodentem: admiſtus liquidæ pici, aut terebinthinæ, tubercula diſcutit. Longe validior flos exiſtimatur. De cętero ſiccatus flos, vetera vlcera & cicatrici repugnantia ſanat: excreſcentia cohibet, tetráque vlcera & fungis ſimilia, cum melle expurgat: vlcerum caua explet, & expurgat cum melle: depaſcentiaque cum cerato ſiſtit. Fit cataplaſma ex eo podagris, miſto fabæ lométo: & lienoſis, ex aceto & viua calce. Prodeſt flos ex melle phthiſicis linctu. Podagrici iuuantur, pedibus in ſolio ex eo lapide excauato inditis. Fiunt quoque pulueres, qui corpora erodunt, & luxuriantem carnem, & corporum craſsitiem abſumũt, cum vice nitri in balneo ſparguntur. Si lauare libet, cadmiæ modo lauatur.

Pyrites. Cap. CXLIII.

PYRITES lapidis genus eſt, à quo æs conflatur. Eligi debet æris ſimilitudine, facile ſcintillas ædens. Vritur ſic: Melle irrigatus molli pruna continuò flatur follibus, donec

Δύναμιν δὲ ἔχει ἑκάτερον στυπτικὴν, σηπτικὴν ἡσυχῆ, καὶ διαφορητικὴν φυμάτων τερεβινθίνῃ ἀναλαμβανόμενον ῥητίνῃ ἢ ὑγρᾷ πίσσῃ. εὐτονώτερον δὲ τὸ ἄνθος ἡγητέον. ἐκ περισσοῦ δὲ τοῦτο ξηρανόμενον, τὰ παλαιὰ καὶ δυσκατούλωτα ἕλκη ἰᾶται· καταστέλλει δὲ τὰ ὑπερσαρκοῦντα καὶ ἀνακαθαίρει σὺν μέλιτι, τὰ μύκησιν ὅμοια καὶ θηριώδη· πληροῖ δὲ καὶ τὰ κοῖλα τῶν ἑλκῶν καὶ ἀνακαθαίρει σὺν μέλιτι· καὶ τὰ νεμόμενα δὲ ἵστησι μετὰ κηρωτῆς. καὶ ποδαγρικοῖς ἐν καταπλάσμασι μετ' ἐρέγμου· καὶ σπληνικοῖς μετ' ὄξους καὶ ἀσβέστου. ἐκλειχόμενόν τε τὸ ἄνθος μετὰ μέλιτος φθισικοῖς ὠφελεῖ. κατασκευάζονται δὲ καὶ πύελοι ἐκ τοῦ λίθου, εἰς ἃς οἱ ποδαγρικοὶ τοὺς πόδας ἐντιθέντες ὠφελοῦνται. καὶ σοροὶ σαρκοφάγοι γίνονται. ἰσχναίνουσι τὰ πολύσαρκα καὶ παχέα σώματα, καταπλασσόμεναι ἀντὶ νίτρου ἐν βαλανείῳ. ἐὰν δέ τις πλῦναι θέλῃ τὰ προγεγραμμένα, πλυνέτω ὡς τὴν καδμείαν.

Περὶ Πυρίτου λίθου. Κεφ. ρμγ'.

Πυρίτης εἶδός ἐστι λίθου, ἀφ' οὗ χαλκὸς μεταλλεύεται· ληπτέον μέντοι τὸν χαλκοειδῆ, εὐχερῶς δὲ σπινθῆρας ἀφιέντα. καυστέον δὲ τρόπῳ τοιούτῳ. μέλιτι δεύσας αὐτὸν, ἔνθες εἰς ἄνθρακας μαλακοὺς, καὶ ῥι-

καὶ ῥίπιζε συνεχῶς, ὡς ἂν τὴν χροιὰν κιῤῥὸς γένηται. ἔνιοι δὲ εἰς πολλοὺς καὶ πεπυρωμένους ἄνθρακας ἀποτίθενται ἱκανῶς βεβρεγμένον τῷ μέλιτι τὸν λίθον. ὅταν δὲ μέλλῃ τρέπεσθαι ἐπὶ τὸ κιῤῥὸν ἀναιροῦνται· καὶ ἀποφυσήσαντες τὴν σποδὸν, πάλιν καίουσι διάβροχον, ἕως ἂν ψαθυρώτερος γένηται ὁμαλῶς· πολλάκις γὰρ μόνον ἐπικαίεται τὴν ἐπιφάνειαν. οὕτω δὲ ἀποκαύσαντες καὶ ξηράναντες ἀποτίθενται. ἐὰν δὲ πεπλυμένου χρεία ὑπάρχῃ, πλυτέον ὡς καδμείαν. Δύναμιν δὲ ἔχει κεκαυμένος καὶ ὠμὸς θερμαντικὴν, σμηκτικὴν, ἀποκαθαρτικὴν τῶν ἐπισκοτούντων ταῖς ὄψεσι, διαφορητικήν τε καὶ πεπτικὴν σκληρωμάτων. ἀναληφθεὶς δὲ ῥητίνῃ καταστέλλει τὰ ὑπερσαρκοῦντα μετὰ ποσῆς θερμασίας καὶ στύψεως. καλοῦσι δὲ ἔνιοι τὸν οὕτω καέντα διφρυγές.

Περὶ Αἱματίτου λίθου. Κεφ. ρμδ'.

Αἱματίτης δὲ λίθος ἄριστός ἐστιν ὁ εὔθρυπτος μὲν καὶ κατακορὴς, ἤτοι μέλας, ἐν ἑαυτῷ δὲ σκληρὸς, καὶ ὁμαλὸς, ἀνεπίμικτος ῥυπαρείας τινὸς ἢ διαζωμάτων. Δύναμιν δὲ ἔχει στυπτικὴν, θερμαντικὴν ποσῶς, καὶ λεπτυντικὴν καὶ σμηκτικὴν οὐλῶν τῶν ἐν ὀφθαλμοῖς καὶ τραχωμάτων σὺν μέλιτι· σὺν δὲ γάλακτι γυναικείῳ πρὸς

donec rufeſcat. Alij in multos carbones igni candentes, lapidem copioſo melle perfuſum deiiciũt, & vbi ad fuluum colorem vergere cœperit, extrahunt: efflatóque cinere, rurſus madefactum cremant, donec æqualiter aſsicatus, friabilis reddatur: ſiquidem ſæpe facies ſumma ſolùm vritur. Ita crematus, ſiccatúſque, reconditur. Si eloto opus ſit, lauari debet vt cadmia. Tam crudi quàm vſti vis eſt, excalfacere, abſtergere, offuſam oculis caliginem expurgare, duritias cõcoquere, & concoctas diſcutere. Reſina exceptus excreſcentia in carne cohibet, ſed calorem quẽdam & adſtrictionẽ parit. Ita vſtum nonnulli diphryges appellãt.

Hæmatites. Cap. CXLIIII.

Hæmatites optimus habetur friabilis, ſaturato colore niger, durus & ſuopte ingenio æqualis, nulla ſorde admiſta, nullóque zonarum diſcurſu. Vim habet adſtringentẽ, & excalfactoriam aliquãtum extenuantémque: oculorũ cicatrices, & ſcabritiã cum melle purgat, cum lacte autẽ muliebri, lippitudini,

lippitudini, fractis, & oculis cruore ſuffuſis conuenit: bibitur cõtra difficultatem vrinæ, & fluxiones mulierum in vino: & ab iis qui ſanguinem reiecerunt, cum ſucco punici mali. Fiunt ex eo coticulæ & collyria oculorum vitiis apta. Vritur vt Phrygius, ſine vino duntaxat. Modus vſtionis eſt, vt modicè leuis fiat, & bullis quibuſdam intumeſcat. Sũt qui hæmatiten ita adulterãt. Denſam glebam rotundámq; ſchiſti lapidis, cuiuſmodi ſunt quæ eius radices vocantur, in vrceum figlini operis, qui feruẽtem cinerem contineat, condunt, paucáque interiecta mora eximunt, experiuntúrque ſi trita ad cotem hæmatitæ colorem reddat: quòd ſi ita res ſe habet, reponunt: ſin minus, iterum obruunt, & ſubinde cõſpicientes, periculum faciunt: ſiquidem in cinere diu dimiſſus, colore mutato diffunditur. Coarguitur malè confictus, primum ſciſſilibus venis: quippe in rectos venarum diſcurſus refringitur. At hæmatites lõge ſecus ſe in colore habet: nanque hic floridum reddit: hæmatites verò ſaturatiorem, atq; cinnabarin imitantẽ.

Inuenitur

πρὸς ὀφθαλμίας καὶ ῥήξεις, καὶ ὑφαίμους ὀφθαλμούς. πίνεται δὲ σὺν οἴνῳ πρὸς δυσουρίαν καὶ ῥοϊκάς, καὶ πρὸς αἵματος πτύσεις σὺν χυλῷ ῥοιᾶς. γίνεται δὲ καὶ κολλύρια ἐξ αὐτοῦ καὶ ἀκόνια πρὸς τὰ ἐν ὀφθαλμοῖς πάθη ἐπιτήδεια. καίεται δ' ἐμφερῶς τῷ φρυγίῳ λίθῳ τοῦ οἴνου περιῃρημένου. μέτρον δὲ ἔσω τῆς καύσεως τὸ γίνεσθαι αὐτὸν μέσως κοῦφον καὶ πεπομφολυγωμένον. δολοῦσι δέ τινες τὸν προειρημένον οὕτω· λαβόντες βῶλον σχιστοῦ λίθου πυκνόν τε καὶ στρογγύλον, τοιαῦται δέ εἰσιν αἱ λεγόμεναι ῥίζαι αὐτοῦ, εἰς κεραμίαν γάστραν ἔχουσαν θερμοσποδιὰν θερμὴν ἐγκρύπτουσιν, εἶτα διαλιπόντες, μικρὸν ἀναιροῦνται, καὶ ἐπ' ἀκόνης τρίβουσι δοκιμάζοντες, εἰ τὴν τοῦ αἱματίτου χρόαν ἀπείληφε· κἂν μὲν οὕτως ἔχῃ, ἀποτίθενται· εἰ δὲ μή, πάλιν ἐγκρύπτουσι, συνεχῶς ἐφορῶντες καὶ δοκιμάζοντες· ἀφεθεὶς γὰρ ἐπιπολὺ ἐν τῇ σποδιᾷ μεταβάλλει τῷ χρώματι, ἔπειτα διαχεῖται. ἀπελέγχεται δὲ ὁ κακοτεχνημένος πρῶτον μὲν ταῖς διαφύσεσι· ὁ μὲν γὰρ εἰς κτήδονας ἐπ' εὐθείας ἀποκλᾶται. ὁ δὲ αἱματίτης οὐχ οὕτως ἔχει ἐν τῇ χρόᾳ· ὁ μὲν γὰρ εὐανθῆ ἀνίησιν· ὁ δὲ αἱματίτης βαθυτέραν καὶ τῷ κινναβάρει ἐοικυῖαν,

εὑρίσκεται

εὑρίσκεται δὲ καὶ ἐν τῇ σινωπικῇ μίλτῳ, καὶ ἐκ τῆς μαγνήτιδος πέτρας καιομένης ἐφ' ἱκανὸν, κατασκευάζεται αἱματίτης. ὁ δὲ αὐτοφυὴς ἐν αἰγύπτῳ μεταλλεύεται.

Περὶ Σχιστοῦ λίθου. Κεφ. ρμέ.

Σχιστὸς δὲ λίθος γεννᾶται μὲν ἐν τῇ* κατὰ ἑσπέραν ἰβηρίᾳ. ἄριστος δὲ εἶναι δοκεῖ ὁ παρακροκίζων τῇ χρόᾳ, εὐθρυβής τε καὶ εὔσχιστος ὡς ἐν ἑαυτῷ, ἔοικε δὲ τῇ συνθέσεως ἕνεκεν καὶ τῇ ἀλληλουχίας τῶν κτηδόνων αὐτοῦ ἀμμωνιακῷ ἁλί. Δύναμιν δὲ τὴν αὐτὴν τῷ αἱματίτῃ εἰσφέρεται, τῇ εὐτονίᾳ μόνον λειπόμενος αὐτοῦ. πληροῖ δὲ καὶ κοιλώματα γυναικείῳ διεθεὶς γάλακτι, καὶ πρὸς ῥήξεις καὶ περιπτώσεις, ἔτι δὲ παχύτητας βλεφάρων καὶ σταφυλώματα λίαν ἐνεργεῖ.

Περὶ Γαγάτου λίθου. Κεφ. ρμϛ'.

Τοῦ δὲ γαγάτου προκριτέον τὸν ταχέως ἐξαπτόμενον, καὶ ἀσφαλτίζοντα τῇ ὀσμῇ· μέλας δὲ κοινῶς ὑπάρχει καὶ αὐχμηρὸς, ἔτι δὲ πλακώδης καὶ κοῦφος ἄγαν. Δύναμιν δὲ ἔχει μαλακτικὴν καὶ διαφορητικήν. ἔστι δὲ καὶ ἐπιληπτικῶν ἔλεγχος ὑποθυμιαθεὶς, καὶ ὑστερικὰς ἀνακαλεῖται· διώκει δὲ καὶ ἑρπετὰ θυμιαθεὶς καὶ ποδαγρικαῖς καὶ ἀκόποις μίγνυται δυνάμεσι. γεννᾶται δὲ ἐν κιλικίᾳ κατά τινα ποταμοῦ εἰσροισιν εἰς θάλασσαν ἐκχεομένου,

ἔστι

Inuenitur in Sinopica rubrica. Fit & è magnete lapide, vehementer ambuſto. In Ægypto ſponte naturæ cum metallis enaſcitur.

Schiſtus lapis. Cap. CXLV.

Schiſtus lapis in Iberia Hiſpaniæ gignitur. Probatur maximè qui croci colorem æmulatur, friabilis, ſuapte natura fiſsilis, concremento & alterno cohærẽtium venarum diſcurſu pectinum modo, ammoniaco ſali ſimilis. Vim exhibet hæmatitæ, ſed ad omnia infirmiorem. Quin & caua replet muliebri lacte perfuſus: ad ꝓcidentia, rupta, item genarum craſsitiem, & vuas oculorum, magnopere efficax eſt.

Gagates. Cap. CXLVI.

IN Gagatarum lapidum genere, præferendus qui celeriter accenditur, & odorem bituminis reddit: niger eſt plerunque, & ſquallidus, cruſtoſus, perquàm leuis. Vis ei molliendi, & diſcutiendi: deprehendit ſonticum morbum ſuffitus, recreátque vuluæ ſtrangulationes: fugat ſerpentes nidore: podagricis medicaminibus, & acopis additur. In Cilicia naſci ſolet, qua influens amnis in mare effunditur,

proximè

proximè oppidum quod Plagiopolis dicitur. Vocatur autem & locus & amnis Gagas, in cuius faucibus ij lapides inueniuntur.

Lapis thracias. Ca. CXLVII.

LAPIS thracias dictus, naſcitur in flumine quodam Scytiæ, cui Ponto nomen eſt. Vis ei gagatæ. Traditur aqua accēdi, & oleo reſtingui: quod in bitumine accidit.

Magnes. Cap. CXLVIII.

Magnes lapis optimus eſt, qui ferrum facilè trahit, colore ad cœruleum vergente, denſus, nec admodum grauis. Datur cum aqua mulſa, triū obolorum pondere, vt craſſos humores eliciat. Sūt qui magnetē crematū pro hęmatite vendāt.

Arabicus. Cap. CXLIX.

Arabicus lapis maculoſo ebori ſimilis. Is tritus illitu hæmorrhoidas exiccat: eius cinis dentifricio optimus.

Galactites. Cap. CL.

Galactites appellatur, quòd lacteum ſuccum reſudet: cinerei tamen eſt coloris, ac guſtu dulcis. Ad oculorū fluxiones & vlcera cōueniēter illinitur. Oportet autem in aqua tritū, pyxide

ἔστι δὲ πλησίον τῆς λεγομένης πλαγιουπόλεως. καλεῖται δὲ ὁ τόπος ἢ ὁ ποταμὸς γάγας, παρ' οὗ τῷ στόματι εὑρίσκονται οὗτοι οἱ λίθοι.

Περὶ Θρακίου λίθου. Κεφ. ρμζ΄.

Ο δὲ λεγόμενος θρακίας, γίνεται μὲν ἐν σκυθίᾳ ἐν ποταμῷ τῷ λεγομένῳ πόντῳ. Δύναται δὲ τὰ αὐτὰ τῷ γαγάτῃ. ἱστορεῖται δὲ ἐκκαίεσθαι μὲν αὐτὸ ὕδατι, σβέννυσθαι δὲ ὑπὸ ἐλαίου· ὅπερ καὶ ἐπὶ τῆς ἀσφάλτου γίνεται.

Περὶ Μαγνήτου λίθου. Κεφ. ρμη΄.

Τοῦ δὲ μαγνήτου λίθου ἄριστός ἐστιν ὁ τὸν σίδηρον εὐχερῶς ἕλκων καὶ τὴν χρόαν κυανίζων, πυκνός τε καὶ οὐκ ἄγαν βαρύς. Δύναμιν δὲ ἔχει πάχους ἀγωγόν, διδόμενος μετὰ μελικράτου τριωβόλου βάρος. ἔνιοι δὲ τοῦτον καίοντες ἀντὶ αἱματίτου πιπράσκουσιν.

Περὶ Ἀραβικοῦ λίθου. Κεφ. ρμθ΄.

Ο δὲ ἀραβικὸς λεγόμενος λίθος ἔοικεν ἐλέφαντος σπίλῳ. οὗτος λεῖος καταπλασθεὶς αἱμορροΐδας ἀποξηραίνει· ὀδόντων δὲ σμῆγμα γίνεται καυθείς.

Περὶ γαλακτίτου λίθου. Κεφ. ρν΄.

Ο δὲ γαλακτίτης ὠνόμασται, ἀπὸ τοῦ γαλακτῶδες ἀνιέναι. ἔστι μέν τοι ἀληθῶς ἔντεφρος τὴν χρόαν, γλυκὺς πρὸς τὴν γεῦσιν· ἁρμόζει δὲ πρὸς ὀφθαλμῶν ῥεύματα καὶ ἕλκη ἐγχριόμενος· δεῖ δὲ τρίψαντας αὐτὸν ὕδατι ἀποτί-

τι ἀποτίθεσθαι ἐν πυξίδι μολιβδίνῃ διὰ τὸ περὶ αὐτὸ κολλῶδες.

Περὶ Μελιτίτου λίθου. Κεφ. ρνα'.

Ὁ δὲ μελιτίτης κατὰ πάντα ἔοικε τῷ γαλακτίτῃ· διαφέρων ἐν τῷ γλυκύτερον ἀνιέναι τὸν χυλόν. ποιεῖ δὲ πρὸς ἃ καὶ ὁ γαλακτίτης.

Περὶ Μορόχθου λίθου. Κεφ. ρνβ'.

Λίθος μόροχθος, ὃν ἔνιοι γαλαξίαν ἢ λευκογραφίδα ἐκάλεσαν, ἐν αἰγύπτῳ γεννᾶται· ᾧ καὶ οἱ ὀθονοποιοὶ πρὸς λεύκωσιν τῶν ἱματίων χρῶνται, μαλακῷ καὶ εὐανέτῳ ὄντι. δοκεῖ δὲ παρεμπλάσσειν, ἁρμόζων ἐπὶ αἱμοπτοϊκῶν, καὶ κοιλιακῶν, καὶ κύστεων ἀλγήματα σὺν ὕδατι πινόμενος· καὶ ῥοϊκαῖς ὁμοίως, καὶ ἐν προσθέματι. εἴς τε τὰ μαλακὰ ὀφθαλμικὰ μίγνυται· πληροῖ γὰρ κοιλώματα, καὶ ῥεύματα ἵστησι. σὺν δὲ κηρωτῇ ἀναληφθεὶς τὰ τρυφερὰ τῶν ἑλκῶν ἀπουλοῖ.

Περὶ Ἀλαβαστρίτου λίθου. Κεφ. ρνγ'.

Λίθος ἀλαβαστρίτης ὁ καλούμενος ὄνυξ, ἀναληφθεὶς κεκαυμένος ῥητίνῃ ἢ πίσσῃ, διαφορεῖ σκληρίας· στομάχου δὲ ἀλγήματα μετὰ κηρωτῆς παρηγορεῖ, στέλλει δὲ καὶ οὖλα.

Περὶ Θυΐτου λίθου. Κεφ. ρνδ'.

Λίθος ὁ καλούμενος θυΐτης, γεννᾶται μὲν ἐν τῇ αἰθιοπίᾳ, ἔστι δὲ ὑπόχλωρος, ἰασπίζων· ἐν δὲ τῷ ἀνίε-

σθαι,

pyxide plũbea recondere, propter vim glutini: qđ ei obhęret.

Melitites. Cap. CLI.

Melitites omnia galactitę ſimilis hoc tantũ intereſt, ꝙ dulciorem ſuccum remittit. Eiuſdem vt galactites effectus.

Morochthus. Cap. CLII.

Morochthus lapis, quẽ aliqui galaxiã, aut leucographida vocauerunt, in Ægypto naſcitur: quo, vtpote molli, & facilè liqueſcẽte, linteones dealbandis veſtibus vtũtur. Spiracula corporis obſtruere videtur, cõueniẽs iis q ſanguinẽ expuũt, cœliacis, & veſicæ dolorib⁹, cũ aqua potus: itidẽ fluxionib⁹ vuluæ, & impoſit⁹ velleri. Mollib⁹ oculorũ collyriis miſcet: explet enĩ caua, atq; delachrymatiões ſiſtit. Idẽ cerato exceptus, vlcera q̃ fiũt in teneris partib⁹ corporis, ad cicatricem perducit.

Alabaſtrites. Cap. CLIII.

Alabaſtrites vocatus onyx, crematus, reſina aut pice aſſũpta duritias diſcutit: ſtomachi dolores cum cerato leuat, & gingiuas comprimit.

Thyites. Cap. CLIIII.

Lapis nomine thyites, in Æthiopia gignit, ſubuiridi colore iaſpidẽ imitatus: cum diluitur

tamen

tamen lacteum ſuccum reddit. Vehemēter mordet: tenebras, quę pupillis obuerſantur, expurgat.

Lapis iudaicus. Cap. CLV.

Iudaicus lapis in Iudæa naſcitur, glādis effigie, cādidus, ſcita admodū cōfiguratione, lineis æqualiter inter ſe diſtantibus quaſi induſtria detornatis: ſolutus nullā qualitatē manifeſtam guſtui repræſentat. Poteſt ciceris magnitudine tritus ad cotē, vt collyriū, cum calidæ aquæ cyathis tribus, potu difficultati vrinæ auxiliari, & calculos in veſica comminuere.

Amiantus. Cap. CLVI.

AMIANTVS lapis in Cypro naſcitur, ſciſſo alumini ſimilis: quo, vtpote flexili, telas & vela tantum ſpectaculi gratia texunt, quæ ignibus iniecta ardēt quidem, ſed flammis inuicta ſplendidiora exiunt.

Sapphirus. Cap. CLVII

SAPPHIRVS lapis, percuſsis à ſcorpione, potu prodeſſe exiſtimatur. Contra inteſtinas exulcerationes bibitur. Excreſcentia in oculis, vuáſque & puſtulas inhibet, & ruptas membranas cogit.

Mèphites

ϑαι, γαλακτώδης φαινόμενος, ἀναδάκνων σφοδρῶς. Δύναμιν δὲ ἔχει ἀποκαθαρτικὴν τῶν ταῖς κόραις ἐπισκοτούντων.

Περὶ ἰουδαϊκοῦ λίθου. Κεφ. ρνέ.

Ο δὲ ἰουδαϊκὸς λίθος γεννᾶται μὲν ἐν τῇ ἰουδαίᾳ, τῷ σχήματι βαλανοειδὴς, λευκὸς, εὔρυθμος ἱκανῶς, ἔχων καὶ γραμμὰς παραλλήλους, ὡς ἀπὸ τόρνου· ἀνιέμενος δ' ἐστὶν ἄποιος ἐν τῇ γεύσει. Δύναται δὲ ἐρεβινθιαῖον μέγεθος διεθὲν ὡς κολλύριον ἐπ' ἀκόνης σὺν ὕδατος θερμοῦ κυάθοις τρισὶ καὶ ποθὲν δυσουρίαις βοηθεῖν, καὶ τοὺς ἐν κύστει λίθους θρύπτειν.

Περὶ Ἀμιάντου λίθου. Κεφ. ρνς'.

Λίθος ἀμίαντος γεννᾶται μὲν ἐν Κύπρῳ, συμφερεία σχιστῇ ἐοικώς· ὃν ἐργαζόμενοι ὑφάσματα ποιοῦσιν ἐξ αὐτοῦ ὄντος ἱμαντώδους πρὸς θέαν, ἃ βληθέντα εἰς πῦρ φλογοῦνται μὲν, λαμπρότερα δὲ ἐξέρχονται μὴ κατακαιόμενα.

Περὶ Σαπφείρου λίθου. Κεφ. ρνζ.

Λίθος σάπφειρος δοκεῖ ὠφελεῖν σκορπιοπλήκτους πινόμενος· πίνεται δὲ καὶ πρὸς τὰς ἐντὸς ἑλκώσεις, καὶ πρὸς τὰς ἐν τοῖς ὀφθαλμοῖς δὲ ὑπεροχὰς, καὶ σταφυλώματα, καὶ φλυκταίνας στέλλει, καὶ τὰς ῥήξεις τῶν ὑμένων συνάγει.

Περὶ

Περὶ Μεμφίτου λίθου.
Κεφ. ρνή.

Λίθος μεμφίτης εὑρίσκεται ἐν αἰγύπτῳ κατὰ μέμφιν, ἔχων ψηφίδων μέγεθος, λιπαρὸς καὶ ποικίλος. οὗτος ἱστορεῖται καταχρισθεὶς λεῖος ἐπὶ τῶν μελλόντων τέμνεσθαι ἢ καίεσθαι τόπων, ἀναισθησίαν ἀκίνδυνον ἐπιφέρειν.

Lapis Memphites.
Cap. CLVIII.

Memphites in Ægypto iuxta Memphin inuenitur, calculorũ magnitudine, pinguis, verſicolor. Tradunt trito & illito, quæ vrenda aut ſecanda ſunt, ſine periculo obſtupeſcere, ita vt non ſentiant cruciatum.

Περὶ Σεληνίτου λίθου. Κεφ. ρνθ΄.

Λίθος σεληνίτης, ὃν τινες ἀφροσέληνον ἐκάλεσαν διὰ τὸ εὑρίσκεσθαι αὐτὸν νυκτὸς μεσὸν ἐν τῇ τῆς σελήνης παραυξήσει. γεννᾶται δὲ ἐν ἀραβίᾳ, λευκὸς, διαυγὴς, κοῦφος. τοῦτον ἀποξύσαντες, διδόασι πόμα ἐπιληπτικοῖς. καὶ ἀντὶ φυλακτηρείου δὲ περιάμματι αὐτῷ αἱ γυναῖκες χρῶνται. δοκεῖ δὲ καὶ δένδρεσι περιδεθεὶς, καρπογόνος εἶναι.

Lapis Selenites. Ca. CLIX.

Selenites lapis, quem aliqui aphroſelenon appellarũt, quoniã noctu inuenitur lunæ imaginẽ reddere, quę cum ea quidem augetur & decreſcit. Naſcitur in Arabia, candidus, trãſlucens, leuis, Huius ramẽta comitialibus in potu dari iubẽt. Eo ceu geſtamine ad amuleta mulieres vtunt͂. Arbores adalligato eodẽ frugiferæ reddũtur.

Περὶ ἰάσπιδος λίθου. Κεφ. ρξ΄.

Λίθος ἴασπις, ὁ μέν τις ἐστὶ σμαραγδίζων· ὁ δὲ κρυσταλλώδης, ἐοικὸς φλέγματι· ὁ δὲ ἀερίζων· ὁ δὲ καπνίας, ὥσπερεὶ κεκαπνισμένος· ὁ δέ τις καὶ διαφύσεις ἔχων διαλεύκους, καὶ ἀποστιλβούσας ἀσσύριος καλούμενος· ὁ δέ τις τερεβινθίζων λέγεται· καλαΐνῳ χρώματι παρόμοιος. λέγονται δὲ πάντες εἶναι φυλακτήρια περίαπτα καὶ ὠκυτόκια μηρῷ περιαπτόμενα.

Lapis Iaſpidis. Ca. CLXXX.

Iaſpidũ quędã ſmaragdũ imitatur, alia cryſtallũ, colore ſimilis pituitę: alia nõ diſsimilis aëri, ob id vocat͂ aërizuſa: alia veluti fumo infecta, q̃ capnias ex argumẽto vocat͂: quædã lineis albis & reſplendẽtibus præcingitur. Aſsyrios appellata: alia terebinthinæ ſimilis, q̃ terebinthizuſa dicitur: alia colore callaida gẽmã æmulatur. Omnes amuleta eſſe tradũtur, & accelerare partũ femoribꝰ appẽſæ.

Περὶ Aëtites.

Aëtites. Cap. CLXI.

Aëtites lapis eſt veluti prægnans, cum quatitur, alio in vtero ſonante. Grauidis continet partus, cum lubricæ ſunt vuluæ & parum tenaces, ſiniſtro brachio adalligatus: ſed parturiẽtibus è brachio amoueatur, & feminibus alligetur, vt ſine doloribus pariant. Furem deprehendit, ſi quis in pane conditum offerat: fur enim manſum deuorare non poterit. Quinetiam concoctus, furem coarguit: quippe decocta cum eo, deuorare non poterit. Tritus, & cerato exceptus, cyprino, aut gleucino, aut alio excalfaciente, comitiales magnificè iuuat.

Περὶ Ἀετίτου λίθου. Κεφ. ρξα΄.

Ἀετίτης λίθος ὁ ἐν τῷ κινεῖσθαι ἦχον ἀποτελῶν, ὡς ἑτέρου ἐγκύμων λίθου ὑπάρχων. κατέχον ἐμβρύων ἐστὶν, ὅταν ὀλισθηραὶ ὦσιν αἱ μῆτραι, περιαπτόμενος ἀριστερῷ βραχίονι· ἐν δὲ τῷ καιρῷ τῆς ἀποτέξεως, ἄρας ἐκ τοῦ βραχίονος, περίαπτε τῷ μηρῷ, καὶ ἐκτὸς ὠδίνων τέξεται. ἔστι δὲ κλεπτέλεγχος, εἰ ἐπιτεθείη τις εἰς τὸν προσφερόμενον ἄρτον· ὁ γὰρ κλέψας οὐκ ἂν δυνηθείη καταπιεῖν τὰ μασσηθέντα. φασὶ δὲ ὅτι καὶ συνεψόμενος ὁ ἀετίτης τοῖς ἐδέσμασι, κλεπτέλεγχος γίνεται· οὐ γὰρ δυνήσεται ὁ κλέψας καταπιεῖν τὰ συνεψόμενα αὐτῷ. λειωθεὶς δὲ καὶ ἀναλαμβανόμενος κηρωτῇ σκευασθείσῃ διὰ κυπρίνου ἢ γλευκίνου ἢ τινὸς ἑτέρου τῶν θερμαινόντων, ὀνίνησι μεγάλως ἐπιληπτικούς.

Lapis ophites. Cap. CLXII.

Ophitæ genera multa: quidã põderoſus & niger: alter cinereo colore ſpectatur, pũctis diſtinctus: tertius lineis quibuſdã cãdidis intercinctꝰ eſt. Omnes alligati contra capitis dolores, & ſerpentiũ ictus ꝓſunt. Ferũtur q̃ lineas habent, lethargo, & capitis doloribꝰ auxiliari.

Περὶ Ὀφίτου λίθου. Κεφ. ρξβ΄.

Λίθος ὀφίτης· ὁ μέν τις ἐστὶ βαρὺς καὶ μέλας· ὁ δὲ, σποδοειδὴς τὴν χρόαν καὶ κατεστιγμένος· ὁ δέ τις γραμμὰς ἔχων λευκάς. πάντες δ' ἐνεργοῦσι περιαπτόμενοι ἐπὶ ὀφιοδήκτων καὶ κεφαλαλγούντων. ὁ δὲ τὰς γραμμὰς ἔχων, ἰδίως ἱστορεῖται ληθάργῳ καὶ κεφαλαλγίαις βοηθεῖν.

Lapides qui in ſpongiis inueniuntur. Ca. CLXIII.

Lapides in ſpongiis inueniuntur, qui veſicæ calculos

rumpunt,

Περὶ τῶν ἐν τοῖς σπόγγοις λίθων. Κεφ. ρξ΄.

Λίθοι οἱ ἐν τοῖς σπόγγοις εὑρισκόμενοι, σὺν οἴνῳ ποθέντες

τοὺς

τοὺς ἐν κύστει λίθους θρύπτουσιν.

Περὶ Λιθοκόλλης. Κεφ. ρξδ΄.

Ἡ δὲ λιθοκόλλα μίγμα οὖσα μαρμάρου ἢ λίθου παρίου καὶ ταυροκόλλης. δύναται διὰ μηλωτίδος πεπυρωμένης, τρίχας ἀνακολλᾶν τὰς ἐν ὀφθαλμοῖς.

Περὶ ὀστρακίτου λίθου. Κεφ. ρξε΄.

Λίθος ὀστρακίτης ὅμοιός ἐστιν ὀστράκῳ, πλακώδης καὶ εὔσχιστος, ᾧ χρῶνται ἀντὶ κισσήρεως πρὸς τριχῶν ἄρσιν αἱ γυναῖκες. ἵστησι δὲ καὶ καταμήνια πινόμενος σὺν οἴνῳ < α. πλῆθος. δυοῖν δὲ < βάρος ἐὰν πίνῃ τις ἐφ' ἡμέρας δ΄. μετὰ τὴν ἄφεδρον, ἀσυλληψίαν ποιεῖ· σὺν μέλιτι δὲ ἐπιτιθέμενος, φλεγμαίνοντας μαστοὺς παρηγορεῖ καὶ νομὰς ἵστησι.

Περὶ Σμύριδος.
Κεφ. ρξς΄.

Σμύρις λίθος ἐστὶν, ᾗ τὰς ψήφους οἱ δακτυλογλύφοι σμήχουσι, χρησίμη εἰς * σύπτας καὶ καυστικά· καὶ πρὸς οὔλων πλάδον καὶ ὀδόντων σμῆξιν.

Περὶ Ἄμμου.
Κεφ. ρξζ΄.

Ἄμμος ἡ παρὰ τοῖς αἰγιαλοῖς πυρωθεῖσα ὑπὸ τοῦ ἡλίου, ἐξικμάζει τὰ ὑδερώδη σώματα περιχωννύμενα δίχα κεφαλῆς. φώγνυται δὲ καὶ εἰς τὰς ξηρὰς πυρίας ἀντὶ κέγχρου ἢ ἁλῶν.

rumpunt,in vino poti.

Lithocolla. Ca.CLXIIII.

Lithocolla glutinum,quo lapides coniunguntur: conflatur autem ex marmore,lapide Pario, & taurino glutine. Poteſt candēte ſpecillo admotū,incōmodos oculis pilos replicare.

Oſtracites. Cap. CLXV.

Oſtracites teſtæ ſimilitudinē habet,cruſtoſus, & in laminas fiſsilis, quo mulieres ad detrahendos piloſ,pro punice vtuntur. Menſes drachmæ pondere potus ex vino,ſiſtit. Si quatuor diebꝰ à purgatione bibatur ſicilici pōdere, fœminis præſtat ne concipiant. Cum melle autem impoſitꝰ, mammarum inflammationes lenit, & nomas cohibet.

Smyris. Cap. CLXVI.

Smyris lapis eſt,quo annularij ſculptores lapides expurgāt ad erodendū & vrendū vtilis: gingiuis,quas humor vexat,ꝓdeſt: dentifricio cōmendatur.

Arena ex littoribus.
Cap. CLXVII.

ARENA è littoribus ſole feruefacta, hydropicorum tumores exugit, ſi capitētenus, in ea obruantur. Torreri ſolet ad aridos fotus,pro milio aut ſale.

Naxia è cote. Cap. CLXVIII.

E cote Naxia, quod exacuẽdo ferro deterit, illitũ alopecias ad pilũ reducit: virginũ mãmas cohibet, nec ĩcreſcere patitur. potũ ex aceto, lienẽ abſumit, & comitialibus prodeſt.

Geodes. Cap. CLXIX.

Geodes lapis, adſtringit, ſiccat, caligines oculorum diſcutit. Illitus autem ex aqua, teſtium mammarúmque inflammationes ſedat.

Terra. Cap. CLXX.

Omnis terra ad medẽdi vſum recepta, ſummã & primã vim habet refrigerandi, meatúſque obducẽdi, occludẽdiq́;: ſed ſpecie diſtat, cũ alia adiũctis quibuſdam ad alia ſit vtilis.

Eretriades. Cap. CLXXI.

Eretriades duæ ſunt, vna vehementer alba eſt, altera cinericia. Optima habetur ad cinereum colorem vergẽs, perquàm mollis, quæ ſi per æramenta tractum ducatur, lineam violaceam refert. Lauatur vt ceruſa, aut hunc in modum. Teritur ſeorſum, & cum aqua, & vbi peſſum ierit, humor leuiter excolatur: ſiccata ſolib⁹, iterum teritur interdiu, adiecta aqua, vt veſpere conſidat: antelucanis colo excernitur,

&

Περὶ Ἀκόνης. Κεφ. ρξη.

Ἀκόνης ναξίας τὸ ἀπότριμμα τὸ περὶ αὐτὴν ἀκονηθέντος σιδήρου ἐγχρισθὲν, ἀλωπεκίας τριχοῖ. καὶ μαστοὺς παρθένων κωλύει αὔξεσθαι· ποθὲν δὲ μετ᾽ ὄξους, σπλῆνα τήκει καὶ ἐπιληπτικοὺς ὠφελεῖ.

Περὶ Λίθου γεώδους. Κεφ. ρξθ.

Λίθος γεώδης στύφει, ξηραίνει, ἀποκαθαίρει τὰ ἐπισκοτοῦντα τοῖς ὀφθαλμοῖς. καταχρισθεῖσα δὲ μεθ᾽ ὕδατος, μαστῶν καὶ ὄρχεων παύει φλεγμονάς.

Περὶ γῆς. Κεφ. ρο.

Γῆ πᾶσα ἡ πίπτουσα εἰς ἰατρικὴν χρῆσιν, τὴν μὲν ἀνωτάτω δύναμιν ἔχει ψύχουσαν καὶ παρεμπλάττουσαν· κατ᾽ εἶδος δὲ διαφέρει, ἄλλης εἰς ἄλλα μετά τινος σκευασίας χρησιμευούσης.

Περὶ Ἐρετριάδος γῆς. Κεφ. ροα.

Γῆς ἐρετριάδος γῆς, ἡ μέν ἐστι λευκὴ ἐπιτεταμένως, ἡ δὲ, σποδοειδής. ἀρίστη δ᾽ ὑπάρχει ἡ τῇ χρόᾳ σποδίζουσα καὶ μαλακὴ ἄγαν, πρὸς τὸ χαλκώματα ἑλκυσθεῖσα γραμμὴν ἰώδη ἀποφερομένη. πλύνεται δὲ ὡς ψιμμύθιον· ἢ οὕτω λεάνας αὐτὸ ὅσον ἂν θέλῃς κατ᾽ ἰδίαν τε καὶ σὺν ὕδατι ἔασον καταστῆναι, εἶτα τὸ μὲν ὑγρὸν ἐλαφρῶς ἀπήθησον· τὴν δὲ γῆν ἐν ἡλίῳ ξηράνας, πάλιν τρίβε ἐπὶ ἡμέρας ἐπιδοὺς ὕδωρ, ἑσπέρας δ᾽ ἐάσας ὑποστῆναι, περὶ τὸν ὄρθρον ἀπήθησον,

καὶ

καὶ λεάνας ἐν ἡλίῳ τροχίσκους ἀνάπλαττε ὡς δυνατόν. ἐὰν δὲ καὶ ὠπτημένης χρεία ὑπάρχῃ, λαβὼν ἐρεβινθιαῖα μεγέθη τῆς γῆς δὸς εἰς ἀγγεῖον κεραμοῦν κατατετρημμένον, πωμάσας τε τὸ στόμα ἐπιμελῶς, ἔνθες εἰς διαπύρους ἄνθρακας, καὶ ῥίπιζε συνεχῶς. *ὅτε δὲ ἡ σποδὸς αἰθαλωθῇ ἤτοι ἀερώδης μᾶλλον γένηται τὴν χρόαν, ἀνελόμενος ἀπόθου. Δύναμιν δὲ ἔχει στυπτικὴν καὶ ψυκτικήν, κούφως μαλακτικὴν καὶ κοιλωμάτων πληρωτικήν, καὶ ἐναίμων κολλητικήν.

& demum in ſole trita, ſi fieri poteſt, digeritur in paſtillos. Quòd ſi toſta deſideretur, paſtili magnitudine ciceris in fictile perforatũ cõiiciunt, oreq́; vaſis diligẽter obturato, ſupra carbones candẽtes cõtinenter follibus perflãtur: vbi verò cinis in fauillas ſe conuertit, aut aëreum colorẽ cõtraxit, exẽpti recondũtur. Vim habet adſtringentẽ, & refrigeratoriã, leuiter mollientẽ: caua explet, & ſanguinolenta conglutinat.

Περὶ Σαμίας γῆς. Κεφ. ροβʹ.

Τῆς δὲ σαμίας γῆς τὴν ἄγαν λευκὴν προκριτέον, καὶ ἐλαφράν, καὶ ἐν τῷ θιγεῖν τὴν γλῶσσαν, κρατουμένην ἐχεκόλλως, ἔτι τε ἔγχυλον καὶ μαλακὴν καὶ εὔθρυπτον, οἷά ἐστιν ἣν τινες κολλύριον καλοῦσιν. ἔστι γὰρ αὐτῆς δύο εἴδη· τό, τε προειρημένον· καὶ ὁ καλούμενος ἀστήρ, πλακώδης ὢν καὶ πυκνός, ὡς ἀκόνη. Δύναμιν δὲ ἔχει καὶ καῦσιν καὶ πλύσιν ἐμφερῆ ἐρετριάδι. ἵστησι δὲ αἵματος ἀναγωγήν, καὶ ῥοϊκαῖς δίδοται γυναιξὶ σὺν βαλαυστίῳ. καὶ ὀρχέων καὶ μαστῶν φλεγμονὰς καταχριομένη σὺν ὕδατι καὶ ῥοδίνῳ παύει· στέλλει καὶ ἱδρῶτας· καὶ θηριοδήκτοις καὶ θανασίμοις ἀρήγει σὺν ὕδατι πινομένη.

Terra Samia. Cap. CLXXII.

Samia præfertur cãdida, leuis, tangẽti linguæ glutinis modo adhæreſcẽs, mollis, ſuccoſa, friabilis: cuiuſmodi eſt quã aliqui collyrion vocãt. Duę enim ſpecies eius: vnã, antè diximus: altera aſter appellatur, cruſtacea, & cotis modo prædenſa. Vritur ac lauaẽ vt eretria, vimque conſimilẽ habet: ſanguinis reiectiões ſiſtit, & fœminis fluxione vuluæ laborãtibus, cum flore ſyueſtris punicę daẽ. Teſtium & mãmarũ inflãmationes, illita ex roſaceo & aqua, refrigerat: ſudores arcet: cõtra ſerpentium morſus & venena, pota ex aqua auxiliatur.

Περὶ τοῦ ἐν σάμῳ λίθου. Κεφ. ρογʹ.

Εὑρίσκεται δέ τις ἐν τῇ σαμίᾳ γῇ

Lapis Samius. Ca. CLXXIII.

Samius lapis, in Samia terra

inuenitur, quo artifices vtuntur poliendo auro, vt reſplendeat. Probatur candore, & duritia. Vis ei adſtrictoria, & refrigerans: prodeſt ſtomachicis potus: ſenſus hebetat: verùm ad fluxiones oculorum & vlcera, cum lacte efficax eſt. partus, vt tradunt, adligatus accelerat, & conceptus fœminarum cuſtodit.

Terra chia. Cap. CLXXIIII.

Chia eligi debet candida, vergens ad cinereum, Samiæ ſimilis: eſt autem cruſtoſa, albáque, ſed fictitiis formis differens. Vis eadem quę & Samię, extẽdit faciem, & erugat, atq; ſplendidã reddit: colorẽ in facie & corpore toto cõmẽdat: in balneis pro nitro deterget.

Terra Selinuſia.
Cap. CLXXV.

EADEM præſtat Selinuſia: maximè laudatur, quæ vehementer reſplendet, candida, friabilis, & humore dilui celerrima.

Cimolia. Cap. CLXXVI.

Cimoliæ duo genera, candida, & ad purpureum inclinãs. Optima exiſtimatur, quæ innatam habet pinguitudinem, tactúque frigida ſentitur. Vtraque aceto diluta, parotidas, &

γῆ λίθος, ᾧ οἱ χρυσοχόοι χρῶνται πρὸς τὸ λεαίνειν καὶ στιλβοῦν. διαφέρει δὲ ὁ λευκὸς καὶ στιβαρός.

Δύναμιν δὲ ἔχει συπτικὴν, ψυκτικήν· ὠφελῶν στομαχικοὺς ἐν ποτῷ· ἀμβλωτικὴν τοῖς αἰσθητηρίοις· ποιεῖ πρὸς τὰ ἐν ὀφθαλμοῖς ῥεύματα καὶ ἕλκη σὺν γάλακτι· δοκεῖ δὲ καὶ ὠκυτόκιος εἶναι καὶ φυλακτήριος τῶν συνειληφυιῶν περιαπτόμενος.

Περὶ Χίας γῆς. Κεφ. ροδ΄.

Καὶ τῆς χίας δὲ τὴν λευκὴν καὶ ὑπότεφρον παραπλήσιον τῇ σαμίᾳ ἐμφερῆ· πλακώδης δέ ἐστι καὶ λευκὴ, τοῖς δὲ σχήμασι τῆς ἀναπλάσεως διαφέρουσα. Δύναμιν δὲ ἔχει τὴν αὐτὴν τῇ σαμίᾳ· τετανὸν δὲ καὶ στιλβον ἔτι δὲ εὔχρουν τὸ πρόσωπον καὶ ὅλον τὸ σῶμα ἀποτελεῖ· σμήχει δὲ ἀντὶ νίτρου ἐν βαλανείῳ.

Περὶ Σελινουσίας.
Κεφ. ροε΄.

Τὰ αὐτὰ δὲ ποιεῖ καὶ ἡ σελινουσία γῆ· ἀρίστη δέ ἐστιν ἡ ἄγαν στίλβουσα καὶ λευκὴ, εὔθρυβης δὲ καὶ ταχέως ἄγαν χυλουμένη ἐπειδὰν ὑγρὸν λάβῃ.

Περὶ Κιμωλίας γῆς. Κεφ. ρος΄.

Τῆς δὲ κιμωλίας ἡ μέν ἐστι λευκή· ἡ δὲ ἐμπόρφυρος· καὶ λιπαρίαν τινὰ ἔμφυτον κεκτημένη, πρός τε τὴν ἁφὴν κατάψυχρος, ἣν ἀρίστην ἡγητέον. ἑκάτεραι δὲ διαφορῶσιν ὄξει διειμέναι, παρωτίδας καὶ

καὶ τὰ ἄλλα φύματα· πρὸς δὲ τὰ πυρίκαυτα ποιοῦσιν ἐπιχριόμεναι παραχρῆμα, ὥστε ἀφλυκταίνωντα διατηρεῖν τὰ πεπονθότα μέρη· καταστέλλουσι δὲ καὶ διδύμων σκληρίας καὶ φλεγμονὰς τὰς περὶ ὅλον τὸ σῶμα· ἔτι δὲ ἐρυσιπέλασιν ἐνίσανται. καθόλου δὲ πολύχρηστοι εἰσὶν αἱ γνήσιοι ἐὰν μὴ νόθοι παραλαμβάνονται.

Περὶ Πνιγίτιδος γῆς. Κεφ. ροζ΄.

Ἡ δὲ λεγομένη πνιγῖτις γῆ, τῇ χρόᾳ ἔοικέ πως τῇ ἐρετριάδι, ἔστι δὲ ἁδρόβωλος· ψυκτικὴ πρὸς τὰς τῶν χειρῶν ἐπιβολάς· τῇ τε γλώσσῃ μάλιστα κολλᾶται ὡς ἐκκρεμᾶσθαι. δύναμιν δὲ τὴν αὐτὴν ἔχει τῇ κιμωλίᾳ, βραχὺ τῆς εὐτονίας ὑστεροῦσα ταύτην ἀντὶ ἐρετριάδος τινὲς πιπράσκουσι.

Περὶ Ὀστράκων. Κεφ. ροη΄.

Ὄστρακα δὲ τὰ ἐξ ἰπνῶν τὰ λίαν κάτοπτα, ἐσχαρωτικά· ὅθεν ἐπιχριόμενα σὺν ὄξει, κνησμοὺς καὶ ἐξανθήματα ἰᾶται, καὶ ποδαγρικοὺς ὠφελεῖ· ἀναληφθέντα τε κηρωτῇ χοιράδας διαφορεῖ.

Περὶ τῆς ἐκ τῶν καμίνων γῆς. Κεφ. ροθ΄

Καὶ ἡ ἐκ τῶν καμίνων δὲ κάτοπτος γῆ πυῤῥὰ, τὴν αὐτὴν ἔχει δύναμιν τοῖς ὀστράκοις.

Περὶ Μηλίας γῆς. Κεφ. ρπ΄.

Ἡ δὲ μηλία τὴν μὲν χρόαν καὶ αὐτὴ ἐστὶν ἐμφερὴς ἐρετριάδι τῇ σποδοει-

δεῖ

& alia tubercula diſcutit: ambuſta igni, ſi ſtatim cimolia oblinantur, puſtulas non ſentient: teſtiũ duritias, & totius corporis collectiões cohibet: igni ſacro imponitur. In ſumma, vtraque multum in medicina commendatur, ſi incorruptæ originis nec ſpuria aſſumatur.

Pnigitis. Cap. CLXXVII.

QVÆ pnigitis dicitur, colore ferè eretriæ ſimilis eſt, grandioribus tãtum glebis: manum ſi quis admoueat, refrigerabit: tactu linguæ, vſqueadeò glutinoſa, vt penſilis hæreat. Cui effectus idem qui cimoliæ, paulò tamen infirmior. Hãc aliqui pro eretriade vendunt.

Teſta fornacea. Cap. clxxviij.

Fornaceæ teſtæ vehementer toſtæ, cruſtas vlceribus obducunt: quare prurigini & papularum eruptionibus medétur. Podagricis pſunt: ſtrumas diſcutiunt, cerato exceptæ.

Terra fornacum.

Cap. CLXXIX.

Fornacum terræ, quæ retorrida fulueſcit, eiuſdem cum teſta effectus.

Melia. Cap. CLXXX.

MELIA COLORE cineream eretriam imitatur,

aſpera tactu: ea digitis friata, deraſi pumicis modo crepitat. Vim habet aluminoſã, ſed remiſsiuſculã, id quod guſtu deprehẽditur: nã modicè linguã ſiccat: purum corpus reddit, & colorem cõmendat: pilos extenuat. vitiligines, & lepras abſtergit. Pictoribꝰ vſum præbet, vt colores diutius perennent: emplaſtris viridibus, quæ chloræ dicuntur, efficaciter inſeritur. Ex omni Melia terra, & omni alia in vniuerſũ, eligi debet recens, mollis, non lapidoſa, friabilis, quæ cum humorem attigerit, facilè reſoluatur.

Terra ampelitidis. Cap. CLXXXI.

Ex ampelitide terra, quę pharmacitis nomine, in Seleucia Syriæ naſcitur, laudatur in primis nigra, piceæ longos carbones referens, modicè aſſuloſa, æquabili ſplendore, quæ detrita, accepto oleo, ſtatim eliqueſcit. Vitioſa cenſetur cãdida, & cinerea, quę in liquorẽ non reſoluitur. Vim diſsipandi & refrigerandi habet: ad callilephara additur, tingendis capillis idonea. Vſus eius ad illinẽdas vites ſub germinationis tempus, vtpote cum innaſcentes vermiculos enecet.

Fuligo

δεῖ ἐν βάχος δὲ καὶ παραψιβομένη τοῖς δακτύλοις, ὡς ψιθυρισμόν τινα ἀποτελεῖν ὅμοιον ψωχομένῃ κισσήρει. τῇ δὲ δυνάμει στυπτηριώδης ἐστίν, ἀνειμένως δὲ μᾶλλον ὃ δὴ καὶ διὰ τῆς γεύσεως ἐμφαίνεται. ἀναξηραίνει δὲ καὶ τὴν γλῶτταν πραέως· δύναται δὲ καθαρὸν καὶ εὔχρουν ἀποτελεῖν τὸ σῶμα· λεπτύνει δὲ καὶ τὰς τρίχας καὶ ἀλφοὺς καὶ λέπρας σμήχει. χρησιμεύει δὲ καὶ ζωγράφοις πρὸς πλείονα παραμονὴν χρωμάτων· καὶ χλωραῖς δυνάμεσι συνεργεῖ. καὶ ταύτης δὲ κοινῶς ἁπάσης γῆς τὴν ἄλιθον ἐκλεκτέον καὶ πρόσφατον μαλακήν τε καὶ εὔθρυπτον, καὶ εὔλυτον ὅταν ὑγροῦ θίγῃ.

Περὶ ἀμπελίτιδος γῆς. Κεφ. ρπα.

Τῆς δὲ ἀμπελίτιδος γῆς, ἣν τινες φαρμακῖτιν καλοῦσι, γινομένης ἐν σελευκείᾳ τῇ κατὰ συρίαν, τὴν μέλαιναν προκριτέον, καὶ πευκίνοις ἄνθραξι μικροῖς ἐμφερής ἐστιν, ὑποσχιδακώδης τε καὶ στίλβουσα ἴσως, ἔτι δὲ οὐδὲ βραδέως τηκομένη, ὅταν λεανθεῖσα ἐπιχυθῇ τὸ ἔλαιον. τὴν δὲ λευκὴν καὶ τεφρώδη καὶ ἄτηκτον, φαύλην ἡγητέον. Δύναμιν δὲ ἔχει διαχυτικὴν καὶ ψυκτικήν· παραλαμβάνεται δὲ καὶ πρὸς καλλιβλέφαρα καὶ βαφὰς τριχῶν. καὶ τὰς τῶν ἀμπέλων χρίσεις πρὸς τὴν τῆς ἐκβλαστήσεως ὥραν, κτείνουσα τοὺς ἐπιγινομένους σκώληκας.

Περὶ

Περὶ Ἀσβόλης.

Κεφ. ρπβ΄.

Ἀσβόλη ᾗ οἱ ζωγράφοι χρῶνται, λαμβάνεται μὲν ἐκ τῶν ὑελουργῶν. διαφέρει γὰρ αὕτη. Δύναμιν δὲ ἔχει σηπτικὴν, συπτικήν· ἀπουλοῖ δὲ καὶ κατάγματα σὺν ῥοδίνῃ κηρωτῇ.

Περὶ Μέλανος.

Κεφ. ρπγ΄.

Μέλαν ᾧ γράφομεν, συνάγεται ἐκ λιγνύος συναγομένης ἐκ δᾳδίων. μίγνυται δὲ πρὸς τὴν λίτραν τοῦ κόμμεως οὐγγίας γ΄ εἰς λιγνύος. σκευάζεται δὲ καὶ ἀπὸ τῆς ῥητίνης λιγνύος καὶ τῆς προειρημένης ζωγραφικῆς ἀσβόλης. δεῖ δὲ τῆς μὲν ἀσβόλης μνᾶν μίαν λαμβάνειν, κόμμεως δὲ λίτραν μίαν ἥμισυ, ταυροκόλλης οὐγγίαν μίαν ἥμισυ, χαλκάνθου οὐγγίαν μίαν ἥμισυ. ἁρμόζει δὲ εἴς τε σηπτὰς, καὶ πυρίκαυστα καταχριόμενον μεθ' ὕδατος παχὺ, καὶ ἐώμενον ἄχρις ἀπουλώσεως· ἀποπίπτει γὰρ αὐτόματον ὑγιασθέντων τῶν ἑλκῶν. Καὶ δὴ σχεδὸν ἐφ' ὅσον ἱκανὸν ἐδόξαμεν ὦ φίλτατε Ἄρειε ἅμα εἶναι καὶ μήκους συντάξεως, καὶ πλήθους ὕλης τε καὶ βοηθημάτων ταμιεύσασθαι, ἅλις ἔχει.

ΤΕΛΟΣ ΤΟΥ ΒΙΒΛΙΟΥ ΠΕΜΠΤΟΥ.

Fuligo pictoria.

Cap. CLXXXII.

Fuligo qua pictores vtũtur, ex vitrariis officinis colligi ſolet: ſiquidẽ ei palma tribuitur. Vis ei ad aſtringẽdum & erodẽdũ efficax: fracta cũ roſaceo cerato ad cicatricem perducit.

Atramentum librarium.

Cap. CLXXXIII.

Atramẽtum quo ſcribimus, fuligine è tedis coacta colligitur. In ſingulas libras gummis, ternæ fuliginis vnciȩ adiiciuntur. Fit etiã è reſinarũ & pictoria fuligine, de qua paulò ante diximus. Aſſumitur autem fuliginis mina, gũmis ſeſquilibra, glutinis taurini, atramẽti ſutorij, ſingulorum ſeſcuncia. Additur conuenienter erodentibus medicamentis: Ambuſtis, ex aqua commodè craſsius illinitur, ſed nõ antè ſoluatur, quàm cicatricem induxerit: ſanatis ſiquidem vlceribus, ſua ſponte decidit. Cæterùm habes, amiciſsimè Areë, ferè qua tradenda duximus pro operis modo, quem deſtinaueramus, & materiæ auxiliorúmque medicinalium copia.

QVINTI LIBRI FINIS.

PEDANII DIOSCORIDIS

Anazarbei de venenis, quóque modo arceantur, vitentúrque, Liber Sextus.

SVPERIORIBUS amiciſſime Arëe libris, tradidimꝰ de aromatibꝰ oleis, vnguentis, arboribus, & earũdem fructibus, lachrymíſque: item animalibus, melle, lacte, ſeuo, frumentis, oleribus, herbis, radicibus, liquamentis, vinis, metallíſque. In hoc verò totius operis vltimo, facultates medicamentorum recenſebimus, quæ prodeſſe nobis, aut officere poſsint. Vitata igitur orationis prolixitate, opus inſtitutum proſequamur. Huiuſcemodi autem tractatus, cum bifariam diſtributus ſit: in partem venena præcauentem, ita vt ne fallant ſumentes, aut ſi quando per imprudentiam dentur, vt tum quoque innoxia fiant, irritáque: & in rationem iis ſuccurrendi, qui iam noxiam ſentiunt: primum diſſeram de præcauendi modo, quem

ΠΕΔΑΚΙΟΥ ΔΙΟΣΚΟΡΙΔΟΥ

Ἀναζαρβέως περὶ δηλητηρίων φαρμάκων καὶ τῆς αὐτῶν προφυλακῆς βιβλίον ἕκτον.

ἈΠΟΔΟΝΤΕΣ ἐν τοῖς προγραφεῖσι βιβλίοις φίλτατε Ἄρειε, τὸν περὶ ἀρωμάτων καὶ ἐλαίων καὶ μύρων καὶ δένδρων καὶ τῶν ἐξ αὐτῶν καρπῶν καὶ δακρύων, ἔτι τε ζώων καὶ μέλιτος, καὶ γάλακτος καὶ στέατος, καὶ τῶν λεγομένων σιτηρῶν καὶ λαχάνων, ἔτι τε τὸν σύμπαντα περὶ ῥιζῶν καὶ βοτανῶν καὶ χυλισμάτων, καὶ οἴνων καὶ μεταλλικῶν λόγον. ἐν τούτῳ τελευταίῳ ὑπάρχοντι τῆς ὅλης πραγματείας καταλεξόμεθα, περὶ τῆς τῶν ὠφελεῖν ἡμᾶς ἢ βλάπτειν δυναμένων φαρμάκων ἐνεργείας. Παραιτησάμενοι οὖν τὴν πολυλογίαν, ἐπάνιμεν ἐπὶ τὸ προκείμενον. μεριζομένου δὲ τοῦ τοιούτου διχῆ· εἴς τε προφυλακὴν τοῦ μὴ δὲ τὴν ἀρχὴν* λαμβάνειν, ἢ εἰ καί ποτε λάθοι διδόμενα, ἀνενέργητα γίνεσθαι· καὶ εἰς τὸ βοηθηματικὸν τῶν πεπτωκότων. Πρῶτον δίειμι περὶ τοῦ προφυλακτικοῦ τρόπου,

δυσχερὴς

δυσχερῶς ὄντος ὡς οἱ ἀρχαῖοι ὑπέλαβον, διὰ τὸ τοὺς λάθρα διδόντας οὕτω μηχανᾶσθαι, ὡς καὶ τοὺς ἐμπειροτάτους ἐξαπατᾷν· τὰς μὲν γὰρ πικρίας ἐξαιροῦνται τῶν φθαρτικῶν φαρμάκων ταῖς μεμιγμέναις γλυκύτησι, τὰς δὲ δυσωδίας ταῖς τῶν ἀρωμάτων καταμίξεσιν ἢ ταῖς τῶν ὑλῶν ἐπ᾽ ὠφελείᾳ δοκουσῶν προσφέρεσθαι. μάλιστα δ᾽ ἐν ταῖς ἀσθενείαις ὡς ἀψινθίῳ ἢ τραγοριγάνῳ ἢ ὑσσώπῳ, ἢ θύμβρᾳ, θύμῳ τε καὶ ὀριγάνῳ ἢ ἀβροτόνῳ, ἢ ἴριδι ἢ καστορίῳ, καὶ εἴ τι δοκεῖ κατάλληλον τοῖς καταργουμένοις φαρμάκοις ἔχειν ποιότητα. ἐπὶ δὲ τῶν πινομένων ἐν οἴνοις σκληροῖς ἢ ζωμοῖς, ἢ ἐν γλυκεῖ, ἢ ἐν μελικράτῳ, ἢ ἐν γλεύκει, ἢ ἐν χυλοῖς, ἢ φακῷ, ἢ ἐν ἀλφίτοις· ἢ ἐν φαρμάκοις ἢ ἐν ἄλλοις τισὶ τῶν προσφερομένων συσσιτοποιοῦντες. ὅθεν τὸν ὑποπτεύοντα δεῖ παραιτεῖσθαι τὰ κατηρτισμένα τῶν ἐδεσμάτων, καὶ πᾶσαν ἐπιτεταμένην ποιότητα γεύσεων, ὅσαι εἰσὶ διὰ τῶν γλυκέων ἢ ἁλυκῶν ἢ ὀξέων διαφυλάττεσθαι καὶ τοὺς δεδιψηκότας ἢ πεινῶντας δι᾽ ἐπιτάσεως, μὴ ἀθρόως πίνειν ἢ ἐσθίειν προσέχοντας τῇ ποιότητι τούτων, μάλιστα δὲ ψυχρὸν ὕδωρ προλαμβάνειν πίνοντας. ἀπο-

quem eſſe difficillimum plerique maiorũ arbitrantur, quod dantes clàm venena, ita inſidias temperant, vt peritiſsimum quenque decipiant. Siquidem venena ſua amaritudine, permiſtis dulcibus, ſpoliant, & graue odoris virus miſtura odoramentorũ eximunt: aut medicamenta immiſcent, quæ tuendæ ſanitatis gratia dari putantur: & præſertim in valetudine, vt abſinthium, tragoriganum, ſatureiam, aut hyſſopum, quinetiam thymum, irim, origanum, abrotonum, caſtorium, aut ſi quid medicamentis purgatoriis cognatam habere qualitatem videatur. Aut potionibus inſerunt: vt vinis aſperis, iuribus, paſſo, mulſæ aquæ, muſto, ſuccis, vt in cremore lentis, polentis: aut medicaminibus, aut aliis quæ aſſumuntur edulij ſpeciem referentibus. Quare qui in ea ſuſpicione ſunt, cõditos cibos vitare debent, omniq; intenſo ſapore dulcium, aut ſalſorum, aut acidorum, abſtinere: nec ſitibũdi affatim bibere, aut eſurientes voraciter comeſſe, ſemperq; ad ſaporẽ horum diligẽter attendere, præſertimq; potu frigidam aquam preſumere. Satiato

Satiato enim appetitu, qualitates ægerrimè poſtea concoquuntur. In ægris quidem facile cauemus potiones auxilij prætextu dari ſolitas, quas offerunt improbi veneficiorum: artifices: itaque ob id laborantes morbo non perinde audentium iniuriis patent. Et hæc quidem ne facile incauti ſeductíque homines capiantur dolis veneficorum, ratio eſt, & facultas. Sed alia supereſt expeditior, vt ſuſpicioſi aliqua præſumant, quæ venenorum vires hebetent, & inefficaces irritáſque reddant: cuiuſmodi caricæ ſunt cum iuglandium nucibus manducatæ, & quæ cedromela vocant, id eſt citria, ſeminíſque napi drachma cum vino. Item folia calaminthæ, aut creta quæ Lemnia ſphragis appellatur, pondere pari cum vino: aut rutæ folia & nucis iuglãdis nucleum: aut caricas duas, & ſalis callũ ieiuni ſumant, & nullo veneni genere lædentur. Antidota ex vino ſumpta eũdem effectum præbent: inter quæ intelligitur magnũ Mithridatium, & quod ſcinco, & quod ſanguine temperatur. Quin & ſæpe venenis obſiſtunt peculiares quidã corpo

ἀποπληρωθείσης γὰρ τῆς ὀρέξεως, ἀπεπτότατοι γίνονται τὸ λοιπὸν αἱ ποιότητες· καὶ ἐπὶ μὲν τῶν ἀσθενούντων, καλῶς παραιτούμεθα τὰς * παρὰ τῶν ἐπ' ὠφελείᾳ διδομένας φαρμάκων πόσεις, ἃς εἰσφέρουσιν οἱ κακουργοῦντες τὰ δηλητήρια· ὥστε διὰ τοῦτο δυσεπιχειρήτους γίνεσθαι τοὺς νοσοῦντας. καὶ ἡ μὲν πρὸς τὸ μὴ εὐχερῶς ἁλίσκεσθαι πλανωμένοις ἔφοδος, αὕτη. ἑτέρα δὲ ἥ τις ἐστὶν ἀνυτικωτέρα, δεῖ τοὺς ὑποπτεύοντάς τι πιοῦτον, προλαμβάνειν τι, καὶ ἀδύνατα κατασκευάζειν τὰ φάρμακα· ὡς τάς τε ἰσχάδας μασσωμένοις μετὰ βασιλικῶν καρύων, καὶ τὰ καλούμενα δὲ κεδρόμηλα, βουνιάδος τε σπέρματος ὁλκὴν μετ' οἴνου, ἢ καλαμίνθης τῶν φύλλων ὁμοίως, ἢ μίλτου τῆς καλουμένης λημνίας σφραγῖδος, τὸ αὐτὸ πλῆθος σὺν οἴνῳ· ἢ πηγάνου φύλλα καὶ καρύων βασιλικῶν τὸ ἐντός, ἢ ἁλῶν χόνδρον καὶ ἰσχάδας δύο νήστεις προσφερέσθωσαν, καὶ ὑπ' οὐδενὸς ὁποίου βλαβήσονται φαρμάκου. καὶ ἀντίδοτοι δὲ προσλαμβανόμεναι μετ' οἴνου τὸ αὐτὸ ποιοῦσιν· ὧν ἐστὶν ἡ διὰ τοῦ σκίγκου, καὶ ἡ διὰ τῶν αἱμάτων, καὶ ἡ καλουμένη μεγάλη μιθριδάτειος. ἀντιπάσχουσι δὲ πολλάκις καὶ ἰδιοσυγκρίσεις σωμά-

σωμάτων αἱ πρὸς διαθέσεις. διά τινας βρωμάτων ἢ πομάτων ποιότητας, ἢ πλῆθος οἴνου· ἐκλύουσι γὰρ τὰς ἐνεργείας τῶν ἐπισαγομένων φαρμάκων, καὶ τὴν ἀνάδοσιν αὐτῶν κωλύουσι προπεπληρωμένων τῶν πόρων ὑπὸ τῆς προληφθείσης τροφῆς. Ἐπειδὴ δὲ καὶ περιστάσεις τινὲς ἐν ἀποδημίᾳ δίχα ἐπιβουλῆς πολλάκις ἐπιφέρουσιν ὁμοίοις κινδύνοις, ἀναγκαῖον ὑπολαμβάνω καὶ περὶ τούτου διαλαβεῖν. δεήσει γὰρ πρῶτον μὲν ἐν ὑπαίθροις τόποις, ὡς δυνατὸν ἕψειν, καὶ ἑτοιμάζειν τὰ πρὸς βρῶσιν καὶ πόσιν. δεύτερον δ' ἐν ὑποστέγῳ* ἐπιμελῶς καταμανθάνειν τὰς ὀροφάς. πολλάκις γὰρ ἐκ τῶν ὑπερκειμένων πίπτει ζωύφια φθοροποιά, ὥσπερ φαλάγγια. καὶ ἄλλα τινὰ ἑρπετά. καὶ ὁ καλούμενος ἀσκαλαβώτης. καὶ τοῖς παραχέουσι δὲ τὸν οἶνον ἀγγείοις ἐναργῶς καὶ ἐπιμελῶς προσέχειν δεῖ. ἕλκεται γὰρ ὑπὸ τῆς ὀσμῆς τοῦ οἴνου τὰ ἑρπετά, ἅ τινα πολλάκις πιόντα μὲν τὸν ἰὸν ἀπήμεσαν, ἐμπεσόντα δὲ ἀπέθανον, καὶ ἀπωλείας ἐγένοντο αἴτια τοῖς προσενεγκαμένοις. Περὶ μὲν τὸ ἀνεπιβούλευτον εἶναι, καὶ προφυλάσσεσθαι, ταῦτα εἰρήσθω. εἰ δέ τινες ἑκουσίᾳ γνώμῃ προσενέγκοιντο, ἢ καὶ ἐξ ἐπιβουλῆς τι-

νων

corporũ affectus certo quodã modo cõſtitutorũ cũ quadã cibi potúſq; qualitate, tũ vini copia ita téperatorũ, vt cũ venenis diſſentiãt: ſiquidẽ ingeſti veneni vires frangũt, atq; iã priore alimento farctis præcluſiſq; meatibus, obſtãt ne membratim per digeſtionem inſinuetur. Verumenimuerò, quoniã fortunæ neceſsitas interdũ ſimilia diſcrimina peregrè agentibus affert, abſque vllis inſidiis hominũ, nõnihil differendum mihi de hac re neceſſariũ duco. Iam primũ igitur culinã apparare loco ſubdiali cõuenit, cibóſq; & potus in huiuſmodi loco ſtruere. Si id fieri cómodè nequit, ſecunda erit cõditio hæc, apparãdi apponédiq; ſub tecto. Sed tũ diligéter laquearia animaduertéda: frequenter enim à ſuperioribus cõtabulamẽtis animalia decidũt, exigua quidẽ, ſed quę nõ modicã perniciem moliantur, vt phalãgia, ſtelliones, & alia quædã reptilia. Porrò vinaria vaſa diligéter intuerit oportet: nanq; reptilia odore vini illiciuntur, quæ interdũ ſorbendo, noxiũ virus eructarũt, interdũ verò delapſa immerſaq; expirarũt, & exitij cauſas hauriẽtibus attulerunt.

Sed

Sed hęc hactenus dicta ſint, ne cauti & ꝓuidi īſidiis pateāt. Φ ſi q ſua ſpōte, aut ex quorundā īſidiis ſūpſerūt, auxiliari primo quoq; tpe oportebit: ſiqdē dū comites ſingulorū venenorū notę expectāt, īmedicabile fit venenū, & pauliſper neglectū, medicamētis ęgrè cedit. Quare ſi q ꝓ cōperto ſe virus ſūpſiſſe intelligāt, & fateāt, aut eorū q aderāt teſtimonio cōſtet, protinus ad idonea remedia trāſeūtes, facilè peculari natiueq; cōſtitutiōi reſtituemꝰ. Neq; enim iis aſſentimur, q prorſus auxilia ī huiuſcemodi fruſtrà adhiberi cōtēdūt. Quo.n.modo morbi, quorū cauſę cęcę latētéſq; coribꝰ inſidēt, medicinā admittūt, & q forinſecꝰ incurrūt venena, medēdi rationē aſpernātur? Æquè verò oēs morbi pro cauſarū īgruētiū magnitudine, próq; antecedētibꝰ affectiōibꝰ qualitibúſq;, qbꝰſit opportunū corpꝰ, vel medicabiles ſunt, vel nullis cedūt medicamētis. Φ ſi q forſan obmuteſcētes, aut temulēti, aut nolētes alioq venenū à ſe egeri, nullā nobis eiꝰ cognitionē prębeāt, tū ꝓtinꝰ accedēdū ad ea q cūmuniter epotis qbuſcūq; venenis opitulari cōſueuerūt. Atqui nullū magis in omnia

γων λάβοιεν, δεήσει μηδὲν ἀναβαλλομένοις βοηθεῖν· εἰς γὰρ τὸ περιμένειν τὰ παρακολουθοῦντα σημεῖα ἑκάστου τῶν φαρμάκων ἀνίατόν ἐστι, δυσβοηθήτων αὐτῶν διὰ τὸν χρόνον γινομένων. ἐὰν μὲν οὖν οἱ προσενεγκάμενοι νοήσαντες ὁμολογήσωσι τὸ ποθὲν φάρμακον, ἢ τινες τῶν συμπαρόντων, παραχρῆμα ἐλθόντες ἐπὶ τὰ κατάλληλα βοηθήματα, ῥαδίως εἰς τὸ κατὰ φύσιν καὶ οἰκεῖον ἄξομεν αὐτοὺς κατάστημα. οὐ συγκατατιθέμεθα τοῖς λέγουσιν ἐπ᾽ αὐτῶν κατὰ πᾶν ἀθεράπευτα γίνεσθαι. πῶς γὰρ τὰ μὲν ἐπὶ τῶν ἐν τῷ σώματι γινομένων αἰτίων πάθη, θεραπείαν ἐπιδέχεται, τὰ δὲ ὑπὸ τῶν ἔξωθεν συμπίπτοντα φαρμάκων ἀθεράπευτα τυγχάνει; ὁμοίως γὰρ πάντα τὰ περὶ τὰ σώματα γινόμενα νοσήματα, θεραπευτά τε καὶ ἀθεράπευτα, κατὰ τὰ μεγέθη τῶν προσπιπτόντων αἰτίων, καὶ τὰς προδιαθέσεις καὶ ἐπιτηδειότητας τῶν σωμάτων. εἰ δέ τινες αὐτῶν καταληφθέντες ἀφωνίαις ἢ παροινίαις, ἢ ἄλλῳ διὰ τὸ μὴ βούλεσθαι ἐξάγειν αὐτὸ ἀσυμφανὲς ἡμῖν ποιοῦσι τὸ φάρμακον, τό τε δεῖ ταχέως ἔρχεσθαι ἐπὶ τὰ κοινῶς ἁρμόττοντα τοῖς οἱονδήποτε φάρμακον πεπωκόσιν. οὐδὲν δὲ δύναται κοινότερον βοήθημα δίδοσθαι, τοῦ τὸ δοθὲν φάρμακον περι

περὶ τοῦ ἐκχύσαι, διὰ τοῦ ἔγγιστα τόπου κενοῦν εἰς τὸ ἐκτός. ὅθεν μηδὲν ἀναβαλλομένους προσφέρειν δεῖ ἔλαιον θερμὸν, ἢ καθ' ἰδίαν ἢ μεθ' ὕδατος ἐμεῖν ἀναγκάζοντας. εἰ δὲ μὴ παρείη ἔλαιον τῶν τόπων μὴ φερόντων, βούτυρον ἀντὶ ἐλαίου μεθ' ὕδατος θερμοῦ ἢ μαλάχης, ἢ λινοσπέρμου ἢ τράγου, ἢ τήλεως, ἢ κνίδης σπέρματος, ἢ χόνδρου ἀφεψήματος. οὐ μόνον γὰρ κενώσει ταῦτα διὰ τῶν ἐμέτων συνεχῶς χαλασμὸν καὶ ναυτίαν ἐμποιοῦντα, ἀλλὰ καὶ ὑπάξει τὴν κοιλίαν, καὶ ἐναντιωθήσεται τῇ κενώσει τῶν σωμάτων, ἀμβλυντικὰ τῶν δριμυτήτων καθεστῶτα. ἔστι δὲ ἐναργῶς καταλαβέσθαι τοῦτο· εἰ γάρ τις ἑλκῶσαι προαιρούμενος δι' ἀσβέστου, ἢ τρυγὸς ἢ κανθαρίδος ἤ τινος ἄλλου δριμέος τὸ σῶμα, ὑποχρίσει ἐλαίῳ, οὐχ ἑλκωθήσεται ὑπὸ τούτου. καὶ μὴν οὐδ' εἴ τις σφίγξαι θελήσει ἰσχυρῶς ἢ ψύξαι, δύναται προλιπαίνων. ἔστι μὴν ἔμετος οὐ μόνον καθ' ὃ κενοῖ καὶ ἀποκρίνει τὸ βλάπτον ὠφελεῖ, ἀλλ' ὅτι καὶ δείκνυσι τὸ ληφθὲν ἐνίοτε, ἔκ τε ὀσμῆς ἢ θρόμβων ἢ χρώματός τινος· ἐκ μὲν γὰρ τῆς ὀσμῆς, καὶ πικρίας, μηκώνειον· ἐκ δὲ χρόας ψιμμύθιον ἢ γύψον· ἀπὸ δὲ θρόμβων, γάλα ἢ τὸ νεοσφαγὲς αἷμα ἀπὸ

in omnia valés auxiliũ dari poteſt,q̃ vt proximo loco virꝰ foras exhauriatur,priusq̃ inualeſcat. Quare ſine mora, calidũ oleũ ex aqua,aut ſeorſũ,vt vomitare cogãtur,dari conuenit. Aut ſi oleũ natura loci negat, butyrum cum aqua calida,aut malua,aut lini ſemine, aut trago,vrtica,fœnogręco,aut halicę decocto,vicẽ eiꝰ exhibebit. Hęc.n. nõ modò vomitionibꝰ exigent vi illa ſua laxatrice,aut nauſeã ciẽte, ſed aluum quoq; ſubdũcẽt,& corporũ inanitione ita aduerſabũtur,vt acrimonias venenorũ hebetent.Id q̃d euidẽter huiuſcemodi argumẽto deprehendere licet: Eſto,vt quisq̃ viua calce vel fæce, aut cãtharidibꝰ,aut alio quouis acri,corpꝰ exulcerare ſtatuerit, is ſi ipſũ oleo leniter illinat,exulceratioñe nõ accipiet. Atqui neq; vehemẽter adſtrigi corpꝰ, neq; refrigerari poterit, ſi antea perungat. Quinetiã vomitꝰ non ob id modò q̃d vacuet,& noxiũ humorẽ excernet,iuuamẽtũ adfert,ſed ꝙ aſſũptũ virꝰ nõnunq̃ odore,coagulatis grumis aut colore, ꝓdat: q̃ppe cũ odore & amaritudine, meconiũ: colore,ceruſã, gypſũmve: grumis lac aut ſanguinem animalis

malis recens iugulati oſtēdat. Nam grauis odor regeſtorum, leporis marini, aut rubetæ veneficia deprehendit, ita vt nōnulla ab iis remedia peti poſſint, ad idonea ſingulorum auxilia trāſeuntibus. Oleo etiam maluæ decoctum admiſcetur, aut glauciū, aut adeps anſerinus, aut pinguium carnium iura, aut lixiuium lignorū cinere factum. Vbi verò vomitus diligēter citatus fuerit, ne quid in ventre coierit, quæ hæſerunt inteſtinis reliquiæ, clyſtere acri deuocentur. Facit & nitrum tritum cum hydromelite ſumptum & vina vetera liberalius epota, gallinacea iura, præpingnes piſces, vetuſtæ carnes pinguéſque, & quę adipe aut recenti butyro parantur. Aluum nanque ſubducūt, vti diximus: & ſtomachum reſoluētia, proniorem ipſum ad vomitionem reddunt: & venenorum acrimonias hebetant, atque meatus obſtruentia, celerem virium penetrationē inhibent. Quinetiā medicamenta dantur, quæ communi dote proſunt: vt Lemnia terra, agaricum, abrotonum, irio, radix eryngij, ſemen paſtinacæ, & calaminthæ, nardum gallicum, caſto-

ἀπὸ δὲ βρώμου καὶ ποιότητος τοῦ ἐμουμένου καὶ ὀσμῆς, λαγωὸν θαλάττιον καὶ φρῦνον, ὡς διὰ τοῦτο ἢ δι᾽ ἕτερον ἔνια δύνασθαι βοηθεῖν, ἐρχομένοις ἐπὶ τὰ ἑκάστῳ ἁρμόζοντα βοηθήματα. παραμίγνυται δὲ τῷ ἐλαίῳ μαλάχης ἀφέψημα, ἢ γλαύκιον, ἢ στέαρ χήνειον, ἢ ζωμὸς ἐκ λιπαρῶν κρεῶν γεγονὼς, ἢ κονία ἡ διὰ τῶν ξύλων. κομισαμένοις δὲ διὰ τῶν ἐμέτων ἐπιμελῶς, διὰ τὸ μηδὲν ὑπολείπεσθαι ἐν τῇ κοιλίᾳ, τὸ ἐμμεῖναν ἐν τοῖς ἐντέροις κλύσματι δριμεῖ κομιούμεθα. ποιεῖ δὲ καὶ τὸ νίτρον λεῖον σὺν ὑδρομέλιτι παραλαμβανόμενον, καὶ οἶνοι πολλοὶ καὶ παλαιοὶ πινόμενοι, καὶ ζωμοὶ ὀρνίθειοι, ἰχθύες λιπαροὶ, καὶ κρέα παλαιὰ καὶ λιπαρὰ, καὶ τὰ διὰ στέατος ἢ βουτύρου προσφάτου. ὑπάγοντα γὰρ τὴν κοιλίαν ὥσπερ εἶπον καὶ τὸν στόμαχον ἀναλύοντα, ἑτοιμότερον κατασκευάζει τὸν στόμαχον πρὸς τὸν ἔμετον· ἀμβλύνει τὲ τὴν δριμύτητα αὐτῶν, καὶ παρεμπλασσόμενα τοῖς πόροις κωλύει τὴν ὀξύτητα τῆς τῶν φαρμάκων δυνάμεως. δίδονται δὲ καὶ ἁρμόζοντα φάρμακα κοινῶς· ὧν ἐστι ἡ λημνία μίλτος, ἀγαρικὸν, ἀβρότονον, ἐρύσιμον, ἠρυγγίου ῥίζα, σταφυλίνου σπέρμα καὶ καλαμίνθης, νάρδος κελτικὴ, καστό-

καστόρειον, νάρθηκος χλωροῦ ἐντεριώνη, υνείου τοῦ καλουμένου ῥοδοδένδρου ἄνθος, πρασίου χυλὸς. σίλφιον, ἢ ὁ ὀπὸς αὐτοῦ, σαγάπηνον, ὀποπάναξ, πευκεδάνου ὀπὸς, καὶ ἡ ῥίζα * ἣν καὶ μαγύδαριν ἐκάλεσαν, ἀριστολοχία μακρὰ, πηγάνου ἀγρίου σπέρμα, κέστρου τῆς βεττονίκης καλουμένης τὰ φύλλα· δίδοται δὲ ἕκαστον σὺν οἴνῳ < ά πλῆθος. ποιεῖ καὶ πολίου ἀφέψημα * καὶ σέσελι καὶ πίσσα ὑγρὰ λεία ἐκλειχομένη. γενναιότατα δὲ βοηθοῦσι καὶ ἀντίδοτοι, ὧν τὰς σκευασίας ἐπὶ τέλει ἀναγράψομεν. κοινῶς δὲ βοηθητέον τούτοις τὸν τρόπον τοῦτον· δυνατὸν δὲ καὶ ἐκ τῶν παρακολουθούντων συμπτωμάτων, κοινὰ καὶ τὰ βοηθήματα συμπαραλαμβάνεσθαι. σχεδὸν γὰρ αἱ τῶν πλείστων φαρμάκων δυνάμεις, εἰς ὁμοιοτρόπους περιάγουσι τὸ σῶμα διαθέσεις. δι' ἣν αἰτίαν ἐπὶ τῶν πλείστων τὰ κοινὰ βοηθήματα ἀνύει· ποικίλα μὲν γὰρ τὰ δηλητήρια φάρμακα, κοιναὶ δὲ καὶ οὐ πολλαί αἱ ἐξ αὐτῶν γινόμεναι διαθέσεις. ἀδύνατον γὰρ πάντα τὰ συμπτώματα ἑνὶ παρακολουθῆσαι. εἰ γὰρ ἦν τοῦτο, παρεῖλκεν ἂν ἡ καθ' ἕκαστον φάρμακον διὰ τῶν βοηθημάτων παράδοσις. τό,τε γὰρ λέγειν στόμαχόν τι λίαν καὶ ἔντερα ἧπάρ τε

καὶ

caſtoriũ,ferulę virentis medulla,flos rhododẽdri, ſuccus marrubij, laſer aut laſerpitium, ſagapenũ,peucedani ſuccus,aut panacis,& radix quam magudarim appellarũt, ariſtolochia longa, ſylueſtris rutæ ſemẽ, & betonicæ, quã ceſtron nominãt,folia: ſingula cũ vino drachmę pondo ſumi debẽt.Effectum præbet polij decoctũ,& ſeſeli,& liquida pix lincta. Magnificè ferũt opẽ antidota,quę in calce operis ſcripta reliquimus.Cõmunis ratio præſtandi auxilij ita ſe habet. Cæterũ ab iis quæ conſueuerunt euenire, cõmunia remedia ſumptitari poſsunt.Ferè enim vires venenorũ quamplurimorũ,in affectus conſimiles corpus tandẽ redigũt. Quam ob cauſam pleriſq; cõmunia conducũt auxilia: varia etenim ſunt venenorũ genera,cõmunes tamẽ nec multi iidẽ affectꝰ oriũtur.Neq; fieri poteſt,vt oẽs cõcurrẽtéſq; caſus quæ ſymptomata vocãt, vnũ venenum ſequãtur. Alioquin ſuperuacanea fuiſſet venenorũ ſingulorũ traditio cũ ſuis remediis ab authoribꝰ deſcripta, Neq; verò in vno eodẽq; promptũ eſt inuenire, vt quis ſtomachi,alui,inteſtinorũ,

iecoris

iecoris,renũ, & veſicæ dolore vehemẽter crucietur,vt ſingultiat,erodatur,contremiſcat,refrigeretur,obmuteſcat,cõuellatur,pulſus elangueſcat, ſpiritus difficilis fiat, veterno prematur,vertigo obuerſetur,caligẽt ſenſus, ſtrãguletur,ſitiat,ſãguis erũpat,febre cõflictetur, ægrè lotium reddat, torminibus vexetur, crebrò vomitet, nauſea prematur, rubeſcat, liuore ſugilletur,palleſcat,deſipiat,ſtertat,virib⁹ deficiatur, & pleraq; alia faciat,patiatúrque: ſingula enim in generales affect⁹ deducta,pauca numero,& communia ea demõſtrãt,quæ euenire cõſueuerũt. Quare in ſingulis quę ſuprà dixim⁹ nõ facile fuerit deuoratũ virus cognoſcere. Nam oris & linguæ eroſio,ſtomachi,vẽtris, veſicæ ac renum inflãmatio,vehemẽs vrinę difficultas, & interdũ cruoris cũ eo exitus lãcinatio,& in pluribus partibus quidã aduſtionis ſenſus,nõ in cãtharidibus modò potis reperiũtur,ſed in erucis quoq; pinorum, & bupreſte, & ſalamandra. Porrò non modo eos qui meconium hauſerũt, veterno aut ſopore premi,ſtertere, liuore ſugillari,torpere, refrigerari, ſtupeſcere,

καὶ νεφροὺς καὶ κύστιν, ἔτι δὲ λύζειν καὶ δάκνεσθαι καὶ τρέμειν, ἀφώνους τε εἶναι καὶ περιψύχεσθαι, σπᾶσθαί τε καὶ ἀσφυκτεῖν καὶ δυσπνοεῖν, καὶ καταφέρεσθαι καὶ σκοτοῦσθαι καὶ πνίγεσθαι καὶ διψᾶν καὶ αἱμοῤῥαγεῖν, πυρέσσειν τε καὶ δυσουρεῖν, καὶ στροφοῦσθαι, καὶ ἐμεῖν πυκνὰ ἢ ναυτιᾶν, ἐρυθραίνεσθαί τε καὶ πελιδνοῦσθαι καὶ ὠχριᾶν, παραφρονεῖν τε καὶ ῥέγχειν καὶ παρίεσθαι, καὶ ἄλλα πολλὰ ποιεῖν καὶ διάφορα πάσχειν· ἑνὶ μόνῳ δύσκολον εὑρεῖν παρεπόμενον, ἕκαστον μερισθὲν εἰς καθολικὰς διαθέσεις ὀλίγων ἀριθμὸν καὶ κοινῶν ὑποδεῖξαι συμπτωμάτων. διὸ καὶ ἐφ᾽ ἑνὸς ἑκάστου τῶν προειρημένων οὐκ εὔκολον τὸ εἰλημμένον φάρμακον γινώσκεσθαι. τὸ γὰρ δάκνεσθαι τὸ στόμα καὶ γλῶτταν, καὶ φλεγμαίνειν στόμαχον καὶ κοιλίαν τε καὶ νεφροὺς καὶ κύστιν, δυσουρεῖν τε ἰσχυρῶς, ἐνίοτε δὲ καὶ αἷμα δι᾽ οὔρων πορεύεσθαι, καὶ λακιδοῦσθαι, διαπεπρῆσθαί τε πολλὰ μέρη τοῦ σώματος, οὐ μόνον ἐπὶ κανθαρίδων εὑρίσκεται παρακολουθοῦντα, ἀλλὰ καὶ ἐπὶ πιτυοκάμπης καὶ βουπρήστεως καὶ σαλαμάνδρας. τό, τε καταφέρεσθαι ἢ καρηβαρεῖσθαι ἢ ῥέγχειν, πελιοῦσθαί τε καὶ νωθριᾶν καὶ καταψύχεσθαι καὶ ναρκᾶν, αἰσθάνεσθαί τε

καὶ ὀδαξεῖσθαι τὸ ὅλον σῶμα, οὐ μόνον τοῖς τὸ μηκώνειον πεπωκόσι παρέπεται, ἀλλὰ καὶ τοῖς μανδραγόραν ἢ κώνειον προσενηνεγμένοις. τό, τε παραφρονεῖν, οὐ μόνον ὑοσκύαμος ἐπιφέρει, ἀλλὰ καὶ τὰ τοξικὰ καλούμενα τῶν φαρμάκων· καὶ ἀκόνιτον δέ, καὶ τὸ μέλι τὸ γινόμενον ἐν ἡρακλείᾳ τῇ ποντικῇ. καὶ τὸ πνίγεσθαι δὲ οὐ μόνον ἐπὶ μυκήτων ὁρᾶται, ἀλλὰ καὶ ἐπὶ αἵματος ταυρείου, καὶ γάλακτος καὶ ἀκονίτου καὶ γύψου καὶ ψιμυθίου. καὶ καθόλου δύσκολον ἐὰν θέλῃς εὑρεῖν σημεῖον δυνάμενόν τι τῶν πινομένων καὶ γινομένων φαρμάκων δηλῶσαι· καὶ μάλισθ' ὅτι κοινὰ καὶ τοῖς ἄλλοις ἐπιγινομένοις πάθεσι παρακολουθεῖ ταῦτα. πλὴν ἐπὶ μὲν τῶν ὀξέως ἀναιρούντων, ἔστι που καὶ σημειώσασθαι τὸ βλεπόμενον ὡς παραδώσομεν. ἐπὶ δὲ τῶν χρονίας διαθέσεις παρασκευαζόντων, δύσκολον οὐδὲν πρὸς τὴν θεραπείαν τοῦ περὶ τὴν σημείωσιν δυσχερεῖς βλάπτοντος, ἐκψυγέντα γὰρ τὴν ὀξύτητα τῆς ἐνεργείας τὰ φάρμακα, καὶ μεταληφθέντα εἰς χρονίους, κοινῶς λαμβάνει τοῖς λοιποῖς πάθεσι τὰς κατασκευάς, καὶ τὰς βοηθείας, τῆς ἰδιότητος τῶν πινομένων φαρμάκων μηκέτ' ἐνούσης.

toto corpore pruritum ſentire, ſenſu priuari cõſtat, ſed eos etiam qui mandragorã aut cicutam deuorarũt. Deliriũ non hyoſciamus tantum infert, verumetiã quæ toxica appellantur: itidem aconitum, & mel quod in Heraclea Pontica gignitur. Stangulatio non minus in fungis, quàm in ſanguine taurino, lacte, aconito, ceruſa, gypſo conſpicitur. In ſumma, difficile vnũ vni veneno proprium inuenire ſignum, quod hauſtum, guſtatumque virus prodere poſsit: maximè quod hæc cæterorum etiam vitiorum, quæ in corpore exoriuntur, communia ſequi ſolent. Cæterum in his quæ celeriter enecant, noxam ſignis forſitan indicare poſsis, ſi ad ea reſpexeris quæ ſumus dicturi. Sed in iis qui ad longas ægritudines ſpectant, nihil ad medendi rationem difficile, dũtaxat quod pertineat ad indicia noxæ, vtpote cum venena ſtatim atque præſentaneam vim illam perdiderunt, tranſmutata in longos affectus, cõmunia reliquorum vitiorum remedia, compoſitionéſque flagitent, cum venefica proprietas non amplius inſit.

Si verò longa ſit affectio, in aliquod diuturnorũ morborum genus recidet, à quibus facilè fuerit medẽdi rationẽ aſſumere. Sed de iis quæ generaliter auxiliantur, hactenus. Conſequenter quæ priuatim ſingulis proſunt, ſcriptis mãdabimus, ſi prius ſigillatim expoſuerimus, quæ ex ſingulis ordinibus exitialem aut maleficam vim ſortiũtur, vt medicinæ ſtudioſi ea cautè obſeruẽt, quę ad rationẽ ſalutis ſcripta inueniũtur: ꝙ nonnulla eorũ quibus vtũtur, venenis ſint commiſta. Incuria enim magnas adfert noxas, & ſæpe cõtinuo vſu eorũ, homo in perniciẽ agitur. Proinde animalia quæ exitioſã vim habẽt, hęc ſũt: cãtharides, bupreſtis, ſalamãdra, pinorũ erucæ, lepꝰ marinus, rubeta, & rana paluſtris muta, deuoratæ hirudines. Semina ſũt: hyoſcyamꝰ, coriãdrũ cicuta, gith, pſylliũ. liquamẽta: meconiũ, opocarpaſõ, thapſiæ ſuccus, elateriũ, mandragoras. Radices, quas mittit chamæleo, aconitũ, thapſia, veratrũ, ixia, agaricũ nigrum, ephemerum, quod aliqui Colchicum vocant, quod in Colchide naſcitur. Herbæ oleráque: ſmilax, quã aliqui tithymalũ appellãt, Roma-

διαθέσεως δὲ χρονίου κατεσκευασμένης ὑπ᾽ αὐτῶν ἡ διάθεσις πάντων εἰς ἕν τι γένος τῶν χρονίων ἐμπίπτει παθῶν, ἐφ᾽ ὧν εὐχερές ἐστι καὶ τὴν θεραπείαν ἀναλαμβάνειν. καὶ τὰ μὲν κοινῶς βοηθοῦντα ταῦτ᾽ ἐστίν. οἷς ἀκολούθως ἀναγράψομεν καὶ τὰ ἴδια ἑκάστοις ἁρμόζοντα προεκθέμενοι ὑφ᾽ ἓν ὅσα φθαρτικὴν ἢ κακωτικὴν ἔχει δύναμιν ἑκάστης τάξεως, καὶ ἵνα πεφυλαγμένως εἴ τινα τῶν πρὸς ὑγείαν ἀναγεγραμμένων φαρμάκων ἔχοιέν τινα τούτων μεμιγμένα φάρμακα οἱ φιλιατροῦντες οἷς χρῶνται. τὸ γὰρ ἀπερίσκεπτον μεγάλας ἐπιφέρει βλάβας, καὶ πολλάκις διὰ τὴν συνεχῆ χρῆσιν αὐτῶν, ἀπωλείας αἴτια γίνεται. ζῷα μὲν οὖν ἐστι φθαρτικὰ τάδε· κανθαρίδες, βούπρηστις, σαλαμάνδρα, πιτυοκάμπη, λαγὼς θαλάσσιος, φρῦνος ὁ λεῖος, βάτραχος ἕλειος ἄφωνος, βδέλλαι καταποθεῖσαι. σπερμάτων, ὑοσκύαμος, κόριον, κώνειον, μελάνθιον, ψύλλιον. ὀπισμάτων δὲ μηκώνειον, ὀποκάρπασον, θαψίας χυλὸς, ἐλατήριον, μανδραγόρας. ῥιζῶν δὲ χαμαιλέων, ἀκόνιτον, θαψία, ἐλλέβορος, ἰξίας, ἀγαρικὸν τὸ μέλαν, ἐφήμερον ὃ ἔνιοι κολχικὸν καλοῦσι διὰ τὸ ἐν κολχίδι γίνεσθαι. ποῶν δὲ καὶ λαχάνων, σμίλαξ, ἣν ἔνιοι* τιθύμαλον, ῥωμαῖοι

ῥωμαῖοι δὲ νάξιον ἢ τάξον καλοῦσι, στρύχνον μανικὸν ὃ καὶ δορύκνιον καλοῦσιν, ἤ τε σαρδόνιος πόα οὖσα βατραχίου εἶδος, μήκων κερατῖτις, φαρικὸν, τοξικὸν, πήγανον ἄγριον, μύκητες. ἀπὸ ζώων δὲ αἷμα ταύρειον νεαρὸν, καὶ τὸ ἐμπυτιαθὲν γάλα, μέλι τὲ τὸ ἐν ἡρακλείᾳ τῇ ποντικῇ γινόμενον. μεταλλικὰ δὲ, γύψος, ψιμμίθιον, τίτανος, ἀρσενικὸν, σανδαράχαι δύο, λιθάργυρος, ἀδάρκη, μόλιβδος, καὶ ἡ καλουμένη ὑδράργυρος. τῶν δὲ συμφύλων, οἶνος ἀθρόως ποθεὶς πολὺς ἀπὸ βαλανείου ἢ γλυκὺ, ἢ ψυχρὸν ὕδωρ ὁμοίως.

Romani taxum, ſolanũ manicũ, quod & dorycniũ dicitur: ſardinia herba, quæ ranunculi genus eſt, corniculatum papauer, pharicũ, toxicum, ruta ſylueſtris, fungi. Ab animalib9, taurinus ſanguis recẽs, coagulatũ lac, mel Heracleæ in Ponto genitum. Metalla: gypſum, ceruſa, calx, auripigmentum, duo ſandarachæ genera, ſpuma argenti, adarce, plumbum, & quod argentum viuum dicitur. E liquoribus domeſticis: vinum abunde poſt balneas potum, aut paſſum, & frigida aqua ſimiliter.

Περὶ Κανθαρίδων. Κεφ. α΄.

Τοῖς οὖν κανθαρίδας προσενηνεγμένοις, παρέπεται χαλεπώτατα σημεῖα. σχεδὸν γὰρ ἀπὸ τοῦ στόματος μέχρι κύστεως πάντα δάκνεσθαι δοκεῖ αὐτοῖς, καὶ κατὰ τὴν γεῦσιν, πίσσῃ ἢ κεδρίᾳ ὅμοιόν τι ἐγγίνεσθαι. φλεγμαίνουσι δὲ τὸ δεξιὸν ὑποχόνδριον καὶ δυσουροῦσι· πολλάκις δὲ αἷμα προΐενται δι᾽ οὔρων· φέρεται δι᾽ αὐτοῖς κατὰ κοιλίαν* ὅμοια τοῖς ἐπὶ δυσεντερικῶν· λειποθυμίαις τὲ καὶ ἄσαις καὶ σκοτοδινίαις περιπίπτουσιν· ἐπὶ τέλει δὲ παραφέρουσι τὴν διάνοιαν. δεῖ οὖν πρὸ τοῦ παρακολουθῆταί τι τοιοῦτον, ἀναγκάζειν ἐμεῖν, διδόντας αὐτοῖς τὸ ἔλαιον, ἢ ἄλλό τι τῶν προειρημένων.

καὶ μετ

Cantharides. Cap. I.

Quibus datæ ſunt cantharides, ſigna eueniunt grauiſsima. Ab ore enim ad veſicam vſque cuncta erodi ſentiũtur, picẽ aut ſimilem quiddam cedriæ reſipiunt, dextra præcordia inflammãtur: vrinam ægrè reddunt, & ſubinde cum lotio ſanguinem emittunt: ſtrigmẽta non ſecus atque dyſentericis, aluo deferuntur: faſtidia urgent: animo linquuntur, obortáq; vertigine concidunt: poſtremò mẽte abalienantur. Ergo antea quàm tale nõnihil accidat, dato oleo, aut ſupradictorũ aliquo, vomere cogãtur:

S ii mox

mox vbi vomtiõe plurima reiecerũt, halicæ aut orizæ, tragi aut ptiſanæ cremor, aut decoctũ maluæ, aut ſeminis lini, aut fœnigræci, aut radicũ althææ, quam Latinus ſermo ibiſcum appellat, clyſtere infundatur. Præterea nitrũ eiſdem dandũ, ex hydromelite, vt quę ſtomacho adhuc aut inteſtinis adhęrẽt, eluẽdo excernantur, ac deſcẽdant. Quæ niſi ſic diſcutiantur, ingeſta in aluũ ex nitro aqua mulſa, vacuari debẽt. Detur deinde vinũ aut paſſum, in quo pineoli nuclei, aut cucumeris ſemina contrita ſint, aut ex lacte, aut mulſa, aut anſerinus adeps in paſſo liquefactus. Inflãmatæ autẽ partes hordei farina cũ mulſa decocta perũgantur. Ab initio admota cataplaſmata nocent, quòd citatus ab eis calor, illapſum virus ita remoratur, vt in principes ſe parteis inſinuet: ipſa tamen, interiecto tempore, moleſtiſsimis inflãmationibus opitulantur, vtpote quę dolores & permulceant & leniant. Tum vbi corpus calfaciente oleo inunctum fuerit, in ſoliũ deſcẽdere oportet, ac lauare, vt per cutẽ ſummam quæ corpori noxia inhæſerũt, etiam excernantur.

καὶ μετὰ τὸ κομίσασθαι τὰ πλεῖστα διὰ τῶν ἐμέτων ἐνιέναι διὰ κλυστῆρος χυλὸν χόνδρου, ἢ ὀρύζης, ἢ τράγου, ἢ πτισάνης, ἢ μαλάχης ἀφέψημα, ἢ λινοσπέρμου, ἢ τήλεως, ἢ τῶν ῥιζῶν τῆς ἀλθαίας, ἣν ἰβίσκον ὀνομάζουσι ῥωμαῖοι. ἐπιδιδόναι τε αὐτοῖς νίτρον σὺν ὑδρομέλιτι πρὸς τὸ καταβιβάσαι καὶ ἐκνίψαι τὰ ἔτι παρακείμενα τῷ στομάχῳ καὶ ἐντέροις. καὶ ἐὰν μὴ διακοπῇ, κενοῦν δεῖ μελίκρατον ἐνιέντας μετὰ νίτρου. καὶ ἐπιδιδόναι οἶνον ἢ γλυκὺ, συντετριμμένων αὐτῷ στροβίλων καὶ σικύων σπέρματος, ἢ γάλακτος ἢ μελικράτου, ἢ στέαρ χήνειον συντετηκὸς ἐν γλυκεῖ. τὰ δὲ φλεγμαίνοντα μέρη καταπλάσσοντας κριθῶν ἀλεύρῳ ἑψημένῳ μετὰ μελικράτου. κατ᾽ ἀρχὰς μὲν οὖν παραλαμβανόμενα τὰ καταπλάσματα, βλάπτει διὰ τὸ ὑπὸ τῆς γινομένης θερμασίας κατέχεσθαι τὸ δοθὲν, στηρίζον ἐπὶ τοὺς τόπους ὄντας κυρίους· χρονισθέντων δὲ ὠφελεῖ τὰς χαλεπωτάτας φλεγμονάς, παρηγοροῦντα καὶ παραμυθούμενα τὰς ἀλγηδόνας. ἐν δὲ τούτῳ τῷ καιρῷ ἁρμόζει προλιπάναντας, ἐλαίῳ θερμαντικῷ τὸ σῶμα λούειν, καθιέντας εἰς ἔμβασιν, ἑκάστῳ δὲ ἡ ἰατρεία, διὰ τῆς ἐπιφανείας τὰ ἐπιβλαβῆ παρατεθέντα τῷ σώματι ἐκκρίνεσθαι.

Et καὶ

καὶ καθόλου παντοίως δεῖ κινεῖν τὰς ἐκκρίσεις, πρὸς τὸ μὴ ἔμμονον κατασκευὴν λαμβάνειν τὴν διάθεσιν. διδόναι δὲ καὶ κρέα ὀρνίθεια καὶ ἄρνεια δελφάκια καὶ ἐρίφεια, λιπαρὰ δὲ ταῦτα καὶ ἁπαλώτατα καὶ καθεψημένα σὺν λινοσπέρμῳ· εὐκοίλια γάρ ἐστι καὶ ἀμβλυντικὰ τῶν δριμέων. καὶ οἶνον γλυκὺν καὶ πολύν. ἁρμόζει δ' ἐπ' αὐτῶν καὶ λιβάνου φλοιὸς, καὶ γῆς τῆς καλουμένης ἀστέρος, ἑκάστου < δ΄. μετὰ γλυκέος < ά λαμβανομένη. γλήχων τε μεθ' ὕδατος τριφθεὶς καὶ ἴρινον ἢ ῥόδινον μύρον μετὰ πηγάνου ἀφεψόμενον, καὶ ἀμπέλου ἀκρέμονες ἁπαλοὶ λεῖοι μετὰ γλυκέος. δυνατώτατα δὲ πάντων βοηθοῦσιν αἱ ἀντίδοτοι πινόμεναι σὺν μελικράτῳ πλῆθος < δ΄.

Περὶ Πιτυοκάμπης. Κεφ. β΄.

Τοῖς δὲ πιτυοκάμπην λαβοῦσιν εὐθέως πόνος περὶ τὸ στόμα καὶ τὸν οὐρανίσκον παρακολουθεῖ· φλεγμονή τε ἰσχυρὰ γλώσσης καὶ στομάχου καὶ κοιλίας· καὶ ἐντέρων πόνος ἰσχυρὸς μετὰ τοῦ δοκεῖν ὀδάξεσθαι τὰ ἐντός· πύρωσίς τε καθ' ὅλον τὸ σῶμα. τούτοις βοηθητέον ὁμοίως τοῖς τὰς κανθαρίδας πεπωκόσιν. ἰδίως δὲ ἐπ' αὐτῶν παραληψόμεθα ἀντὶ ἐλαίου τοῦ λιτοῦ καὶ ἰρίνου τὸ μήλινον, κατασκευαζόμενον ἐκ μήλων κυδωνίων καὶ ἐλαίου.

Et deiectiones multifariā moliri oportet, ne affectus infigatur, & ſtabilitatē capeſſat. Gallinaceis carnibus & hœdinis, aut ſuillis catulis, maximè pinguibus & tenerrimis, ac cū lini ſemine coctis, veſci debent: ſiquidē aluū cient, atq; venenorū acrimonias hebetant. Vinū dulce liberalius ebibatur. Prodeſt thuris cortex, & ſamia terra, quæ aſtēr appellatur, ſi quaternæ ſingulorū drachmæ cū paſſo ſumantur. Item pulegiū ex aqua tritum, irinum aut roſaceum, cum rutę decocto, recentes vitis ramuli, cum paſſo detriti. Longè omnium potentiſsimè, antidota auxiliantur, cum aqua mulſa, drachmis quatuor pota.

Pinorum erucæ. Cap. II.

Iis qui erucas pinorū hauſerūt, illico dolor in ore & palato exorit vehemēs alui, linguæ ac ſtomachi īflāmatio torquet: inteſtina dolor excruciat, ita vt pruriginē ſentire videātur: corpus totū exæſtuat: faſtidiū vrget. Quibus eſt ſuccurrēdū remediis, quæ deuoratis cantharidibus dantur. Peculiariter tamē pro ſimplici oleo & irino melinū quod è cotoneis pomis & oleo tēperatur, accipiemus.

Bupreſtis. Cap. III.

Qui bupreſtin biberunt, nõ diſsimile nitro virus ſapiũt: ſtomachi ventríſq; vehemens dolor inſequitur: tam vẽter quàm ſtomachus mirum in modum, vt in aqua inter cutem, difflatus, inturgeſcit. Vniuerſa corporis facies contenditur: vrina ſupprimitur. Quibus eadẽ quæ potis cantharidibus auxiliãtur. Priuatim poſt vomitus & vacuationes quas clyſterib⁹ molimur, aridæ ficus proſunt: item earum decoctum, ex vino. Vbi verò iam ferè pericula inclinantur, Thebaicarum palmularum cibo, aut earundem tritarum in mulſo aut lactis pota, iuuantur. Pyrorum etiamnum omne genus eſſe, & lac humanum bibere, conuenit.

Salamandra. Cap. IIII.

Si ſalamandram hauſerunt, linguæ inflãmatio cõſequitur, mẽs & ſermo præpeditur, tremor cum torpore aut horrore quodã ac exolutione accedit: partes nõnullę corporis liuoribus circunquaq; ſugillantur: ſæpéque, diutius immorante veneno putreſcẽtes defluũt. Quibus præſtabimus cũcta quæ potis cantharidibus.

Pecu-

Περὶ Βυπρήστεως. Κεφ. γ'.

Τοῖς δὲ βούπρηστιν πεπωκόσι, δοκεῖ κατὰ τὴν γεῦσιν ὅμοιόν τι βρωμώδει νίτρῳ· παρακολουθεῖ δὲ ἄλγημα στομάχου καὶ κοιλίας σφοδρόν· ὄγκος τε στομάχου καὶ κοιλίας σφοδρὸς ὁμοίως ὑδρωπικοῖς. καὶ περιτείνεται αὐτοῖς ἡ ἐπιφάνεια ὅλου τοῦ σώματος· τά τε οὖρα ἐπέχεται. βοηθεῖ δὲ αὐτοῖς ὅσα καὶ τοῖς κανθαρίδας πεπωκόσιν. ἰδίως δὲ ὠφελοῦνται μετὰ τὸ τῶν ἐμέτων καὶ τοῦ κλυστῆρος κενωθῆναι σῦκα ξηρὰ λαμβάνοντες· καὶ τὸ ἀφέψημα δὲ αὐτῶν σὺν οἴνῳ. παρακμάζοντος δὲ τοῦ κατ' ὀξύτητα κινδύνου, ὠφελοῦνται θυβαϊκὰς βαλάνους ἐσθίοντες, ἢ λελεασμένας σὺν οἰνομέλιτι, ἢ γάλακτι πίνοντες. ἢ καὶ ἀπίων ἅπαν τὸ γένος ἐσθίοντες καὶ γάλα γυναικεῖον πίνοντες.

Περὶ Σαλαμάνδρας. Κεφ. δ'.

Τοῖς δὲ σαλαμάνδραν λαβοῦσι, παρέπεται γλώσσης φλεγμονὴ, καὶ διανοίας ἐμποδισμὸς καὶ τρόμος μετὰ νάρκης ἢ φρίκης τινὸς καὶ ἐκλύσεως· πελιοῦται δέ τινα μέρη κυκλοτερῶς αὐτοῖς τοῦ σώματος· ὡς πολλάκις ἐμμείναντος τοῦ φαρμάκου, σηπόμενα ἀποῤῥεῖν, ἐφ' ὧν πάντα ποιησόμεθα ὅσα καὶ ἐπὶ κανθαρίδων.

ἰδιαίτε-

ἰδιαίτερον αὐτοῖς προσφερόμενα φάρμακον ῥητίνην τὴν πιτυίνην, ἢ χαλβάνην σὺν μέλιτι ἀντὶ ἐκλείγματος, καὶ χαμαιπίτυος ἀφέψημα συνεκλεανθέντων αὐτῷ στροβίλων· ἢ κνίδης φύλλα συνεψηθέντα κρίνῳ μετ᾽ ἐλαίου. ποιεῖ δὲ ἐπ᾽ αὐτῶν καὶ θαλασσίας χελώνης ἢ χερσαίας ᾠά, ὀπτὰ ἢ ἑψημένα· καὶ βατράχων ζωμός, συγκαθεψηθείσης αὐτοῖς ἠρυγγίου ῥίζης.

Περὶ Ἐφημέρου. Κεφ. έ.

Τοῖς δὲ ἐφήμερον λαβοῦσιν, ὃ ἔνιοι καλοῦσι κολχικὸν ἢ βολβὸν ἄγριον, παρακολουθεῖ κνησμὸς καθ᾽ ὅλον τὸ σῶμα, ὡς ὑπὸ σκίλλης ἢ κνίδης ἐρεθιζομένοις· τὰ δ᾽ ἐντὸς ἀναδάκνονται· καυσοῦνται δὲ τὸν στόμαχον μετὰ βάρους ἱκανοῦ. ἐπιχύοντος δὲ τοῦ πάθους, κατὰ κοιλίαν φέρεται αἱματώδη, ξύσμασι μεμιγμένα. οἷς βοηθητέον καθάπερ καὶ τοῖς σαλαμάνδραν πεπωκόσι, διά τε ἐμέτων καὶ κλυσμάτων· πρὸ δὲ τοῦ ἐνισχύσαι τὸ φάρμακον, μεταδοτέον αὐτοῖς δρυὸς τῶν φύλλων ἢ βαλάνων ἢ σιδίων ἀφέψημα ἢ ἑρπύλλου σὺν γάλακτι πίνειν· ἢ πολυγόνου χυλὸν ἢ ἀμπέλου ἀκρεμόνων, ἢ βάτου ἢ νάρθηκος ἁπαλοῦ τῆς ἐντεριώνης, ἢ μύρτου μεθ᾽ οἴνου. αὐτὰ δὲ τὰ μύρτα λεῖα κοπέντα καὶ ἀποβραχέντα ἐν ὕδατι, βοηθεῖ τοῦ ἐξ αὐτῶν ὑγροῦ λαμβανομένου.

ποιεῖ

Peculiaria verò remedia, reſina pinus, aut galbanum ex melle linctum, & aiugæ decoctũ, in quo nuclei pinei contenerantur: vrticæ quoq; folia, cũ liliis & oleo decocta. Proſunt etiam oua teſtudinis marinæ aut terreſtris, cocta: item ranarum ius, cum quibus eryngij radix incocta ſit.

Ephemerum. Cap. V.

Sumpto ephemero, quod aliqui Colchicon, aut ſylueſtrẽ bulbum appellant, pruritus in toto corpore excitatur, nõ ſecus atq; iis qui vrtica aut ſcilla laceſſuntur: interna roſionem ſentiunt: ſtomachus cũ ingenti grauitate exæſtuat. Cæterũ inualeſcente morbo, cruor ſtrigmẽtis admiſtus, per aluũ exigitur. Quibus, vt iis qui ſalamandram hauſerũt, vomitione aut clyſteribus auxiliari cõueniet: ſed antea q̃ venenũ inualeſcat, dandũ eſt decoctũ frondium quercus, aut glãdiũ, aut malicorij: lac bibere prodeſt, in quo ſerpillũ ſit decoctũ: itẽ ſuccum ſanguinalis herbæ, aut ramorũ vitis, aut rubi, aut medullę recẽtis ferulæ, aut myrti cum vino. Baccæ autem myrti tuſæ tritæque, & aqua maceratæ, vt liquor inde ſumatur, opẽ ferũt.

Media caſtanearũ tunicula, ſimilem effectum præbet, ſi cruda in aliquo ſupradictorum ſucco ſumptitetur: origanum quoque cum lixiuio epotum: eximiè iuuantur aſinini lactis aut bubuli calidi potu, etiam ſi in ore contineant: ita vt quibus copia lactis huius adſit, nõ aliud deſideretur.

Dorycnium.
Cap. VI.

Dorycnion, quod aliqui manicon ſolanum appellarunt, epotum, lactis ſaporem in guſtu refert: continentes ſingultus ciet, humor linguam vexat, ſanguis confertim reiicitur: mucoſa quædam perinde quaſi dyſentericis, aluo egeruntur. Itaque antequam aliquid ex iis eueniat, auxilio ſunt antedicta, vomitus, clyſter, & quæcunque potum venenum expellere poſſunt. Priuatim iis opitulatur, aqua mulſa, lac caprillum, aut aſininum, dulce vinum, quod tepidum cum aniſo bibatur, amygdalæ amaræ, gallinacea pectora decocta. Quinetiam conchylia omnia, tam cruda quàm toſta eſſe ſalutare eſt. Conueniunt & locuſtæ marinæ, & gammari, & pota eorundem iuſcula.

Acconi-

ποιεῖ δὲ ὡσαύτως καὶ ὁ τῶν σαρδονίων βαλάνων ὑμὴν μέσος, ὠμὸς λαμβανόμενος μετά τινος τῶν προειρημένων χυλῶν· ὀρίγανός τε σὺν κονίᾳ ποθεῖσα· ἀκριβῶς δὲ βοηθοῦνται οἱ τὸ ὄνειον ἢ βόειον γάλα θερμὸν πίνοντες καὶ κατέχοντες ἐν τῷ στόματι· ὥστε τοὺς εὐπορήσαντας τούτου, ἄλλου μηδενὸς χρῄζειν βοηθήματος.

Περὶ Δορυκνίου.
Κεφ. ϛ.

Δορυκνίου δὲ ποθέντος ὃ ἔνιοι στρύχνον μανικὸν ἐκάλεσαν, παρακολουθεῖ ὥσπερ γάλακτος ποιότης ἐν τῇ γεύσει, καὶ λυγμοὶ συνεχεῖς, γλώττης τε ὑγρότης, καὶ αἵματος ἀναγωγὴ ἀθρόα· κατὰ κοιλίαν δὲ αὐτοῖς μυξώδη φέρεται ὡς ἐπὶ δυσεντερικῶν. οἷς βοηθεῖ πρὸ τοῦ τούτων τι παρακολουθῆσαι ἃ καὶ τοῖς προειρημένοις, ὅ,τε ἔμετος καὶ τὸ κλύσμα, καὶ ὅσα δύναται τὸ ποθὲν ἐκκρίναι φάρμακον. ἰδίως δ᾽ ἐπ᾽ αὐτῶν βοηθεῖ τὸ μελίκρατον ἢ ὄνειον ἢ αἴγειον γάλα, καὶ γλυκὺς οἶνος χλιαρὸς μετ᾽ ἀνίσου πινόμενος, καὶ ἀμύγδαλα πικρὰ, στήθη τε ὀρνίθεια καθεψημένα. καὶ πάντα τὰ κογχύλια ὠμὰ καὶ ὀπτὰ ἐσθιόμενα, καὶ κάραβοι, καὶ ἀστακοὶ, καὶ ὁ ἐξ αὐτῶν ζωμὸς πινόμενος.

Περὶ

Περὶ Ἀκονίτου. Κεφ. ζ.

Τὸ δὲ ἀκόνιτον εὐθέως ἅμα τῷ πίνεσθαι γλυκαίνει τὴν γλῶσσαν μετά τινος στύψεως· καὶ ἀπὸ τοῦ γλυκασμοῦ σκοτοδινίαν, καὶ μάλιστα ἐν τῷ ἐξανίστασθαι, καὶ ὑγρότητας ὀφθαλμῶν ἐπιφέρει· βάρος τε θώρακος, καὶ ὑποχονδρίου μετὰ τοῦ πολλὰ πνεύματα ἀποδίδοσθαι. ἐφ᾽ ὧν δὲ δι᾽ ἐμέτων ἐκκομισθῆναι δεῖ τὸ φάρμακον, ἢ καὶ διὰ κλυστῆρος καθαρθῆναι τὴν κοιλίαν. χρησόμεθα προπτισμῷ ὀριγάνῳ, ἢ πηγάνῳ, ἢ πρασίῳ. *ἢ ἀψινθίου ζέματι μετ᾽ οἴνου ἀψινθίτου, ἢ ἀειζώου, ἢ ἀβροτόνου, ἢ χαμελαίας, ἢ χαμαιπίτυος. ἁρμόζει δὲ αὐτοῖς καὶ ἀποβαλσάμου ὁλκὴ < α. σὺν μέλιτι ἢ καὶ καστορείου καὶ πεπέρεως καὶ πηγάνου ἴσης ὁλκῆς σὺν οἴνῳ. καὶ πιτύα ἐρίφου, ἢ λαγωοῦ ἢ νεβροῦ σὺν ὄξει, καὶ σιδήρου σκωρία, ἢ αὐτὸς ὁ σίδηρος, ἢ χρυσὸς, ἢ ἄργυρος διάπυρος ἐν οἴνῳ σβεσθέντα, τοῦ ὑγροῦ λαμβανομένου· κονία τε σὺν οἴνῳ, καὶ ὄρνιθι καθεψηθεῖσα, ἢ κρεῶν λιπαρῶν βοείων ζωμὸς λαμβανόμενος σὺν οἴνῳ. λέγεται δὲ καὶ ἡ χαμαίπιτυς ἰδίως ἐπ᾽ αὐτῶν ἁρμόζειν.

Περὶ τοῦ ἐν Ἡρακλείᾳ μέλιτος. Κεφ. η.

Μέλι τὸ ἐν Ἡρακλείᾳ τῇ Ποντικῇ, ἐν ᾗ καὶ τὸ ἀκόνιτον γίνεται, ἀθή-

γησ

Aconitum. Cap. VII.

Aconitum ſtatim in lingua inter bibendum, cum adſtrictione quadam dulceſcit: & ſubinde potiſsimum cum exurgere conâtur, vertigines offundit: lachrymas ciet: grauitatem pectori, & præcordiis adfert, ſimúlque crebri ſpiritus deflantur. Quare venenum vomitione abigi, aut clyſtere per aluum egeri opus eſt. Vtimur inter propinandum, origano, ruta, marrubio, vel abſinthij decocto, cum vino abſinthite, vel ſemperuiuo, vel abrotono, vel chamelæa, aut aiuga. Prodeſt etiamnum opobalſami drachma, cum melle aut lacte, cum caſtorio, pipere & ruta, æquis pôderibus ex vino. Coagulũ hœdi, leporis, aut hinnuli cũ aceto, ferri quoque ſtercus, itẽ vinum in quo aurum, ferrũ, argentúmve candens reſtinguatur, potum: lixiuiaq; cum gallina & vino decocta, aut carnium bubularũ præpinguium iura, cum vino ſumpta. Fertur & aiuga priuatim ipſis ſubuenire.

Mel Heracliæ.
Cap. VIII.

MEL in Heraclia Ponti, vbi aconitum gigni ſolet, inuenitur:

inuenitur: quod qui edunt bibúntve, non ſecus affligantur, quàm qui aconitum ebiberunt. Iis eadem quæ poto aconito conueniunt: adiuuantur in primis cõtinuò vini mulſi potu, cui rutæ folia ſint adiecta.

Coriandrum. Cap. IX.

Coriandrum ob odorẽ latêre non poteſt: epotum autẽ vocem exaſperat, inſaniã adfert, à temulẽtijs non abhorrẽtem. Qui ſumpſerunt, pudenda dictu blaterant, totiúsq; corporis odore venenũ fatẽtur. Quibus poſt vomitionẽ irino oleo concitatam, vti retulimus, merũ & per ſeſe, & ex abſinthio potum auxiliatur. Item oleum, nec ſecus oua in eodem exinanita, ſi liquefacta in muria ſorbeantur: & epota muria, & ius ſalſum ex gallina & anſere paſſum quoq; cũ lixiuia ſumptũ.

Pſyllium. Cap. X.

Pſyllion epotũ, corpori toti frigus & torporem cum exolutione & mœrore quodam affert: ita vt animum deſpondeant. Cui omnia quæ exhauſto coriano auxiliantur.

Cicuta. Cap. XI.

Cicuta pota vertiginẽ excitat, oculiſq; caliginẽ offundit, ita vt

νησι δ' ἰωνία καλεῖται, ἐν εὐβοία σιδηρεῖτις. ὁμοίως δὲ πάσχουσι καὶ οἱ ἐν ἡρακλεία τῇ ποντικῇ τὸ μέλι γευόμενοι φαγόντες, ἢ πιόντες. ἐφ' ὧν ἁρμόζει τὰ αὐτὰ τῷ ἀκονίτῳ· εἰσὶ δὲ εὐβοήθητοι μάλιστα ὠφελούμενοι ὑπὸ οἰνομέλιτος συνεχῶς αὐτὸ πίνοντες, μιγνυμένων αὐτῷ πηγάνου φύλλων.

Περὶ κορίου. Κεφ. θ'.

Τὸ δὲ κόριον λαθεῖν μὲν οὐ δύναται διὰ τὴν ὀσμὴν, ποθὲν δὲ τὴν φωνὴν δασύνει, καὶ μανίαν ἐπιφέρει ὁμοίαν τοῖς διὰ* μέθην βλαβεῖσι μετ' αἰσχρολογίας, καθ' ὅλου δὲ τοῦ σώματος αὐτῶν, ἡ ὀσμὴ διαφαίνεται τοῦ κορίου. βοηθεῖ δὲ αὐτοῖς μετὰ τὸ ἐξαιρεθῆναι διὰ τοῦ ἰρίνου ἐλαίου ὡς προείρηται, ἔλαιον σὺν ἀψινθίῳ πινόμενον ἢ καθ' ἑαυτό. ἢ ἔλαιον ᾠά τε κενωθέντα ἐπὶ αὐτὸ καὶ χλιανθέντα σὺν ἅλμῃ καὶ ῥοφούμενα· καὶ ἡ ἅλμη δὲ πινομένη καὶ ζωμὸς δὲ ἁλμυρὸς ἔκ τε ὄρνιθος καὶ χηνός, γλυκύς τε σὺν κονία παραλαμβανόμενος.

Περὶ Ψυλλίου. Κεφ. ι'.

Καὶ τὸ ψύλλιον δὲ καλούμενον ποθὲν, ἐπιφέρει ψύξιν ὅλου τοῦ σώματος, καὶ νάρκην μετ' ἐκλύσεως καὶ ἀδημονίας. οἷς βοηθεῖ πάντα ὅσα τοῖς κόριον πεπωκόσι.

Περὶ Κωνείου. Κεφ. ια'.

Κώνειον δὲ ποθὲν ἐπιφέρει σκοτώματα καὶ ἀχλὺν, ὥς τε

μὴ δ

μὴ δ' ἔτι ὀλίγον βλέπειν· λυγμόν τε καὶ διανοίας παραφορὰν, καὶ ψύξιν ἄκρων· ἐπὶ τέλει δὲ σπώμενοι πνίγονται, στάσιν λαμβάνοντος τοῦ κατὰ τὴν ἀρτηρίαν πνεύματος. κατ' ἀρχὰς μὲν οὖν ὡς καὶ ἐπὶ τῶν ἄλλων διὰ τῶν ἐμέτων αὐτὸ κομιούμεθα· ἔπειτα κενώματι χρησάμενοι, τὸ εἰς τὰ ἔντερα παρεληλυθὸς ἐκκρινοῦμεν· καὶ τό τε ὡς ἐπὶ μέγιστον βοήθημα ἐπὶ τὴν ἀκρατοποσίαν παραγινόμεθα· διδόντες μεταξὺ* διάστημα, ἐν οἷς πεῖν διδόμενον βοηθεῖ γάλα ὄνειον ἢ ἀψίνθιον μετὰ πεπέρεως καὶ οἴνου, καὶ καστορίου καὶ πηγάνου καὶ ἡδυόσμου σὺν οἴνῳ, ἢ καρδαμώμου ἢ στύρακος, ἢ πεπέρεως μετὰ κνίδης σπέρματος σὺν οἴνῳ, ἢ δάφνης τὰ φύλλα, ὁμοίως τε σιλφίου ὀπὸς σὺν ἐλαίῳ καὶ γλυκεῖ, καὶ ὁ γλυκὺς οἶνος δὲ καθ' ἑαυτὸν πολὺς πινόμενος, ἱκανῶς ἁρμόζει.

ita vt minimum cernatur: ſingultus ciet, menté turbat, extremi artus gelantur: deniq; conuulſi, ſuppreſſo arteriæ ſpiritu, ſtrangulantur. Quare inter initia, vti in reliquis, cicutam vomitu excutiemus: poſtmodum deiectioné moliemur, vt quod ad inteſtina prolapſum ſit, excernamus: tum demum in meracam potionem, quæ maximo eſt auxilio, deueniemus: repetendum, per interualla, in quibus proderit lac aſininum, aut bubulum potui datum, aut abſinthium cum pipere & vino, caſtorio, ruta, mentha cum vino, aut amomi, cardamomi, aut ſtyracis vncia, aut piperis cum ſemine vrticæ & vino, aut lauri folia. Item laſer ex oleo & paſſo, & paſſum per ſeſe largius potú proficit.

Περὶ Σμίλακος. Κεφ. ιβ'.

Ἡ δὲ καλουμένη σμίλαξ, ὑπ' ἐνίων δὲ θύμιον καὶ παρὰ Ῥωμαίοις τάξον, ποθεῖσα ἐπιφέρει ψύξιν καθ' ὅλου τοῦ σώματος, καὶ πνιγμὸν, ὀξύν τε τὸν θάνατον. οἷς βοηθεῖ πάντα ἃ καὶ τοῖς τὸ κώνειον πεπωκόσι.

Taxus. Cap. XII.

Smilax, à quibuſdam tithymalum, à Latinis taxus appellatur: frigus vniuerſo corpori ſtrangulatus, & celerem interitum infert. Cui eadem quæ cicutæ conueniunt.

Περὶ Ὀποῦ καρπάσου. Κεφ. ιγ'.

Καὶ ὁ τοῦ καρπάσου ὀπὸς ποθεὶς, κάρον ἐπιφέρει καὶ πνιγμὸν ὀξύν· βοηθοῦνται

Carpaſi ſuccus. Cap. XIII.

Epotus carpaſi ſuccꝰ ſoporé, citamq; ſtrãgulationé adducit. Adiuuantur

Adiuuantur autem qui hauſerunt, epotæ cicutæ remediis.

Sardonia herba.

Cap. XIIII.

Sardonia ranunculi herbæ generi aſsignatur, quæ veſcentibus mentem adimit, & quadam neruorum diſtentione labia in rictum cõtrahit, vt riſus ſpeciem præbeant: à qua quidẽ affectione, de Sardonio riſu adagiũ in vulgus infauſto omine manauit. Poſt vomitum peculiariter conuenit aqua mulſa & lac, liberalius epota: irrigatio, perũctioq; à pinguibus medicamẽtis, totũ corpus excalfaciẽtibus: in calidã aquam oleumq; deſcendãt, ſed tũ multum perfricare, & inũgere expedit: & in ſumma, curã omnẽ, quæ cõuulſioni neruorum adhibetur, exequi oportet.

Hyoſciamus. Cap. XV.

Hyoſcyamũ potũ aut comeſum, ſimilẽ ebriis abalienationẽ mouet: ſed facilè medicamẽtis cedit. Auxiliat̃ aqua mulſa copioſe data, lacq;, pręſertim aſininũ, ſi id deſiderat̃, caprillũ, vel bubulũ, vel aridarũ ficuum decoctũ. Faciũt ad id etiã nuclei pinei, aut cucumis ſemen ex paſſo ſumptum, & vinum ſalſum cum adipe ſuilla recẽti, paſſoq;

βοηθοῦνται δὲ καὶ οὗτοι ὑφ᾽ ὧν καὶ οἱ τὸ κώνειον πεπωκότες.

Περὶ Σαρδονίας πόας.

Κεφ. ιδʹ.

Η δὲ σαρδόνιος λεγομένη πόα, βατράχου εἶδος οὖσα, ποθεῖσα ἢ βρωθεῖσα, παραφθορὰν διανοίας ἐπιφέρει καὶ σπάσματα μετὰ συνολκῆς χειλέων, ὥς τε γέλωτος φαντασίαν παρέχειν· ὑφ᾽ ἧς διαθέσεως καὶ ὁ σαρδόνιος γέλως οὐκ εὐφήμως ἐν τῷ βίῳ καθωμίληται. ἐφ᾽ ὧν ἰδίως καὶ μετὰ τὸν ἔμετον, ἁρμόζει μελίκρατον πολὺ διδόμενον καὶ γάλα· ἐμβροχή τε καὶ λιπασμὸς ὅλου τοῦ σώματος διὰ θερμαντικῶν φαρμάκων, καὶ ἐμβάσεις δι᾽ ὑδρελαίου θερμοῦ. ὑπαλείφειν μέντοι ἱκανῶς δεῖ καὶ ἀνατρίβειν μετὰ τὴν ἔμβασιν αὐτούς. καθόλου δὲ ὡς πρὸς σπασμὸν, ὅλην τὴν θεραπείαν δεῖ ποιεῖσθαι.

Περὶ Ὑοσκυάμου. Κεφ. ιεʹ.

Ὑοσκύαμος δὲ ποθεὶς ἢ βρωθεὶς παρακοπὴν τοῖς μεθύουσιν ὁμοίαν ἐπιφέρει· ἔστι δὲ εὐίατος. βοηθούμενος μελικράτῳ πολλῷ ποτιζομένῳ, καὶ γάλακτι μάλιστα ὀνείῳ, *εἰ δὲ μή γε βοείῳ, ἢ σύκων ξηρῶν ἀφεψήματι· ποιοῦσι δ᾽ ἐπ᾽ αὐτῶν καὶ στρόβιλοι, καὶ τὸ σικύων σπέρμα σὺν γλυκεῖ λαμβανόμενον καὶ ἁλμυρὸς οἶνος σὺν στέατι ὑείῳ νεαρῷ,

καὶ

καὶ γλυκεῖ σὺν ὕδατι, καὶ κνίδης σπέρμα ὁμοίως· ἢ νίτρον σὺν ὕδατι. ἁρμόζει καὶ κιχώρειον, καὶ νάπυ, καὶ κάρδαμος καὶ ῥάφανον καὶ κρόμμυα, καὶ σκόροδα· ἕκαστον τούτων σὺν οἴνῳ λαμβανόμενον· ἡσυχάζειν δὲ αὐτοὺς ἀναγκάζειν δεῖ, ὥσπερ οἱ τὸν οἶνον πόντες*.

Περὶ Μανδραγόρου. Κεφ. ιϛ.

Μανδραγόρου δὲ ποθέντος εὐθέως, κάρος ἐπακολουθεῖ καὶ ἔκλυσις καταφορά τε ἰσχυρὰ καὶ μηδὲν διαφέρουσα πάθους τοῦ λεγομένου ληθάργου, ᾧ πρὸ τοῦ τι τούτων συμβῆναι, ἁρμόζει ὅ, τε ἔμετος καὶ μελίκρατον, καὶ μετὰ τοῦτο καὶ νίτρον· καὶ ἀψίνθιον σὺν γλυκεῖ ἢ οἴνῳ γλυκάζοντι λαμβανόμενα. καὶ ἡ τῆς κεφαλῆς ἐμβροχὴ διὰ ῥοδίνου καὶ ὄξους· καὶ διέγερσις δὲ καὶ κίνησις τοῦ σώματος. καὶ ἡ δι' ὀσφραντικῶν καὶ εὐπατορίου καὶ πεπέρεως καὶ νάπυος, καὶ καστορίου καὶ πηγάνου ὄξει τετριμμένων· καὶ πίσσης ὑγρᾶς καὶ τῶν κεκαυμένων, καὶ ἐσβεσμένων ἐλλυχνίων· δυσανακλήτως δὲ αὐτῶν ἐχόντων, καὶ πταρμικὰ ἐπάγειν. καὶ τοῖς ἄλλοις κοινοῖς βοηθήμασι χρῆσθαι καὶ ἐπὶ τούτων.

Περὶ Μήκωνος. Κεφ. ιζ΄.

Μήκωνος δὲ ὀποῦ ποθέντος, παρακολουθεῖν καταφορὰ μετὰ καταψύξεως καὶ κνησμοῦ ἐπιτεταμένου. ὡς πολλάκις ἐνισχύοντος τοῦ φαρμάκου, ἐπιγίνεσθαι τοσοῦτον κνησμὸν,

paſſóque: itidem vrticæ ſemẽ, aut nitrum ex aqua, & intubꝰ erraticus, & ſinapis, & naſturtium, radix, cepa, & allium: & hæc ſingula cum vino ſumantur. Poſtea ſinendi quieſcere, quemadmodum qui vinum biberunt, vt excoquant.

Mãdragora. Cap. XVI.

Mandragora ſi bibatur, cõfeſtim ſopor inſequitur, exolutio, ac vehemens veternus, nihil temerè diſtans à lethargo. Cui, antequàm aliquid ex iis accidat, vomitus & aqua mulſa proderit: poſtea nitrum & abſinthium, ex vino dulci aut paſſo ſumantur. Caput roſaceo & aceto perfundatur. Proficit excitatio, & motus corporis, & olfactus eupatorij, & piperis, ſinapis, caſtorij, & rutæ, tritorum in aceto: & liquidæ picis, & odor è lucernarum exuſtione & extinctu. Quòd ſi ægrè ij reuocentur, ſternutamenta mouere, aliiſque communibus auxiliis vti conueniet.

Meconium. Cap. XVII.

Epoto papaueris ſucco, quẽ meconiõ vocãt, cõſequitꝰ veternus cũ perfrictione & pruritu vehementi, ita vt ſæpe inualeſcente veneno, tanta erumpat prurigo,

prurigo, vt hominem excitet. Corpus id medicamentũ olet. Poſt citatam oleo vomitionẽ, acres clyſteres auxiliátur, acetúmque mulſum cum ſale potum, aut mel cum roſaceo calido: merũ cum abſinthio aut cinnamomo, copioſum, aut calidum per ſeſe acetum, nitrum ex aqua, & origanum cum lixiuia aut paſſo, & rutæ ſylueſtris ſemen cum pipere, vino, & panace: pipérq; cum caſtorio & aceto mulſo, vel cum ſatureiæ aut origani decocto, cũ vino. Hi olfactilibus excitandi, & ob enatam pruriginem in balneas deſcendant, & foueantur. Poſt lauacrum prodeſt iurium pingium vſus, cum vino aut paſſo: medulla etiam ex oleo pota.

Corniculatum papauer. Cap. XVIII.

QVOD corniculatum papauer appellant, & potu & cibo eadem inferre conſueuit, quæ papaueris ſuccus: nec aliis expugnatur auxiliis.

Pharicum. Cap. XIX.

Quod pharicon vocãt, ſapore ſylueſtre nardum imitatur. Reſolutionẽ neruorum potũ affert, cũ cõuulſiõe & delirio. Oportet autẽ poſt vacuatiões vinum

κνησμὸν, ὥς τε διεγείρεσθαι ὑπ᾽ αὐτοῦ· ὀσμή τε τοῦ φαρμάκου δι᾽ ὅλου τοῦ σώματος ἐκδίδοται. οἷς βοηθεῖ μετὰ τὸν τοῦ ἐλαίου ἔμετον, καὶ κλυσθῆναι δριμεῖ κλύσματι, ὀξύμελι σὺν ἁλσὶ πινόμενον ἢ μέλι σὺν ῥοδίνῳ θερμῷ. καὶ ἄκρατος πολὺς σὺν ἀψινθίῳ ἢ κινναμώμῳ, ἢ ὄξος θερμὸν καθ᾽ ἑαυτό· νίτρον τε σὺν ὕδατι καὶ ὀρίγανον σὺν κονίᾳ* πηγάνου τε ἀγρίου σπέρμα σὺν πεπέρει καὶ οἴνῳ καὶ πάνακι, πέπερί τε μετὰ καστορίου καὶ ὀξυμέλιτος, ἢ μετὰ θύμβρας ἢ ὀριγάνου σὺν οἴνῳ. δεῖ δὲ καὶ τούτους διεγείρειν τοῖς ὀσφραντικοῖς καλουμένοις καὶ ἐμβιβάζειν εἰς θερμὸν καὶ πυριᾶν διὰ τὸν ἐπιγινόμενον κνησμόν. ὀνήσει αὐτοὺς καὶ μετὰ τὸ λουτρὸν χρῆσθαι ζωμοῖς λιπαροῖς, μετὰ οἴνου ἢ γλυκέως· καὶ μυελὸς δὲ μετ᾽ ἐλαίου πινόμενος.

Περὶ Μήκωνος κερατίτιδος. Κεφ. ιη.

Η δὲ λεγομένη κερατῖτις μήκων, ἐν τῷ βρωθῆναι ἢ ποθῆναι τὰ αὐτὰ ἐπιφέρουσι τῷ ὀπῷ τῆς μήκωνος συμπτώματα· τοῖς αὐτοῖς βοηθήμασιν ὑποπίπτει.

Περὶ Φαρικοῦ. Κεφ. ιθ.

Τὸ δὲ καλούμενον φαρικὸν, τὴν μὲν γεῦσιν πάσαν νάρδῳ ἀγρίᾳ ἔοικεν. ἐπιφέρει δὲ παράλυσιν ποθὲν μετὰ παρακοπῆς καὶ σπασμοῦ. δεῖ δὲ μετὰ τὸ ἐξερᾶσαι αὐτοὺς, ποτίζειν

ποτίζειν οἶνον ἀψινθίτην, σὺν κινναμώμῳ ἢ σμύρνῃ ἢ νάρδῳ κελτικῇ, ἣν ἔνιοι σερίνην ἐκάλεσαν· ἢ ναρδοστάχυος ὁλκὰς β΄. καὶ σμύρνης β΄. ὀβολοὺς μεμιγμένους σὺν γλυκεῖ· ἢ ἶριν μετὰ κρόκου σὺν οἴνῳ· δεῖ δὲ καταπλάσσειν δὲ τὴν κεφαλὴν αὐτῶν ξυρήσαντας, κριθίνῳ ἀλεύρῳ σὺν πηγάνῳ λείῳ καὶ ὄξει.

Περὶ τοξικοῦ. Κεφ. κ΄.

Τὸ δὲ τοξικὸν, δοκεῖ μὲν ὀνομάσθαι, ἐκ τοῦ τὰ τόξα τῶν βαρβάρων ὑπ' αὐτοῦ χρίεσθαι. παρακολουθεῖ δὲ τοῖς πεπωκόσι χειλέων καὶ γλώττης φλεγμονή· μανία τε ἀκατάσχετος ποικίλας ἐπιβάλλουσα φαντασίας· ὡς καὶ διὰ τοῦτο δυσιάτους εἶναι ἐν ταῖς θεραπείαις· σπανίως δὲ καὶ σώζεσθαί τινας τῶν πεπωκότων. δεῖ μέντοι συνέχειν αὐτοὺς δεσμοῖς ἀναγκάζοντας καὶ βιαζομένους γλυκὺν οἶνον σὺν ῥοδίνῳ πίνειν, καὶ ἐξεμεῖν· τότε τὸ γογγύλης σπέρμα σὺν οἴνῳ. ἰδίως δ' ἐπ' αὐτῶν ἁρμόζει καὶ ἡ τῆς πενταφύλλου ῥίζα, αἷμά τε τράγου, ἢ αἰγὸς ὁμοίως λαμβανόμενα, δρυός τε φλοιὸς ἢ φηγοῦ, ἢ πρίνου γάλακτι συνεκλεανθείς· καὶ μῆλα κυδώνια ἐσθιόμενα ἢ λεῖα σὺν γλήχωνι καὶ ὕδατι πινόμενα, ἄμωμόν τε καὶ βαλσάμου καρπὸς σὺν οἴνῳ. καὶ εἴτινες αὐτῶν φύγοιεν τὸν κίνδυνον, πολὺν χρόνον κλινοπετεῖς διαμένουσι, καὶ ἀναστάντες ἐπτοημένοι τὸν λοιπὸν χρόνον διάγουσιν.

Περὶ

vinum abſinthiten potui dare, cum cinnamomo, aut myrrha, aut nardo gallico, quod ſerinē aliqui vocauerunt: aut ſpicæ nardi duas drachmas, & myrræ totidē obolos, cū paſſo, aut irim cum croco ex vino: deraſúq; caput illinire hordeacea farina cum aceto, & trita ruta.

Toxicum. Cap. XX.

Toxicum ex eo nominari videtur, quòd barbarorum ſagittæ eo illinebantur. Qui biberint, labiorum & linguæ inflammatione torquētur: incoërcitus furor varias iis imagines obuerſat: quare vix medicinæ locus eſt: raróq; qui hauſerunt, euadent. Vinculis ergo cohibendi, vt vinum dulce cū roſaceo bibere, & reuomere cogantur: rapi ſemen bibendum cum vino. Priuatim iis cō uenit, quinque folii radix, & hircinus ſanguis, aut caprillus, eodem modo ſumptus: roboris, fagi, aut ilicis cortex cum lacte tritus: maláque cotonea trita eſſe, aut cum pulegio & aqua bibere, conueniet, amomum & balſami ſemen ex vino. Sed qui periculis defuncti ſunt, diu lecticis decumbunt, & vbi ſurrexere, ſtupidi reliquum vitæ tempus degunt.

Ixia.

Ixia. Cap. XXI.

Ixia quæ vlophonon appellatur, inter potādū aliquid ocymo ſimile guſtu & odore redolet: vehementē linguæ inflāmationē excitat, mētē mouet: omnes excremētorū exitꝰ ſupprimit: ſtrepitū cum animi deliquio ciet, iiſq; inteſtina latrāt, nec egeritur quicquā. Poſt vomitionē aluumq; reſolutā, auxilium prȩſtat aqua: in qua abſinthiū maduerit, ex vino largiore, aut aceto mulſo pota: rutæq; ſylueſtris ſemen, aut laſeris radix: item tragorigani decoctū, cum aliqua ſapradictorum, aut lacte, aut reſina terebinthina, aut nardo, aut caſtorio, aut laſerpitio, quorū ſinguli oboli cōueniūt. Quin & nuces iuglandes ex vino, cū reſina, caſtorio, & ruta tritȩ, ita vt ſingula drachmæ pōdꝰ æquēt. Itidē chamelȩæ aut tapſiæ, aut abſinthij ſucci ſicilicꝰ cū aqua mulſa, & acetū calidū potum.

Περὶ Ἰξίας. Κεφ. κα'.

Ἰξίας δὲ ὃς καὶ οὐλόφονον καλεῖται ἐν τῷ πίνεσθαι, οἷόν τι ὠκίμῳ κατά τὴν ὀσμὴν καὶ κατὰ τὴν γεῦσιν ἐμφαίνει. ἐπιφέρει δὲ γλώσσης φλεγμονὴν ἰσχυράν, καὶ παρακοπήν· καὶ τὰς ἐκκρίσεις ἐπέχει πάσας. βορβορυγμούς τε καὶ ψόφους μετὰ λειποθυμίας ἐπιφέρει δίχα τοῦ προχωρεῖν τί. βοηθεῖ δὲ αὐτοῖς μετὰ τὸ ἐξεμέσαι τὸ πλεῖον ἢ μετὰ τὸ τὴν κοιλίαν λυθῆναι πινόμενον ἀψινθίου ἀπόβρεγμα σὺν οἴνῳ πολλῷ, ἢ ὀξυμέλιτι· πηγάνου τε ἀγρίου σπέρμα ἢ σιλφίου ῥίζα· ὁμοίως τε τραγοριγάνου ἀφέψημα σύν τινι τῶν προειρημένων ἢ γάλακτι, ἢ τερεβινθίνῃ ῥητίνῃ ἢ νάρδου, ἢ καστορείου, ἢ σιλφίου, ἑκάστου ὀβολὸς, σὺν οἴνῳ. ἁρμόζουσι* δὲ καὶ ἡ τῆς βασιλικῆς καρύας καρποὶ λεῖοι σὺν ῥητίνῃ καὶ καστορείῳ καὶ πηγάνῳ, ἑκάστου < α'. ὁμοίως χαμελαίας < β'. ἢ ἀψινθίου χυλοῦ < β'. σὺν μελικράτῳ καὶ ὄξει πολλῷ πινόμενον.

Ceruſa. Cap. XXII.

Ceruſa ſuo colore proditur: ſumpta enim, mox palatum, gingiuæ, lingua, & commiſſuræ dētium, candore quodam inficiuntur: ſingultus, tuſſim, ac linguæ ariditatem excitat: iis extrema frigeſcunt,

mens

Περὶ Ψιμμυθίου. Κεφ. κβ'.

Τὸ δὲ ψιμμύθιον λαθεῖν οὐ δύναται διὰ τὸ χρῶμα. ἑκουσίως γὰρ ληφθὲν, λευκαίνει τὸν οὐρανίσκον καὶ τὰ οὖλα τὴν καὶ γλῶτταν καὶ τὸ μεταξὺ τῶν ὀδόντων· ἐπιφέρει δὲ λυγμούς καὶ βῆχα καὶ γλώττης ξηρότητα, καὶ ψύξιν ἀκρωτηρίων

μετὰ παρακοπῆς καὶ δυσκινησίας. οἷς ἁρμόζει μελίκρατον διδόναι ἢ σύκων ἢ μαλάχης ἀφέψημα, ἢ γάλα θερμὸν· ἢ σήσαμον λεῖον μετ᾽ οἴνου, ἢ κονίαν κληματίνην, ἢ ἀμαράκινον ἔλαιον ἢ ἴρινον, ἢ περσικῶν τὰ ὀστᾶ. *περιστερῶν δὲ ᾠὰ σὺν λιβάνῳ ἢ κριθίνῳ ἀφεψήματι, ἢ κοκκυμήλοις, ἢ κόμμει πτελέας, ἢ τὸ ἐν τοῖς φύλλοις τῆς πτελέας ὑγρὸν μετὰ χλιαροῦ ὕδατος.* ἁρμόζει δὲ ἐπ᾽ αὐτῶν καὶ θαψίας χυλὸς, ἢ σκαμμωνίας ὀπὸς σὺν μελικράτῳ πινόμενα.

Περὶ Μυκήτων. Κεφ. κγ´.

Μυκήτων δὲ, οἱ μὲν τῷ γένει βλάπτουσιν, οἱ δὲ τῷ πλήθει· ἐπιφέρουσι δὲ πάντες *πνιγμοὺς ἐοικότας ἀγχόναις. οἷς εὐθέως βοηθεῖν δεῖ κοινῶς, ἀναγκάζοντας ἐμεῖν δι᾽ ἐλαίου· θαυμαστῶς δὲ ὠφελοῦνται πίνοντες κονίαν κληματίνην, ἢ ἐξ ἀχραδίνου ξύλου, μετὰ ὀξυκράτου καὶ ἁλῶν ἢ νίτρου. καὶ συνεψόμεναι δὲ αἱ ἀχράδες ἢ τὰ φύλλα τοῖς μύκησιν ἀφαιροῦνται τὸ πνιγῶδες αὐτῶν, ἐσθιόμεναι δὲ ὠφελοῦσι. βοηθεῖ δὲ αὐτοῖς ἀλεκτορείδων ᾠὰ σὺν ὀξυκράτῳ πινόμενα μετὰ ἀριστολοχίας ὁλκῆς α. ἢ ἀψίνθιον σὺν οἴνῳ καὶ μέλιτι ἐσθιόμενον καὶ πινόμενον σὺν ὕδατι, μελισσόφυλλόν τε σὺν οἴνῳ πάνακός τε ῥίζα,

mens labat, mẽbra torpeſcunt. Quibꝰ dare cõuenit aquã mulſam, aut ficuũ aut maluæ decoctũ, aut lac calidũ, aut ſeſamã ex vino tritã, vel lixiuiã ex ſarmentis factã, amaricinũ oleum aut irinũ, perſicorũ oſſa cum hordei decocto: colũbina oua cũ thure, aut hordei decocto, aut prunis, aut gũmi qđ vlmus plorauit, aut humor quẽ vlmea folia reddiderunt, cũ tepida aqua: ſed tũ quoq; vomãt. Cõuenit etiã thapſiæ ſuccus, aut ſcãmoniæ, cũ aqua mulſa potus.

Fungi. Cap XXIII.

Fungorum alij genere, alij copia lædunt: omnes tamen ſtrangulatus ſuſpendio ſimiles concitant. Quibus confeſtim ſuccurrendum: cõmuniter ex oleo vomere cogendi: mirificè iuuat lixiuia ex ſarmentis, aut pyraſtri ſurculis, epota cũ ſale, poſca & nitro. Fructus, aut folia pyraſtri cum fungis decocta, ſtrangulantem illam vim auferunt, eſitatáque eiſdem auxiliatur. Aduerſus fungos gallinacea oua cum poſca proficiunt, adiecta ariſtolochiæ drachma: item abſinthiũ cum vino melléque ſumptum, & ex aqua potum apiaſtrum ex nitro panacis radix,

& ſemen in vino, fæx vini cremata cum aqua, atramentum ſutorium ex aceto: radix, vel ſinapis, aut naſturtiũ eſu ꝓſunt.

Gypſum. Cap. XXIIII.

Lapideſcens gypſum ſtrãgulationem creat: quare eadem proferenda ſunt, quæ manſis fungis, auxilia, & ad hęc maluę decoctum, quod etiam olei vicem pẽſat: vtpote cùm pingue ſit, euomendo lubricas vias & faciles reddit, deradiq́; corpora non ſinit. Quod vbi duratur in lapidẽ, gypſum efficit. Quin etiam prodeſt oleum ex aqua mulſa, aut ficorũ decocto: & lixiuia è ſiculneo cinere, aut ſarmentis facta, cum vino copioſiore pota: & origanum aut thymum cum lixiuia, aut aceto, aut paſſo: hiq́; decocto maluæ proluendi.

Sanguis taurinus.
Cap. XXV.

Tauri recẽs iugulati ſanguis epotus, ſpirandi difficultatem ſtrangulatũq́; cõcitat: faucium tonſillarũq́; meatus cũ neruorũ diſtẽtione præcludit: lingua rubeſcit: dentes inficiũtur, & quædam cõcreti ſanguinis veſtigia, inter eorum commiſſuras reſtãt. Quare vomitũ vitabimus: ſanguinis enim globi, attractu

καὶ καρπὸς σὺν οἴνῳ, τρύξ τε οἴνου κεκαυμένη μεθ' ὕδατος, καὶ * χάλκανθος σὺν ὄξει. ῥάφανός τε ἢ νάπυ ἢ καρδάμωμον ἐσθιόμενα.

Περὶ Γύψου. Κεφ. κδʹ.

Καὶ ἡ γύψος πνιγμὸν ἐπιφέρει λιθουμένη· ὅθεν καὶ τούτοις ἁρμόζει διδόναι τὰ πρὸς τοὺς μύκητας βοηθήματα, καὶ ἐπὶ τούτων τὸ τῆς μαλάχης ἀφέψημα, ὃ παραληπτέον ἀντὶ τοῦ ἐλαίου· λιπαρὸν γὰρ ὂν καὶ ἐν τῷ ἐξεμεῖσθαι ὄλισθον ἐμποιοῦν, οὐκ ἐᾷ καταξύεσθαι τὰ σώματα. λιθουμένη γὰρ ἡ γύψος ἐργάζεται τοῦτο. ἁρμόζει δὲ καὶ τὸ ἔλαιον σὺν μελικράτῳ ἢ σύκων ἀφεψήματι· καὶ κονία συκίνη ἢ κληματίνη σὺν οἴνῳ πολλῷ πινομένη· καὶ ὀρίγανος ἢ θύμος σὺν κονίᾳ, ἢ ὄξει, ἢ γλυκεῖ· δεῖ δὲ τούτους * ἀποκλύζειν τῷ τῆς μαλάχης ἀφεψήματι.

Περὶ Αἵματος ταυρείου.
Κεφ. κεʹ.

Αἷμα δὲ ταύρειον νεοσφαγὲς ποθὲν, δύσπνοιαν ἐπιφέρει καὶ πνιγμόν· ἐμφράττει τοὺς περὶ τὰ παρίσθμια καὶ τὴν κατάποσιν πόρους μετὰ σπασμοῦ ἰσχυροῦ· εὑρίσκεται τε ἔσω αὐτῶν ἡ γλῶττα ἐρυθρά· καὶ ὀδόντες βεβαμμένοι, καὶ θρομβία μεταξὺ αὐτῶν, ἐφ' ὧν τὸν ἔμετον παραιτούμεθα, τῶν θρόμβων μᾶλλον

μᾶλλον ἐν τῷ στομάχῳ σφηνουμένων διὰ τὸ μετεωρίζεσθαι αὐτοὺς κατὰ τὴν ὁλκήν. δίδοται δὲ ὅσα δύναται τὴν πῆξιν διαλῦσαι τοῦ αἵματος, καὶ τὴν κοιλίαν ὑπάγειν. τούς τε ὀλύνθους πλήρεις ὄντας τοῦ ὀποῦ σὺν ὀξυκράτῳ, καὶ νίτρον δὲ καθ' ἑαυτὸ ὠφελεῖ· καὶ πιτύα ἅπαντα σὺν ὄξει καὶ σιλφίου ῥίζῃ ἢ τῷ ὀπῷ· ὁμοίως καὶ κράμβης σπέρμα, κονία τε συκίνη· καὶ κονύζης σπέρμα σὺν πεπέρει, καὶ βάτου χυλὸς σὺν ὄξει. δεῖ δὲ τὴν κοιλίαν ὑπάγειν. εἴωθε δὲ τοῖς σωζομένοις ἀποδίδοσθαι διὰ τῆς ἕδρας καὶ ῥοώδη. καταπλάσσειν δὲ καὶ στόμαχον καὶ τὴν κοιλίαν, ἀλεύρῳ κριθίνῳ μετὰ μελικράτου.

Περὶ Γάλακτος ἐμπυτιαθέντος. Κεφ. κς΄.

Καὶ τοῖς λαβοῦσιν ἐμπυτιαθὲν γάλα, ἀθρόως πολὺς πνιγμὸς γίνεται διὰ τὸ θρομβοῦσθαι. οἷς βοηθοῦντας προσφέρειν δεῖ ὥσπερ ἀντίδοτον πυτίαν σὺν ὄξει, πολλάκις ἀναγκάζοντας πίνειν. καὶ καλαμίνθης τὰ φύλλα ξηρὰ ἢ τὸν χυλὸν ὁμοίως· ἢ σιλφίου ῥίζαν ἢ τὸν ὀπὸν σὺν ὀξυκράτῳ· θύμον τε σὺν ὄξει, καὶ τὴν πηλοποιητικὴν κονίαν. ἁλυκὸν δὲ μηδὲν προσφερέσθω, μᾶλλον γὰρ πήγνυται καὶ τυροῦται τὸ γάλα. ἀλλ' οὐδὲ τούτους ἐμεῖν δεῖ· ἐνιστάμενον γὰρ ἐπὶ τὰ τοῦ στομάχου στενὰ τεθρομβωμένον πνίγει.

Περὶ

attractu illo in ſublime relati, magis gulæ inculcantur. Dari ergo opus eſt quæ concretum ſanguinem diſcutiũt, & aluum ſubducũt. Groſsi lacteo ſucco turgentes ex poſca, & nitrum per ſeſe, auxiliantur: nec ſecus coagulum omne cum aceto et laſerpitij radice, aut laſere: itidem & braſsicæ ſemen, & è cinere ficulneo lixiuia: conyxæ folia cũ pipere, & rubi ſuccus ex aceto. Aluus reſoluẽda. Iis q̃ ſeruantur, ſtercoroſa & fluida per ſedem egeri conſueuerũt. Stomachũ aluúmque hordeacea farina ex aqua mulſa perungere oportet.

Lac coagulatũ. Cap. XXVI.

Eos qui coagulatũ lac hauſerũt, frequẽs illico ſtrãgulatio inuadit, quod ĩ globulos quoſdã lac coaleſcat. Quib⁹ iuuandis ꝑ antidoto, coagulũ ex aceto dam⁹, & bibere ſæpi⁹ cogimus. Dam⁹ & calaminthæ folia arida, itẽ ſuccũ: aut laſerpitij radicẽ, au laſercum poſca: thymũq; ex vino, & cum luto ſuo lixiuiã. Sed nulla ſalſilago obiiciatur, quoniã magis lac coiret, & in caſeũ denſaretur. Neque illos vomere conuenit: ſiquidẽ cõcretũ lac ſeſe in gulæ anguſtias inſinuans, ſtrãgulat.

Argẽti ſpuma. Cap.XXVII.

Spuma argenti pota, ſtomacho, vẽtri, & interaneis grauitatem cum magnis torminib⁹ adfert, & nonnunquã pondere ſuo inteſtina vulnerat, vrinámq; ſupprimit: corpus intumet, plũbeamq; deformitatem cõcipit. Quib⁹ ſubuenit ſecũdũ vomitionẽ, potũ ſylueſtris hormini ſemen, myrrhæ drachmę octo, abſinthiũ, hyſſopũ, apij ſemen, aut piper, aut liguſtri flos ex vino: aridũ palũbis fimum, cum nardo & vino.

Argentum viuum.
Cap. XXVIII.

Argentum viuum potum eadem quæ ſpuma argenti infert, eiſdémque vtendum auxiliis. Lac copioſæ potum auxiliari conſtat: ſed poſtea euomant, qui hauſerunt.

Calx, ſandaracha, auripigmentum. Cap. XXIX.

Calx, ſandaracha, & auripigmentum, pota aluum, & inteſtina cum vehementi eroſione excruciant. Præbenda cuncta quæ ſuo admiſtu illorum acrimoniam hebetant, ac ſoluunt, & facilem lubricámque aluum reddũt, cuiuſmodi ibiſci & maluæ ſuccus eſt: natura enim vtrique perlubrica.

Dandum

Περὶ Λιθαργύρου. Κεφ. κζ'.

Λιθάργυρος δὲ ποθεῖσα βάρος ἐπιφέρει στομάχῳ καὶ κοιλίᾳ, καὶ ἐντέροις μετὰ στρόφων ἐπιτεταμένων, ἐνίοτε δὲ καὶ πιτρώσκει τὰ ἔντερα διὰ τὸ βάρος, *καὶ ἐπέχει τὰ οὖρα· παροιδεῖ δὲ αὐτῶν τὸ σῶμα, καὶ μολιβδώδη ἀπρέπειαν λαμβάνει. ἐφ' ὧν ἁρμόζει μετὰ τὸν ἔμετον πινόμενα σὺν οἴνῳ ὁρμίνου ἀγρίου σπέρμα, *ἢ πέπερι, ἢ κύπρου ἄνθος σὺν οἴνῳ· περιστερῶν τε ἀγρίων ἄφοδος ξηρὰ μετὰ νάρδου καὶ οἴνου.

Περὶ Ὑδραργύρου.
Κεφ. κη'.

Ὑδράργυρος δὲ ποθεῖσα, τὰ αὐτὰ ἐπιφέρει τῇ λιθαργύρῳ, καὶ ἐπὶ τούτων δεῖ τοῖς αὐτοῖς βοηθήμασι χρῆσθαι. δοκεῖ δὲ αὐτοὺς ὠφελεῖν γάλα πινόμενον· ἐμείτωσαν δὲ καὶ οὗτοι.

Περὶ Τιτάνου.
Κεφ. κθ'.

Τίτανος, σανδαράχη καὶ ἀρσενικὸν ποθέντα. τὰ αὐτὰ ἀλγήματα κοιλίας καὶ ἐντέρων ἐπιφέρει μετὰ δηγμοῦ σφοδροῦ. ὅθεν προσφέρειν δεῖ ἅπαντα ὅσα μετὰ τοῦ κιρνᾶναι, δύναται τὸ ἐνεμές, καὶ πρὸς τὴν κοιλίαν ὀλισθηρὰν παρέχειν, οἷός ἐστιν ὁ τοῦ ἐβίσκου καὶ τῆς μαλάχης χυλός, λίαν ὀλισθηρὸς ὑπάρχων.

παρέχειν

παρέχειν δὲ δεῖ καὶ ἀφέψημα λινοσπέρμου, καὶ ὁ τῆς τράγου καλουμένης βοτάνης καρπὸς, ἢ ὀρύζης, καὶ γάλα πολὺ σὺν μελικράτῳ, καὶ ζωμοὶ λιπαροὶ καὶ εὔχυμοι.

Περὶ Λαγωοῦ θαλασσίου Κεφ. λ'.

Λαγωοῦ δὲ θαλασσίου ποθέντος παρακολουθεῖ γεῦσις ὁμοία ἰχθύσι βρωμώδεσιν· ἐν δὲ τῷ χρονίσαι, κοιλία τε ἀλγεῖ, καὶ οὖρα ἐπέχεται· εἴποτε δὲ ἐκκριθείη, πορφυρίζοντα τῇ χρόᾳ ὁρᾶται. ἀποστροφή τε καὶ μῖσος πρὸς πάντα ἰχθύν· καὶ ἱδροῦσι δυσώδη. παρέπεται δὲ αὐτοῖς καὶ ἔμετος χολώδης, ἐνίοτε αἵματι μεμιγμένος. οἷς δοτέον γάλα ὄνειον ἢ γλυκὺ συνεχῶς, καὶ μαλάχης ῥίζης καὶ τῶν φύλλων τὸ ἀφέψημα, ἢ κυκλαμίνου ῥίζαν λείαν σὺν οἴνῳ, ἢ ἐλλεβόρου μέλανος ἢ σκαμμωνίας ὀποῦ μετὰ μελικράτου, ῥοῶν τε πυρίνων. ἢ κεδρίας λείας μετ' οἴνου. ποιεῖ καὶ χηνὸς αἷμα ποθὲν θερμόν. μὴ δυνάμενοι δὲ οὗτοι ἰχθύας προσενέγκασθαι, μόνους τοὺς ποταμίους καρκίνους ἑφθοὺς ἐσθίουσι, * καὶ πίνουσιν οἴνῳ μεμιγμένῳ ἐπ' αὐτῶν. τεκμήριον δ' ἐστὶν ἐπ' αὐτῶν σωτηρίας ὅταν ἄρξωνται ἰχθύας προσφέρεσθαι.

Περὶ

Dãdum decoctum ſeminis lini, vel ſemen tragi herbæ, vel oryzæ, lacq; cum aqua mulſa copioſum, iura pinguia, & boni ſucci.

Lepus marinus. Cap. XXX.

QVI leporem marinum biberunt, piſcium virus olent: procedéte tempore, aluus dolore afficitur, & vrina ſiſtitur: etſi quando eam reddere con tingat, purpureum coloré referet. Omne piſcis genus auerſantur, & odio habent: fœtido ac graui ſudore manant: bilioſus vomitus, interdum ſanguini promiſcuus, ſubſequitur. His dandum lac aſininum, vel paſſum cõtinuè, aut radicis maluę foliorúmque decoctũ, aut trita cyclamini radix cum vino, aut veratri nigri, aut ſcammonij ſucci drachma, cum aqua mulſa, punicíque mali acinis. Cedria contrita cum vino effi cax eſt: anſerinus ſanguis, vt tepebit, potus. Sed cum piſces omnes reſpuant, aſpernétúrque, ſolis fluuiatilibus cancris veſci poſsint, bibúntque eos admiſto vino, adiutíque ab his percoquunt. Cúmque appetere et comeſſe piſces cœperint, ſuæ ſalutis indicium habent.

Rubeta

Rubeta & paluſtris rana. Cap. XXXI.

Rubeta, aut rana paluſtris aſſumpta tumores ciet, pallor corpus vehemẽter decolorat, vt planè buxeum ſpectetur: ſpirãdi difficultas torquet, & grauis halitus oris, ſingultúsque & inuita interdum genituræ profuſio cõſequitur. Adiuuantur ſecundum vomitionẽ multo meri potu & arundinis radicis binis drachmis, aut cyperi totidem. Breuiter, cogẽdi ſunt vt vehementi ambulationi & curſu ſe credant, ob torporem quo corripiuntur. Quinetiã quotidie lauãdi ſunt.

Hirudo. Cap. XXXII

Deuoratæ cum aqua hirudines, ſi ori ventriculi, adhærent, tractione partium, nonnullam ſuctionis imaginẽ præbent: eo enim argumento hauſta hirudo deprehenditur. Has muria ſorbitione excutit, & cyrenaicus ſuccus, aut laſerpitij folia, aut betæ, cum aceto, aut pota niuis glebula, cum poſca. Nitrum ex aqua gargarizatur, aut atramentum ſutorium aceto dilutum Si faucibus hæreant, iniectæ lupinorũ farina,

aqua

Περὶ Φρύνου. Κεφ. λά.

ΦΡΥΝΟΣ ἢ βάτραχος ἕλειος προσενεχθεὶς, ἐπιφέρει οἰδήματα σώματος μετὰ ὠχρότητος ἐπιτεταμένης, ὡς δοκεῖν πύξῳ ἐοικέναι· δυσπνοεῖν τε καὶ δυσωδίᾳ ὀδωδέναι τὸ στόμα, καὶ λυγμὸς αὐτοῖς ἕπεται, ἐνίοτε δὲ καὶ σπέρματος ἀπροαίρετος ἔκκρισις. εὐβοήθητοί τε τυγχάνουσι μετὰ τὸν ἔμετον λαμβάνοντες ἄκρατον πολὺν, καὶ καλάμου ῥίζης < β'. ἢ κυπείρου τὸ αὐτό. δεῖ δὲ αὐτοὺς καὶ ἀναγκάζειν συντόνως περιπατεῖν καὶ τρέχειν διὰ τὸ ἐν αὐτοῖς ναρκῶδες. λούειν τε καθ' ἑκάστην ἡμέραν.

Περὶ Βδέλλας. Κεφ. λβ'.

Βδέλλας τὰς καταπινομένας σὺν τῷ ὕδατι καὶ προσφυομένας ἐν τῇ καταπόσει τῷ στόματι τῆς κοιλίας, ἑλκούσας τὰ μέρη, καὶ φαντασίαν ἐκμυζήσεως παρεχούσας· ὃ γὰρ καὶ σημεῖόν ἐστι τοῦ βδέλλας καταπεπόσθαι. ἀποβάλλει ἅλμη καταῤῥοφουμένη, καὶ ὀπὸς κυρηναϊκὸς ἢ φύλλα σιλφίου, ἢ τεύτλου σὺν ὄξει πινόμενα. ἀναγαργαρίζεσθαί τε νίτρον σὺν ὕδατι, καὶ χάλκανθον σὺν ὄξει ἀνεθέντι. τὰς δὲ ἐν τῷ βρόγχῳ προσφυείσας ἐμβιβάσας εἰς ἔμβασιν θερμὴν,

δίδου

δίδου ψυχρὸν ὕδωρ ἐν τῷ στόματι διακρατεῖν καὶ ἐξελεύσονται. προνοητέον δὲ καὶ τῶν ἐπ' ὠφελείᾳ διδομένων, ἐπιφερόντων δὲ πολλάκις κίνδυνον οὐχ ἧττονα τῶν ἄλλων φαρμάκων. ὡς ἐλλεβόρου λευκοῦ, καὶ θαψίας καὶ ἐλατηρίου, καὶ ἀγαρικοῦ τοῦ μέλανος· πνιγμὸν γὰρ ἐπιφέρει ταῦτα ἢ ὑπερκαθάρσιν. θεραπεύομεν δὲ ὡς προείρηται ἐπὶ μυκήτων καὶ τῶν ὁμοίων. τὰς δὲ ὑπερκαθάρσεις τοῖς δυναμένοις ἐπέχειν τὰς ἐκκρίσεις στελοῦμεν. καὶ τῶν μὲν δοκούντων ἐπ' ὀλίγον βλάπτειν, ἐνίοτε δὲ κινδύνους ἐπιφερόντων, οὐκ ἀμελητέον. ὧν ἐστι τὸ ἄγριον πήγανον καὶ τὸ μελάνθιον καὶ οἱ νεαροὶ παγετοί.

aqua frigida ore contineatur, & ad eã hirudines exiliẽt. Prouidendũ etiam iis, quæ etſi ferẽdi auxilij gratia tradãtur, nõ minora tamẽ cæteris venenis pericula ſæpiꝰ adferũt. Qualia ſunt albũ veratrũ, tapſia, elateriũ, agaricũ nigrum: ſiquidẽ ea ſtrãgulatus concitãt, aut immodicas deiectiones mouẽt. Quibꝰ ea medẽtur, quę in fungorũ mẽtione & ſimilibus retulimꝰ. Nimios autẽ deiectionũ impetꝰ medicamẽtis q̃ excremẽta ſupprimũt coercebimus. Neq; negligẽda quæ parũ quidẽ nocere vidẽtur: interim verò vitã in diſcrimina agunt. Quo ĩ numero ſunt ſylueſtris ruta, gith, nouæ glacies, pappi recentes.

Περὶ Ἄξους. Κεφ. λγʹ.

Flos ſpinæ cactos dictæ. Cap. XXXIII.

Ἄξος, ἄνθος ἐστὶν ἀκάνθης τῆς καλουμένης ἄξου. ἐφ' ὧν ἔμετος μόνος παραληφθεὶς ἀποκαθίστησι τοὺς λαμβάνοντας.

FLORES autem ſunt eius ſpinæ, quæ cactos dicitur. Eos qui ſumpſerint, ſola vomitio recreat.

Περὶ ὕδατος ψυχροῦ. Κεφ. λδʹ.

Aqua frigida. Cap. XXXIIII.

Καὶ τὸ ψυχρὸν ὕδωρ ἀθρόον ποθὲν ἢ ἄκρατος πολὺς καὶ γλυκὺς οἶνος ποθεὶς, μάλιστα ἀπὸ βαλανείου ἢ δρόμου καὶ τῶν συντόνων γυμνασίων, πνιγμοὺς καὶ ἀλγήματα ἐπιφέρει. ἐφ' ὧν φλεβοτομία ταχέως παραληφθεῖσα,

Aqua frigida abundè pota, aut meracum vinum liberalius epotum, aut paſſum, præſertim à balneo, aut curſu, aut vehemẽti exercitatione, ſtrangulatus & dolores infert. In quibus ſanguinis miſsio protinus,

& vacuatio, imminentia ſoluunt pericula. Sed de notis veneficiorum, ac remediis, & cauendi modo, hactenus dicta ſint, Subiungeremus etiam antidota neceſſaria quæ præclarè auxiliantur, quibus vtimur, quale Mithridatium eſt pręſertim, & quod ſanguine, & quod ſcinco temperatur. Verùm quoniã aliis in locis diligentiſsimè ſcripta ſunt, hîc ab eorũ deſcriptione ſuperſedemus.

LIBRI SEXTI FINIS.

PEDA-

καὶ κενώσασα λύει τὸν ἐπηρτημένον κίνδυνον. Καὶ περὶ μὲν τῶν σημείων τοῖς λαβοῦσι τὰ θανάσιμα τῶν φαρμάκων, καὶ τῆς ἁρμοζούσης αὐτοῖς θεραπείας, ἔτι δὲ προφυλακτικῆς ἀγωγῆς, ἐπὶ τοσοῦτον ἡμῖν εἰρήσθω. ὑπογράψομεν δὲ καὶ τὰς ἀντιδότους ἀναγκαιοτάτα καὶ γενναιότατα βοηθούσας αἷς ἐχρήσαντο, τῇ τε μιθριδατείῳ. καὶ τῇ δι' αἱμάτων καὶ τῇ διὰ σκίγκων. ἃς διὰ τὸ ἐν ταῖς ἀντιδότοις ἀκριβέστατα ἀναγεγράφθαι, παρῃτησάμην ἀναγράφειν ἐνταῦθα.

ΤΕΛΟΣ ΤΟΥ ΒΙΒΛΙΟΥ ΕΚΤΟΥ

ΠΕΔΑ-

ΠΕΔΑΚΙΟΥ ΔΙΟΣΚΟΡΙΔΟΥ ΑΝΑΖΑΡΒΕΩΣ ΒΙΒΛΙΟΝ ΕΒΔΟΜΟΝ.

Περὶ ἰοβόλων, ἐν ᾧ καὶ περὶ λυσσῶντος κυνός. Κεφ. α´.

ΤΟΝ μὲν περὶ τῶν ἰοβόλων ζώων καὶ θανασίμων φαρμάκων λόγον προτιθέμεθα διελθεῖν, εἰς συμπλήρωσιν τοῦ περιοδευτικοῦ τόπου· καὶ γὰρ οὐδενὸς τῶν ἄλλων ἧσσον ἀναγκαῖόν ἐστι τοῖς ἰατρεύουσιν, ἐπειδήπερ, καὶ κινδύνων καὶ περιωδυνιῶν, καὶ ἀλγηδόνων, καὶ πλείστων ἄλλων κακῶν ἀπαλλάσεσθαι τοὺς ἀνθρώπους συμβαίνει διὰ τῶν ἐν αὐτῷ παραδιδομένων. κατὰ δὲ τῶν ἀνωτάτω μερίζεται διχῇ καθάπερ ἐν ἀρχῇ προανεπεφώνηται. καὶ ὁ μὲν περὶ τῶν ἰοβόλων, προσαγορεύεται θηριακός· ὁ δὲ περὶ τῶν θανασίμων ἀλεξιφάρμακος· ὃν τάξαντες δὴ προδείξομεν τὰ εἰωθότα παρακολουθεῖν· τά τε δυνάμενα βοηθεῖν πρὸς ἕκαστον αὐτῶν.

δεῖ

PEDANII DIOSCORIDIS ANAZARBEI, LIBER SEPTIMVS.

De venenatis, in quo & de cane rabioſo. Cap. I.

DE beſtiis quæ virus eiaculantur, & exitialibus venenis, ideò ſcribere aggredimur, vt tota curationis remediorúmq; ratio ad vmbilicũ perducatur: ſiquidem pars hæc non minus quàm cæteræ aliæ, neceſſaria eſt iis qui artem medicam exercent, vtpote cum adminiculo eorũ quæ inibi tradũtur, doloribus, periculis, & cruciatibus, plurimíſque aliis malis homines liberari conueniat. Hæc autem in ſumma faſtidia duo, ſicuti ab initio relatum eſt, diſtribuitur. Nam qui de feris virus inſpuẽtibus ſermo diſſerit, Theriacus dici ſolet: qui verò de amoliendis veneficiis, Alexipharmacus: quo prius tradito, ſimul quæ ſequi ſigna conſueuerunt, præmonſtrabimus: tum quæ nonnihil auxilij ferũt.

Omnia

Omnia auté in promptu, & ad manũ habere artificé oportet, ꝓpter vrgété ſępenumero neceſſitaté: ſiquidé pauca è venenis & virulentis animantibus, tarda & graſſantia ſenſim pericula cient, ita vt dilationé admittát: pleraq; verò præſentaneã perniciẽ afferunt. Hominũ auté partim malè aliis cogitátes, ingenita prauitate maleficiũ ita temperát, vt ſpatium curanti liberum nõ relinquát: partim ſceleris admiſsi cõſcientia, aut triſti aliquo euentu oppreſsi, hauſto ſponte veneno, morté ſibi conſciſcere conãtur. Qui poſtea deprehenſi, aut reſipiétes, & vitæ cupidi, præſentaneã opé poſcũt. Non deſunt qui hoſtiles ſagittas illinétes, aut fontes aquáſque puteanas hac labe polluétes, certã & ĩeuitabilé aduerſariis ꝑnicié molliũtur. In quib⁹ ipſis etſi maleficiũ nõ ſubitò, ſed aliquãto pòſt graſſari natura ſua cõparatum eſt, tñ niſi primo quoq; tpe coẽrceať, & remediis ſubinde excipiať, fruſtra tádé ſuccurritur, occupatis iã corporib⁹ exitiali vi veneni. Proĩde nõ vulgari induſtria diligétiáq; in ea re vtédũ eſt, vt qđ in aliis incõmodis ars cõſueuit, ĩ his quoq; ſalutẽ mortalibus prębeat. Quin & apud priſcos gen⁹ hoc vnũ exiſtima-

δεῖ δὲ πάντα πρόχειρα τὸν τεχνίτην ἔχειν, διὰ τὸ κατεπείγειν πολλάκις τὴν χρείαν· ὀλίγα μὲν γὰρ καὶ τῶν ἰοβόλων καὶ τῶν θανασίμων σχολαίοις καὶ ἐξ ἀναβολῆς φέρει τοὺς κινδύνους· τὰ πολλὰ δὲ εὐθέως. καὶ οἱ δι᾽ ἔμφυτον πονηρίαν ἐπιβουλεύοντες ἑτέροις, ἀνυπέρθετον τὸ κακὸν ἀπεργάζεσθαι βούλονται· καὶ οἱ διὰ μοχθηρὰν συνείδησιν ἢ χαλεπὴν περίστασιν ἑκουσίως προσενεγκάμενοι θανάσιμα. εἶτα φωραθέντες ἢ μετανοήσαντες ὀξυτάτης δέονται βοηθείας. καὶ πολέμιοι δὲ τόξων χρίοντες βέλη καὶ φρέατα καὶ πηγὰς δηλητηρίοις διαφθείροντες φαρμάκοις, ἀνυπέρθετον μηχανῶνται τοῖς ἐναντίοις τὸν θάνατον. ἐφ᾽ ὧν οὐχ εὐθὺς ἀλλ᾽ ἐσύστερον ἀπαντᾶν τὸ κακὸν πέφυκεν, εἰ μὴ παραχρῆμα παραληφθείη τοῖς βοηθήμασιν, ἀνόνητος ἡ εἰσαῦθις ἐπικουρία, τῆς φθοροποιοῦ δυνάμεως καταδραξαμένης τῶν σωμάτων. διὸ δεῖ οὐχ ὅπως ἔτυχε καὶ τὴν ἐν τούτοις ποιητέον ἐντρέχειαν, ἵνα ὥσπερ ἐν τοῖς ἄλλοις, τοῦτο καὶ ἐνταῦθα ὅλη ἡ τέχνη παρέχοι τοῖς ἀνθρώποις τὴν σωτηρίαν. παρὰ μὲν οὖν τοῖς ἀρχαίοις τὸ θεραπευτικοῦ μέρος ὑπελαμβάνετο

ϐαίνετο οὗτος ὁ τρόπος· οἱ δὲ νεώτεροι αὐτὸν ἐχώρισαν, προφυλακτικὴν καὶ προφυλακτικὸν ὀνομάζοντες, τοῦ δὲ ὑγιεινοῦ καὶ τοῦ θεραπευτικοῦ μέσον τάξαντες, μικρᾷ καὶ παντάπασιν ἐπιπολαίῳ πλανηθέντες πιθανότητι. φασὶ γὰρ γίνεσθαι τρεῖς καταστάσεις τοῖς ἀνθρωπίνοις σώμασι· μίαν μὲν, καθ' ἣν ὑγιαίνουσι· ἑτέραν δὲ καθ' ἣν νοσοῦσι· τρίτην δὲ μέσην ἑκατέρων. καθ' ἣν δοκοῦσι μὲν ὑγιαίνειν,* εὐεμπτώτως δὲ εἰς τὰ πάθη καὶ τοὺς κινδύνους ἔχουσι, διά τινα φθοροποιὸν ἐγκειμένην τοῖς σώμασι δύναμιν· ὡς ἐπὶ τῶν ὑπὸ κυνὸς λυσσῶντος δεδηγμένων θεωρεῖται καὶ μήπω* πεπτωκότων ὑδροφόβῳ. καὶ τῶν κανθαρίδας εἰληφότων μήπω δὲ περιωδυνωμένων ἢ δυσουρούντων. ἀναλόγως οὖν ταύταις ταῖς τρισὶ καταστάσεσιν, εἰς τρία διῃρῆσθαι τὴν τέχνην. εἴς τε τὸ ὑγιεινὸν ὃ δὴ τηρητικόν ἐστι τῆς ὑγείας· καὶ εἰς τὸ προφυλακτικόν, ὅπερ κωλυτικόν ἐστι τῆς εἰς τὰς νόσους ἐμπτώσεως· καὶ εἰς θεραπευτικὸν, δι' οὗ λύεται τὰ πάθη. ῥητέον δὲ πρὸς αὐτοὺς ὅτι πρῶτον μὲν κατὰ τὴν ἐπιβουλὴν ταύτην, οὐχὶ τρεῖς καταστάσεις περὶ τὸ σῶμα, ἀλλὰ τέσσαρες εἶναι λέγονται, ὡς γάρ εἰσί τινες οἱ μήπω μὲν νοσοῦν-

τες,

ſtimabatur eſſe eiꝰ partis, q̃ medicamẽtis pugnat: ſed recẽtiores id ipſum diſcreuerũt, nominãtes præcautionẽ, & modũ precauẽtẽ, ſalubris ſanantíſq; mediũ ſtatuẽtes, parua & leui ſupra modũ perſuaſione decepti. Siq̃dẽ treis in humanis corporibus cõſtitutiones eſſe cõtendũt, vnã, qua ſani degimꝰ: alterã, qua ſiniſtra valetudine corpora laborãt: tertiã, quæ mediũ inter vtraſq; locũ ſibi vẽdicat. In qua poſiti, ſanitatẽ ſpecie mẽtiũtur, faciléq; in morbos & pericula cõcidũt, ob vim corruptricẽ quæ corporibus noſtris incũbit: quẽadmodũ in iis videre licet, quos excandeſcẽs rabie canis momorderit, necdum tamẽ aquã horrẽt. In iis quoq; q̃ cãtharidas hauſerũt, ſed nondũ vrinę tormẽto cruciãtur. Tripartito igitur artẽ digeri, triplicíque corporis cõſtitutioni meritò reſpondere tradunt. Salubrẽ partẽ eſſe volunt, quæ ſanitatẽ tuetur: præcauentẽ, eandẽq; prohibẽtẽ, quæ obſtat quominꝰ in morbos incidãt: & ſanantẽ, qua vitia diſcutiũtur. Quibꝰ ita reſpõderi poteſt, ꝙ primũ ex iſta ratiocinatione nõ treis corporis tantùm, ſed quatuor haberi conſtitutiones fatẽdũ eſſet: quippe vt aliqui ſunt, qui necdum morbo laborant,

rant,

rãt, morbo tamẽ maximè ob impendentẽ cauſam ſunt obnoxij, ita ſunt, qui iã priore morbo defuncti, nondũ tamẽ ſecũdæ valetudini reſtitui ſunt: id quod in iis qui à morbo proximè ſeſe recolligũt, cernere licet, qui viriũ recreationẽ & robur deſiderãt. Sed quẽadmodũ curãdi ratio ad partẽ medicamentariã pertinet, ita præcautionẽ eidẽ ſubiici par eſt. Ad arcendas enim valetudines vehemẽtibꝰ vtimur auxiliis, altiore ſcarificatu, vſtionibꝰ, amputatione, derodẽtibus epithematis, potionibꝰ perniciei occurrẽtibus, & pleriſq; aliis. Verumenimuero ſunt uſque eò rudes nõnulli vt ne remedia quidẽ appellẽt quæ morbos arceãt. Cuiꝰ ſentẽtiæ inire rationẽ haud prõptũ eſt: etenim cùm verbũ ipſũ, præcauere, tũ agẽdi modus, omnino auxiliarẽ remediariãq; vim præ ſe ferũt. Mirũ verò niſi etiã ſua illa diſtributione partiũ eos cõplectũtur q̃ in peſtilẽtis cœli ſtatu morbo nõdũ correpti ſũt: peſti tñ, ꝓpter obuerſantis aëris occaſionẽ, opportuni, & in morbũ proni reddũtur. Dicere forſitã quis poſſet, ſalubris iſtitutionis præcepta nõ aliud eſſe, q̃ arcẽdorũ morborũ rationẽ: quippe cũ firma reddere corpora, & minus

τες, ἐπιτηδείως δὲ πρὸς τοῦτο διακείμενοι διὰ τὴν ἐπικειμένην αἰτίαν, οὕτως εἰσί τινες οἱ μηκέτι νοσοῦντες, μήπω δὲ τὴν ὑγείαν εἰληφότες· ὅπερ ἰδεῖν ἔστιν ἐπὶ τῶν ὑπογύως ἀπηλλαγμένων τῆς νόσου, ἀναλήψεως δὲ καὶ ῥώσεως δεομένων. ἀλλ' ὃν περ τρόπον ἡ ἐπιμέλεια τοῦ θεραπευτικοῦ μέρους τῆς τέχνης ἐστί, τὸν αὐτὸν τρόπον καὶ προφυλακτικὸν ὑπὸ τοῦτο τετάχθαι προσήκει. βοηθήμασι χρώμεθα καὶ τοῖς σφοδροτάτοις ἐν τῇ προφυλακῇ, καταχάσματι βαθυτέρῳ, καὶ καύσεσι καὶ περικοπῇ καὶ δηκτικοῖς ἐπιθέμασι καὶ προποτισμοῖς, καὶ ἄλλοις πλείοσιν. ἀλλ' ἄγε οὕτως εἰσί τινες ἀγνώμονες, ὡς μὴ δὲ βοηθήματα καλεῖν τὰ προφυλακτικά. οὐ ῥᾴδιον εἰπεῖν καθ' ὅν τινα λόγον· καὶ τὸ ὄνομα μὲν γὰρ προφυλακή, καὶ ὁ τῆς ἐνεργείας δὲ τρόπος τοῦτο αὐτὸ πάντως βοήθημα ἀποδείκνυσι, πῶς δὲ οὐκ ὑποτάσσουσι τῇ διαιρέσει καὶ τοὺς ἐν ταῖς λοιμικαῖς περιστάσεσιν, οὔπω μὲν ἑαλωκότας πάθει, διακειμένους δὲ πρὸς τοῦτο ἐπιτηδείως πως διὰ τὴν ἐκ τοῦ περιέχοντος ἀφορμήν. εἴποι δ' ἄν τις, καὶ τὴν τῶν ὑγιεινῶν παραγγελιῶν ἀγωγήν, οὐδὲν ἕτερον ἢ προφυλακτικὸν ὑπάρχειν· δυναμοῖ γὰρ τὰ σώματα καὶ στερεὰ

στερεὰ παρασκευάζειν πειρώμεθα χάριν τοῦ δυσάλωτα γίνεσθαι τοῖς νόσοις. τὸ δὲ κυριώτατον ῥητέον ἐστὶ, τὰ μέρη τῆς ἰατρικῆς, οὐχὶ ταῖς καταστάσεσι τοῦ σώματος ἀναλόγως δεῖν εἰρῆσθαι· ἀλλὰ φυσιολογεῖν διὰ τὸ σημειωτικὸν ἰδίᾳ ἕκαστον τῶν ἄλλων, ὡς ἐν τοῖς οἰκείοις τόποις ὑποδείκνυμεν. πρὸς τούτοις μὲν οὖν οὐ * πλείονα ῥητέον. ἐκεῖνο δὲ μᾶλλον παρασημειωτέον· ὅτι καλεῖται μὲν ἀναιτιολόγητα τὰ ἀπὸ τῶν ἰοβόλων ζώων, καὶ τὰ ἀπὸ τῶν θανασίμων συμβαίνοντα φαρμάκων, καὶ πρὸς ταῦτα βοηθεῖ· διὰ τοῦτό γε καὶ παρατηρητικῆς τυγχάνει ἀναλογιστικῆς τῆς τέχνης προσαπτούσης ἀπόρημα, ἣν δὴ ὁ λόγος πεπίστευται. οὐδὲ γὰρ ἐν τῷ καθάπαξ τοῦτο ἦν ἀληθές. ἀλλ᾽ ἀεὶ τὸ παρέλκον καὶ μηδεμίαν χρείαν ἐπί τινα τῶν ἔργων παρεχόμενον δυσόχαστον· εἰ καὶ τελέως ἀναιτιολόγητον ὑπάρχει κατὰ τὰς ἰδιότητας, τοῦτο δὲ ἐπὶ τῶν θανασίμων φαρμάκων καὶ τῶν ἰοβόλων ζώων εἰωθὸς ἀποβαίνειν. τὸ μέντοι * ἄχρηστον εἰς τὰ ἔργα, καὶ τὸ παρέχον τὰς τοῦ θεραπεύειν ἀφορμὰς, οὔτ᾽ ἀκατάληπτόν ἐστιν, οὔτ᾽ ἀναιτιολόγητον· καὶ μᾶλλόν τις ὁρμώμενος ἀπ᾽ αὐτοῦ, πίστιν καὶ παρρησίαν ἔχειν διεβεβαιώσατο περὶ τῆς καταλήψεως

τῶν

minꝰ vitiis obnoxia nitamur, vt inoffenſa valetudine degãt, nec morbis cõflictẽtur. Neq; id ſilẽtio prætereundũ, quod maximè præcipuũ, & tanq̃ caput rei eſt, nõ oportere medicinę partiũ diſtributionẽ, totidẽ corporis cõſtitutionibꝰ reſpõdere: ſed naturas ſingulorũ ſuis notis ſeorſum ſcrutari ac explorare, vt ſuis locis oſtẽdimus. Cum iis igitur nõ pluribus agẽdũ. Illud magis adnotare conuenit, affectus qui à virulẽtis animalibus veneníſque cõtrahũtur, vocari cæcos, id eſt, quorum ratio minimè iniri poteſt. Quin & ea quæ eiſdẽ auxiliãtur, nulli pariter ſunt addicta cauſæ: quapropter quæſtionibus obſeruatoriæ artis, & eiꝰ quæ ratiõe fulciatur, annumerari ſolẽt. Neq; prorſus verũ deprehenditur, affectꝰ huiuſmodi cæcos eſſe. Nã quod ſemper ſe ꝓtrahit, & nullũ in quibuſdã neceſſariis vſum exhibet, haud facili cõiectura colligi poteſt: etſi naturę proprietate ꝓrſus cæcos eos affectꝰ cõcedimꝰ, qui ab exitialibꝰ venenis, & animãtibus quæ virulẽto morſu ſęuiũt, cõtrahũtur. Nã q̃d ad opꝰ nõnullũ vſũ prębet, dátq; medẽdi occaſionẽ, neq; imperceptibile, neq; cęcũ, nullíve cauſę obnoxiũ reputatur: ſed magis

ab ipſo

ab ipſo quis impulſus, demõſtrationé ſe habere, & opinioné de abditorũ cognitione cõfirmare poterit. Nã etſi ſępe minora ſũt, q̃ vt ſenſib⁹ percipiãtur, euidéter tamé ex ipſis inter ſe collatis deprehédũtur. Diocles auté in eo cõmétario qué Piſtarcho dicauit, ſatis modos pſtrinxit, ad verbũ ita ſcribés: Noſſe q̃s hoc poteſt cũ in aliis nõ paucis, tũ in viperis, & ſcorpionibus & reliquis id genus, ſecũ animo reputãs, vt q̃uis exiguo ſint corpore, vixq; cõſpectui ſubiiciãtur, magnorũ tamé diſcriminũ ac dolorũ cauſas inferũt: quorum nihil præter quãdã corporis exiguitaté, vímq; prę cæteris animãtib⁹ datã illis, facile fuerit ſpectare. Quãta enim ea moles corporis eſt, quę à ſcorpij ictu, & aliorũ id genus venenatorũ quę nos morſu cõficiũt, attingitur? quorum aliqua vehemẽtes cruciat⁹ excitãt, alia erodũt & putredines cient, nec deſunt q̃ pręſentaneã pnicié moliant. Aut quãtulũ eſt qđ à phalãgij morſu ingerit, & vniuerſum corp⁹ excruciat? neq; enĩ q̃s magnitudiné ipſorũ dephédere poſſet, cũ prorſus exigua mole conſtẽt. Ergo ꝙ hęc ad affect⁹ referãtur cõſtitit inter oẽs. Verũ quod exactè deprehéſum ſit, vim quãdã ipſis

τῶν ἀδήλων· διαφέρουσι μὲν γὰρ ταῖς αἰσθήσεσιν ἀπὸ τῶν ἰδίων διὰ σμικρότητα καταλήψεως ἐναργοῦς ἐξ ἀλλήλων τυγχάνουσιν· ἱκανῶς δὲ ἐφώδευσε τοὺς τρόπους Διοκλῆς ἐν τῷ πρὸς Πλείσταρχον ὑπομνήματι, γράφων ταῦτα κατὰ λέξιν· γνοίη δ' ἄν τις τοῦτο καὶ ἐπ' ἄλλων οὐκ ὀλίγων, καὶ ἐπὶ τῶν ἐχιδνῶν ἢ σκορπίων καὶ ἑτέρων τοιούτων ἀτενίσας δὲ ὡς ἄδηλα καὶ μικρὰ τὸ γένος ὄντα, μεγάλων αἴτια κινδύνων καὶ πόνων γίνεται· ὧν οὐδὲ ἰδεῖν ἔνια ῥάδιον παρά τινα σμικρότητα καὶ ἰσχὺν ἀπολειπομένην αὐτοῖς ἀπὸ τῶν ἄλλων θηρίων. ὁπηλίκον γάρ τι νομίζειν τὸ μέγεθος, ὅσον ἀπὸ τῆς πληγῆς, τοῦ σκορπίου καὶ τῶν ἄλλων τῶν τοιούτων τῇ σαρκὶ λυμαινομένων; ὧν τὰ μέν ἐστι ποιοῦντα πόνον ἰσχυρὸν, τὰ δὲ, σήποντα, τὰ δὲ, κτείνοντα συντόμως. ἢ τὸ διὰ τοῦ φαλαγγίου δήγματος ἐνιέμενον, καὶ ὅλον τὸ σῶμα διαπονούμενον; οὐδὲ γὰρ ἂν* διαγνῶναι τὸ μέγεθος αὐτῶν δύναιτό τις, διὰ τὸ παντάπασιν εἶναι μικρόν. ὅτι μὲν οὖν πρὸς τὰς διαθέσεις ταῦτά ἐστιν, ὡμολόγηται παρὰ πάντων. ὅτι δὲ καὶ ἀκριβῶς κατείληπται τῷ τὴν δύναμιν αὐτῶν γενέσθαι τινα φθοροποιὸν, ἤ τις

ἤ τις καταμιγνυμένη τοῖς σώμασιν αἰτία τῶν συμβαινόντων κακῶν γίνεσθαι συγκεχώρηται, καὶ τοῦτο πεπίστευται. καὶ οὐδεὶς ἂν οὕτως εὑρεθείη φιλόνεικος, ὡς ἄλλοθεν φῆσαι τὰς ὀχλήσεις καὶ οὐχὶ δι' ὕλης φθοροποιοῦ καθαπτομένης τῶν σωμάτων μόνων ἀπὸ μέρους συμπίπτειν. τοῦτο δὲ ἦν τὸ πρὸς τὰ ἔργα τῆς τέχνης χρησιμεύοντα, κατὰ πᾶν ἔργον, τὸ ἔργον τοῦτο ποιούμενον ὑπαγορεύειν ὥστε ἡμᾶς μηδὲ βλάπτεσθαί τι κατὰ πάντα ὑπὸ τῆς κατὰ τὴν ἰδιότητα ἀκαταληψίας τῆς κοινῆς αἰτίας· καὶ τό τε ἐνδείκνυσθαι δυναμένης βεβαίως κατειλημμένης. διὸ καὶ ὁ Ἐρασίστρατος ἐπισκώπτων τὴν αὐθάδειαν τῶν ἐμπειρικῶν, αἰτίαν τοῖς ἀναιτιολογήτοις ἀνέθηκεν, οὐ συγχωρῶν αὐτοῖς τὴν αἰτίαν τὴν ἐπαναβεβηκυῖαν καὶ καθολικήν, ἄληπτον ἐπὶ τῇ νόσῳ ὑπάρχειν· τῇ ἐν τῷ περὶ αἰτιῶν γραφῇ ταύτην διαλευκαίνων, τῷ τε μὴ λέγειν ἐπί τινων ἀρκούμεθα τῇ τετριμμένῃ θεραπείᾳ οἷον ἐπὶ τῶν θηριοδήκτων καὶ θανασίμων καὶ ἐπὶ τῶν λοιπῶν, ἀρκεσθησόμεθα τῇ παρατηρήσει τῆς τῶν αἰτιῶν προσλήψεως χωριζόμενοι τελέως. πρῶτον μὲν γὰρ κατὰ γένος οὐ ἀκατάληπτά εἰσιν. ὅτι μὲν γὰρ δύναμις ὑπάρχει φθαρτική, καὶ τῶν

dā ipſis ineſſe mortiferā, quæ inſinuata corporib⁹ moleſtiarū, quæ exoriūtur nobis cauſa ſit, in cōfeſſo eſt, & omniū cōſenſu perſuaſum. Nec quiſq̃ inuenietur vſqueadeò cōtētionis ſtudio flagrās, qui aliūde exoriri moleſtias aſſeueret, q̃ à materia mortifera partē corporis attingēte. Porrò id erat qđ inter vtilia artis opera ī oī opere dicere oportuit, quænā res op⁹ hoc efficiat, vt nihil ꝓrſus nos lædat, īcōprehēſa cōmunis cauſæ q̃ ꝓpriis ineſt ratio: qñquidē tū euidenter indicari poſsit cū deprehēſa eſt. Ideo Eraſiſtrat⁹ empiricorū ꝑtinaciā graui cauillatione inceſſens, cæcis affectib⁹ cauſas aſsignauit, inficiat⁹ his cōmunē, & ſupremā morborū cauſam incōprehēſibilē eſſe: & hāc in eo quē de cauſis ſcripſit commētario aptiſsimè ꝓdidit: cādido ſignatā lapillo. Nec ferēdos eos eſſe cēſuit, qui ſe dicant in quibuſdā, vt in venenis, ſerpentiū ictibus, & cæteris id genus trita medēdi ratione cōtentos eſſe. Neq; ſatiſfacturā ſibi obſeruationē, eā quæ à cauſarū cōprehenſione ſeparata eſt. Primum enim genere comprehendi facile poſſunt. Quod autē ſit letifira vis, corpo

corporáq; permutás,ita vt perimat, ex iis quæ per genus, nō per ſpeciē vagantur, curationem indicat, qua hæc hebetare,&prorſus expugnare liceat. Cū verò ſubiungit:Ad aquam dulcē, & potui idoneam venit quis, & ante obſeruationē ad vomitū, ad vulneris dilatationē,ad demorſæ partis ſuctū,cucurbitulas adfixit,partē incîdit, vrētia medicamēta,aut ea quę vim eandē adipiſcuntur admouit,poſtremò partem amputauit: ſecū reputauit medicamina,quæ per ſummā cutim ferre,& applicari ſolita, immiſſæ ad intima perniciei repugnarent.Hæc itaque quæ diſſeruit Eraſiſtratꝰ,veritati cōſentanea ſunt, nec arti refragantur. Sed methodicos demirari licet,qui mortiferā vim corporibus illapſam negotiorū,quæ ipſa faceſſit,eſſe cauſam diffiteantur, verū rudiuſculè nomini attendūt. Nā apud ipſos palàm immiſſa vis φθοροποιός, id eſt mortifera,nominatur: φθοροποιὸν autē nullius officij alius eſſe poteſt,quàm cauſæ.Aiunt hęc nomina, μαρσιππος, & ἀνακαλύπτειν, eſſe reliquis omnibus ſimilia, in quibus partes quædam dictionū nō pro virtute, ſed

καὶ τῶν ὑποκειμένων ἀλλοιωτική, ὥς τε ἀναιρεῖν ἐκ τῶν κατὰ γένος οὐ μὴν κατ' εἶδος, ὑπογράφει θεραπείαν, δι' ὃ ταῦτα ἀμβλωτέον καὶ κατεργαστέον. ὅτι δὲ φησίν· ἦλθέ τις ἐφ' ὕδωρ γλυκὺ καὶ πότιμον, καὶ περὶ τῆς παρατηρήσεως ἐπ' ἔμετον* διὰ τάσιν τοῦ πεπληγότος, ἢ δεδειγμένου μέρους ἀποθηλασμὸν, σικύας προσβολὴν, ἐκτομὴν καυτηρείων, φαρμάκων τὸ αὐτὸ δυναμένων ἐπίθεσιν, τὸ τελευταῖον ἀποκοπὴν τοῦ μέρους· ἀνελογήσατο τῶν πεφυκότων φαρμάκων εἰς τὴν ἐπιφάνειαν φέρεσθαί τινα, τῇ ἐνιεμένῃ εἰς τὰ κατὰ βάθος ἐναντιοῦσθαι φθορᾷ. ταῦτα μὲν οὖν δι' ὧν εἴρηκεν. Ἐρασίστρατος ταῦτα εἴρηκε καλῶς καὶ τοῖς ἔργοις ἀκολούθως. θαυμάζειν δέ ἐστιν ἐπὶ τῶν μεθοδικῶν, οἵ τινες οὐ συγχωροῦσιν αἰτίαν εἶναι τὴν φθοροποιὸν ἐνιεμένην δύναμιν ἐκ τῶν ἀπ' αὐτῆς γινομένων ὀχλήσεων, ἀλλὰ τρόπον μὲν ἀνοήτως οὕτω τῷ ὀνόματι προσέχουσι. φθοροποιὸς γὰρ καὶ παρ' αὐτοῖς ἄντικρυς ἡ ἐνιεμένη δύναμις προσαγορεύεται. τὸ δὲ φθοροποιὸν εἶναί τι αἰτίας οὐκ ἄλλου τινὸς ἔργου ἐστί. φασὶ δὲ τὸ μὲν ὄνομα τὸ μάρσιππος καὶ τὸ ἀνακαλύπτειν, τοῖς λοιποῖς πᾶσι παραπλήσιον ὑπάρχειν, ἐφ' ὧν μέρη τινὰ τῶν λέξεων οὐχ ὅτι κατὰ δύναμιν, ἀλλὰ

ἀλλὰ κατὰ ψιλὴν περιείληπται τὴν ἐκφορὰν. ἔν τε γὰρ τῷ μάρσιππος καὶ τῷ ἀνακαλύπτειν, ὡς τὰς κυρείας καὶ προηγουμένας οὐκ ἔχει σημασίας· οὕτω καὶ ἐν τῷ φθοροποιεῖν παρελκόντως καὶ οὐ κατὰ δύναμιν ἐντέτακται. μεταβαίνουσι δὲ ἐνταῦθα ἐπὶ τὰς τῶν αἰτίων διαφορὰς, καὶ λέγουσιν ὅτι τῶν αἰτίων, τινὰ μὲν ἐστι τὰ προκαταρξαντα, ἃ ποιήσαντα πάθος χωρίζεται· οἷον, κόπος καὶ ψύξις, ἔγκαυσις, καὶ τὰ παραπλήσια. τὰ δὲ, συνεκτικὰ διὰ τὸ ποιεῖν τὸ πάθος καὶ παραμένειν, τουτέστιν ὧν μὲν παρόντων τὰ ἀποτελέσματα πάρεστιν· αὐξανομένων δὲ αὔξεται· καὶ μειουμένων μειοῦται· καὶ παυσαμένων παύεται· καὶ αὐτοτελῆ δύναται εἶναι καθ' ἑαυτὰ παραγινόμενα τῶν ἀποτελεσμάτων. καὶ τοιαῦται μὲν τῶν αἰτίων αἱ δοκιμώταται διαφοραὶ, τὸ δὲ φθοροποιὸν οὐδεμιᾷ τούτων ὑποτάσσεσθαι πέφυκε. προκαταρκτικὸν μὲν γὰρ οὐκ ἔστιν, ἐπειδήπερ τὸ πάθος αὐτὸ παραμένει καὶ τοῦ σώματος οὐ χωρίζεται. συνεκτικὸν δ' οὐκ ἂν λέγοιτο, πλεῖστον μὲν γὰρ τοῦτο πάρεστι· καθάπερ ὑπὸ λυσσῶντος κυνὸς δεδηγμένον γίνεται. εἰ δὲ μὴ προκαταρκτικὸν γίνεται μὴ δὲ συνεκτικὸν, οὐδὲ αὐτοτελὲς, οὐδὲ συναίτιον ἂν εἴη. εἰ δὲ ἐκ μηδεμιᾶς διαφορᾶς τῶν αἰτίων

ἄγειν

ſed nuda enũtiatione cõprehẽdũtur. Enimuero quẽadmodũ in his vocibꝰ *μάρσιππος* & *ἀνακαλύπτειν*, partes neq; certos neque principes retinẽt ſignificatus: ſic in hoc verbo *φθοροποιεῖν* partes ꝓductionis gratia, nõ ꝓ virtute coaluerũt. Hinc ad cauſarũ differentias trãſeũt, affirmãtq; cauſarũ aliquas euidẽtes eſſe quę dũ aduerſã valetudinẽ crearũt, ſeparantur: cuiuſmodi ſunt frigus, labor, ęſtus, & ſimilia. Quaſdã cõtinẽtes, quæ permanẽt poſtquã morbũ excitarũt, hoc eſt, quibꝰ præſentibus, & effectꝰ eorũ adſunt: increſcẽtibꝰ, effectꝰ augẽtur, decreſcẽtibus, minuũtur: & cũ deſinunt, iidẽ finiũtur: qbꝰ ſolis ac per ſe manẽtibus, effectus quoq; ipſi manẽt. Talia quidẽ receptiſsima ſunt cauſarũ diſcrimina, quorũ nulli phthoropœon ſubiici poteſt. Euidẽs enim cauſa non eſt, quoniã morbꝰ ipſe permanet, nec ipſa à corpore ſeparat. Nec cõtinẽs cauſa dici poteſt, cùm magna ex parte hic adſit: quẽadmodũ accidit iis, q̃ à rabioſo cane ſũt demorſi. Quòd ſi neq; euidẽs cauſa neq; cõtinẽs fuerit, neq; per ſe, neq; alterꝰ cõſortio cauſa erit. Quòd ſi à nulla cauſarum differentia

V phthoro-

phthoropœó deducere poſſum⁹ cõſequitur, vt neq; cauſam eſſe fateamur. ꝙ aũt aſſerũt, vocabula quædã in ſe nõ habere parteis rerũ ſignificatrices, ſed nuda, & ſimplici ꝓnũtiatiõe ficta eſſe fateri neceſſe eſt. Verũ nõ oĩa, ſed ꝑpauca talẽ nãciſci cõditionẽ exiſtimãdũ eſt: neq; enĩ ποιεῖν in hoc noĩe φθοροποιὸν perinde atq; aſſumptitia ꝓfertur, ſed longè principẽ obtinet ſignificationẽ. Quẽadmodũ enim φθορᾶς, id eſt corruptiõis, nomẽ mutationẽ in pei⁹ ſignificat, ſic hoc verbũ ποιεῖν, ſumi debet, vt nihil ampli⁹ ex eo qđ hãc dictionẽ φθορᾷ ſecũ habeat declaret: neq; ꝓrſus id ſignificat, quod oẽs palã audiũt, & huic ſimiliter reddit̃, τινὰ δ' ἔχειν δίψος. Si dãt corruptione ſanis fieri morbũ, cõcedũt vtiq; vim ĩ huiuſmodi verbo ποιεῖν ſubeſſe, ſiq̃dẽ aliq̃d eſt qđ corruptionẽ efficiat. Oẽ aũt qđ aliq̃d efficit, oſtẽdit̃ perſingulas cauſas q̃ corporib⁹ ſubiiciũt̃, idq; tã in lętalib⁹ venenis, q̃ ĩ iis q̃ corporib⁹ ingerũt̃. Verũ nõnihil ſubiacere cauſarũ differẽtiis ꝑdunt. Quinetiã aberrarũt, nõ exactã diuiſionẽ aſſumẽtes. Qui verò ſe dogmaticos profitẽtur, cauſã eſſe partim ꝑparãtẽ, partim cõtinentẽ

ἄγειν δυνησόμεθα τὸ φθοροποιὸν, συγχωρεῦμεν αὐτὸ μὴ δὲ αἴτιον ὑπάρχειν. τούτων δὲ λεγομένων καὶ ὄντων, τὸ μέν τινα τῶν ὀνομάτων ἐν αὐτοῖς μὴ ἔχειν μέρη σημαντικὰ τῶν πραγμάτων, ἀλλὰ κατὰ ψιλὴν τὴν ἐκφορὰν πεποιημένα, συγχωρητέον. ὅτι δὲ μὴ πάντα ὑποληπτέον τοιαῦτα ὑπάρχειν, ἀλλὰ παντελῶς ὀλίγα· οὐδὲ τὸ ποιεῖν ἐν τῷ φθοροποιῷ παραπλησίως τοῖς ὑποληφθεῖσιν ἐξενήνεγκται, κυριωτάτην δ' ἔχει τὴν σημείωσιν. ὡς γὰρ τὸ τῆς φθορᾶς ὄνομα τῆς ἐπὶ τὸ χεῖρον μεταβολῆς σημαντικόν ἐστι, οὕτω καὶ τὸ ποιεῖν παραληπτέον, μηδὲν ἐν τῷ φθορὰν ἔχειν δηλοῦν· τούτου δ' οὗ περ ἐξακούουσι πάντες, τελέως ἄσημον γίνεται τοὔνομα, καὶ παραπλήσιον τῷ τινὰ δ' ἔχειν δίψος. εἰ διδόασιν ἀπὸ τῆς φθορᾶς ὑγιεῖ γίνεσθαι τὴν νόσον, συγχωροῦσι δηλονότι καὶ ἐπὶ τοῦ ποιεῖν, εἰ μή τι φθορᾶς ἀπεργαστικόν ἐστι. πᾶν δὲ τὸ ποιοῦν, καὶ ἀπεργαζόμενόν τι, καθ' ἕκαστον αἴτιον δείκνυται τῶν ὑποκειμένων ἐν τοῖς σώμασιν, ἐπί τε τῶν ἐνιεμένων καὶ θανασίμων φαρμάκων. ἀλλὰ ὑποπίπτειν τι φασὶ τῶν τῶν αἰτίων διαφοραῖς. πεπλάνηνται δὲ κἂν ταῦθα διαίρεσιν ἀκριβῆ οὐκ εἰληφότες. λέγεται δὲ καὶ παρὰ τοῖς δογματικοῖς αἴτιον ὑπάρχειν καὶ αὐτὸ, κατὰ μέν τι παρασκευαστικὸν, κατὰ δέ τι συνεκτικόν. ὡς βου-

ὡς βουβώνων ἕλκος καὶ βουβώνων πυρετὸς, καὶ τὸ συνεφιστάμενον τῷ ἀποτελεσματικῷ, χωριζόμενόν τε ὡς πτῶμα κατάγματος. καὶ καθόλου δὲ ὅταν τι κατὰ τὴν ἑαυτοῦ φύσιν αἴτιον ὑπάρχῃ μὴ περιέχηται δ' ἔν τινι διαιρέσει μοχθηρὸν μὲν οὐχὶ δὲ καὶ αἴτιον τῶν τῆς ὁμογενῶν περιγέγραπται φύσεως. ὅτι δὲ τὸ φθοροποιόν ἐστιν αἴτιον, ἐλέγχεται μὲν καὶ ἀπὸ τοῦ ὀνόματος, δείκνυται δὲ ἐναργέστερον ἐπὶ τῶν συμβαινόντων. τί γὰρ αἴτιον ὑπέλαβον εἶναι μετὰ τὴν ἐκ τοῦ δακέτου πληγὴν, ἢ τὴν ἐπιγινομένην ὑπὸ τοῦ ζώου δύναμιν, καὶ τὸν εἰς τὰ σώματα βαλλόμενον ἰόν; μήτε ψῦξιν, μήτε ἔγκαυσιν, μήτε ἐκκοπὴν, μήτε ἀπεψίαν, μήτε ἄλλό τι παραπλήσιον ἔχοντες αἰτιᾶσθαι. ἐπεὶ δὲ καὶ ταῖς διαφοραῖς χαίρουσι τῶν αἰτίων, τὰ μὲν, καλοῦντες συνεκτικὰ, τὰ δὲ, προκαταρκτικὰ, λεκτέον αὐτοῖς ὅτι καθ' ἕτερον δὴ τούτων αἴτιόν ἐστι τὸ προκαταρκτικὸν, ῥηθήσεται δὲ ἀπὸ τοῦ προάγειν τοῦ ἀποτελέσματος καὶ τὸ προϋπόστασιν λαμβάνον τοῦ σώματος. συνεκτικὸν δὲ ἐπειδὴ τῶν παθῶν παρόντων καὶ αὐτὸ πάρεστι, καὶ χωρισθέντος αὐτοῦ, χωρίζεται καὶ τὰ συμβαίνοντα περὶ αὐτό. περὶ τούτων μὲν οὖν οὐ πλείω ῥητέον. θετέον δὲ ἔσωθεν ἐναργεστάτην φθοροποιὸν δύναμιν αἰτίαν εἶναι, καὶ τὸν προκείμενον σκοπὸν τοῦτον ποιητέον. καὶ πρὸ μὲν τῆς κατασκήψεως τῶν παθῶν,

tinētē aſſerūt:vt īguinū vlc⁹,& inguinariā febrim,& q̄ effectui tū aſsiſtat,tū etiā ſeparetur,vt à fractis præcipitatio.In ſumma, quoties quidpiā ſuapte natura cauſa fuerit, nec vlla diuiſione cōprehēditur,vitioſum eſt,neque cauſæ adſcribit, eorū quæ idē genus ſortiuntur.Sed quòd phthoropœon,cauſa ſit,nomē ipſum argumento eſt, & in iis quæ cōtingūt apertius oſtēditur. Quid aliud cauſæ arbitrantur eſſe poſt impreſſum à ſerpētib⁹ ictū, q̄ ex animāte vim, & illapſum in corpora virus? Neq; enim frigus,neq; æſtum, neq; ſectionē corporis, neque cruditatē, neq; aliud quicq̄ ſimile cauſari poſſūt. Verū quoniā cauſarū differētiis gaudēt, & aliquas cōtinētes, alias euidentes appellāt,ipſis dicēdum, vtroq; iſtorū modorū euidētē quidē cauſā eſſe, quod affectū p̄cedit, & quod corporis ſubſtātiam præoccupat:cōtinentē verò,quod morbis præſentib⁹ adeſt, qua ſeparata recedunt, quæ cū ipſa euenerant.Sed de iis hacten⁹. Statuēdū itaq; mortiferā vim intrinſecus manifeſtiſsimā eſſe cauſam,ipſamque principē facere ſcopū oportet. & anteq̄ ad ima decūbāt mor

 bi,variis

bi, variis modis eſt certãdum, donec vis tota corporibus excutiatur. Modò enim reuocari decet ea parte, qua peſtis intrauerit: modò alia, præſertim principatũ non obtinéte, antè coërceatur, q̃ altius irrepés viſcera tangat: aut eius pernicies eluatur, retũdaturq;, cũ iã mébratim peruagatura eſt. Itaque venena ſi hauſta ſunt, crebris vomitionib⁹: ſi morſu impreſſa, ſcarificatione, affixis cucurbitulis, exuctu, carnis circũſcriptione, nõnunq̃ amputatione extremę partis, euocantur. Retinétur verò infuſione, & impoſitu medicamétorũ acrium cohibétur. Hæc ſimul vtiq; arcere vir⁹, & eluere poſſunt. Reſtinguũtur, & euincuntur meraciore potu, aut paſſo nulla aqua diluto, vel cõtrariorũ eſu, quę acrimonia ſint prædita. Poſtremo deiectio alui, euocat⁹ ſudor, & alia quędã in cõmune, q̃ mébratim demõſtrabim⁹, auxiliãt. Verũenimuero nõ letiferã modo materiã, ſed & magnitudiné, & tép⁹, p̱ ſcopo cõſiderare oportet. Etenim ab iis remedia q̃ plurimũ diſcrimen capeſſũt. A magnitudine q̃dé, cũ nõnulla ex venenis, et viroſis animalib⁹ pericula minãtur: alia

παθῶν, ποικίλως διαγωνιστέον μέχρι τῆς παντελοῦς αὐτῶν ἀποσκευασίας τῶν σωμάτων. τοῦτο μὲν ὑπεξαιρουμένην δι' ὧν εἰσήει μερῶν· τοῦτο δὲ κρατουμένην περὶ ἑνὶ καὶ μάλιστα οὐ κυρίῳ τόπῳ, πρὶν εἰς τὸ βάθος ἀπελθεῖν καὶ σπλάγχνων ἅψασθαι· τοῦτο δὲ ἀποπλυνομένην ἢ ἐπικιρνωμένην, ἐπειδὰν φθάσῃ χωρεῖν διὰ τῶν σωμάτων. ὅτε μὲν οὖν ὑπεξαίρεσις αὐτοῖς κομιδῇ ἐπὶ τῶν θανασίμων φαρμάκων δι' ἐμέτων γίνεται· ἐπὶ δὲ τῶν ἰοβόλων διὰ τοῦ καταχασμοῦ, καὶ σικυῶν προσβολῆς, ἐκμυζήσεως καὶ περισαρκισμοῦ, ὅτε δὲ δι' ἀκρωτηριασμοῦ. ἡ δὲ κατοχὴ καὶ διακράτησις, διὰ κλύσεων καὶ διὰ δριμέων ἐπιθέσεως φαρμάκων. ταῦτα δὴ κρατεῖν ὁμοῦ καὶ ἀποπλύνειν δύναται τὸν ἰόν. ἡ σβέσις δὲ καὶ ἡ κράτησις δι' ἀκρατοποσίας ἀκράτου τε καὶ γλυκέως, ἢ καὶ ἐκ τῶν ἐναντίων δριμυφαγίας. ἐπὶ τέλει δὲ συνεργεῖ τούτοις καὶ κάθαρσις κοιλίας, καὶ ἱδρωτοποιία, καί τινα ἄλλα κοινῶς, καθὼς κατὰ μέρος ἐπιδείξομεν. δεῖ δὲ οὐ μόνον τὴν φθοροποιὸν ὕλην ποιεῖσθαι σκοπόν, ἀλλὰ καὶ τὸ μέγεθος αὐτῆς καὶ τὸν χρόνον. καὶ γὰρ παρὰ ταῦτα πλείστην ὅσην διαφορὰν τὰ βοηθήματα λαμβάνει. παρὰ μὲν τὸ μέγεθος, ἐπειδήπερ τῶν δηλητηρίων καὶ τῶν ἰοβόλων, τὰ μὲν, διεγερτικὰ κινδύνων γίνεται. τὰ δὲ,

τὰ δὲ, συμπεσόντων βαθυτέρων ἢ ἐπιπολαιοτέρων· τὰ δὲ, περιωδυνιῶν σφοδροτέρων ἢ ἀμυδροτέρων· τὰ δὲ ἄλλων δυσεργημάτων, ἧσσον ἢ μᾶλλον ὀχλούντων. δεῖ δὲ πρὸς τὰ κίνδυνον ἔχοντα, διὰ τῶν ἀγωνιστικωτέρων ἀγωνίζεσθαι βοηθημάτων· πρὸς δὲ τὰ ἥσσονα χαλεπὰ διὰ τῶν ἐπιεικεστέρων. ἄτοπον γὰρ ἐπὶ μὲν τῶν μειζόνων μακροτέροις αὖ οὕτω τύχῃ χρώμενον τοῖς βοηθήμασι, κινδύνῳ τὸν θεραπευόμενον περιβάλλειν· ἐπὶ δὲ τῶν μικροτέρων δι᾽ ἀπότομον τῆς βοηθείας μάτην αἰκίσασθαι τὸ σῶμα. πρόχειρος δὲ καὶ ὁ ἀπὸ τῶν χρόνων ἐστὶν ὁρισμός· ὁ μὲν γὰρ ὀξέως καὶ παραχρῆμα, καὶ τὰς ὀχλήσεις καὶ τοὺς κινδύνους ἐπιφέρει, ὁ δ᾽ ἐξ ἀναβολῆς καὶ χρόνου πλείονος ἢ ἐλάττονος. προσήκει τοίνυν τοῖς μὲν ὀξέσι, κατεσπευσμένως βοηθεῖν καὶ διὰ πολλῶν ὁμοῦ· τοῖς δὲ, σχολαιοτέρως. ταυτὶ μὲν οὖν ὡς ἐν τεχνολογίᾳ μετρίως ὡρίσθω. προσάγωμεν δὲ ἑξῆς ὡς ἐπὶ κατὰ μέρος.

Σημεῖα κυνὸς λυσσῶντος καὶ τῶν ὑπ᾽ αὐτοῦ δεδηγμένων. Κεφ. β΄.

Τὸν περὶ τῶν λυσσοδήκτων λόγον προετάξαμεν τῶν ἄλλων, ἐπεὶ καὶ τὸ ζῶον πολύ τε καὶ σύνηθές ἐστι, καὶ συνεχῶς ἁλίσκεται τῇ λύσσῃ ὁ κύων καὶ ἀπόλλυται, καὶ δυσφύλακτον καθέστηκε· καὶ ὁ ἀπ᾽ αὐτοῦ κίνδυνος ἀπαραίτητός ἐστιν εἰ μὴ πολλοῖς χρήσαιτο τοῖς βοηθήμασι. λυσσᾷ δὲ ὁ

κύων ὡς

alia putredines altas aut exteriores excitāt: alia vehemētiſsimos dolores aut cœcos ciēt: alia vix medicamētis cedunt, & magis minúſve moleſtias excitāt. Oportet aūt ea q̄ pericula ferūt, peruicacioribus auxiliis expugnari: & min⁹ infeſta, mitiorib⁹. Quippe abſurdū fuerit in grauiorib⁹, ſegnioribus medicamentis hoīes in diſcrimen adducere: in minorib⁹ verò, vehemētiū auxiliorū iniuria corpus laceſſere. Finitio à tēporib⁹ in prōptu eſt: hoc enim ſubitò in pericula, & pręſentes moleſtias adducit, illud verò ſenſim, & dilatas in diē longā aut breuiorē producit. Itaq; in acutis quidē cōfeſtim multa ſimul auxilia repręſentari oportet: reliquis, paulatim. Hęc quadā artis formula breuiter definita ſint. Iā mēbratim rē proſequamur.

Signa rabioſi canis, & demorſorū ab eo.

Cap. II.

De rabioſi canis morſu ſermonē aliis præpoſuimus, quod id animal domeſticum ac frequēs eſſe cōſueuit, & in rabiē ſæpius agitur, ac perit, ab eóq; caueri difficile: inde periculum ineuitabile hominē manet, niſi multis vtatur auxiliis. Canis ple

runq;

rũq; flagrãtiſsimis æſtib⁹ in rabié efferatᷣ: interdũ quoties frigora inceſſerũt. Rabioſus auté potũ, & eſcã auerſatᷣ: largã ſpumãtemq; pituitã narib⁹, & ore proiicit: toruè & ſolito triſtius intuetur: in oẽs paſsim ſine latratu irruit, & ęquè feras homineſque, tã familiares, q̃ ignotos mordet: nec ꝓtin⁹ infeſtũ quicq̃ infligit, niſi, vt vulnus, doloré: exinde morb⁹ ille, qui ab aquę metu hydrophobicus graia eſt voce appellat⁹, cõtrahitur. Euenit aũt cũ diſtẽtione neruorũ, totiúſq; corporis rubore, ꝓſertim faciei, cũ ſudore, & lãguore quodã. Aliq aurę ſplẽdoré fugiũt: alij ſine vlla doloris ĩtercapedine vexanť. Sũt etiã q canũ more latrat⁹ ędãt, & obuiã factos morſu adoriũť, ac mordẽdo ſimili vitio labefactãt. Proĩde ex iis q hoc vitiũ ſẽſerĩt nemĩné ſeruatũ vidim⁹, niſi forſitã ex hiſtoria vnũ aut alterũ euaſiſſe audiam⁹: ſiqdé Eudem⁹ ſuperaſſe quédã affirmat. Themiſoné aliq demorſũ ĩ hũc furoré ĩcidiſſe, & euaſiſſe fatẽtur. Alij ipſũ cũ amico aquã expaueſcẽti moré gereret, & officiũ exhiberet, quadã naturarũ cõcordia ſimilẽ contraxiſſe affectũ: ſed poſt multos tãdé cruciatus ſerua-

κύων ὡς ἐπὶ τὸ πολὺ μὲν ἐν τοῖς σφοδροτάτοις καύμασιν. ἐνίοτε δὲ καὶ ἐν τοῖς ἐφισταμένοις κρύεσι. λυσσήσας δὲ ἀποστρέφεται καὶ βρῶσιν καὶ πόσιν· καὶ φλέγμα πολὺ ἀφρῶδες ἐκ τοῦ στόματος καὶ τῶν ῥινῶν προΐεται. καὶ πονηρὸν βλέπει καὶ στυγνότερον τοῦ συνήθους· ἐφορμᾷ δὲ χωρὶς ὑλακῆς πᾶσιν ὁμοίως καὶ θηρίοις καὶ ἀνθρώποις πᾶσί τε συνήθεσι καὶ ἀγνώστοις δάκνων· καὶ παραχρῆμα μὲν οὐδὲν ὀχληρὸν ἐπιφέρει, πλὴν ὅσον ὀδύνην τὴν ἐκ τοῦ τραύματος· ὕστερον δὲ ἐμποιεῖ πάθος τὸ καλούμενον ὑδροφοβικόν. συμπίπτει δὲ μετὰ σπασμῶν καὶ ἐρυθημάτων ὅλου τοῦ σώματος, μάλιστα δὲ ὅλου τοῦ προσώπου, καὶ μάλιστα ἀπὸ ἱδρώσεως καὶ ἀπορίας. καὶ τινὲς μὲν φεύγουσι τὴν αὐγήν· τινὲς δὲ τρύχονται συνεχῶς. ἔνιοι δὲ ὑλακτοῦσιν ὥσπερ κύνες, καὶ δάκνουσιν ἐπιόντες, καὶ δάκνοντες, αἴτιοι τοῦ αὐτῶν πάθους κατέστησαν, εἰ μὴ καθ᾽ ἱστορίαν παρειλήφαμεν περιγενέσθαι ἕνα ἢ δεύτερον· καὶ γὰρ εὔδημος περιγεγενῆσθαί τινα φησί. καὶ θεμίσωνα οἱ μὲν, λέγουσι τῷ πάθει δηχθέντα περιπεσεῖν καὶ σωθῆναι. οἱ δὲ, φίλῳ ὑδροφοβιῶντι προσκαρτερήσαντα προθύμως καὶ συμπαθῶς, εἰς τὴν ὁμοίαν ἐμπεσεῖν διάθεσιν. καὶ πολλὰ κακοπαθήσαντα σωθῆναι.

τὸ μὲν

τὸ μὲν οὖν πάθος ἐστὶν ἀργαλέον, περὶ δὲ τῆς πείρας αὐτοῦ, πολλοὺς καὶ αὐτοὶ περιεσώσαμεν. καὶ ὑπὸ ἄλλων ἰατρῶν σωθέντας ἐγνώμεν.

Θεραπεία τοπικὴ τῶν ὑπὸ λυσσῶντος κυνὸς δηγμάτων. Κεφ. γ'.

Τῆς θεραπείας ἡ μὲν ἐστι κοινὴ· καὶ χρηστέον αὐτῇ ἐπὶ πάντων τῶν ὑπό τινος ἰοβόλου ζώου δεδηγμένων· ἡ δέ τις ἰδία τῶν λυσσοδήκτων· τοῖς μὲν γὰρ ἄκρως ὠφελεῖν εἰθισμένη· τοῖς δὲ ἀπὸ πολλοῦ δηχθεῖσιν ἀνάρμοστος, καὶ πρότερόν τε αὐτὴν ἐκθέμενοι, μετὰ τοῦτο καὶ τὴν κοινὴν ἐπιτροχάσομεν. δεῖ τοίνυν καρκίνους ποταμίους ἐπὶ κληματίδος λευκῆς ἀμπέλου καῦσαι, καὶ τὴν τέφραν αὐτῶν λειοτριβήσαντα ἔχειν ἀποκειμένην· ὁμοίως δὲ καὶ ῥίζαν γεντιανῆς ἀποθέσθαι κεκομμένην καὶ σεσησμένην. ὁπότε δέ τις δηχθείη ὑπὸ λυσσῶντος κυνὸς, εἰς οἴνου ἀκράτου κυάθους δ'. ἐμβάλλειν δύο μὲν κοχλιάρια τῆς τῶν καρκίνων τέφρας, ἓν δὲ κοχλιάριον τῆς γεντιανῆς· καὶ ἐγκυκήσαντας ὡς ἐν ἀλφίτῳ δεδευμένῳ, πίνειν ἀπὸ τῆς α. ἡμέρας, μέχρι τεσσάρων ἡμερῶν. ἀπαρχῆς μὲν οὖν διδόμενον τὸ φάρμακον, τοῦτον προσφερέσθω τὸν τρόπον. εἰ δὲ ἡμέραι παρεληλύθασι δύο ἢ τρεῖς ἀπὸ τῆς δήξεως,

ἐγχεῖ-

tus ſeruatū extitiſſe. Moleſtiſſimū itaque genus morbi, à quo multos, anteq̃ ipſā experirent, vindicauimus: & complures ab aliis medicis ſeruatos nouim⁹.

Remedia demorſorum à cane rabioſo.

Cap. III.

Ratio medēdi duplex: vna cōmunis, qua vtēdū in oēs morſus, quos virulętę animātes impreſſerūt: alia peculiaris priuatáq;, eorū dūtaxat quos rabioſi canes momorderint: q̃ nōnullis q̃dē ſummā opē ferre cōſueuit: aliis verò ĩutilis maximè q ex multo iā tempore ictū acceperūt. Quæ ad hāc pertinēt, primū exponem⁹, deinde curſim pſtringem⁹, q̃ ad cōmunē medēdi rationē pertinēt. Cācros itaq; fluuiatiles in ſarmētis albę vitis cremare oportet, & cinerē eorū q̃ minutiſsimè tritū habere recōditū: itidē gētianæ radicē tuſā cribratāq; reponere. Quoties autem canis rabioſus morſum intulerit, in quaternos cyathos meraci vini, bina cineris cancrorū cochlearia, vnūq; gētianę cōiiciātur: hęc ĩ polētę dilutioris modū ſubacta, quatriduo bibātur. Inter principia medicamētū hoc modo detur. Atq; ſi ab illato morſu bini ter-

 niue dies

níve dies fluxerint, curationẽ auſpicabimur à triplicato pondere, ſupra id quod ab initio retulimus. Optimũ hoc aduerſus rabioſorũ morſus auxiliũ, quod & pleriſq; vnum ſatisfecit, eóq; cũ fiducia vti licet. Sed vt aliis etiamnum auxiliis contra ineuitabile periculum muniamur, nihil cæteris vti prohibet. Satius autem multò fuerit etiamſi in vanũ recidat, medicamẽtorũ inhumanos tolerare cruciatus, q̃ per inertiã ac deſidiam in diſcrimen adduci. Nec ita in demorſis à rabioſo animali maiora vulnera vereri oportet, vti minora, & vlcuſculis cutis ſimilia: quippe maiori vulnere cõfertim copioſus ſanguis emanãs, poteſt nõnihil virulẽti liquoris exhaurire: quod in minoribus non accidit: quin à maioribus abſcedentes carnes hinc auferre, & labia acie ſcalpelli circũſcribere, & præhẽſam hamulo aut vulſella carnẽ amputare oportet. In vtriſq; e circũſtãtia loca altioribus vlſculis ſcarificãda, vt copioſior ſanguinis vacuatio arceat, ne veneнũ mẽbratim inſinuetur. Cucurbitulæ cũ multa flamma agglutinatæ id iuuamẽti præſtant, vt veneni vis extrahatur.

Contra

ἐγχειρουμένοις τῇ θεραπείᾳ, τριπλάσιον δεῖ διδόναι ὅσον ἐξ ἀρχῆς εἰρήκαμεν. τὸ μὲν ἄριστον ἐπὶ τῶν λυσσοδήκτων βοήθημα, ὃ δὴ καὶ μόνον ἐνίοις ἤρκεσε τοῦτό ἐστι, καὶ χρηστέον αὐτῷ μετὰ πεποιθήσεως. ἕνεκα δὲ τοῦ καὶ δι' ἄλλων ἀσφαλίζεσθαι πρὸς ἄφυκτον δοκοῦντα κίνδυνον, οὐδὲν τὸ κωλύον ἐστὶ καὶ τοῖς λοιποῖς χρῆσθαι, αἱρετώτερον γὰρ διακενῆς αὖ οὕτω τύχῃ, τῶν βοηθημάτων τὸ ἀπάνθρωπον ὑπομεῖναι, ἢ διὰ τὴν ὀλιγωρίαν κινδύνῳ περιπεσεῖν. οὐχ οὕτω δ' εὐλαβητέον τὰ μεγάλα τραύματα ἐπὶ τῶν λυσσοδήκτων, ὡς τὰ μικρὰ καὶ ταῖς ἀμυχαῖς ἐμφερῆ· διὰ γὰρ τῶν μειζόνων ἄθροον καὶ πολὺ αἷμα προχεόμενον, δύναταί τι καὶ τοῦ ἰοῦ συναποκλύζειν· διὰ δὲ τῶν μικροτέρων οὐδαμῶς· καὶ ἐκ μὲν τῶν μειζόνων τὰς ἀφισταμένας σάρκας αὐτόθεν ἀφαιρετέον, καὶ τὰ χείλη περιγλυπτέον διὰ τῆς ἀκμῆς, ἀνατεθείσης δὲ τῆς σαρκὸς ἀγκίστρῳ ἢ μύδρῳ, τὴν ἐκτομὴν ἀποτελεστέον. ἐπὶ ἀμφοτέρων δὲ τὰ ἐν κύκλῳ βαθυτέραις ἀμυχαῖς καταχαρακτέον * ὅπως ἡ τοῦ αἵματος παραπλησιωτέρα γινομένη κένωσις, ἐναντιωθήσεται τὰ σώματα τῇ τοῦ ἰοῦ διαδόσει. πολλὴν δὲ καὶ ἡ σικύα κολληθεῖσα μετὰ πολλῆς φλογὸς παρέχει ὠφέλειαν, ὡς τε λύσαι τοῦ ἰοῦ τὴν δύναμιν.

H δὲ

Η δὲ καῦσις ἀνυσιμώτατον ἐπὶ τῶν ἰοβόλων ἐστὶ βοηθημάτων, τὸ γὰρ πῦρ πάσης δυνάμεως εὐτονώτερον ὑπάρχον, ὁμοῦ μὲν κρατεῖ καὶ κωλύει φέρεσθαι τὸν ἰὸν ἐσωτέρω, ὁμοῦ δὲ τὸ κρατηθὲν αὐτοῦ μέρος τῆς ἐφεξῆς θεραπείας, καταβολὴν οὐ τὴν τυχοῦσαν ἐργάζεται, παραμενούσης τῆς ἑλκώσεως ἐπιπλέον. τὴν μὲν γὰρ ἔκπτωσιν τῆς ἐσχάρας μάλιστα ἐκ τούτου φροντιστέον, ὅπως μὴ τάχιον τὰ μέρη συγκλεισθείη. ἀλλ᾽ εἰ δυνατόν ἐστι πολὺ τῆς προθεσμίας τὰς ἑλκώσεις τηρητέον. καὶ ἐπὶ φλεγμαινούσας καὶ ἐπὶ ῥυπαινομένας. παρέξει δὲ αὐταῖς τὸ τοιοῦτον τάριχος ἐπιτιθέμενος, καὶ σκόροδον ἄγριον λεοτριβόμενον· κρόμμυά τε ὡσαύτως, ὀπὸς μὲν οὖν μάλιστα ὁ κυρηναϊκὸς ἢ ὁ καλούμενος μηδικὸς ἢ παρθικός. κόκκοι δὲ πυρῶν ἐπιτιθέσθωσαν καὶ μεμασημένοι καὶ ἀμάσητοι· διαφυρώμενοι μὲν γὰρ ἀπὸ τῆς ἐμβροχῆς ἀνευρύνουσι τὰ τραύματα. τινὲς δὲ οἴονται τοὺς μεμασημένους ἀντιπαθές τι ἔχειν ἀπό τῆς τῶν μεμασηκότων νηστείας· οὐ μὴν τοῦτο βέβαιόν ἐστιν. ἀλλὰ εὐκαίρως αὐτοῖς χρηστέον. εἰ δὲ ὃ περιγίνεται πολλάκις, καὶ οὐλαὶ συνερχόμεναι φθάνουσι πρὸ τῶν ἡμερῶν, διὰ χειρὸς ἀναξαίνειν προσήκει·

περι-

Contra virulentos ictus, vſtio expeditiſsimũ eſt auxilium, vt pote cum ignis cætera viribus præſtet, ſimul quod virus domet, & ferri penitius nõ patiatur, ſimul quod pars ignem experta, poſtea non vulgare fundamẽtũ curationi futuræ præbeat, manente diutius exulceratione. Animaduertendum ex eo tẽpore cum cruſtæ decidẽt, ne vlceris ore coaleſcant, & cicatrice induãtur, ſed ſi fieri poteſt ad multũ, idq; præſtitutum tempus, vlcerationes & ſordidas adhuc & inflammationem minantes, prorogari conuenit. Quod inditũ iis ſalſamentum optimè præſtabit, & ſylueſtre allium detritũ: item cepæ, ſuccúſque præſertim Cyrenaicus, aut qui Medicus, aut Parthicus appellatur. Tritici grana tam manſa, q̃ non manſa imponantur: ſi quidẽ ſubacta piſtáue à perfuſione vulnera dilatãt. Sũt qui à mandẽtium ieiunio, ſibi aliquid aſciſcere arbitrentur, quod ſuapte natura reſiſtat: verùm id certum nõ eſt. Cæterũ tempeſtiuus eorũvſus minimè eſt contẽnendus. Si verò quod perſæpe accidit, ante dies pręfinitos cicatrices coirẽt, cõmitterentúrq;, manũ poſtulabunt:

nanq;

nanque eas diducere carnémque ſcalpello circinare, aut iterum inurere, expedit. Vbi verò propoſitum tēpus præteriit, vlcus ad cicatricem ducendū, & emplaſtro quod è ſalibus conficitur locus comprehendendus: nec multò poſt ſinapiſmo vtendum.

Ratio victus in morſu rabioſi canis. Cap. IIII.

QVÆ ad partem iſtā pertinent præſidia, ita ſe habent. Cæterùm victus rationem ex iis quæ veneno aduerſantur, coniectura quadam colligere oportet, ſimul vt veneni vires hebetet, reſtinguátque, ſimul vt arceat, quo min⁹ ad intima pernicies illabatur. Etenim aſſumpta pernicioſarum virium penetrationi reſiſtūt. Quorum vtrunque præſtare poteſt vini meracioris, paſsi, & lactis potus: quippe qui hæc omnia capiunt ad curam, nonnihil veneno obiiciunt, quod omnem eius acrimoniam obtūdat. Simili modo aliorum, porrorū, cœparúmque cibos: quod ea difficulter cōficiantur, víxque aboleantur. Nam multos dies huius cibi qualitates remanēt, quo tempore nec euincūtur, nec permutant à mortifera vi,

ſed

περισαρκίζοντας καὶ τέμνοντας, καὶ ἐπικαίοντας πάλιν ἐὰν οὕτω τύχῃ. παρελθούσης δὲ τῆς προκειμένης προθεσμίας, ἀφετέον μὲν ἀπουλωθῆναι τοῖς ἕλκεσιν, ἐμπλάστρῳ δὲ τῇ διὰ τῶν ἁλῶν ὅλον τὸν τόπον καταληπτέον· μετὰ ὀλίγας δὲ ἡμέρας καὶ σιναπιστέον.

Περὶ διαίτης τῶν ὑπὸ κυνὸς λυσσῶντος δηχθέντων. Κεφ. δʹ.

Ἡ μὲν οὖν τοπικὴ θεραπεία τῶν λυσσοδήκτων, τοιαύτη τίς ἐστι. δεῖ δὲ καὶ τὴν δίαιταν αὐτῶν ἐστοχάσθαι τῆς πρὸς τὸν ἰὸν ἐναντιώσεως, ἵνα ὁμοῦ μὲν ἀμβλύνῃ καὶ σβεννύσῃ τὴν δύναμιν, ὁμοῦ δὲ κωλύῃ τὴν εἰς βάθος φοράν. καὶ λαμβανόμενα γὰρ ἀντιπίπτει τῇ παρεισδύσει τῆς φθοροποιοῦ δυνάμεως. δύναται δὲ τούτων ἑκάτερον παρέχειν τοῦτο, οἴνου ἀκράτου ζωροτέρου πόσις καὶ γλυκέος καὶ γάλακτος· οἱ γὰρ ταῦτα πάντα λαμβάνοντες πρὸς τὴν ἐπιμέλειαν, ἐνίστανταί τι τῷ ἰῷ, καὶ πᾶσαν αὐτοῦ τὴν δριμύτητα ἐκλύει. ὡσαύτως δὲ καὶ σκορόδων καὶ πράσων καὶ κρομμύων ἐδωδή· καὶ ταῦτα γὰρ τὸ ὅλον δυσμετάβλητα καὶ δυσέξιτα. παραμένουσι γὰρ αὐτοῦ αἱ ποιότητες ἐπὶ πλείους ἡμέρας, ὁπότε οὐ νικᾶται οὐδὲ τρέπεται ὑπὸ τῆς φθοροποιοῦ δυνάμεως,

ἀλλ

ἐκ δὲ τῶν ἐναντίων κρατεῖν αὐτῆς πέφυκεν. εἰς τοῦτο δὲ καὶ τῶν ἀντιδότων ἐστὶ χρεία, καὶ τῆς θηριακῆς, καὶ τῆς εὐπατορίου λεγομένης. καὶ τῆς μιθριδατείου καὶ πάσης ἄλλης ἥ τις ἐκ πλειόνων ἀρωμάτων εἴληφε τὴν σύστασιν· δυσμετάβλητα γὰρ τῇ συστάσει πάντα τὰ ἀρώματα τῇ δυνάμει καὶ ταῖς οὐσίαις· διὸ περικρατεῖται τοῖς σώμασι. τοιοῦτος μὲν οὖν καὶ ὁ τῆς διαίτης τρόπος· δεῖ δὲ γινώσκειν ὅτι ἡ τοῦ ὑδροφοβικοῦ πάθους ἐγκατάσκηψις, οὐδὲ ὡρισμένην ἔχει προθεσμίαν. ὡς ἐπὶ τὸ πλεῖστον γὰρ ἕως τεσσαρακοστῆς ἡμέρας εἰωθὸς, τοῖς ἀμεληθεῖσι καὶ δι' ἑξαμήνου ἐνίοις ἀπήντησε. καὶ δι' ἐνιαυτοῦ, καὶ ταῦτα ἡμῖν ἑώραται. ἱστοροῦσι δέ τινες μετὰ ἑπταετίαν ἐνίοις ἐνδιδόναι τῷ πάθει. καὶ κατὰ μὲν τὰς ἀρχὰς τῶν λυσσοδήκτων ἡ θεραπεία, τοιαύτη ἐστίν. ἐὰν δὲ ὁπωσδηποτοῦν ἐν ταῖς πρώταις ἡμέραις μὴ προληφθῇ τὰ προειρημένα βοηθήματα, τὸ μὴ περιχαράζειν καὶ καίειν, παραλειπτέον. καὶ γὰρ ἱκανῶς εἰς τὸ παρεληλυθὸς μετάγειν δύναται. οὐδεμία γὰρ ὄνησις τῆς ἐπιβολῆς, ἀλλὰ διακενῆς τὰ σώματα ταῖς ὀδύναις βλαβήσεται, τρόπος δὲ τῆς θεραπείας ἕτερος ἀγέσθω. κάθαρσις ἡ καὶ μέγα

ὄφελος

ſed contrariis illa vis expugnatur. Cui rei antidotorum vſus accommodatur, & theriaces, Mithridatij, & eius quod eupatorio temperatur. Deniq; omnium quę magnam aromatum partem ſibi vendicant: quippe aromata omnia viribus & ſubſtantiis ægrè permutãtur: quare in corporibus euincunt. Victus ratio hoc modo ſe habet. Noſſe conuenit, pauoré aquæ non ſtato definitóque tempore exoriri: plurimum tamen ad quadrageſimum vſque dié neglectis differri conſueuit. Poſt ſemeſtre etiam nõnullos inuadit: quędam poſt annum aquã horruiſſe conſtat. Quæ nobis viſu cõperta fuere. Narrant & aliquos poſt ſeptennium aqua metu fuiſſe tentatos. Inter principia demorſorũ à cane rabioſa curandi ratio talis eſt. Verũenimuero ſi ea quæ retulimus auxilia, primis diebus prætermiſſa fuerint, nec ſcalpro carnem circinare, nec vſtioné experiri operæpretiũ eſt. Nõ enĩ quod iã pertrãſiit, ſatis euocare poſſent. Nulla vtiq; iſtius rei occaſio aut vtilitas, ſed incaſſum corpora dolorib9 ſternentur. Alter verò curationis modus accedat. Deiectio magnũ

præbet

præbet iuuamētum, vtpote cū mouendo, corporis habitum trāſmutet, & quæ colocynthidem recipit hiera. Itē lac ſchiſtum, quod ſimul deiectionem moueat, & venenum domare poſſit. Cibi acres, & meraculi potus, quibus vis veneni vehementer retunditur, quotidie ſumi debent. Cæterùm ſudores ante cibos, & poſt etiā ciendi. Dropaciſmi ſinapiſmiq; alternatim per corpus totum adiiciendi. Sed longè omnium efficaciſsimum auxilium helleboriſmus cognoſcitur, quo cum fiducia nō ſemel atque iterum, ſed frequentius ante quadrageſimum diem, vel poſt hoc tempus vti licet. Tantam enim vehemētiam hoc auxiliū habere fertur, vt quidā qui iam aquæ metum ſentirent, ſumpto helleboro, ſimul ac primum morbi impetū experirētur, fuerint ſeruati. Nam & iam vitio tentatos nemo vnquā ſeruare poteſt. Itaque primū curā contra rabioſi canis morſus breui ſermone expoſuim⁹: iam ad alia, quæ venenatis morſib⁹ ſæuire conſueuerūt, trāſeundū. Notas vno cōtextu, deinde cōmunē medendi modū, qui omnibus cōuenire poſsit, explicabimus.

Curſim

ὄφελος ἐμπαρέχειν δυναμένη, συμμεταποιεῖ γὰρ τὴν ἕξιν κινοῦσα· ἥ τε διὰ τῆς κολοκυνθίδος ἱερὰ δόσις. καὶ δὴ καὶ τὸ γάλα τὸ σχιστὸν, ὁμοῦ κάθαρσιν καὶ ἐπικράσεις παρέχειν δυνάμενον. αἵ τε δριμυφαγίαι καὶ ἡ τοῦ ἀκράτου πόσις, παραλαμβανέσθωσαν καθημέραν, ἀμβλῦναι δυνάμεναι τὸν ἰόν, καὶ περὶ τούτοις ἱδρωτοποιΐα, καὶ πρὸ τροφῆς καὶ μετὰ τροφήν. δρωπακισμός τε καὶ σιναπισμὸς κατὰ μέρος ἐφ᾽ ὅλου τοῦ σώματος. πάντων δὲ ἀνυσιμώτατον ἀπὸ τούτων ὁ ἐλλεβορισμὸς ἐγνώσθη, καὶ χρηστέον τεθαῤῥηκότως τῷ βοηθήματι, οὐχ ἅπαξ, οὐδὲ δίς, ἀλλὰ καὶ πλειστάκις πρὸ τῆς τεσσαρακοστῆς ἢ καὶ μετὰ ταῦτα. τοσαύτην γὰρ τὴν ἰσχὺν προσφέρεται τὸ βοήθημα, ὥστε τῶν ἤδη συνηθημένων τοῦ ὑδροφόβου, περισωθῆναι τινὰς λαβόντας ἐλλέβορον εὐθὺς ἐν τῷ πρώτῳ καταπειρασμῷ τοῦ συμπτώματος. τοὺς γὰρ ἤδη κατεσχημένους, οὐδὲ αὐτός τι περιποιῆσαι δύναται. τὴν μὲν οὖν τῶν λυσσοδήκτων ἐπιμέλειαν πρὸ τὴν ἐξεθέμεθα, δι᾽ ὃν ἔμπροσθεν εἰρήκαμεν ἐπιλογισμόν. μεταβαίνοντες δ᾽ ἐπὶ τὰ λοιπὰ τῶν ἰοβόλων. πρὸ τούτων μὲν τὰς σημειώσεις αὐτῶν, ὑπὸ μίαν ἐκθησόμεθα περίφρασιν. μετὰ δὲ τοῦτο, κοινὴν τὴν θεραπείαν πᾶσιν ἁρμόσαι δυναμένην

ὑπο-

ὑποδραμόντες δὲ ἑξῆς ὑποδείξομεν, εἴ τινα κατ᾽ ἰδιότητα ἐνίοις προσωφελεῖν πέφυκεν. ὁμοίως καὶ τὰ τελείως ἀβοήθητα παρασημειωσόμεθα.

Περὶ Φαλαγγίων. Κεφ. ε.

Τοῖς μὲν ὑπὸ φαλαγγίων δεδηγμένοις, αὐτὸς μὲν ὁ τόπος ἐνερευθής ἐστι καὶ ὅμοιος κεντήμασιν οὔτε διοιδηκὼς οὔτε περίθερμος, ἀλλὰ μετρίως μὲν ὑπέρυθρος· ἐν δὲ τῇ ἐναντίων κατεψυγμένος, παρακολουθεῖ δὲ τρόμος δι᾽ ὅλου τοῦ σώματος, καὶ ἐντάσεις περὶ τοὺς βουβῶνας, καὶ τὰς ἰγνύας προσεοικυῖαι σπασμῷ. περὶ τὴν ὀσφὺν σύλλημμα καὶ συνεχὴς πρὸς οὔρησιν ἐρεθισμός. δυσκολία πολλὴ περὶ τὴν ἔκκρισιν τοῦ περιττώματος· ὁμοίως δὲ τούτοις καὶ ἱδρὼς ψυχρὸς καθ᾽ ὅλην τὴν ἐπιφάνειαν ἐκκρίνεται· τά τε ὄμματα δακρύει καὶ ποσῶς ἀμαυροῦται.

Περὶ Σκολοπένδρας. Κεφ. ϛ.

Τοῖς δὲ ὑπὸ τῆς καλουμένης σκολοπένδρας ἢ ὀφιοκτένης δεδηγμένοις, ὁ μὲν ἐν κύκλῳ τόπος τοῦ δήγματος, πελιοῦται, καὶ περισήπεται· καὶ ποτὲ τρυγώδης κατὰ τὸ σπάνιον καὶ ἐνερευθὴς φαίνεται. ἑλκοῦται δὲ ἀπ᾽ αὐτοῦ τοῦ δήγματος λαμβάνων τὴν ἀρχὴν, ἕλκωσίν τινα ἐπίπονον καὶ δυσαλθῆ· πρὸς δὲ τούτοις περὶ ὅλον τὸ σῶμα συναίσθησις γίνεται κνησμώδης.

Περὶ

Curſim deinceps ſubiungemus ea, quæ ſua ꝓprietate nõnullis auxilium præſtare poſſunt. Poſtremo ſubnectẽtur etiã venenata, q̃ nullis cedũt remediis.

De phalangiis. Cap. V.

De morſis à phalangiis locus quidem ipſe, quaſi ab impacto aculeo rubet, non intumeſcens, nec per ambitum calidus eſt, ſed mediocriter humeſcit: vbi verò contrariorum occurſu refrixit, conſequitur corpore toto tremor, diſtentiones poplitum & inguinum, conuulſionibus non diſsimiles. In lumbis collectio exoritur, & perpetua vrinæ libido laceſsit, multáque reddẽdis excremẽtis colluctatio. Vniuerſa cute frigidus ſudor emanat: collachrymant oculi, offuſisq; nebulis caligant.

Scolopendra. Cap. VI.

Si ſcolopendra aut dicta ophioctene morſum intulit, locus per ambitum liuore ſugillatur, & computreſcit: interdúmque, licet raro, fæculentus atq; ruber cernitur. A morſu ipſo exulcerari locus incipit, vlcúsque id negotium exhibet, ferè remediis inuictum: præterea toto corpore prurigo ſentitur.

Scorpio

Scorpio. Cap. VII.

Scorpionis morſu inflammari ſtatim incipit locus, & indureſcit, ac intentus rubet, viciſsímque dolore premitur. Modò ſiquidem exęſtuat, modò frigore occupatur. Labor repentê fatigat, & aliquando meliuſcule habet, aliquando verò recrudeſcit. Conſequitur ſudor, horroris ſenſus, & tremor. Extremæ corporis partes refrigeſcunt, inguina extolluntur, per ſedem flatus exeunt, capilli eriguntur, palor membra decolorat & dolor, tãquam ex pungente acu, per vniuerſam cutem ſentitur.

Paſtinaca marina. Cap. VIII.

Si marina paſtinaca percuſſit, protinus accidunt moleſti dolores, aſsiduæ conuulſiones, laſsitudo, & imbecillitas. Mens percuſsis labat, poſtea obmuteſcunt: oculi caligant. Percuſſus autem locus in ambitu cum vicinis partib⁹ denigratur, & ita obſtupeſcit, vt tãgentem non ſentiat. Hunc ſi quis premat, atra ſanies, craſſa & malè olẽs excernitur.

Mus araneus. Cap. IX.

A mure araneo percuſsis, circa

Περὶ Σκορπίου. Κεφ. ζ.

Τοῖς δὲ ὑπὸ σκόρπιου δηχθεῖσιν, ὁ μὲν τόπος εὐθέως ἄρχεται φλεγμαίνειν, σκληρὸς καὶ ἐνερευθὴς καὶ περιπαθὴς, σὺν ὀδύνῃ γινόμενος ἐναλλάξ. ὁ τὲ μὲν γὰρ πύρωσις, αὖθις δὲ ψύξις ἐπιλαμβάνεται. καὶ πόνος ἐξαπίνης, καὶ ποτὲ μὲν ῥαΐζει, ποτὲ δὲ ἐπιτείνεται. παρέπεται δ᾽ αὐτοῖς ἱδρὼς καὶ φρικώδης αἴσθησις, καὶ τρόμος. καὶ περίψυξις ἀκρωτηρείων, καὶ βουβώνων ἔπαρσις, φύματα διὰ τῆς ἕδρας, ὀρθοτριχία τὲ, καὶ δύσχροια, ἐπαλγὴς περὶ τὴν ἐπιφάνειαν τῆς αἰσθήσεως, καθάπερ ἀπὸ βελόνης κεντημάτων ὀδυνώμενος.

Περὶ Τρυγόνος θαλασσίας. Κεφ. η.

Τοῖς δὲ ὑπὸ τρυγόνος θαλασσίας δηχθεῖσι, παραυτίκα μὲν περιωδυνίαι συμβαίνουσι δυσκατέργαστοι, σπασμοὶ τε συνεχεῖς καὶ πόνος, καὶ ἀτονία, καὶ διανοίας παραφορά, μετὰ δὲ τοῦτο ἀφωνία καὶ σκοτασμὸς ὀφθαλμῶν. αὐτὸς δὲ ὁ πληγεὶς τόπος, * μέλας γίνεται κύκλῳ, καὶ τὰ πλησίον αὐτοῦ μέρη, καὶ πρὸς τὴν ἁφὴν ἀναισθητεῖ. ἐπὰν δέ τις αὐτὸν ἀποθλίψῃ, ἰχὼρ ἐξ αὐτοῦ μέλας, παχὺς, δυσώδης ἐκκρίνεται.

Περὶ Μυγαλῆς. Κεφ. θ΄.

Τοῖς δὲ ὑπὸ μυγαλῆς δηχθεῖσι, κύκλῳ

κύκλῳ μὲν περὶ τὸν τόπον τοῦ δήγματος γίνεται φλεγμονὴ, φλυκτὶς δὲ ἐπανίσταται μέλαινα, μεστὴ ἰχῶρος ὑδατώδους· καὶ τὰ πλησίον πάντα πελιοῦται. ῥαγείσης τε τῆς φλυκταίνης, νομὴ παραλαμβάνει παραπλησία τῇ ἀπὸ τῶν ἑρπυστικῶν. σὺν τούτοις δὲ παρέπεται καὶ στρόφος περὶ τὰ ἔντερα, καὶ δυσουρία, καὶ ψυχρᾶς νοτίδος περίχυσις.

Περὶ Ἐχίδνης. Κεφ. ι.

Τοῖς δὲ ὑπὸ ἐχίδνης δηχθεῖσιν, οἰδεῖ καὶ ἐφ᾽ ἱκανὸν τὸ σῶμα ξηραίνεται, τὴν χροιὰν δὲ ὑπόλευκον ἔχει. ἰχὼρ δὲ ἀπὸ τοῦ τραύματος προχεῖται, τὸ μὲν πρῶτον ὑπολίπαρος, μετὰ ταῦτα δὲ αἱματώδης· φλυκταινῶν τε ἐπανάστασις, καθάπερ ἐπὶ τῶν πυρικαύτων ἕπεται· καὶ νομὴ προκαταλαμβάνει προχωροῦσα ἐπὶ τὰ παρακείμενα πάντα πλησίον, οὐ μόνον ἐπιπόλαιος, ἀλλὰ καὶ διὰ βάθους· αἱμάσσεται δὲ αὐτοῖς καὶ τὰ οὖλα· καὶ περὶ τὸ ἧπαρ συνίσταται φλεγμονή· στρόφοι τε καὶ χολώδεις ἐπισυμβαίνουσιν ἔμετοι. προσγίνεται δὲ αὐτοῖς ἔμετος καὶ κάρος, καὶ δυσουρία, καὶ ψυχρὰ περιίδρωσις.

Περὶ Ἀμφισβαίνης. Κεφ. ια.

Παραπλήσια δὲ συμβαίνει καὶ τοῖς ὑπὸ τῆς προσαγορευομένης σκυτάλης ἢ ἀμφισβαίνης δηχθεῖσι, βοηθεῖ δὲ σχεδὸν ἤδη τὰ αὐτά· διόπερ ἰδίας ἀναγραφῆς

ἔτι

circa morſum in orbem inflammatio exoritur, nigráque puſtula, diluta ſanie turgens, exurgit: proximæ partes liuét. Rupta puſtula, depaſcés vlcus, nó ei diſsimile quod ſerpit, occupat. Inteſtinorum quoq; tormina, difficultas vrinæ & frigidæ aſperginis offuſio conſequuntur.

Vipera. Cap. X.

Si vipera momordit, corpus intumet, vehementer areſcit, ſubalbidúmque colorem cócipit. Sanies à vulnere profunditur, primum ſuppinguis, mox cruenta: puſtulæ aduſtis ſimiles erumpunt: & antea depaſcens vlcus, quod in proxima repens, non ſumma modo corporis, ſed intima quoque corripit: gingiuæ iis cruore ſuffunduntur: inflãmatio circa iecur erumpit: tormina & biliosi vomitus ſequuntur.

Sopor, tremor, & vrinæ difficultas accedit, & frigidus ſudor offunditur.

Cæcilia. Cap. XI.

Conſimilia eueniút iis qui à cęcilia nomine, aut amphisbęna demorſi ſunt, eadémq; ferè auxiliantur: quare hoc venenũ priuatã deſcriptioné ſortitum

non

nõ eſt, neq; viſum eſt dignum, quod alio genere cõprehẽdat.

Dryinos. Cap. XII.

A DRYINO morſis puſtulæ moleſtíque dolores incidunt, præſertim quà dilutæ ſaniei emiſſarium ſubeſt: quinetiam eroſio, tormináque cõſequuntur.

Hemorrhoos. Cap. XIII.

Ab hæmorrhoo ictis vehementes cruciatus accidũt, qui anguſta contractáque corpora ex continuo dolore reddunt. Ex plaga copioſus cruor effluit, & quacunq; parte corporis cicatrix vlla fuerit: ea ſanguine manat. Excrementa per aluum cruenta eiiciuntur, profluéſq; ſanguis in globos coiit. A pulmone ſanguinẽ extuſsiunt, & in vomitiones effuſi ſine remedio commoriuntur.

Dipſas. Cap. XIIII.

Quos dipſas percuſsit, ſolut⁹ ac nõ cõſtrict⁹ tumor premit, ſitiſq; vſq; eo ꝑtinax, vt ſatiari nõ poſsit, ac ſine vlla intercapedine excruciet: etſi potũ pleno ore affatim trahãt, illico in eandẽ ſitim relabunt: ꝑinde toto habitu ſimiles ſunt iis ꝗ antea pot⁹ nihil hauſerint. Quare ꝑpter cõtinuã ſitim, & preſter, & cauſon, aut dipſas appellat.

Natrix

οὔτε τετύχηκεν, οὔτε ἠξιώθη τὸ εἶδος τοῦτο.

Περὶ Δρυΐνου. Κεφ. ιβʹ.

Τοῖς δὲ ὑπὸ δρυΐνου δηχθεῖσιν, ἰσχυραὶ περιωδυνίαι ἐμπίπτουσι, καὶ φλυκταινώδεις ἐν τῷ οἰκείῳ μέρει, ὅπου δὲ καὶ ὑδατώδους ἰχῶρος ἔκχυσις· ἐπακολουθεῖ δὲ καὶ δηγμὸς καὶ στρόφος.

Περὶ Αἱμόρρου. Κεφ. ιγʹ.

Τοῖς δὲ ὑπὸ αἱμόρρου δηχθεῖσιν, ἰσχυραὶ περιωδυνίαι ἐμπίπτουσι, βραχέα δὲ καὶ στενὰ παντελῶς παρέχουσι τὰ σώματα ὑπὸ συντυχίας τῶν ἀλγημάτων. ἐκ δὲ τοῦ δήγματος ἔκκρισις γίνεται πολλή, κἂν οὐλὴ καθ' ἕτερον μέρος τοῦ σώματος ὑπάρχῃ, παρέχει αἱμοῤῥοεῖν· τὰ δὲ διαχωρήματα αἱματώδη ἐκκρίνεται, καὶ τὸ ἀποῤῥεόμενον ἀπ' αὐτοῦ αἷμα τεθρομβωμένον ἐστί. βήσσοντές τε ἀπὸ πνεύμονος, αἷμα ἀνάγουσι, * καὶ ἐξεμοῦσιν ἀβοηθήτως.

Περὶ Διψάδος. Κεφ. ιδʹ.

Τοῖς δὲ δηχθεῖσιν ὑπὸ διψάδος, ἄστεγνος ὄγκος ἐγείρεται, καὶ δίψος ἐπιτεταμένον ἰσχυρῶς ὥστε ἀπλήρωτον καὶ ἀδιάλειπτον εἶναι· καὶ τὸ ποτὸν χανδὸν ἕλκειν, κἂν τῷ αὐτῷ καθίστασθαι. τῷ δὲ μὴ τὴν ἀρχὴν εἰληφότι τὸ ποτὸν, παραπλήσιόν τι ὅλου τοῦ συγκρίματος ἀκολουθεῖ. διὰ τὴν συνεχῆ τοῦ πόματος εἰσφορὰν, ὅθεν πρηστήρ τε καὶ καῦσος προσαγορεύεται ἡ διψάς.

Περὶ

Περὶ ὕδρου. Κεφ. ιε'.

Τοῖς δὲ ὑπὸ ὕδρου δηχθεῖσι, τὸ ἕλκος πλατύνεται καὶ μέγα γίνεται πελιδνούμενον. ἰχὼρ τε ἐξ αὐτοῦ μέλας καὶ πολὺς καὶ δυσώδης οἷον ἀπὸ νομῆς ἐκκρίνεται.

Περὶ Κέγχρου. Κεφ. ιϛ'.

Τοῖς δὲ ὑπὸ κέγχρου δηχθεῖσι, τὸ μὲν δῆγμα ὅμοιον τοῖς ἀπὸ τῆς ἐχίδνης, σηπεδὼν δὲ παρακολουθεῖ. καὶ περιρρέουσι σάρκες ἐξοιδήσασαι πρότερον ὡς ἐπὶ ὕδρωπος. ληθαργώδεις τε γίνονται καὶ καταφορᾶς αἴτιοι. Ἐρασίστρατος δέ φησιν αὐτοὺς πεπονθέναι τὸ ἧπαρ καὶ τὴν νῆστιν καὶ τὸ κῶλον. ἀνατμηθέντων γὰρ αὐτῶν διεφθαρμένα πως εὑρίσκεται πάντα τὰ μέρη.

Περὶ Κεράστου. Κεφ. ιζ'.

Τοῖς δὲ ὑπὸ κεράστου δηχθεῖσιν, ὁ μὲν τόπος ἐπαίρεται μετὰ σκληρίας καὶ φλυκταινώσεως. ῥεῖ δὲ ἀπὸ τοῦ δήγματος ἰχὼρ ποτὲ μὲν μέλας, ποτὲ δὲ ὕπωχρος· κιρσοειδὴς δὲ γίνεται περὶ τὸ σύγκριμα ὅλον· καὶ τὸ μὲν αἰδοῖον τείνεται. ἡ δὲ διάνοια ἐξίσταται, ὀφθαλμῶν τε ἀμαύρωσις ἐπιγίνεται· τέλος δὲ ἀπόλλυνται σπώμενοι τετάνῳ.

Περὶ Ἀσπίδος. Κεφ. ιη'.

Τοῖς δὲ ὑπὸ ἀσπίδος δηχθεῖσι, τὸ μὲν δῆγμα ὅμοιον τοῖς ὑπὸ βελόνης κεντήμασι μικρὸν παντελῶς φαίνεται χωρὶς τῆς ἐπάρσεως· καὶ αἱμάτιον δὲ οὐ πολὺ,

ἀλλὰ

Natrix. Cap. XV.

Ab natrice demorſis vlcus dilatatur, & liuidũ ac ingẽs euadit. Sanies ex eo multa, & atra, & malè olens, nõ ſecus atq; iis quæ ſerpunt vlceribꝰ, expuitur.

De cenchro. Cap. XVI.

Cenchri morſum, qui viperino ictui ſimilis eſt, putridum vlcus ſequitur. Carnes antea, vt in aqua inter cutem, prætumidæ, defluũt. Lethargo corripiũtur, & veterno preſsi ſomnos captãt. Eraſiſtratꝰ eos iocinere, inteſtino ieiuno, colóque conflictari autor eſt. Quippe diſſectis ipſis, omnes ferè partes corruptæ reperiuntur.

Ceraſtes. Cap. XVII.

A ceraſte percuſsis locus attollitur, cum duritia puſtuloſus. E plaga ſanies profluit, modo atra, modo pallidior: ſed toto concretu varicoſus intumeſcit: genitale intenditur: mens labat, & oculorum caligo exoritur: denique rigore neruorũ diſtẽti commoriuntur.

Aſpis. Cap. XVIII.

Ab aſpide ictis, vulnus exiguum prorſus, quaſi ab adacta acu citra tumorem conſpicitur: ſanguis exiguus ille quidẽ,

X ſed

ſed ater diſtillat: caligo velox oculos obnubit: labor in totum corpus multiplex, omnino leuis & non ſine voluptate conſequitur. Ideo Nicander perpulchrè cecinit: At vir perit, abſque labore, virens atque diſcolor: mediocris ſtomachi dolor afficit: frons perpetuò reuellitur: genæ contremiſcũt, quaſi ſine ſenſu in ſomno vacillent. Hos mors tollit, ad diei trientem non dilata.

Baſiliſcus. Cap. XIX.

Eraſiſtratus in libro quem de medicaminibus & venenis condidit, de vocato baſiliſco ſcitè ita refert: Cum baſiliſcus momorderit, vulnꝰ ad auri colorem efflaueſcit. Itaque in plurimis quæ virus eiaculantur, comites notæ ita ſe habent. Tranſeuntes vtiq; ad medendi rationem, primum, vt fieri poterit, de cõmunibus diſſeremꝰ.

ἀλλὰ βραχὺ καὶ μέλαν ἀποστάζει· ταχεῖα δὲ ἀμαύρωσις ὀμμάτων καταλαμβάνεται· πόνος τε ὅλου τοῦ σώματος πολυειδής. παντάπασιν ἐλαφρὸς καὶ οὐκ ἄτερ ἡδονῆς παρακολουθεῖ. διὸ καλῶς ὁ Νίκανδρος πεφώνηκε· καμάτου δ᾽ ἄτερ ὄλλυται ἀνὴρ, χρόαν ἀτρόπος καὶ χλοανθής· καρδιωγμὸς ὀλίγος. μέτωπον τε συνεχῶς ἀνασπᾶται· βλέφαρα κινοῦνται μετ᾽ ἀναισθησίας ὁμοίως ὕπνῳ, κἂν τούτοις θάνατος συναίρει μὴ τὸ τρίτον ἡμέρας διαλιπών.

Περὶ Βασιλίσκου. Κεφ. ιθ.

Ἐρασίστρατος ἐν τῷ καλουμένῳ περὶ δυνάμεων καὶ θανασίμων περὶ τοῦ καλουμένου βασιλίσκου ῥητῶς οὕτω φησίν· ὅταν δὲ ὁ βασιλίσκος δάκῃ, πληγὴ ὑπόχρυσος γίνεται. Τὰ μὲν οὖν ἐν τοῖς πλείστοις τῶν ἰοβόλων παρακολουθοῦντα σημεῖα, τοιαῦτά ἐστι. μεταβαίνοντες δ᾽ ἐπὶ τὴν θεραπείαν, πρῶτον τὰ κοινὰ τῆς θεραπείας ὡς δυνατὸν παραδώσομεν.

LIBRI SEPTIMI FINIS.

ΤΕΛΟΣ ΤΟΥ ΒΙΒΛΙΟΥ ΕΒΔΟΜΟΥ.

ΠΕΔΑΚΙΟΥ ΔΙΟΣΚΟΡΙΔΟΥ ἀναζαρβέως περὶ θεραπείας τῶν ὑπὸ ἰοβόλων δεδηγμένων βίβλιον ὄγδοον.

Τίς κοινὴ τῶν ἰοβόλων θεραπεία. Κεφ. α΄.

ΠΡΟΣ πᾶσαν πληγὴν ἰοβόλου ἁρμόζει ἡ διὰ τοῦ στόματος ἐκμύζησις. δεῖ δὲ μὴ ἄσιτον εἶναι τὸν ἐκμυζῶντα, ἀλλὰ καὶ εἰληφέναι ῥοφὴν, καὶ διακλύζεσθαι οἴνῳ· ἔπειτα δὲ καὶ βραχύ τι ἐν τῷ στόματι ἐλαίου κατέχων, οὕτω τὴν ἐκμύζησιν ἐπιτελείτω. καὶ αὐτὸς δὲ ὁ τόπος σπόγγῳ πυριάσθω, ἔπειτα δὲ ἐγχαρασσέσθω· βαθυτέρας δὲ ἐμβάλλειν τὰς ἀμυχὰς προσήκει, ὅπως τὴν ὕλην ἐκ βάθους ἀναλαμβάνῃ. καὶ περισαρκισμὸς δὲ καὶ ἐκτομὴ, πλουσιώτερον κατασχασμοῦ βοηθοῦσιν· ἴδια γὰρ ἐπ᾽ αὐτῶν τὰ χρησιμεύοντα γίνεται. ἓν μὲν ὅτι αἴρεται ὁ ἰὸς ἐκ τοῦ τόπου. δεύτερον δὲ ὅτι τῷ αἵματι συνεκκρίνεται πολλῷ καὶ ἀθρόῳ τὸ φθάσαν ἔσω παρελθεῖν. εἰ δὲ ὁ τόπος τὸν περισαρκισμὸν οὐ προσδέχοιτο, σικύας χρὴ προσβάλλειν μετὰ φλογὸς πλείονος. περὶ δὲ καύσεως ἐπὶ τῶν κυνοδήκτων προειρήκαμεν.

PEDANII DIOSCORIDIS Anazarbei De curatione ab animalibꝰ venenatis morſorum, LIBER VIII.

Cõmunis curatio in omnes ictus virulẽtos. Cap. I

ADuerſus quidem omnem animalis ictũ, quod venenũ vibrat, oris ſuctio conuenit. Sugentem verò oportet ieiunum non eſſe, ſed & cibum ſumpſiſſe, & vino os abluiſſe: poſtea exiguũ olei in ore continens plagam exugat. Locus ipſe ſpongia fouendus, deinde ſcarificandus: ſed vlcuſcula altiꝰ imprimere expedit, quo viroſa materies profundò euocetur. Circinatio autẽ carnis, & ſectio, ſcarificatione lõgè potentius opitulantur: nãq; ab iis duo peculiaria præſidia fiunt. Vnum, quod virus è loco tollitur. Alterum, ꝙ eius veneni pars q̃ ad interiora graſſat, cũ multo copioſoq; ſanguine excernit. Quod ſi locus ſectionem non admittat, cucurbitulæ cum largiori flãma adfigẽdę ſunt. Sed iã de vſtione ſuprá in rabioſorũ morſu diſſeruimus.

Si verò icta pars, vtpote extrema, eam ſectionem commodè non reſpuat, præſertim in omnibus ſerpentiũ ictibus, vt aſpidis, ceraſtæ, ſimiliumq;, proculdubio amputanda eſt. Conuenientiora ſuprà dictis auxilia ſunt, quæ epithemata vocant. Imponatur ſermentitius cinis, aut ficulnus, cum lixiuio ſtillatitio ſubactus, garo, & acri ſalſamẽto: porri, cepæ, & allia modo minutiſsimè cõtrita illinũtur, modo cremata vulneribus iniiciuntur. Quinetiam diſſecti gallinarum pulli, cum maximè tepent, percuſſo loco applicẽtur. Nec deſunt qui hiſce tanquam diſcordia quadã naturali pugnãtibus vtãtur: verùm huius rationẽ inire facillimũ fuerit. Gallinæ enim calida natura præditæ ſunt, argumento, ꝙ deuoratum inſigne virus cõficiunt, & aridiſsima queq; ſemina conſumãt: item nõnunquã arenas lapilloſq; ingluuie ſua deuoratos diſſoluunt. Itaq; animantis admoti calore adiutus ſpiritus, ab icta parte impetum capeſſens exilieſq; ſecum venenum exigit. Nec me fugit quid in Ægypto fieri ſoleat. Cũ ſpicas Ægyptij metũt, ollam picis paratã habẽt, & appẽſã faſciã: tunc

εἰ δ' εὐφυῶς ἔχει πρὸς ἀποκοπὴν τὸ μέρος τὸ δεδηγμένον, μάλιστα ἐπὶ πάντων θηρείων ἀνενδοιάστως τὸν ἀκρωτηριασμὸν ποιητέον, ὡς ἀσπίδος, καὶ κεράστου καὶ τῶν ὁμοίων. ὡς ἐπιτηδειότερα διὰ τῶν προειρημένων βοηθημάτων, ἄξια ἐπιθέματά ἐστιν. ἐπιτιθέσθω δὲ τέφρα κληματίνη ἢ συκίνη, μετὰ κονίας στακτῆς πεφυραμένης. γάρου, δριμέος ταρίχου· πράσα τε καὶ κρόμμυα, καὶ σκόροδα ποτὲ μὲν ὡς ἐκλεπτοτριβηθέντα καταπλασσέσθω, ποτὲ δὲ καέντα προσβάλλεται τοῖς δήγμασι καὶ οἱ τῶν ὀρνίθων νεοσσοὶ διαχισθέντες καὶ θερμότατοι προσπτυσσόμενοι τῷ πεπληγότι τόπῳ. τινὲς μὲν ὡς ἀντιπαθέσιν αὐτοῖς ἐχρήσαντο· πρόχειρον δὲ ἔχει τὸν λόγον. φύσει γὰρ οἱ ὄρνιθες εἰσὶ θερμαὶ, διὸ καὶ ἐπίσημον τὸν ἰὸν καταπιοῦσαι, τεύχουσι, καὶ τὰ ξηρότατα δαπανῶσι τῶν σπερμάτων· ἐνίοτε, καὶ ψάμμοις καὶ λίθοις διαλύουσιν ἐμφαρυγξάμεναι. τοιγαροῦν πρὸς τὴν τοῦ ζῴου θερμασίαν, τὸ πνεῦμα τὸ ἐκ τοῦ δεδηγμένου μέρους ὁρμὴν λαμβάνον, συνεξάγει τὸν ἰόν. ἔγνωμεν δὲ ἐπὶ τῆς αἰγύπτου τοιοῦτόν τι γινόμενον. ὁπόταν οἱ αἰγύπτιοι θερίσωσι τὸν στάχυν, χύτραν ἔχουσι κατεσκευασμένην πίσσης, καὶ σφήκωμα προσηρτημένον τῇ χύτρᾳ. τότε

τό τε γὰρ μάλιστα δεδίασι τὰ θηρεία, καὶ διὰ τὴν ὥραν, καὶ τῷ λανθάνειν αὐτὰ κείμενα κατὰ τῶν ὀπῶν τῶν ἐν ταῖς ἀρούραις ἐπισκοτούμενα ὁμοῦ καὶ ὑπὸ τῆς δασύτητος τῶν χωρῶν. πολλὰ δὲ κατὰ τὰ πεδία χαλεπώτερα τῶν ἰοβόλων ζώων ἡ αἴγυπτος φέρει. ἐπειδὰν οὖν δηχθῇ τις πόδα ἢ ἄλλο τι μέρος ταχέως οἱ παρατυχόντες τὸ σφήκωμα βάλλουσιν εἰς τὴν χύτραν τῆς πίσσης, καὶ περιελοῦσιν ἅπαξ ἢ δὶς περὶ τὸν πῆχυν ἢ τὴν κνήμην, μικρὸν ἐπάνω τοῦ δήγματος, καὶ περισφίγγουσι δύο παρεστῶτες ἰσχυρῶς, καὶ ἐντέμνοντες τὸν τόπον διὰ τῆς περιθέσεως τοῦ βρόχου, ἐπιχέουσι καὶ πίσσαν. ὅταν δὲ αὐτάρκως ἔχειν δοκῇ, τὸν βρόχον ἀφαιροῦσι καὶ καταπλάσσουσι κρομμύοις, καὶ δι' ἄλλων τῶν προειρημένων. καὶ ἰδίων δὲ χωρὶς ὑγρὰ πίσσα μετὰ ἁλῶν λείων θερμοτέρων καταπλασσομένη, σπουδαίως βοηθεῖ, αὐτὴ καινοποιηθεῖσα συνεχέστερον. ὡσαύτως ἁρμόζει καὶ κέδρος, τά τε σπυρίθια τῶν αἰγῶν ἐν οἴνῳ καθεψόμενα. ἀρήγει δὲ αὐτοῖς καὶ καταντλήσις δι' ὄξους θερμοῦ, καὶ καλαμίνθη ἑψομένη δι' οὔρου καὶ θαλάσσης ἢ ὀξάλμης. εἰσὶ δὲ καὶ ἔμπλαστροι δριμύταται δυνάμεναι τὸν ἰὸν ἐπισπᾶσθαι, καὶ διακρατεῖν καὶ διαφορεῖν. ὡς δι' ἁλῶν ἢ νίτρου καὶ σινάπεως καὶ κάγχρυος προσφερόμεναι·

ὥσπερ

tunc enim maximè ſerpétium iniurias expaueſcunt, tum propter ſpicilegij tépus, tum quòd opacis ſimul abditæ ſpeluncis & cauernis, denſoq; aruorum ceſpite deliteſcunt. Moleſtiſsima enim animalia & virus eructantia, Ægyptus in cápis ferre cóſueuit. Vbi ergo aut in pedem, aut parté aliam, morſum intulerunt, qui adſunt, faſciam in ollam picis coniiciũt, & ſemel aut iterum brachium aut crus paulum ſupra vulnus obligant, et arctiſsimè duo è præſentibus diſtringũt, locúmque ſecantes qua circũactus eſt laqueus, picem inſtillant. Cúmq; ſatis vulnus excepiſſe videtur, laqueum reſoluũt, & cæpis aliiſq; ſuprà memoratis illiniũt. Præterea pix liquida cum ſale trito & feruéte illita p̃ſétaneo eſt auxilio, ſi iugiter ĩnouetur. Cõuenit & cedria, & fimũ caprarum ex vino decoctũ. Locum aceto calido, calamintha in lotio, maris aqua, aut acida muria decocta, foueri ſalutare eſt. Quinetiã nõ deſunt emplaſtra vehemétiſsima, & calidiſsima, q̃ venenũ elicere, expugnare, & diſcutere poſsunt. Cuiuſmodi ſunt q̃ ex ſale, aut nitro, ſinapi, & cachrye cóponũtur:

de quibus cõſequẽter erit tractandũ. Eraſiſtratus autem nõ iniuſta reprehẽſione eos inceſſit, q̃ incognitas ad hunc vſum facultates cõſcripſerũt, vt elaphãti fel, crocodiliv: ſanguinẽ ouaq;, teſtudinis, & conſimilia. Nam cũ iuuantia quędã literis tradidiſſe vidẽtur, planè in hęc ſola incidẽtibus impoſuerunt. Quare talia deuitanda ſunt, cũ difficilè, niſi regia facultate, ꝑueſtigari poſsint: neq;, quò noſtra fides iis obſtringatur, frequẽti obſeruatione, ſufficiens experimentũ præſtiterint. Quę autẽ ad cõmunẽ omniũ vſum pertinẽt, quæq; facile ſuppeditari, & omnibus à ſerpẽte percuſsis auxiliũ ferre queũt, ſubiungẽdi vidẽtur. Intubus itaq;, & erica, & aſtragalus, cũ aceto pota, cõtra omnes ſerpentium morſus auxiliãtur. Itẽ bitumẽ, & virentes platani pilulę in vino diluto coctæ, & paliuri decoctum: radix ariſtolochiæ, & eryngij: decoctę etiã lauri baccæ & deuoratæ, piper largius eſitatũ, ruta, anethũ, & cyclamin⁹: coma porrorũ priuatim ex pane, aut alliũ, aut cepæ, ſalſamẽtáq; quamacerrima: origani decoctum cum vino potũ, fœniculi, pulegij, calaminthæ,

porrorũq;

ὥσπερ ἑξῆς ῥητέον. οὐκ ἀλόγως δὲ ὁ ἐρασίστρατος ἐπιμέμφεται τοῖς ἀγνώστους δυνάμεις πρὸς τὴν χρείαν ἀναγεγραφόσιν, ὡς χολὴν ἐλέφαντος καὶ αἷμα χελώνης καὶ ᾠὰ καὶ τὰ παραπλήσια. δοκοῦσι μὲν γάρ τινα πεποιῆσθαι παράδοσιν ὠφελούντων ἐξηπατήκασι δὲ αὐτὰ μόνα τοὺς ἐντυγχάνοντας. ὅθεν τὰ μὲν τοιαῦτα παραιτητέον μήτε ῥᾳδίως εὑρεθῆναι δυνάμενα εἰ μὴ ὑπ' ἐξουσίας βασιλικῆς· μήτε διὰ τῆς πλείστης τηρήσεως οἵαν εἰς τὸ πιστευθῆναι τὴν πεῖραν παρεσχημένα. τὰ δὲ κοινωφελῆ, καὶ εὐπόριστα, ὑποδεικτέον, τὰ καὶ εἰς πάντα ἐν πᾶσι τοῖς θηριοδήκτοις δυνάμενα τὴν χρῆσιν παρέχειν. σέρεις τοίνυν καὶ ἐρείκη καὶ ἀστράγαλος πινόμενα μετ' ὄξους, πᾶσι τοῖς θηριοδήκτοις βοηθεῖ. ὡσαύτως καὶ ἄσφαλτος καὶ πλατάνου χλωρὰ σφαιρία καθεψηθέντα ἐν κράματι. καὶ παλιούρου ἀφέψημα· καὶ ῥίζα ἀριστολοχίας καὶ ἠρύγγης· καὶ δαφνίδες ἑφθαὶ κατεσθιόμεναι καὶ πέπερι δαψιλέστερον βρωχόμενον καὶ πήγανον καὶ ἄνηθον καὶ κυκλάμινον· πράσων τε ἡ κόμη ἰδίᾳ σὺν ἄρτῳ, ἢ σκόροδα, ἢ κρόμμυα, καὶ τάριχος δριμύτατος· καὶ ὀριγάνου ἀφέψημα σὺν οἴνῳ πινόμενον. καὶ μαράθρου καὶ γλήχωνος καὶ καλαμίνθης,

καὶ

καὶ πράσων χυλὸς σὺν μέλιτι καταῤῥοφούμενος, ταῦτα μὲν ἐκ τῶν φυομένων. ἀπὸ ζώων δὲ λαμβάνεταί τινα ὠφελίμως, ἐγκέφαλοι μὲν ἀλεκτρυόνων ἐσθιόμενοι, πιτύα δὲ λαγωοῦ σὺν οἴνῳ πινομένη καὶ καστορίου ὁλκαὶ β΄. τοῦ αὐτοῦ τρόπου· λέγεται δὲ καὶ ὅτι χελώνης θαλασσίας οἱ ὄρχεις λαμβανόμενοι βοηθοῦσιν. ἔστι δὲ καὶ ἡ γαλῆ ἡ σκελετευθεῖσα τῶν βεβοηθημένων, εὑρίσκεται δὲ πρότερον ἡ πάντη καθαρθεῖσα τῶν ἐντὸς ἐκκριθέντων, σκελετεύεται δὲ ξηραινόμενον, καὶ ἀπ' αὐτῆς τὸ δίδραχμον σὺν οἴνῳ πινόμενον. τοσαῦτα δὴ καὶ τὰ ἁπλᾶ τῶν προσφερομένων. ἁρμόζει δὲ τοῖς θηριοδήκτοις καὶ κάθαρσις διὰ κοιλίας, καὶ ἱδρωτοποιΐα, καὶ οὔρων πολλῶν ἔκκρισις. σκευαστὰ δὲ ποτήματα παραδέδοται κοινοτέρως ὑπισχνούμενα βοηθεῖν, ὡς ὀπίου καὶ σμύρνης ἀνὰ ὀβολὸν, καὶ πεπέρεως < β΄. ταῦτα δὲ δεῖ μέλιτι ἀναλαμβάνειν, καὶ διδόναι κυάμου μέγεθος, αἰγυπτίου μετ' οἴνου. ὁμοίως πηγάνου ἀγρίου σπέρματος, μελανθίου, κυμίνου αἰθιοπικοῦ, χαλβάνης, ἀριστολοχίας, ταῦτα πάντα λεανθέντα καὶ φυραθέντα χυλῷ εὐζώμου, ἀναπλάσσονται βοΐσκοι δραχμιαῖοι· διδόναι δὲ ἐξ αὐτῶν μετ' οἴνου ἡμικοτυλιαίου. ταῦτα μὲν περὶ τῶν κοινῇ βοηθούντων. τὰ δὲ ἴδια πρὸς ἕκαστον τῶν ἰοβόλων ἑξῆς εἴπωμεν.

Περὶ

porrorũq; ſuccus cũ melle deſorptus. Hæc quidẽ à plãtis cõquirũtur. Ab animãtibus verò quædã vtiliter peti ſolẽt, gallinaceorũ cerebella in cibo, leporinũ coagulũ cũ vino, itidẽ caſtorij ſextãs: teſtes marinę teſtudinis ſumpti multũ ꝓdeſſe tradũtur: muſtela ſale ĩueterata ĩter auxiliaria medicamẽta eſt. Cõmendaẗ in primis exenterata, q̃ ſale ſicceſcẽs inueteratur, ex qua binas drachmas cũ vino bibiſſe ſatis eſt. Sed de ſimplicibus quæ dari ſolẽt hactenus. Percuſsis à ſerpẽte prodeſt alui deiectio, diffluens ſudor, vrina copioſe reddita. Sũt & cõpoſitæ quædã potiones, q̃ mira remedia polliceri tradũtur, vt & opij & myrrhę ſinguli oboli, piperis ſicilicum: ea melle excipiũtur, & ĩſtar Ægyptiæ fabæ dãtur cũ vino. Itidẽ ſylueſtris rutę ſeminis, gith, cumini Æthiopici, ariſtolochiæ, galbani, ſingulorũ pares portiones tritæ, et cũ erucę ſucco ſubactæ, digeruntur in paſtillos, qui drachmæ põd⁹ æquẽt: danẗ ex iis terni cyathi cũ vino. Hęc habui de cõib⁹ auxiliis q̃ dicerẽ. De peculiarib⁹ remediis contra beſtias quæ venena vibrãt, conſequenter eſt dicendum.

Curatio ab apibus & veſpis morſorum. Cap. II.

INTER ferientium venenatorum notas nihil de veſpis & apibus articulatim digeſsimus, quòd conſpicuæ omnibus forent, & nihil excellens aut notatu dignum in his obſeruaretur: inter remedia tamen, earũ meminiſſe non fuit alienum. Igitur aduerſus vtrarunque ictus prodeſt illita malua, & hordeacea farina cum aceto, ficulneum lac in vulnus inſtillatum, à muria, aut maris aqua fotus.

Curatio à phalangiis morſorum. Cap. III.

Phalangiorum ictibus ficulneum cinerem, adiecto ſale trito & vino, imponere oportet, aut radicem ſylueſtris punicæ quamtenuiſsimè tritam, aut ariſtolochiam cum hordei farina & aceto ſubactam. Vlcera aqua maris proluẽda, aut apiaſtri decocto, foliáque eiuſdem illinenda. Lauacris perpetim vtendum, & propinandum abrotoni ſemen, aniſum, ariſtolochiam, cicer ſylueſtre, cuminum Æthiopicum, cedrides tritas, platani corticem,

&

Περὶ θεραπείας τῶν ὑπὸ σφηκῶν καὶ μελισσῶν δεδηγμένων. Κεφ. β΄.

Ἐν τῇ σημειώσει περὶ σφηκῶν καὶ μελισσῶν οὐδὲν διηθρώσαμεν, εὔδηλα γὰρ πᾶσιν ἦν καὶ παράσημον ἔχει ἐξαίρετον οὐδ᾽ ὁποῖον φυλασσόμενον· ἐν δὲ τῇ θεραπείᾳ, καὶ τούτων οὐκ ἄτοπον μνημονεῦσαι. πρὸς οὖν τὰς πληγὰς τῶν σφηκῶν καὶ μελισσῶν, ἁρμόζει μαλάχη καταπλασσομένη, καὶ κρίθινον ἄλευρον σὺν ὄξει, καὶ συκῆς ὀπὸς ἐνσταζόμενος τοῖς δήγμασι, καὶ πυρία δι᾽ ἅλμης ἢ θαλάσσης.

Περὶ τῆς ὑπὸ φαλαγγίων δεδηγμένων. Κεφ. γ΄.

Τοῖς δὲ ὑπὸ φαλαγγίων δεδηγμένοις, ταῦτα ἐπιτιθέναι δεῖ, τέφραν συκίνην σὺν ἁλσὶ λείοις μετ᾽ οἴνου πεφυραμένην, ἢ ῥίζαν ἀγρίας ῥόας λειοτετριμμένην, ἢ ἀριστολοχίαν σὺν κριθίνῳ ἀλεύρῳ καὶ ὄξει δεδευμένην. καταντλεῖν δὲ θαλάσσῃ τὰ ἕλκη, ἢ μελισσοφύλλου ἀφεψήματι, ταύτης δὲ τὰ φύλλα ἐπιπλάσσειν. λουτρῷ δὲ λίαν συνεχέστερον, καὶ προπολισμοῖς χρηστέον διὰ τούτων τῶν φαρμάκων ἀβροτόνου τὸ σπέρμα, ἄνισον, ἀριστολοχία. ἐρέβινθος ἄγριος, κύμινον αἰθιοπικὸν, κεδρίδες λεῖαι, πλατάνου φλοιὸς,

καὶ

καὶ τὸ σπέρμα τῆς τριφύλλου πόας· τούτων δὲ ἑκάστου διδόναι καθ' ἰδίαν ∠ β' μεθ' οἴνου* κοτύλης ά. δίδοται δὲ καὶ μυρίκης ὁ καρπὸς ὡσαύτως καὶ χαμαιπίτυος, καὶ τῶν χλωρῶν τῆς κυπαρίσσου σφαιρίων τὸ ἀφέψημα κιρνάμενον μετ' οἴνου. φασὶ δέ τινες καὶ καρκίνον ποτάμιον χυλισθέντα μετὰ γάλακτος, καὶ προσλαβόντα σελίνου σπέρμα * τῶν ὀχληρῶν ἀπαλλάσσειν.

Περὶ τῶν ὑπὸ σκολοπένδρας δεδηγμένων. Κεφ. δ'.

Τοῖς δὲ ὑπὸ σκολοπένδρας δεδηγμένοις, κατὰ μὲν τὴν πληγὴν ἐπιθέσθαι δεῖ λειοτριβόμενον μετ' ὄξους ἅλας, ἢ πήγανον * ἄγριον. καταντλεῖν δὲ ὀξάλμῃ τὸν τόπον, πότημα δὲ προσφέρειν ἀριστολοχίαν μετ' οἴνου, ἢ ἕρπυλλον ἢ καλαμίνθην, ἢ ἄγριον πήγανον.

Περὶ τῶν ὑπὸ σκορπίου δεδηγμένων. Κεφ. έ.

Τοῖς δὲ ὑπὸ σκορπίου πληγεῖσι παραχρῆμα μὲν ἀκριβῶς βοηθεῖ συκῆς ὀπὸς εἰς τὰ τραύματα ἐνσταχθείς. αὐτός τε ὁ πλήξας σκορπίος λειοτριβηθεὶς καὶ ἐπιτεθεὶς τῷ πληχθέντι τόπῳ, τῆς ἰδίας πληγῆς γίνεται βοηθὸς κατά τινα ἀντιπάθειαν ὡς ἔοικε.

& trifoliæ herbæ ſemen: priuatim autem, ſingulorum ex iis binas drachmas dare cum vini hemina conuenit. Item myricæ fructus, & chamæpityos, & viridium cupreſsi pilularum decoctum, admiſto vino. Sunt qui fluuiatilis cācri expreſsi ſuccum, cum lacte, aſſumpto apij ſemine, cō feſtim moleſtiis liberare prodant.

A ſcolopendra morſi. Cap. IIII.

Si ſchopendra morſum infixit, ſal quám leuiſsimè tritus ex aceto vulneri inſpargēdus, aut ruta ſylueſtris ſuperponenda. Locus acida muria fouendus, & danda in potu ariſtolochia cum vino, aut ſerpillum, aut calamintha, aut ruta ſylueſtris.

A ſcorpione percuſsi. Cap. V.

Percuſsis à ſcorpione, præſenti eſt auxilio ficulneū lac in vulnus inſtillatū. Scorpius ipſe qui ictū vibrauit, tritus & percuſſo loco impoſitus, ſuæ plagæ remedium eſt, ob cæcam quandam naturarum (vt conſtat) diſcordiā, quæ antipathia appellatur.

appellatur. Præterea tritus & impoſitus cum ſale, lini ſemine, & althæa, ſcorpius conuenit. Sulphur ignem non expertũ, reſina terebinthina exceptũ, & emplaſtri modo adiectum auxiliatur. Itidem galbanum ad ſplenij formam ductum, & calamintha, quæ trita illinatur, & farina hordei in vino parata, in decocto rutæ. Semen trifoliæ herbæ tritum, & vulneri iniectum opitulatur. Hæc ad affectum locum pertinent. Poſt hæc quàm efficaciſsimis potionibus vtendum, cuiuſmodi ſunt ariſtolochiæ, præſertim corticis binæ drachmæ cum vino, tuſa gentiana, & pulegium decoctum, & baccæ lauri pauco numero tritæ, & calamintha cum poſca, in qua magnopere diſcoqui debet: cupreſſus cum vino & ruta, nec ſecus ficulneum lac, laſerpitium, ſi adſit: ſin deſideretur, peucedani ſucco vtendum. Efficax eſt potus trifolij, & ocymi ſemen. Horum autem omnium vicem penſat iugis lauacri vſus, euocatus ſudor, & dilutæ vini potiones.

A paſti-

ἔοικε. μετὰ δὲ τοῦτο ἁρμόζει λεῖος ἐπιτιθέμενος ὁ σκορπίος σὺν ἅλατι καὶ λινοσπέρμῳ καὶ τῇ ἀλθαίᾳ βοτάνῃ. βοηθεῖ δὲ καὶ θεῖον ἄπυρον ἀναληφθὲν ῥητίνῃ τερμινθίνῃ καὶ ὡς ἔμπλαστρον ἐπιρριφέν. ὁμοίως δὲ καὶ χαλβάνη πλατυνθεῖσα σπληνίου τύπῳ, καὶ καλαμίνθη λεία καταπλασσομένη, καὶ ὠμήλυσις ἐν οἴνῳ σκευασθεῖσα, ἐν ἀφεψήματι πηγάνου. βοηθεῖ δὲ τὸ σπέρμα τῆς τριφύλλου πόας λεαινόμενον καὶ ἐπιρριπτούμενον. τοπικὰ μὲν οὖν ταῦτα. μετὰ δὲ τούτων καὶ πόμασι χρηστέον ὡς ἀνυσιμωτάτοις, ἔστι δὲ ἀριστολοχίας δίδραχμον μάλιστα τοῦ φλοιοῦ σὺν οἴνῳ, γεντιανὴ κεκομμένη, καὶ γλήχων ἐπικαθημένη, καὶ δαφνίδες ἀριθμῷ βραχεῖ λειοτριβούμεναι, καὶ καλαμίνθη μετὰ ὀξυκράτου· δεῖ δὲ αὐτὴν ἐπιπολὺ ἑψῆσαι ἐν τῷ ὀξυκράτῳ· καὶ κυπάρισσος μετ' οἴνου ἢ πηγάνου, ὡσαύτως καὶ συκῆς ὀπὸς, καὶ σίλφιον εἰ παρείη· μὴ παρόντος δὲ, τῷ πευκεδάνου χρηστέον ὀπῷ. ποιεῖ δὲ καὶ ὁ τοῦ τριφύλλου καρπὸς πινόμενος, τὸ καὶ τοῦ ὠκίμου σπέρμα. τούτοις * δὲ πᾶσιν ἀντιπαρατάσσεται λουτροῦ συνεχῶς χρῆσις μετὰ πολλῆς ἱδρώσεως, καὶ οἰνοποσία μετὰ κράματος.

Περὶ τῶν

Περὶ τῶν ὑπὸ τρυγόνος θαλασσίας δεδηγμένων.

Κεφ. ϛʹ.

Τοῖς δὲ ὑπὸ τρυγόνος θαλασσίας πληγεῖσιν, ἁρμόζει πάντα τὸν αὐτὸν τρόπον ὅσον μικρὸν ὕστερον ἐπὶ τῶν ἐχιοδήκτων ἐροῦμεν. * ἁρμόζει δὲ πρὸς τὰς πληγὰς αὐτῶν ποτισμὸς ἀψινθίου, ἢ ἐλελισφάκου, ἢ θείου σὺν ὄξει τετριμμένου. καὶ αὐτὴ δὲ ἀναπτυχθεῖσα καὶ ἐπιτεθεῖσα τοῖς τραύμασι, τῆς ἰδίας ἴαμα πληγῆς.

Περὶ τῶν ὑπὸ μυγαλῆς δεδηγμένων.

Κεφ. ζʹ.

Τοῖς δὲ ὑπὸ μυγαλῆς δηχθεῖσι, βοηθεῖ χαλβάνη σπληνίον ἐπιτεθὲν κατὰ τοῦ δήγματος ὡς φάρμακον μετ᾽ ὄξους λειοτετριμμένον, καὶ κρίθινον ἄλευρον μετ᾽ ὀξυμέλιτος ἐπιπλασθέν. καὶ ἡ αὐτὴ δὲ ἡ δακοῦσα μυγαλῆ, ἀναπτυσσομένη καὶ ἐπιτιθεμένη, τῆς ἰδίας πληγῆς ἀντιφάρμακόν ἐστι· καὶ γλυκείας ῥοᾶς ἑφθὰ καταπλασθέντα κοκκία· καὶ πράσα ἑφθὰ καταπλασθέντα καὶ σκόροδα συντετριμμένα, καὶ ἡ διὰ τῆς θέρμης κατάντλησις· τοπικὰ μὲν ταῦτα. ποτιζόμενον δὲ ἀρήγει ἀβρότονον καθεψηθέν. εἶτα δι᾽ οἴνου προσφερόμενον, ἕρπυλλος δὲ καὶ χαλβάνη καὶ εὔζωμον διεθέντα οἴνῳ, καὶ κυ-

A paſtinaca marina morſi.

Cap. VI.

Ei qui marina paſtinaca icitur, omnia quæ de viperarum morſu paulò poſt referem⁹, ſimili modo conueniunt. Peculiariter aũt ictus à marino ſcorpione, & dracone inferuntur, qui moleſtos cruciatus ciẽt: interdum autẽ, ſed rarò, nomas excitant. Quibus abſinthij, ſaluiæ, aut ſulfuris ex aceto triti potio ſubuenit. Paſtinaca diuulſa & vulneri impoſita, ſui ictus medela eſt.

A mure araneo morſi.

Cap. VII.

Si mus araneus momorderit, auxiliatur ex galbano ſpleniũ, per ſe vulneri exterius impoſitum, vt medicamẽti modo aceto tritum, & hordeacea farina cum aceto mulſo illita. Quinetiã mus ipſe qui morſum intulit, ſi diſſectus apponatur, ictus ſui veneficia luit: reſiſtũt quoque acini dulcis punici decocti, & illiti. Item porri, & allia contrita, necnon aquæ calidæ fotus: ſed hæc ad locum pertinent. Prodeſt potum abrotoni decoctum, maximè ſi in vino detur. Præterea ſerpillũ, & galbanum, & eruca vino madefacta, recẽtes

ęta recentes cupreſsi pilulę cũ aceto, & cyclaminus ex aceto mulſo, & pyrethrũ cũ vino, & & chamæleonis herbæ radix. Nec deſunt qui literarũ monumentis tradiderunt, tritũ murẽ araneum contra ſuos ictus cõmodè bibi. Quã hiſtoriã apud alios inuẽtam, dignam duntaxat cenſuimus, quæ annotaretur. Alij aſſeuerant demorſum non aliâs exulcerari, niſi prægnans mus araneus fuerit: tum ſanè auxiliari ferunt.

Percuſsi à vipera. Cap. VIII.

Si vepera morſum impreſſit, fimum caprinũ cum vino, ſtudioſè impoſitũ opitulatur. Item laurus, & abrotonum, & galbanum ſplenij loco ſuperiectum, & origanũ viride inditũ. Pulli gallinarũ diſcerpti, & confeſtim admoti: erui farina vino ſubacta: radicis cortex vſque eo tuſus, vt in puluerem ſolutus abeat, & ſcilla toſta: detritũ chamæmelũ hordeaceæ farinæ cataplaſma in aceto mulſo præparatum: ſed locus antè eo calido foueatur. Hæc loco imponuntur. Contra viperinos ictus rubus cum vino prodeſt. Aliqui anchuſam tenui folio conſtantem auxiliari produnt.

καὶ κυπαρίσσου τὰ ἁπαλὰ σφαιρία μεθ᾽ ὄξους, καὶ κυκλάμινον μεθ᾽ ὀξυμέλιτος, καὶ πύρεθρον σὺν οἴνῳ, καὶ χαμαιλέοντος τῆς βοτάνης ἡ ῥίζα. τινὲς δὲ ἀναγράφουσιν ὅτι καὶ αὐτὴ λειοτριβηθεῖσα ἡ μυγαλῆ, πρὸς τὸ ἴδιον πλῆγμα ποτίζεται. τὴν δὲ ἱστορίαν ταύτην ἐν ἄλλοις κειμένην εὑρόντες, παρασημειώσεως μόνον ἠξιώσαμεν. ἔνιοι δέ φασι μὴ ἄλλως ἑλκοῦσθαι τὸν δηχθέντα, εἰ μὴ ἔγκυος ἡ μυγαλῆ τυγχάνει· τό τε σὺν φασὶ βοηθεῖν.

Περὶ τῶν ὑπὸ ἐχίδνης δεδηγμένων. Κεφ. η.

Τοῖς δὲ ὑπὸ ἐχίδνης δηχθεῖσι βοηθοῦσι τῶν αἰγῶν αἱ σπύραθοι μεθ᾽ οἴνου ἀνατεθεῖσαι σπουδαίως. καὶ δάφνη ὡσαύτως καὶ ἀβρότονον καὶ χαλβάνη ἀντὶ σπληνίου ἐπιῤῥιπτούμενα, καὶ ὀρίγανος χλωρὰ ἀνατεθεῖσα. καὶ τῶν ὀρνίθων οἱ νεοσσοὶ ἀναπτυχθέντες καὶ παραχρῆμα προστιθέμενοι· ὀρόβινόν τε ἄλευρον μεθ᾽ οἴνου πεφυραμένον· καὶ ῥαφανίου φλοιὸς ἰσχυρῶς κοπεὶς, ὥς τε λειότατος γενέσθαι, καὶ σκίλλα ὀπτὴ καὶ χαμαίμηλον λελειωμένα, καὶ ὠμήλυσις δι᾽ ὀξυμέλιτος ἐσκευασμένη· προκαταντλημένου θερμοῦ. ταῦτα μὲν τοπικῶς ἐπιτιθέμενα. ὠφελεῖ δὲ τοὺς ἐχιοδήκτους καὶ βάτος μετ᾽ οἴνου. ἔνιοι δὲ ἄγχουσαν τὴν λεπτόφυλλον βοηθεῖν

ἀφη-

ἀφηγοῦνται. πίνεται δὲ καὶ λαγωοῦ τῆς πιτύας ὅσον τριώβολον καὶ πράσου χύλισμα ὅσον κοτύλιον ἐν ἀκράτῳ, καὶ μελισσοφύλλου τῶν φύλλων ὁ χυλὸς, καὶ πήγανον ἄγριον. ταῦτα δὲ ἐν οἴνῳ δεῖ ποτίζειν. καὶ αὐτὴ ἡ οἰνοποσία συνεχῶς παραλαμβανομένη, σκόροδά τε ἐσθιόμενα καὶ κρόμμυα, καὶ πράσα ἁπαλὰ καὶ τάριχος δριμύτατος καὶ πολυτελέστατος. καὶ τὰ μὲν ἁπλᾶ ταῦτα. καὶ αὐτὸ δὲ τὸ φάρμακον εὐδοκιμοῦν ἐπὶ τῶν * ὀφιοδήκτων, ὅπερ ἐστὶ σμύρνης, καστορίου, πεπέρεως, ἀνδράχνης ἄνθους καὶ σπέρματος ὀξυβάφου τὸ ἥμισυ· ταῦτα πάντα λέαινε ἐν γλυκεῖ κρητικῷ, ἢ ἑτέρῳ τινὶ τῶν σπουδαίων. Ἐρασίστρατος δὲ ἐν τῷ περὶ δυναμέων ἀνεγράψατο καὶ ἄλλα τινὰ πλείονα βοηθεῖν δυνάμενα τοῖς ἐχιοδήκτοις.

dunt. Leporini coaguli in vino terni oboli bibuntur, & porracei ſucci hemina in mero, & foliorum apiaſtri ſuccus, & ſylueſtris ruta: hæc in vino potari debent. Vinum frequẽter bibendum, alia mandenda, & cepæ, & porri recentes, ſalſamenta acerrima, & opipara. Simplicia hæc ſunt. Percuſsis à vipera prçclarè auxiliatur medicamentum, quod myrrhæ, piperis, caſtorij, floris portulacæ ſeminíſque, dimidio acetabulo conſtat: hæc omnia in Cretico paſſo teruntur, aut in alio probato. Eraſiſtratus in eo libro qui περὶ δυνάμεων, id eſt de viribus, inſcribitur, pleraque alia tradidit, quæ ictis ab vipera auxilium ferre poſſunt.

Περὶ τῶν ὑπ' ἀμφισβαίνης δεδηγμένων. Κεφ. θʹ.

Περὶ ἀμφισβαίνης τοπικῶς ἐπεμνήσθημεν ὅτι πως ταῖς πρὸς τὰς ἐχίδνας ἀναγεγραμμέναις βοηθείαις, πέφυκε βοηθεῖσθαι ὁ ἐξ αὐτῆς πληγείς.

Ab amphiſbæna icti. Cap. IX.

De amphiſbæna mentionem hoc loco fecimus, quoniam ferè remediijs ad viperas ſcriptis, percuſsi ab ea adiuuari ſoleant.

Περὶ τῶν ὑπὸ δρυΐνου δεδηγμένων. Κεφ. ιʹ.

Τοῖς δὲ ὑπὸ δρυΐνου πληγεῖσιν, ἁρμόζει ἀριστολοχία σὺν οἴνῳ πινομένη,

Percuſsi à dryino. Cap. X.

A dryino ictis conuenit ariſtolochia cum vino pota, trifolium

folium herba,radix haſtulæ regiæ ſimiliter aſſumpta, & fructus ex omni quercus genere, & tuſæ ilicis radices, & illitæ parti ictæ auxiliantur.

Ab hæmorrhoo dipſadéque percuſsi. Cap. XI.

Hæmorrhoi dipſadiſq; morſus velut immedicabiles à pleriſque maiorum deplorati relinquebãtur : quare ſi peculiaribus contra dipſadem remediis egeamus, communia experiri operæpretium erit.Protinus autem ſcarificatione vti, vſtionem facere, & ſi locus patiatur, extremorum amputatione opus erit : conſequenter quamacerrima cataplaſmata admouere,de quibus ſæpenumero diximus. Nec me fugit, acres cibos, maximè à ſalſamentis, vtiles eſſe. Meracæ potiones & lauacra proſunt, quæ ſubinde interiecto breui ſpatio aſſuméda ſunt,priuſquã morbi genus emerſerit, quo ſemel erumpente, opem ferre nõ poteſt vlla medici opera.In ictu hæmorrhoi eadẽ proſunt. Inſuper quę in cõmune opitulantur,ne ſcarificationes,vſtiones, acres cibi, meraci potus, & quæ

νομένη, καὶ ἡ τρίφυλλος πόα, ῥίζα τε ἀσφοδέλου παραπλησίως λαμβανομένη, καὶ δρυὸς πάσης ὁ καρπὸς πινόμενος καὶ τῆς πρίνου αἱ ῥίζαι κοπτόμεναι καὶ καταπλασσόμεναι, τοπικῶς παρηγορέουσιν.

Περὶ τῶν ὑφ᾽ αἱμόῤῥου καὶ διψάδος δεδηγμένων. Κεφ. ια.

Αἱμόῤῥου δὲ καὶ διψάδος τοῖς πλείστοις τῶν προηγουμένων ἀπηγορεύθησαν, ὡς ἀβοήθητοι αἱ δήξεις· διὸ καὶ τῶν κατ᾽ ἰδιότητα πρὸς τὸ θηρίον τὴν διψάδα ὠφελούντων ἀποροῦσι, δεῖ μὲν οὖν ἀποπειρᾶσθαι τῶν κοινῶν βοηθημάτων. παραχρῆμα δὲ τοὺς κατασχασμοὺς παραλαμβάνειν, τήν τε καῦσιν ποιεῖν καὶ εἰ ὁ τόπος ἐγχωροίη τὸν ἀκρωτηριασμόν· ἐφεξῆς δὲ τὰς τῶν δριμέων καταπλασμάτων ἐπιθέσεις, περὶ ὧν εἰρήκαμεν πολλάκις. χρησιμεύειν οἶδα καὶ δριμυφαγίας μάλιστα τὰς ἀπὸ τῶν ταριχηρῶν. ἀκρατοποσία τε καὶ λουτρὸν ὠφελεῖ, ταῦτα συνεχῶς ἐκ μικρῶν διαστημάτων πλεονάκις καταληπτέον, πρὶν κατασκήψῃ τὸ τῶν νοσημάτων εἶδος, ἐκείνων δὲ ἅπαξ ἐπιφανέντων, οὐδ᾽ ὁποίων παρὰ τῶν ἰατρῶν ἐπικουρείας ὄφελος γίνεται. ἐπὶ δὲ τοῦ αἱμόῤῥου τὰ αὐτά. καὶ πρὸς τούτοις τὰ ἐν τῷ κοινῷ τῶν βοηθημάτων· οἷον τοὺς κατασκασμοὺς καὶ τὰς καύσεις καὶ δριμυφαγίας καὶ ἀκρατοποσίας. καὶ ὅσα

καὶ ὅσα ὡρίσαμεν ἐπὶ διψάδος. ἔτι δὲ καὶ ἀμπέλου φύλλα ἑφθὰ σὺν μέλιτι λελειωμένα.

Περὶ τῶν ὑφ' ὕδρου δηχθέντων. Κεφ. ιβ'.

Τοῖς ὑφ' ὕδρου δηχθεῖσιν ἁρμόζει ὀρίγανος λεία φυραθεῖσα ὕδατι, κονία τε ἐνεθεῖσα ἐλαίῳ ἢ ἀριστολοχίας ὁ φλοιὸς, ἢ ῥίζα δρυὸς λεπτοτριβηθεῖσα καὶ κρίθινον ἄλευρον σὺν ὕδατι μετὰ μέλιτος συντετηκός. ποτίζεται δὲ καὶ ἀριστολοχίας δίδραχμον ἐν κράματι ὀξυκράτου κυάθων ἕξ. ἢ πρασίου χυλὸς, ἢ ἀφέψημα ὁποτέρου σὺν οἴνῳ. πρόσφατόν τε κηρίον προσφερόμενον μετ' ὄξους.

Περὶ τῶν ὑπὸ κεγχριδίου δηχθέντων. Κεφ. ιγ'.

Τοῖς δ' ὑπὸ κεγχρίδου δηχθεῖσι, θριδακίνης ὁ καρπὸς μετὰ λινοσπέρμου καταπλασσόμενος βοηθεῖ καὶ θύμβρα, καὶ ἄγριον πήγανον, καὶ ἕρπυλλος σὺν ἀσφοδέλου * < β'. καὶ σὺν οἴνου κυάθοις γ' ἢ ἀριστολοχίας ῥίζα. ὡσαύτως καὶ καρδάμωμον, καὶ γεντιανὴ παραπλησίως.

Περὶ τῶν ὑπὸ κεράστου δηχθέντων. Κεφ. ιδ'.

Τοῖς δὲ ὑπὸ κεράστου δηχθεῖσι καὶ ἀσπίδος, συντόμως ὁ ἀκρωτηριασμὸς ἐπαμύνει· διόπερ ἀνυπερθέτως ἀποκόπτειν δεῖ, ὅσον τὸ δηχθὲν

& quæ nunc in dipſade definiuimus. Quinetiam decocta vitis folia, & cum melle trita.

Morſi à natrice.

Cap. XII.

Si morſum natrix adegit, prodeſt origanum tritum & aqua ſubactum, lixiuia cũ oleo indita, aut ariſtolochiæ cortex, aut querna radix minutim contrita, & hordei farina cum aqua & melle colliquata. Bibuntur etiã binæ ariſtolochiæ drachmæ in potione poſcæ cyathis duobus, deinceps marrubij ſuccus, vel decoctum alterius cũ vino. Fauus recens datur cum aceto.

A cenchridio percuſsi.

Cap. XIII.

Morſis à cenchridio auxiliatur lactucæ fructus cum lini ſemine illitus, & ſatureia trita, & ſylueſtris ruta, & ſerpillum cum duabus haſtulę regiæ drachmis, & tribus vini cyathis aut ariſtolochiæ radix. Item cardamomum & gentiana.

A ceraſte percuſsi.

Cap. XIIII.

Si ceraſtes percuſſerit, cita partis amputatio ſuffragatur: quare ſine mora ictã partẽ amputare, aut ſcalpro cõfeſtim circũcidere

cuncidere, & iis ſimilia proſequi oportet. Vrentia inſuper reliquiis admouenda: ſiquidem virus hoc veneno baſiliſci ſimile eſt.

Morſi ab aſpide. Cap. XV

Iis qui ab aſpide feriuntur, quæ de ceraſte ſcripta ſunt auxilia dari debent. Nam venenum hoc, quemadmodum baſiliſci, aut ſanguinis bubulus, celerrimè in arteriis ſanguinem cogit.

A baſiliſco morſi. Cap. XVI.

Ad baſiliſci morſum, vt Eraſiſtratus author eſt, auxiliatur caſtorij drachma in vino pota: item papaueris ſuccus. Ictuum remedia ita ſe habent.

LIBRI OCTAVI FINIS.

δηχθὲν μέρος, ἢ περισαρκίζειν τὰ μέρη παραχρῆμα καὶ τὰ τούτοις παραπλήσια. εἶτα δὲ τὰ ὑπολείμματα τοῖς καυστηρίοις ἐπακτέον· καὶ γὰρ καὶ τούτοις ὁ ἰὸς οἷος ὁ τοῦ βασιλίσκου.

Περὶ τῶν ὑπ' ἀσπίδος δηχθέντων. Κεφ. ιέ.

Τοῖς δὲ ὑπὸ ἀσπίδος δηχθεῖσιν, ὅσα καὶ τοῖς ὑπὸ κεράστου ὡς προγέγραπται προσενεκτέον βοηθήματα. ὃν τρόπον γὰρ βοὸς αἷμα ὀξύτατα πήγνυσι τὸ ἐν ταῖς ἀρτηρίαις αἷμα καὶ πήγνυται, πρὸς τούτων ὁ ἰὸς, ὥσπερ καὶ ὁ τοῦ βασιλίσκου.

